ΒΙΒΛΙΟΘ
ΕΛΛΗΝ
ΠΑΤΕΡ

ΕΥΣΕΒ
ΚΑΙΣΑΡ
(ΜΕΡΟΣ

22

Printed in Greece
Athens 1959

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΙΚΟΣΤΟΣ ΔΕΥΤΕΡΟΣ

# ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

## (ΜΕΡΟΣ Δ')

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1959

## ΠΕΡΙΕΧΟΜΕΝΑ

### ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ


Σελ.

ΚΕΙΜΕΝΑ

Ἑρμηνεία Ψαλμῶν ΞΘ΄ - ΡΝ΄ . . . . . . . . . . . . . . . 11 - 394

ΠΙΝΑΞ ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ . . . . . . . . 395

ΠΙΝΑΞ ΘΕΜΑΤΩΝ ΟΝΟΜΑΤΩΝ ΠΡΑΓΜΑΤΩΝ . . . . . . 407

# ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ

# ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ
# ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ*

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΤΩ ΔΑΥΙΔ ΕΙΣ ΑΝΑΜΝΗΣΙΝ. ΞΘ'.

Στίχ. β'-δ'. «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες.»

Οὔτε ᾠδή, οὔτε ψαλμός, οὔτε τι τῶν τοιούτων οἱ προκείμενοι τυγχάνουσι λόγοι· πλὴν ἀναπέμπουσιν εἰς τὸ τέλος, ἐπεὶ περὶ μελλόντων τὴν ἱκετηρίαν ποιοῦνται. Εἴρηνται δὲ «τῷ Δαυῒδ εἰς ἀνάμνησιν·» ὡς ἂν εἰς αὐτὸ τοῦτο λεχθέντες, ἵν' ἔχοι προχείρως διὰ στόματος ἀπομνημονεύειν αὐτούς, καὶ ἀντὶ ἐπῳδῆς αὐτοῖς ἐν ταῖς περιστάσεσι χρῆσθαι. Δύο δέ εἰσιν οἱ «εἰς ἀνάμνησιν» ἐπιγεγραμμένοι, ὅ τε μετὰ χεῖρας, καὶ ὁ λζ' ἐπιγεγραμμένος καὶ αὐτὸς «εἰς ἀνάμνησιν.» Ἀλλ' ἐκεῖνος μὲν εἰς τὸ τέλος ἀνέπεμπεν, ἀλλ' ἦν «ψαλμὸς τῷ Δαυῒδ εἰς ἀνάμνησιν·» Οὗτος δὲ «εἰς τὸ τέλος» ἐπιγράφει. Ὁ μὲν οὖν λζ', οὐ μελλόντων ἦν προαγορευτικός, ἀλλὰ παρῳχηκότων πραγμάτων ὑπομνηστικός· διὸ τὴν αὐτὴν ἀρχὴν εἶχε τῷ ς' λέγων· «Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.» Μίαν τε οἱ ἀμφότεροι ὑπόθεσιν περιεῖχον. Ὁ μὲν γὰρ ἕκτος προϊὼν ἐπιλέγει· «Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω·[1]» ὁ δὲ λζ' τὰ ὅμοια διδάσκει λέγων· «Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου· ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.[2]» Ταῦτα δὲ καὶ τὰ τοιαῦτα ἐπὶ τὴν μνήμην τοῦ πραχθέντος αὐτῷ πλημμελήματος ἀνέφερε. Διόπερ «εἰς ἀνάμνησιν» ἐπέγραφεν, ἐπαναλαμβάνων τὰ παρελθόντα διὰ τῆς συνεχοῦς ἐξομολογήσεως. Διὸ οὐκ ἐπέγραφεν «εἰς τὸ τέλος.» Ὁ δὲ παρὼν «εἰς τὸ τέλος» εἴρηται, ἐπειδήπερ ἱκετηρία ἐστὶ προσδοκωμένων πραγμάτων, τοῦ Προφήτου προλαμβάνοντος καὶ εὐχομένου· ἵν', εἴ ποτε συμβαῖεν ἐχθρῶν ἐπαναστάσεις καὶ ἐπιβουλαὶ κατ' αὐτοῦ, ταῖς προκειμέναις ἐπῳδαῖς χρώμενος ἀλεξιφάρμακα ὥσπερ ἀποτρόπαια παντὸς πονηροῦ ἀντιπεριάμματος ἐπάγοιτο. Μήποτε δὲ καὶ προφητικῶς εἰς πρόσωπον ἀναφέρεται τὰ λεγόμενα τοῦ Σωτῆρος; ἐπειδήπερ ἐν μὲν τῷ πρὸ τούτου σαφῶς θεσπίζοντι τὸ πάθος αὐτοῦ ἐλέγετο ἐξ αὐτοῦ προσώπου· Πτωχὸς καὶ ἀλγῶν ἐγώ εἰμι, ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετό μου·[3]» ὡσαύτως δὲ καὶ

---

* Ἐκ τῆς Ε. Π. τοῦ Migne τ. 24, σελ. 767 κἑξ.

1. Ψαλμ. 6, 7. 2. Ψαλμ. 37, 4-6. 3. Ψαλμ. 68, 30.

ἐν τῷ μετὰ χεῖρας προϊὼν φάσκει· «Ἐγὼ δὲ πτωχὸς καὶ πένης, ὁ Θεός, βοήθησόν μοι.» Ὥστε καὶ διὰ τοῦτο ἀναγκαίως ἐπιγράφειν «εἰς τὸ τέλος.» Ἐὰν μὲν οὖν ἐκ προσώπου τοῦ Δαυῒδ λέγοιτο, εἴποις ἂν ὅτι μεγάλου βασιλεύων ἔθνους, σφόδρα πλουσιώτατος ὤν, οὐκ ἠγνόει τὸ φάσκον λόγιον· «Ὅσῳ μέγας εἶ, τοσούτῳ ταπεινοῦ σεαυτόν, καὶ ἐνώπιον Κυρίου εὑρήσεις χάριν.[1]» Διὸ μετριοφρονῶν καὶ ταπεινοφρονῶν καὶ ἀληθῶς σμικρύνων ἑαυτόν, καὶ πρὸς τὸ μέγεθος ἀφορῶν τοῦ πλούτου τῆς χρηστότητος τοῦ Θεοῦ, πτωχὸν καὶ πένητα ἑαυτὸν διὰ τῶν προκειμένων ὠνόμασε· καὶ ἀρχόμενος δὲ τοῦ λόγου, ὡς μηδὲν αὐτῷ συμβαλλομένου, μήτε πλούτου, μήτε βασιλείας, μήτε τῆς τοῦ παντὸς ἔθνους βοηθείας, μήτε τῆς ἐξ ἀσκήσεως πορισθείσης αὐτῷ δικαιοσύνης, τὴν παρὰ μόνου τοῦ Θεοῦ βοήθειαν ἐξήτει λέγων· «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες. Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.» Ὁρῶν δὲ πολλοὺς διαφθονουμένους τῇ κατὰ Θεὸν αὐτοῦ προκοπῇ καὶ βασκαίνοντας αὐτοῦ τῇ σωτηρίᾳ τῆς ψυχῆς, προσετίθει τό, «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλόμενοί μοι κακά. Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι, Εὖγε, εὖγε.» Διὰ τούτων γὰρ ὁμολογεῖ αὐτὸς μὲν ἑαυτῷ μὴ δύνασθαι ἐπαρκεῖν, δεῖσθαι δὲ τῆς παρὰ τοῦ κρείττονος βοηθείας· ὡς, εἰ μὴ τύχοι ταύτης, ἔρημος ἐσόμενος καὶ ἐλεγχθησόμενος ἀσθενὴς καὶ πλέον οὐδὲν ἢ θνητὸς ἄνθρωπος· καὶ ὡς οἱ ἐχθροὶ αὐτοῦ ἐπιχαιρεσίκακοί τινες ὄντες πεσόντι αὐτῷ ἐπαναβήσονται. Εἰ δὲ βοηθοῦ τύχοι τοῦ Θεοῦ, αὐτὸς μὲν ἔσται ἀνώτερος· αἰσχύνην δὲ καταχεοῦνται οἱ τῆς αὐτοῦ ψυχῆς ἐπίβουλοι· οἵτινες ἐφ' ἑκάστῃ πράξει κατὰ πόδας αὐτοῦ βαίνοντες καὶ πειρώμενοι ἐπιλαμβάνεσθαι αὐτοῦ λέγειν εἰώθασιν, «Εὖγε, εὖγε,», ὡς ἂν ἐπιτυγχάνοντες καὶ κατ' εὐχὰς πράττοντες ἐν οἷς αὐτὸν σφάλλεσθαι ἐνόμιζον. Εἰ δὲ ἐπὶ τὸν Σωτῆρά τις ἀναφέροι ταῦτα διὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, ἐρεῖ, ὅτι τοὺς ἐπιβουλεύοντας αὐτοῦ τῷ λόγῳ καὶ τῇ διδασκαλίᾳ, τῷ τε μεγάλῳ σώματι τῆς Ἐκκλησίας αὐτοῦ θεωρῶν ἐπανισταμένους, καὶ τοὺς διωγμοὺς συνεχῶς κατ' αὐτῆς ἐνεργοῦντας, ἀποτροπιαζόμενος αὐτῶν τὴν κακίαν, ταύτην προφητικῶς ἀνέπεμπε τὴν εὐχήν, οὕτω δεῖν εὔχεσθαι διδάσκων τὴν Ἐκκλησίαν αὐτοῦ.

Στίχ. ε', ς'. «Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σὲ πάντες οἱ ζητοῦντές σε.» .

Τὰ μὲν πρῶτα ἀνατρεπτικὰ ἦν τῶν ἐναντίων· ἀκολούθως δὲ τὰ δεύτερα ὑπὲρ τῶν οἰκείων πρεσβεύει. Καὶ εἰ μὲν ὁ Δαυῒδ δικαίῳ πρέπουσαν εὐχὴν ἐποιεῖτο, ὡς ἂν πάντες οἱ τὸν Θεὸν ζητοῦντες, ὧν εἷς καὶ αὐτὸς ἦν, ἀγαλλιάσεως καὶ εὐφροσύνης μετέχοιεν τῶν ἐχθρῶν καταισχυνομένων· οἱ δὲ ἀγαπῶντες τὸ σωτήριον τοῦ Θεοῦ

1. Σοφ. Σειρ. 3, 18.

λέγοιεν ἄν, «Μεγαλυνθήτω ὁ Θεός·» καὶ τοῦτο μὴ εἰσάπαξ, μηδὲ ἐνί ποτε καιρῷ, ἀλλὰ διαπαντὸς λέγοιεν, νικῶντος ἐν αὐτοῖς καὶ δι' αὐτῶν πᾶν τὸ πολέμιον γένος τοῦ Θεοῦ. Εἰ δὲ ὁ Σωτὴρ τοῖς προλεχθεῖσιν ἀκολούθως εἴη ὑπὲρ τῶν ἐξ ἁπάντων τῶν ἐθνῶν εἰς αὐτὸν πεπιστευκότων, λέγοι ἂν τό, «Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε.» Μὴ γὰρ μόνοι Ἰουδαῖοι, μηδὲ οἱ τὸν Ἀβραὰμ αὐχοῦντες, ἀλλὰ καθόλου καὶ ἀορίστως πάντες ὅσοι δήποτε καὶ ἐξ οἵου γένους εἶεν οἱ ἐκζητοῦντές σε, «ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοί, καὶ λεγέτωσαν, Μεγαλυνθήτω ὁ Θεός·» καὶ τοῦτο λεγέτωσαν διαπαντὸς οἱ ἀγαπῶντες τὸ σωτήριόν σου· αὐτὸν δηλαδὴ τὸν Σωτῆρα σωτήριον πολλαχοῦ τῶν Γραφῶν ὠνομασμένον, ὃν ἀγαπῶσιν οἱ δι' ἔργων τὴν διδασκαλίαν αὐτοῦ ἐν ἀγάπῃ καθαρᾷ περιέποντες. «Ἐγὼ δὲ πτωχὸς καὶ πένης· ὁ Θεός, βοήθησόν μοι.» Καὶ Δαυῒδ πλούσιος ὢν ἐταπεινοφρόνει, ἅτε γνῶσιν ἔχων τοῦ μεγέθους τοῦ Θεοῦ, καὶ τὸ μηδὲν ἑαυτὸν ὁρῶν. Διὸ τὴν παρὰ μόνου τοῦ ἰσχυροῦ βοήθειαν ἐξῃτεῖτο λέγων· «Ὁ Θεός, βοήθησόν μοι· βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς.» Καὶ ὁ Χριστὸς δὲ πλούσιος ὢν δι' ἡμᾶς ἐπτώχευσεν[1], ὡς ἐδίδαξεν ὁ θεῖος Ἀπόστολος. Διὸ καὶ ἑαυτὸν ἀνετίθει τῇ τοῦ Πνεύματος βοηθείᾳ, πρεσβεύων ὑπὲρ τοῦ λαοῦ αὐτοῦ καὶ τῆς Ἐκκλησίας, ὡς ἂν μή, εἰς μακροὺς χρόνους πολεμουμένη ἐν τοῖς καιροῖς τῶν διωγμῶν, μεγάλην ἀπενέγκοιτο βλάβην. Διό φησι· «Βοηθός μου καὶ ῥύστης μου εἶ σύ, Κύριε, μὴ χρονίσῃς.» Εἰ δὲ καὶ ταῦτα ἀναφέροιτο ἐπὶ τὸν καιρὸν τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν, καὶ αὐτὸς ἐπιστήσεις. Ἐπειδὴ γὰρ διέγραψεν ἐν τῷ πρὸ τούτου τὰς κατ' αὐτοῦ ἐπαναστάσεις· ὅπως τε εἰσέλθοσαν ὕδατα ἕως τῆς ψυχῆς αὐτοῦ, καὶ ἐνεπάγη εἰς ὕλην βυθοῦ, καὶ ὡς ἦλθεν εἰς τὰ βάθη τῆς θαλάσσης· ἐπληθύνθησάν τε ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς αὐτοῦ οἱ μισοῦντές με δωρεάν· πέπονθέ τε ὅσα καὶ εἴρηται· εἰκότως τὴν παροῦσαν δέησιν ἀναπέμπει πρὸς τὸν Πατέρα λέγων· «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον», καὶ τὰ τούτοις ἀκόλουθα. Ἐπειδὴ ἑώρα τὸ τάγμα τῶν ἀποστόλων αὐτοῦ ἐν πολλῇ συγχύσει γεγενημένον διὰ τὴν περὶ αὐτὸν ἀγάπην, τὰς δευτέρας ὑπὲρ αὐτῶν προΐετο φωνάς, ὅπως, ἀπολαβόντες αὐτοῦ τὴν ἀνάστασιν ἣν περιέμενον ποθοῦντες ἰδεῖν, πληρωθεῖεν ἀγαλλιάσεως καὶ εὐφροσύνης, λέγοντες διαπαντός· «Μεγαλυνθήτω ὁ Θεός», αὐτοὶ ὄντες οἱ ἀγαπῶντες τὸ σωτήριον αὐτοῦ.

## Ο'.

Στίχ. α'-ε'. «Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με.»

---

1. Β' Κορ. 8, 9.

Τὰ ἰσοδυναμοῦντα τούτοις καὶ ὁ λ' περιέχει ψαλμός, τοῦτον καὶ αὐτὸς ἀρχόμενος τὸν τρόπον. «Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα, ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με. Κλῖνον πρός με τὸ οὖς σου.[1]» Ἀλλ' ἐκεῖνος μέν, «Εἰς τὸ τέλος», καὶ «Ψαλμὸς τῷ Δαυΐδ», ἐπεγέγραπτο· ὁ δὲ παρὼν ἀνεπίγραπτος τυγχάνει. Κἀκεῖνος μὲν ἐξομολόγησιν σὺν ἱκετηρίᾳ περιεῖχεν, ὁ δὲ προφητείᾳ ἔοικεν ἐκ προσώπου τοῦ Σωτῆρος προενηνεγμένῃ. Διὸ οὐδὲ ἐπιγέγραπται συνήθως, «τοῦ Δαυΐδ.» Εἴποι δ' ἄν τις προσήκειν συμπεριλαμβάνειν αὐτὸν τοῖς πρὸ αὐτοῦ τεταγμένοις, διὰ τὸ πολλὴν πρὸς αὐτὰ σῴζειν ἀκολουθίαν· ἐν γοῦν τῷ πρὸ τούτου ἐλέγετο· «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες. Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου. Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά·[2]» καὶ ἐν τοῖς μετὰ χεῖρας δὲ προϊὼν ὁ λόγος ταῖς αὐταῖς κέχρηται φωναῖς λέγων· «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες, αἰσχυνθείησαν·» καὶ τὰ λοιπὰ δὲ τῆς αὐτῆς ἔχεται διανοίας, εἰς πλάτος ἐκτεινομένου τοῦ λόγου διὰ τῶν προκειμένων, ἅπερ οὐκ ἀπὸ σκοποῦ ἄν τις εἴποι ἁρμόζειν τῷ Πατρί· Διά τε τὸ λέγεσθαι ἐν αὐτῷ· «Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε, Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου·» αὐτὰ γὰρ ταῦτα ἐν καὶ τῷ κα' ψαλμῷ ἐξ αὐτοῦ προσώπου ἐλέγετο ἐν τούτοις· «Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός·[3]» καὶ τὰ ἑξῆς. Ἀλλὰ καὶ τὸ ἑξῆς ἐπιλεγόμενον ἐν τῇ μετὰ χεῖρας προφητείᾳ ἐν τῷ, «Ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με, ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ», ἰσοδυναμεῖν ἔοικε τῷ ἐν κα' ψαλμῷ φάσκοντι λόγῳ· «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη.[4]» Πρόσχες γὰρ ἀκριβῶς ὅπως ἐν ἐκείνῳ μὲν ἐλέγετο, «Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη», ἐν δὲ τῷ προκειμένῳ, «Ἕως ἂν ἀπαγγελῶ τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.» Ἀλλὰ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ σαφῶς παρίστησιν ἡ μετὰ χεῖρας προφητεία λέγουσα ἐξ αὐτοῦ προσώπου· «Ὁ Θεός, τίς ὅμοιός σοι; ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ τῶν ἀναγκῶν τῆς γῆς πάλιν ἀνήγαγές με;» Εἴτ' οὖν ἐκ προσώπου τοῦ Σωτῆρος, εἴτε ἐκ προσώπου παντὸς δικαίου, τῶν προκειμένων ἀκουστέον. Περιέχει γὰρ διδασκαλίαν παιδεύουσαν ἡμᾶς μετὰ διαθέσεως ὑγιοῦς πάντα μὲν δεύτερα τίθεσθαι, ἐπὶ μόνον δὲ τὸν Κύριον τὰς ἑαυτῶν ἀναρτᾶν ἐλπίδας, ὥστε λέγειν αὐτῷ διαθέσει γνησίᾳ. «Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα.» Οἱ γὰρ ἐπὶ πλούτῳ καὶ πολλῇ περιουσίᾳ βίου, ἢ ἐπὶ ἀξιώμασι κοσμικοῖς, ἢ ἐπὶ ἀρχόντων οἰκειότητι καὶ προστασίᾳ, ἐφ' ἑτέρῳ τινὶ τῶν θνητῶν καὶ ἐπικήρων τὰς ἑαυτῶν ἀνατιθέντες ἐλπίδας, αἰσχύνην ὀφλήσουσιν. «Ἐπικα-

1. Ψαλμ. 30, 2, 3. 2. Ψαλμ. 69, 2-4. 3. Ψαλμ. 21, 10. 4. Ψαλμ. 21, 31.

τάρατος γὰρ ἄνθρωπος ὃς τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, καὶ στηρίζει σάρκα βραχίονος αὐτοῦ.[1]» Κέκραγέ τε βοῶν ὁ λόγος· «Μὴ πεποίθατε ἐπ' ἄρχοντας, μηδὲ ἐφ' υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία·[2]» καὶ πάλιν· «Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν.[3]» Καὶ ἐν ἑτέροις δὲ λέγειν διδασκόμεθα· «Κύριος ἐμοὶ βοηθός, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπὶ ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπὶ ἄρχοντας.[4]» Ὁ δὲ ἀγαθὰ ἑαυτῷ συνειδὼς εἴποι ἂν τῷ Κυρίῳ καὶ τό, «Ἐν δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.» Πολλῇ γὰρ πεποιθήσει τεθάρρηκεν, ὅτι, κατὰ τὸ δικαιότατον κρίνας ὁ Θεός, εὑρήσει αὐτὸν οὐ κατακρίσεως, οὐδὲ ἀποβολῆς ἄξιον, ἀλλὰ βοηθείας καὶ ἀντιλήψεως· διό φησιν· «Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με.» Συνειδήσει δὲ κεκαθαρμένῃ τὰς ἱκετηρίους φωνὰς πρὸς τὸν Θεὸν ἀναπέμπων, καὶ τό, «Κλῖνον πρὸς μὲ τὸ οὖς σου, καὶ σῶσόν με[5]», ἔλεγεν. Ἀλλὰ καὶ ὡς ἀναγκαίως τῷ Θεῷ παρεκάλει λέγων· «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με.» Προασπίζων γὰρ ὁ Θεὸς καὶ ὑπερμαχῶν, οὐκ ἂν περὶ μικροῦ τινος τοῦτ' ἐποίησε· μόνος δὲ ὁ τέλειος εἴποι ἂν τῷ Θεῷ· «Ὅτι στερέωμά μου καὶ καταφυγή μου σὺ εἶ.» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας· «Ὅτι πέτρα μου καὶ ὀχύρωμά μου», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος· «Ὅτι πέτρα μου καὶ καταφυγή μου σὺ εἶ.»—«Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, καὶ ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος. Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου.» Ὁ τέλειος ὥσπερ ἴδιον κτῆμα τὸν Θεὸν ἐπικαλεῖται λέγων· «Ὁ Θεός μου·» Ἐπειδήπερ ἐπαγγελία ἐστὶ τοῦ Θεοῦ περὶ τῶν ἀξίων λέγουσα· «Ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.[6]» Ὁ δὲ λέγων, «Ἐπὶ σοί, Κύριε, ἤλπισα», καὶ πάντα δεύτερα θέμενος, ἐπὶ μόνον δὲ τὸν Θεὸν ἑαυτὸν ἐπιρρίψας, εἰκότως εἴποι ἄν, «Ὁ Θεός μου.» Ῥυσθῆναι δὲ ἐκ χειρὸς ἁμαρτωλοῦ εὔχεται, ἵνα μὴ ταῖς πράξεσιν ὅμοιος γένηται τῷ ἁμαρτωλῷ, μηδὲ τῷ παρανομοῦντι· διὸ ἐπιλέγει· «Ἐκ χειρὸς ἁμαρτωλοῦ, καὶ ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος·» ἀλλὰ καὶ ὅπως μὴ ὑποχείριος γένηται τοῖς τοιούτοις, εὐλόγως δὲ τὸν Θεὸν ἑαυτοῦ ὀνομάζοι ἄν, οὐ μόνον διὰ τὰ ἔμπροσθεν λελεγμένα, ἀλλὰ καὶ διὰ τὰς ἑξῆς ἐπιλεγομένας αἰτίας. Σὺ γάρ μου, φησί, τυγχάνεις ὑπομονή, καὶ σύ μου ἐλπὶς ἐκ νεότητος. Οὐ γὰρ πώποτε διέλιπόν σε ὑπομένων, οὐδὲ γέγονέ τις καιρός, ἐν ᾧ οὐχί σε προεθέμην ἐμαυτοῦ ἐλπίδα. Ὧν χάριν ἱκετεύω ἐκ χειρὸς ἁμαρτωλῶν καὶ παρανομούντων ῥυσθῆναι.

Στίχ. ς', ζ'. «Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής.»

1. Ἱερ. 17, 5. 2. Ψαλμ. 145, 2. 3. Ψαλμ. 61, 11. 4. Ψαλμ. 117, 7-9. 5. Ψαλμ. 30, 3. 6. Ἰεζ. 37, 23.

Τὸ μὲν ἐκ νέας ἡλικίας ἐπὶ τὸν Θεὸν ἐλπίζειν λέγοιτ' ἂν καὶ περὶ τοῦ Δαυΐδ. Ἐπείπερ, νέος ὢν καὶ ποιμαίνων τὰ πρόβατα Ἰεσσαὶ τοῦ πατρός, πίστει καὶ ἐλπίδι τῇ εἰς τὸν Θεὸν καὶ λέουσι καὶ ἄρκτοις ἐπῄει τῆς τῶν προβάτων σωτηρίας ἕνεκα· τὸν καλὸν μιμούμενος ποιμένα, περὶ οὗ εἴρηται· «Ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ στόματος τοῦ λέοντος δύο σκέλη, ἢ λοβὸν ὠτίου.[1]» Ἀλλὰ καὶ παιδάριον ὢν ἤλαυνε τὸ πνεῦμα τὸ πονηρὸν ἀπὸ τοῦ Σαοὺλ δυνάμει πίστεως καὶ ἐλπίδος τῆς εἰς τὸν Θεόν. Ἐπειδὰν καὶ πᾶς ὁ ἐκ νέας ἡλικίας τῆς κατὰ Θεὸν ἐκλογῆς κατηξιωμένος, οἷος ἦν Τιμόθεος ἐκ παιδὸς ἅγια Γράμματα μεμαθηκὼς τό, «Ἡ ἐλπίς μου ἐκ νεότητός μου.» Τὸ δέ, «Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἐκ κοιλίας μητρός μου, σύ μου εἶ σκεπαστής», μόνῳ ἂν ἁρμόζοι τῷ Σωτῆρι ἡμῶν ἀθολώτῳ καὶ ἀσυγχύτῳ γενομένῳ καθ' ὃν ἐκυοφορεῖτο καιρόν. Οἱ μὲν γὰρ λοιποὶ πάντες ἄνθρωποι ἐν τῷ κυΐσκεσθαι, καὶ πρώτην λαμβάνειν σύστασιν τοῦ σώματος, φυτικὴν ὥσπερ ζωὴν ζῶντες, οὔτε τοῖς τοῦ σώματος αἰσθητηρίοις, οὔτε τῇ διανοίᾳ παρακολουθούσῃ κέχρηνται· ἀλλὰ καὶ τὸ ἡγεμονικὸν αὐτὸ καὶ τὸν νοῦν βεβαπτισμένοι, οὐδὲν σκώληκος διενέγκοιεν ἄν. Ὁ δὲ λέγων τῷ Θεῷ, «Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός», οὐ μόνον γνῶσιν ἐμφαίνει κεκτῆσθαι Θεοῦ, ἀλλὰ καὶ μεγίστην ἀρετὴν φιλοθέου δυνάμεως, δι' ἧς ἐπ' αὐτὸν τὸν Θεὸν ἐστηρίζετο. Καὶ τοιοῦτος ἦν κυϊσκόμενος καὶ ἐν γαστρὶ τῆς μητρὸς συλλαμβανόμενος. Τὸ δέ, «Ἐκ κοιλίας μητρός μου εἶ σκεπαστής», δύναται καὶ ἐπὶ πάντων ἁρμόζειν. Εἰ γὰρ μὴ Θεοῦ δύναμις ἐφρούρει καὶ ἐφύλαττε τὸ κατὰ γαστρὸς κυϊσκόμενον, οὐδ' ἂν συνέστη, οὐδ' ἂν μετέσχε ζωῆς, μήτε πνεῖν δυνάμενον, μήτε τοῖς λοιποῖς κεχρῆσθαι αἰσθητηρίοις. Πάλιν δὲ καὶ ἐν τούτῳ λέγων, «Σύ μου εἶ σκεπαστής», ἐνέφαινεν ἐξαίρετόν τι ἐσχηκέναι παρὰ τοὺς λοιποὺς τοὺς ἐν κοιλίᾳ μητρὸς συλληφθέντας. Τάχα γὰρ ἐπὶ μὲν τῆς τῶν λοιπῶν ἀνθρώπων γενέσεως ἄλλοι τινὲς ἐφεστήκασιν ἄγγελοι διακονούμενοι τῇ ἑκάστου εἰς τὸν βίον παρόδῳ· ἐπὶ δὲ τῆς γενέσεως τοῦ Σωτῆρος, αὐτὸς ἦν ὁ Πατὴρ σκεπαστὴς αὐτοῦ γιγνόμενος· διὸ καὶ ἐπὶ αὐτὸν ἐπεστηρίζετο. Οὕτως διαπαντὸς «ὕμνησιν» ἑαυτοῦ εἶχε τὸν Πατέρα. Διὸ ἐπιλέγει· «Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός.» Οὐ γὰρ διέλιπέ τινα καιρὸν ὑμνῶν τὸν Πατέρα, ἢ καὶ ὑμνούμενος ὑπ' αὐτοῦ ἐπὶ τῇ τοσαύτῃ ὑπακοῇ. Ἀλλ', ἡ μὲν ἐμή, φησίν, αἴνεσις, ἢ καὶ ὕμνησις ἐν σοὶ γέγονε διαπαντός. Οἱ δὲ πολλοὶ τῶν ἀνθρώπων, μηδὲν τούτων ἐπιστάμενοι, ὥσπερ τέρας ἐκτήσαντό με. Τεράστιον γοῦν τι πρᾶγμα τοῖς πολλοῖς ἐγενόμην, ὡς διάφορα περὶ ἐμοῦ δοξάζειν αὐτούς· καὶ τινας μὲν Θεὸν εἶναι ἄσαρκον καὶ ἀσώματον, δοκήσει μόνον ὀφθέντα ἐπὶ γῆς, ἡγεῖσθαι, τινὰς δὲ ψιλὸν ἄνθρωπον, ὡς μηδὲν πλέον παρὰ τοὺς λοιποὺς ἐσχηκότα· καὶ ἄλλους μὲν ἀραῖς καὶ δυσφημίαις ὑποβάλλειν,

1. Ἀμ. 3, 12.

ἑτέρους δὲ σέβειν καὶ προσκυνεῖν. Τέρας δὲ τοῖς πᾶσιν ἀληθῶς γέγονεν ὁ ἐμὸς θάνατος. Τὸ γὰρ σταυρὸν ὑπομεῖναι Θεὸν ὄντα, καὶ τοιαῦτα παθεῖν τὸν ἑτέροις ζωὴν κεχαρισμένον, τέρας ἦν ἀληθῶς. Διό φησιν· «Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς.» Ἀλλ' ἐν πᾶσι τούτοις σύ, φησί, «βοηθός» μου γέγονας «κραταιός·» οὐδὲ γὰρ ἄλλον ἐκτησάμην βοηθόν. Πάντα γὰρ ἦν δεύτερα καὶ ὑποβεβηκότα τὴν ἐμὴν δύναμιν· σὺ δὲ μόνος, ὃν ἐλπίδα ἐμαυτὸν ὑπεγραψάμην, «βοηθός» μου γέγονας «κραταιός.» Καὶ κατὰ τὸν Σύμμαχον δὲ ὁμοίως εἴρηται· «Σοὶ ἐπεστηρίχθην ἀπὸ γαστρός, ἀπὸ τῶν ἐνδοσθίων τῆς μητρός μου σὺ ἐπεῖδές με. Εἰς σὲ ἡ ἀναμονή μου ἐνδελεχῶς, ὡσεὶ τέρας ἐγενόμην τοῖς πολλοῖς· σὺ δὲ πεποίθησίς μου ἰσχυρά.»

Στίχ. η΄-ια΄. «Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.»

Ἤδη μὲν κατὰ τὸν παρελθόντα χρόνον ὕμνησίς μου, φησίν, ἐν σοὶ γέγονε διαπαντός· πλὴν ἀλλὰ καὶ περὶ τοῦ μέλλοντος δέομαι, ὡς ἂν μέχρις ἐσχάτης ὥρας τοῦ βίου τὸ στόμα μου τῆς σῆς αἰνέσεως πληρῷτο, καὶ οὕτως γε πληρῷτο, ὡς μηδένα χώραν σχολάζουσαν ἔχειν πρὸς τὸ ἄλλο τι φθέγγεσθαι, μηδὲ ἀνθρώποις ὁμιλεῖν· καὶ τοῦτό μοι ὑπάρξαι ἀξιῶ κατὰ πᾶσαν ἡμέραν, καὶ ἐν τῷ παντὶ χρόνῳ τῆς ἐμῆς ζωῆς μὴ ἀποστερηθῆναι καὶ ἀπορριφῆναι ταύτης τῆς χάριτος, κἂν ἐπὶ γήρατος οὐδῷ δέοι φθάσαι, μηδὲ μέχρις ἐσχάτης τελευτῆς ἄλλο τί με πράττειν ἢ πληροῦσθαι τὸ στόμα μου τῆς σῆς αἰνέσεως καὶ τῆς σῆς μεγαλοπρεπείας. Ἀντὶ δὲ τοῦ, «ὅλην τὴν ἡμέραν», ὁ Σύμμαχος, «κατὰ πᾶσαν ἡμέραν» ἐξέδωκε· «Πλησθείη τὸ στόμα σου αἴνους σου κατὰ πᾶσαν ἡμέραν, ἐν τῇ εὐπρεπείᾳ σου μὴ ἀποβάλῃς με καιρῷ γήρως.» Εἰ γὰρ δέοι καὶ μέχρι γήρως παρατεῖναι τὴν ἡλικίαν, τοῦτο μὲν οὐ παραιτητέον, ἱκετεύω δὲ μὴ ἀποστερηθῆναί ποτε τοῦ πεπληρῶσθαι τὸ στόμα μου τῆς σῆς αἰνέσεως καὶ τῆς σῆς μεγαλοπρεπείας. Εἰ δὲ καιρῷ τινι διὰ γῆρας ἐκλίποι ἡ ἰσχύς μου, μηδὲ τότε με σὺ ἐγκαταλίποις. Ταῦτα μὲν οὖν ἁρμόζοι ἂν λέγειν καὶ τῷ Δαυῒδ καὶ παντὶ ἀνθρώπῳ θεοφιλεῖ ἐν ταῖς πρὸς τὸν Θεὸν ἱκετηρίαις. Ἐπὶ δὲ τοῦ Σωτῆρος ἐπίστησον ὅπως εἴρηται τῷ Ἀποστόλῳ τό, «Ἐσταυρώθη δὲ ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ.[1]» Εἰ γὰρ καὶ ἐξ ἀσθενείας ἐσταυρώθη, ἀλλ' οὔτι γε νικηθεὶς ὑφ' ἑτέρων, αὐτὸς δὲ ἑαυτὸν ἀσθενῆ ποιήσας, καὶ ἑαυτὸν παραδοὺς ὑποχείριον ἀνθρώποις· ὃ δὴ διδάσκει φάσκων· «Οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν.[2]» Ὥσπερ οὖν ἐκένωσεν αὐτὸς ἑαυτὸν μορφὴν δούλου λαβών, οὕτως ἀσθενῆ ἑαυτὸν εἰργάσατο, ὅπως ἁλωτὸς γένηται ἀνθρώποις, καὶ ἵνα σταυρὸν ὑπομένῃ «ὑπήκοος γιγνόμενος» τῷ Πατρὶ «μέχρι θανάτου, καὶ θανάτου σταυροῦ.[3]»

1. Β΄ Κορ. 13, 4. 2. Ἰω. 10, 18. 3. Φιλιπ. 2, 8.

Διό φησιν· «Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.» Εἶτα ἐπειδὴ τοῦ πάθους ἑαυτοῦ ἐμνημόνευσε καὶ τῶν τὸ πάθος ἐργασαμένων ἀκολούθως ποιεῖται μνήμην λέγων· «Ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοί, καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου·» ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ οἱ ἐπιτηροῦντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ λέγοντες· Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος.» Ταῦτα γὰρ ἔλεγον οἱ ἀρχιερεῖς καὶ οἱ σὺν αὐτοῖς κατὰ τὸν καιρὸν τοῦ πάθους, κινοῦντες αὐτῶν τὰς κεφαλὰς καὶ λέγοντες· «Ὁ καταλύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτόν, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεύς ἐστι τοῦ Ἰσραήλ, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ.[1]»

Στίχ. ιβ΄-ις΄. «Ὁ Θεός, μὴ μακρύνῃς ἀπ᾽ ἐμοῦ· ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες.»

Οἱ μὲν προλεχθέντες ἐχθροί μου ἔλεγον· «Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν·» ἐγὼ δὲ ἀντιβολῶ καὶ δέομαί σε τὸν ἐμαυτοῦ Θεὸν παρεῖναί μοι διαπαντός, μηδὲ μακράν μου ἵστασθαι, προσέχειν δὲ εἰς τὴν βοήθειάν μου. Σὲ γὰρ βοηθὸν κτώμενος, οἶδ᾽ ὅτι ὄψομαι καταισχυνομένους πάντας μου τοὺς ἐχθρούς. Τὸ δέ, «αἰσχυνθήτωσαν», συνήθως τῇ θείᾳ Γραφῇ καὶ νῦν ἀντὶ τοῦ, «αἰσχυνθήσονται» εἴρηται· καὶ τό, «ἐκλειπέτωσαν», ἀντὶ τοῦ, «ἐκλείψουσιν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου·» ἢ κατὰ τὸν Σύμμαχον, «οἱ ἀντικείμενοι τῇ ψυχῇ μου.» Ὅπως δὲ ἐκλελοίπασιν αἰσχύνην καταχεάμενοι οἱ τὸν θάνατον αὐτῷ τυρεύσαντες, οὐ μακρῶν ἡμῖν δεῖ λόγων· ὁπότε ἐξ ἐκείνου ἐκλέλοιπε πᾶς ἀρχιερεὺς παρ᾽ αὐτοῖς, Φαρισαίων δὲ οὐδὲ ὄνομα ἔτι λείπεται, οὐδὲ μνήμη τῶν παρ᾽ αὐτοῖς ἀξιωμάτων. Ἐξέλιπον γὰρ ἄρχοντες ἐξ Ἰούδα καὶ ἡγούμενοι ἐκ τῶν μηρῶν αὐτοῦ, τῆς προσδοκίας τῶν ἐθνῶν ἐπιστάσης κατὰ τὴν τοῦτο θεσπίζουσαν προφητείαν. Καὶ οὔτε βασιλεῖς, οὔτε ἡγεμόνες, οὔτε τινὲς παρ᾽ αὐτοῖς δυνάσται εἰσίν, οὐδέ τι τάγμα τῶν πάλαι παρ᾽ αὐτοῖς ὄντων περιλέλειπται· καταισχυνθέντες δὲ πάντες ἐκλελοίπασιν οἱ διαβάλλοντες αὐτοῦ τὴν ψυχήν. Ἐν ὁποίᾳ δὲ αἰσχύνῃ τυγχάνουσιν εἰσέτι καὶ νῦν οἱ τῶν Ἰουδαίων προεστάναι νομιζόμενοι, ὁρῶντες ἑαυτοὺς μὲν διὰ πάσης Γραφῆς ἐπὶ εἰδωλολατρείαις διαβεβλημένους, πάντα δὲ τὰ καθ᾽ ὅλης τῆς οἰκουμένης ἔθνη διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας τῆς πατροπαραδότου πλάνης μεταβεβληκότα· ἐν οἷς ἤδη τυγχάνουσιν, ἐντροπῇ ὁρῶντες ἑαυτοὺς μὲν τῆς βασιλικῆς αὐτῶν μητροπόλεως καὶ ἀποβλήτους, Ἕλληνας δὲ ἄνδρας ἀλλογενεῖς καὶ ἀλλοφύλους τὸν τόπον αὐτῶν οἰκοῦντας, κατὰ πάσας τε ἐπαρχίας καὶ χώρας, καὶ πόλεις τοὺς ἐξ ἐθνῶν τὰς περὶ τοῦ Σωτῆρος προφητικὰς φωνὰς κηρύττοντας; Αἰσχύνη δὲ ἀληθῶς καὶ ἐντροπὴ κατείληφεν αὐτῶν τὰς ψυχάς, τὸν χθὲς δι᾽ αὐτῶν

1. Ματθ. 27, 40.

σταυρῷ παραδοθέντα καθ' ὅλης τῆς οἰκουμένης προσκυνούμενον καὶ θεολογούμενον ὁρῶντας· ἃ δὴ ἐπληροῦτο ἀκολούθως τῇ μετὰ χεῖρας προρρήσει λεγούσῃ· «Περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι.» Καὶ οὗτοι μὲν τάδε πείσονται· «Ἐγὼ δέ», ὑπ' αὐτῶν τὰ τοσαῦτα πεπονθώς, «διαπαντός», φησίν, «ἐλπιῶ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου.» Ἐπεὶ δὲ κατὰ πάντας τοὺς ἑρμηνεύσαντας τό, «προσθήσω», λέλεκται ὅ τε Ἀκύλας φησί, «Καὶ προσθήσω ἐπὶ πάσας ὑμνήσεις·» καὶ ὁ Σύμμαχος, «καὶ προσθήσω τοῖς ὕμνοις·» ὅρα εἰ μὴ προσθήκην ἐποιήσατο τοῖς τοῦ Πατρὸς ὕμνοις, τὴν Καινὴν Διαθήκην πρὸς τῇ Παλαιᾷ παραδούς. Οὐ γὰρ ἀνεῖλε τὰ πρῶτα, εἰσαγαγὼν τὰ δεύτερα, προσθήκην δὲ ἐποιήσατο· καὶ τοῦτό ἐστιν εὑρεῖν ἐν ταῖς αὐτοῦ διδασκαλίαις, δι' ὧν φησιν· «Ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ἐγὼ δὲ λέγω, μηδὲ ὀργίζεσθαι. Ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω, μηδὲ ἐπιθυμεῖν·[1]» καὶ ὅσα ἄλλα τοιαῦτα προσθήκην ἔχοντα διὰ τῆς πνευματικῆς θεωρίας τε καὶ ἑρμηνείας τοῦ νόμου ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ παραδέδοται. Ἀλλὰ καὶ «τὸ στόμα μου», φησίν, «ἀναγγελεῖ τὴν δικαιοσύνην σου.» Τὸ γὰρ Εὐαγγέλιον δικαιοσύνην ἐμφαίνει Θεοῦ, οὐκ Ἰουδαίοις μόνοις ἀφωρισμένον ὥσπερ ὁ διὰ Μωϋσέως νόμος. Διό φησιν ὁ Ἀπόστολος· «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον. Δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται.[2]» Διὸ ἐνταῦθα λέλεκται· «Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου·» ἢ κατὰ τὸν Σύμμαχον, «κατὰ πᾶσαν ἡμέραν τὴν σωτηρίαν σου.» Καὶ τοῦτο δέ ἐστι πληρούμενον θεωρεῖν καθ' ὅλης τῆς οἰκουμένης· ἐν ᾗ τὸ στόμα τοῦ Σωτῆρος ἡμῶν διὰ τῶν θείων Γραφῶν πᾶσιν ἀνθρώποις ἐφ' ἑκάστης ἡμέρας τὴν δι' αὐτοῦ προξενηθεῖσαν ἅπασι σωτηρίαν κηρύττει. Ἐπιλέγει δὲ τούτοις, «Ὅτι οὐκ ἔγνων γραμματείας.» Τὰς κλεῖς εἰληφότες τῆς βασιλείας, καὶ μήτε αὐτοὶ εἰσερχόμενοι μήτε ἑτέροις συγχωροῦντες, τὰς γραμματείας κατεῖχον. Ἐγὼ δέ, φησί, μὴ τῷ Μωϋσέως συγγράμματι προσέχων, μηδὲ τὰς τοῦ νόμου σωματικὰς γραμματείας τοῖς ἐμαυτοῦ παραδοὺς μαθηταῖς, οὐκ ἔγνων γραμματείας. Τί δὲ ἔγνως; Ἑξῆς διασαφεῖ λέγων· «Εἰσελεύσομαι εἰς δυναστείας Κυρίου Κυρίου, καὶ μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου.» Αἱ μὲν γὰρ γραμματεῖαι Ἰουδαίοις μόνοις ἥρμοττον, τρὶς τοῦ ἐνιαυτοῦ παρακελευομένοις ἀπαντᾶν εἰς τὰ Ἱεροσόλυμα, πολλά τε ἄλλα δυσχερῆ καὶ οὐκ ἀναγκαῖα περιεῖχον. Ἐγὼ δὲ ἐν δυναστείᾳ Κυρίου Κυρίου, εἰς τὰς ἐμαυτοῦ Ἐκκλησίας εἰσελεύσομαι, καὶ μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. Δικαιοσύνη γὰρ τοῦ Πατρὸς ἦν τὸ πάντας ἀνθρώπους Ἕλληνας ἅμα καὶ βαρβάρους τῆς αὐτοῦ καταξιωθῆναι

1. Ματθ. 5, 21, 27, 28. 2. Ῥωμ. 1, 16, 17.

γνώσεως, καὶ τὸ ἐν παντὶ τόπῳ, ἀλλὰ μηκέτι ἐν ἑνὶ ἐπιτρέψαι λατρεύειν αὐτῷ· ὥστε ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δοξάζεσθαι αὐτοῦ τὸ ὄνομα ἐν τοῖς ἔθνεσιν.[1]

Στίχ. ιζʹ. «Ὁ Θεός, ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀναγγελῶ τὰ θαυμάσιά σου.»

Μόνος ὁ Σωτὴρ τὸν Πατέρα διδάσκαλον ἐπιγράφεται· διόπερ οἱ ἐν τῇ πατρίδι αὐτοῦ ἔλεγον· «Πόθεν τούτῳ πᾶσα ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός;[2]» Ἤδεσαν γὰρ ἀκριβῶς μὴ διδασκάλοις ἀνθρώποις προσεσχηκότα αὐτόν. Ἐπεὶ τοίνυν, μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, τὴν παιδικὴν διῆλθεν ἡλικίαν, καὶ τῆς νεότητος τὴν ὥραν ὁμοίως ἡμῖν ὑπέμεινεν· οὔτε δὲ διατριβαῖς προσέσχεν, οὔτε διδασκάλοις κατὰ τοῦτον τὸν χρόνον, δυνάμει δὲ θεϊκῇ προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις· εἰκότως ἐνταῦθά φησιν· «Ὁ Θεός, ἐδίδαξάς με ἐκ νεότητός μου, καὶ μέχρι τοῦ νῦν ἀναγγελῶ τὰ θαυμάσιά σου·» καὶ τοῖς ἐμοῖς φυλαχθείη μαθηταῖς μέχρι συντελείας τοῦ αἰῶνος· καὶ ὡς ἄν τις εἴποι, μέχρι γήρως καὶ τῆς εἰς ἄκρον τελειώσεως, σὲ πάλιν τὸν Θεὸν ἱκετεύω μή με ἐγκαταλιπεῖν, συνεῖναι δέ μοι καὶ τὰ θαυμάσιά σου ἐνεργεῖν δι' ἐμοῦ, «ἕως ἀναγγείλω τὸν βραχίονά σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ.» Ἡ γὰρ νῦν, φησί, παροῦσα γενεὰ σκολιὰ τυγχάνει καὶ διεστραμμένη, καὶ γενεὰ πονηρὰ καὶ μοιχαλίς. Διὸ τῇ γενεᾷ τῇ ἐρχομένῃ ἀπαγγελῶ «τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου, ὁ Θεός, ἕως τῶν ὑψίστων, ἃ τε ἐποίησας μεγαλεῖα.» Σὺ αὐτὸς ὁ Πατήρ, δι' ἐμοῦ ταῦτα πᾶσι τοῖς μετὰ ταῦτα γενησομένοις ἀνθρώποις καὶ τῇ γενεᾷ τῇ ἐρχομένῃ ἀπαγγελεῖς, καὶ κηρυχθήσεται ἡ δικαιοσύνη σου ἕως τῶν ὑψίστων. Σῳζομένων γὰρ τῶν ἐπὶ γῆς, χαρὰ ἔσται ἐν οὐρανοῖς, συγχαιρόντων τῶν ἐν τοῖς ὑψίστοις οἰκούντων ἀγγέλων τῇ τῶν ἀνθρώπων σωτηρίᾳ. Γῆρας δὲ καὶ πρεσβεία μὴ ὄκνει λέγειν τὴν τελειότητα τῶν αὐτοῦ μαθητῶν καὶ τῆς Ἐκκλησίας αὐτοῦ. Εἰ γὰρ σῶμα αὐτοῦ ἡ Ἐκκλησία τυγχάνει, ὡς ἐδίδαξεν ὁ Ἀπόστολος εἰπών· «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους·[3]» μέρος τῆς Ἐκκλησίας καὶ πρεσβεῖον αὐτῆς λέγοιτ' ἂν εἰκότως ἡ κατ' ἀρετὴν τὴν ἐν τῷ παρόντι βίῳ τελείωσις, μεθ' ἥν, ὥσπερ ἀποδυσαμένη τὸν ἐπὶ γῆς θνητὸν βίον, ἀνακαινισθήσεται τῆς οὐρανίου διατριβῆς καταξιωθησομένη, συναπτομένη τε τῇ Ἐκκλησίᾳ τῶν πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς. Οὕτω νοήσεις καὶ τὸ ἀνωτέρω λελεγμένον ἐν τῷ, «Μὴ ἀπορρίψῃς με εἰς καιρὸν γήρως, ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου μὴ ἐγκαταλίπῃς με.» Κατὰ γὰρ ἑτέραν ἐκδοχὴν ὑπερεύχεται τῆς Ἐκκλησίας αὐτοῦ, ἵνα ἐν καιρῷ τῆς κατὰ γῆν μακρότητος μὴ ἀπορριφθείη· εἰ δὲ καὶ τότε ἐκλείπει ἡ ἰσχὺς αὐτῆς, μηδὲ τότε ἐγκαταλειφθείη. Συμβαίνει

1. Πρβλ. Μαλ. 1,11. 2. Ματθ. 13, 54-55. 3. Α' Κορ. 12, 27.

γὰρ πολλάκις ἐκλείπειν κατὰ τοὺς καιροὺς τῶν διωγμῶν, ἐπειδὰν οἱ πολλοὶ τοῦ σώματος τῆς Ἐκκλησίας δι' ἀσθένειαν πίστεως ἐξομνύονται τὴν πίστιν. Καὶ μήποτε ταῦτα ἀναπέμπεται ἐπὶ τὸν καιρὸν τῆς ἀποστασίας, περὶ οὗ καιροῦ ὁ Ἀπόστολος ἐδίδασκε λέγων· «Ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον, καὶ ἀποκαλυφθῇ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ Υἱὸς τῆς ἀπωλείας.[1]» Τοῦτον δὲ τὸν καιρὸν ὁ Σωτὴρ ἐδήλου λέγων· «Ἆρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;[2]» Καὶ πάλιν· «Διὰ δὲ τὸ πληθυνθῆναι τὴν ἀνομίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν.[3]» Τότε γὰρ ἔσται γηραλέον καὶ ἀσθενὲς τὸ σῶμα τῆς Ἐκκλησίας. Ἀλλ' ἵνα μηδὲ τότε ἔρημος καταλειφθείη ὁ λαὸς αὐτοῦ, ἀναγκαίως τὰς προκειμένας ἀναπέμπει φωνάς· «Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακά;» καὶ τὰ ἑξῆς. Τοὺς ἀκριβεῖς λόγους καθ' οὓς ὁ Θεὸς τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, μὴ γνόντα τε αὐτὸν ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, οὐδεὶς δύναται διελθεῖν ἢ μόνος αὐτός. «Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;[4]» Οὐδ' ἂν ἐπιβάλοι τις τῇ τοῦ Θεοῦ κρίσει, οὐδ' ἂν ἐξεύροι τοὺς λογισμούς, δι' οὓς ἐνεδείξατο τῷ Μονογενεῖ θλίψεις πολλὰς καὶ κακά· οὐ μὲν εἴασεν αὐτὸν ἐν αὐταῖς· ἀλλ' ἐπιστρέψας ἐζωοποίησεν αὐτὸν καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγεν αὐτόν. Σφόδρα δὲ ἀκριβῶς εἴρηται τό, «Ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακά.» Ἰδὼν γὰρ τὰς θλίψεις καὶ τὰ ὀνομαζόμενα κακά, οὐχ ἑάλω ὑπ' αὐτῶν, οὐδὲ ἡττήθη· κρείττων δὲ πάντων γενόμενος, θεωρὸς ἦν αὐτῶν· ὡς πάντων μᾶλλον εἰπεῖν ἂν τό, «Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι.[5]» Ταῦτα γὰρ Παῦλος καὶ οἱ παραπλήσιοι ὠφελημένοι τὸν διδάσκαλον ἔλεγον. Ἀβύσσους δὲ γῆς ἐνταῦθα τὴν τῶν καταχθονίων γῆν χώραν ὠνόμαζεν· ὃ δὴ σαφηνίζει ὁ Ἀπόστολος λέγων· «Μὴ εἴπῃς, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον, τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν;[6]» Καὶ ἐν τῷ Ἰὼβ δὲ ὁ χρηματίζων αὐτῷ Κύριος ἔλεγε· «Ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας. Ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου· πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν.[7]» Ὁ δὲ εἰπὼν ἐνταῦθα, «Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με», σαφῶς ἐδίδαξεν ἑαυτὸν κατεληλυθέναι εἰς τὰς ἀβύσσους τῆς γῆς, καὶ πάλιν ἀνεληλυθέναι. Οὐκ οἶδα δὲ εἴ τις δύναται ἑτέρως ἐκλαβεῖν ταῦτα ἢ ἐπὶ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν ἀναφέρων τὴν προφητείαν. Ὁ δ' αὐτὸς ἐπιλέγει· «Ἐπλεόνασας τὴν μεγαλοσύνην μου, καὶ ἐπιστρέψας παρεκάλεσάς με.» Πῶς δὲ ἐπλεόνασεν ὁ Πατὴρ τὴν μεγαλοσύνην τοῦ Μονογενοῦς αὐτοῦ, ἢ διὰ τοῦ δεῖξαι αὐτῷ

1. Β' Θεσσ. 2, 3. 2. Λουκ. 18, 8. 3. Ματθ. 24, 12. 4. Ῥωμ. 11, 34. 5. Β' Κορ. 4, 8. 6. Ῥωμ. 10, 7. 7. Ἰὼβ 38, 16, 17.

θλίψεις πολλὰς καὶ κακά; Ὥσπερ γάρ τις ἀγωνοθέτης, πολλοῖς παραβάλλων τὸν ἑαυτοῦ ἀθλητήν, μειζόνως αὐτοῦ τὴν ἀνδρείαν ἐπιδείκνυσι, νικητὴν αὐτὸν ἁπάντων ἀνακηρύττων, τὸν αὐτὸν τρόπον καὶ ὁ Πατήρ, τὴν μεγαλοσύνην τοῦ Υἱοῦ τοῖς πᾶσι φανερὰν ἐπιδεικνύς, θλίψεις πολλὰς καὶ κακὰ περιέβαλλεν αὐτῷ, ὡς ἂν τὰ κατὰ πάντων ἀράμενος νικητήρια, παρὰ τοῖς πᾶσι κηρυχθείη. Διό φησιν· «Ἐπλεόνασας τὴν μεγαλοσύνην μου.» Ἀλλὰ μετὰ ταῦτα πάντα, φησίν, «ἐπιστρέψας παρεκάλεσάς με.» Πῶς δὲ παρεκάλεσεν αὐτόν, προεδίδαξεν ἀνωτέρω εἰπών· «Καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με.» Αὕτη γὰρ ἦν ἡ παράκλησις, ἣν καὶ ὁ Ἀπόστολος παρέστησεν εἰπών· «Διὸ καὶ ὁ Θεὸς ὑπερύψωσεν αὐτόν, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.[1]»

Στίχ. κβ′-κδ′. «Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου.»

Σὺ μὲν ἐμοὶ ταῦτα, φησίν, ὦ Πάτερ, παρέσχου· μετὰ γὰρ τὰς πολλὰς θλίψεις καὶ τὰ λελεγμένα κακὰ «ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με», καὶ παρεκάλεσάς με, πλεονάσας τὴν μεγαλοσύνην μου· κἀγὼ δέ, ἀμειβόμενος τὰς εἰς ἐμέ σου εὐεργεσίας, «ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ· τί γὰρ ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;[2]» Ἀλλὰ γάρ τά σοι πρέποντα σκεύη καταρτιζόμενος, ὄργανά τέ σου ἄξια ψαλμῳδίας κατασκευάσας, δι' αὐτῶν τὴν ἀλήθειάν σου ψαλῶ σοι, καὶ τοιαύτας σοι κιθάρας ἀναστήσω, δι' ὧν τὰ χείλη μου ἀγαλλιάσεται, ἀλλὰ καὶ «ἡ ψυχή μου, ἣν ἐλυτρώσω», ἀναβιβάσας αὐτὴν ἐκ τῶν ἀβύσσων τῆς γῆς, καὶ ζωοποιήσας αὐτὴν μεθ' ὃν ὑπέμεινε θάνατον. Σκεύη δὲ καὶ ὄργανα τῷ Θεῷ κεχαρισμένα, δι' ὧν εἰσέτι καὶ νῦν ὁ Χριστὸς τοῦ Θεοῦ καθ' ὅλης τῆς οἰκουμένης ψαλμῳδίας ἀναπέμπει καὶ ὕμνους καὶ αἴνους τῷ Πατρί, τίνας ἂν εἴποις ἢ τοὺς καθ' ἑκάστην Ἐκκλησίαν λαούς; Ὧν τὰς ψυχὰς συντείνας ὁ τοῦ Θεοῦ Λόγος, συμφωνίᾳ τε καὶ ἁρμονίᾳ μιᾷ συνδησάμενος τῷ Πατρί, προσφιλῆ καὶ ἡδεῖαν ἀναπέμπει μελῳδίαν. Εἰ γοῦν τις ὡς ἐν παραθέσει σύγκρισιν ποιήσοιτο τῶν πάλαι παρὰ Ἰουδαίοις σωματικῶν ὀργάνων ἐξ ἀψύχων χορδῶν κατεσκευασμένων, φωνήν τε ἄναρθρον ἐξηχούντων, καὶ τῶν ἐν τῇ Χριστοῦ Ἐκκλησίᾳ ἐκ λογικῶν ψυχῶν ἀναπεμπομένων ὕμνων τῷ Θεῷ, οὐδὲν ἂν εὕροι ὅμοιον. Παντὸς γὰρ κρείττονα σωματικοῦ ψαλτηρίου τυγχάνει τὰ πλήθη τὰ καθ' ὅλης τῆς οἰκουμένης συμφωνίᾳ μιᾷ καὶ ἁρμονίᾳ τὸν ἐπὶ πάντων Θεὸν ὑμνοῦντα, δι' ὧν ὁ Υἱὸς ψάλλειν ὁμολογεῖ φάσκων· «Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός.» Οὐκέτι

1. Φιλιπ. 2, 9. 2. Ψαλμ. 115, 3.

γὰρ τύπους, οὐδὲ σκιὰς καὶ σύμβολα, οἷα ἦν τὰ παρὰ Μωϋσεῖ, τὴν δὲ ἀλήθειαν τὴν σὴν παραστήσω τοῖς ἀνθρώποις, καὶ «ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ·» ἢ κατὰ τὸν Ἀκύλαν, «Μελῳδήσω σοι ἐν κιθάρᾳ, ἅγιε Ἰσραήλ.» Ἀλλὰ καὶ «ἀγαλλιάσεται τὰ χείλη μου, ὅταν ψαλῶ σοι·» ἢ κατὰ τὸν Σύμμαχον, «Εὐφημήσει τὰ χείλη μου, ὅταν μελῳδήσω σοι, καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω. Ἔτι δὲ καὶ ἡ γλῶσσά μου μελετήσει ὅλην τὴν ἡμέραν τὴν δικαιοσύνην σου.» Χείλη δὲ καὶ γλῶσσαν αὐτοῦ μελετῶσαν τὴν δικαιοσύνην τοῦ Πατρὸς οὐκ ἂν ἁμάρτοις εἰπὼν τοὺς ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ ἀσκήσει θείων λόγων ἑαυτοὺς ἀνατεθεικότας. Καὶ ταῦτα πάντα, φησί, ποιήσω, «ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι·» ἢ κατὰ τὸν Σύμμαχον, «Ὅτι κατησχύνθησαν, ἢ ὅτι ἀπωρύγησαν οἱ ζητοῦντες τὴν κάκωσίν μου·» ἢ κατὰ τὸν Ἀκύλαν, «Ὅτι κατησχύνθησαν οἱ ζητοῦντες κακίαν μου.» Πάρεστι δὲ καὶ ταῦτα ἔργῳ πληρούμενα θεωρεῖν· ἁπανταχοῦ γὰρ γῆς τῶν Ἐκκλησιῶν τοῦ Σωτῆρος τὴν δικαιοσύνην τοῦ Θεοῦ διεξερχομένων, καὶ αὐτοῦ δὲ σκεύη ἐκλογῆς, οἷα προλέλεκται, καὶ ὄργανα λογικὰ τῷ Πατρὶ καταρτιζομένου, ἀνυμνοῦντός τε ἀεὶ δι' αὐτῶν τὸν ἐπὶ πάντων Θεόν, αἰσχύνην περιβάλλονται οἱ ἐχθροὶ αὐτοῦ· ἐνετράπησάν τε καὶ ἐντρέπονται οἱ ζητοῦντες αὐτῷ κακά. Οὗτοι δέ εἰσιν οἱ θηρεύοντες μὲν πάσας προφάσεις, ὕβρεις τε καὶ διαβολάς, καὶ βλασφημίας κατ' αὐτοῦ περινοοῦντες, μηδεμίαν δὲ εὑρίσκοντες ὑπόθεσιν διαβολῆς, μήτε κατ' αὐτοῦ, μήτε τῆς Ἐκκλησίας αὐτοῦ. Διὸ καταχέονται αἰσχύνην καὶ ἐντρέπονται πρὸς τὸ μηκέτι μηδὲν τολμᾶν διαβολῆς ἄξιον ἐπικαλεῖν. Καὶ ταῦτα πάντα ἔργῳ πληροῦται συμφώνως τῇ φασκούσῃ διὰ τῶν προκειμένων προφητείᾳ· «Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι.» Τότε γάρ, φησίν, ὅταν οἱ ἐχθροὶ καταισχύνωνται, ἐγὼ ψαλῶ σοι, καὶ ἐξομολογήσομαί σοι τῷ ἐμαυτοῦ Πατρί. Ἔτι δὲ καὶ «ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου.»

## ΕΙΣ ΣΟΛΟΜΩΝΤΑ ΟΑ'.

Στίχ. α', β'. «Ὁ Θεός, τὸ κρῖμα σου τῷ βασιλεῖ δός.»

Οἱ λοιποὶ τοῦ «Σολομῶντος» ἡρμήνευσαν. Ἔστι δὲ καὶ ἕτερος τοῦ αὐτοῦ ἐν ταῖς ᾠδαῖς τῶν ἀναβαθμῶν, οὗ ἡ ἀρχή· «Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν.[1]» Ἐν οἷς ἔοικεν ὁ Σολομὼν ἐπὶ τῇ κατασκευῇ τοῦ οἴκου, ὃν ἤγειρεν ἐν Ἱεροσολύμοις, πρῶτος αὐτὸς οἰκοδομήσας τὸ αὐτόθι ἱερόν, τὴν ᾠδὴν πεποιῆσθαι, διδάσκουσαν μόνα τὰ τοῦ Θεοῦ οἰκοδομήματα διαιωνίζειν· τὰ γὰρ ἀνθρώπινα καιρῷ συνίστασθαι· ὃ δὴ καὶ ἀπέβη ἐπὶ τῆς αὐτοῦ

1. Ψαλμ. 126, 1.

οἰκοδομῆς· οὐκ εἰς μακρὸν γοῦν ὁ ὑπ' αὐτοῦ κατασκευασθεὶς νεὼς ὑπὸ Βαβυλωνίων κατελύθη. Ἡ δὲ μετὰ χεῖρας προφητεία εἴτε εἰς αὐτὸν λέλεκται τὸν Σολομῶντα, εἴτε αὐτοῦ ἐστι κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς· οἱ λόγοι ἕτερόν τινα παριστῶσι προφητευόμενον. Διὸ οὔτε ψαλμός, οὔτε ᾠδή, οὔτε ὕμνος, οὔτε τι τούτοις παραπλήσιον ἐπιγέγραπται. Ἀλλ' ἔστι προφητεία θεσπίζουσα ἀναφανήσεσθαί τινα ἐν ἀνθρώποις πενήτων καὶ πτωχῶν σωτῆρα, καὶ τοῦτον ἄνωθέν ποθεν ἠρέμα καταβήσεσθαι καὶ ἀψοφητί· «Καταβήσεται γὰρ ὡς ὑετὸς ἐπὶ πόκον.» Δικαιοσύνην τε λοιπὸν ἐμπολιτεύεσθαι τῷ γένει τῶν ἀνθρώπων ἐπὶ τῇ αὐτοῦ παρουσίᾳ. Ἐπικρατήσειν τε αὐτὸν οὐ τῆς Ἰουδαίας μόνης, οὐδὲ δυεῖν ἢ τριῶν ἐθνῶν, ἀλλὰ πάντων τῶν καθ' ὅλης τῆς οἰκουμένης, πάντα τε τὰ ἔθνη ὑποταγήσεσθαι αὐτῷ, ὀνομαστόν τε αὐτὸν ἔσεσθαι παρὰ τοῖς πᾶσιν, οὐ κατά τινα χρόνον βραχύν, ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα. Καὶ τί γὰρ ἄλλ' ἢ τοιοῦτόν τινα ἔσεσθαι τὸν θεσπιζόμενον ὁ μετὰ χεῖρας ὑπογράφει λόγος, ὁποῖον οὐδεὶς πώποτε οὔτε παρὰ τῷ Ἰουδαίων ἔθνει, οὔτε παρ' ἑτέροις γεγονέναι μνημονεύει; Οὔτε γὰρ αὐτὸς Σολομών, οὔτε Δαυΐδ, οὔτε τις τῶν μετ' αὐτοὺς τοιοῦτος ἐφάνη, ὡς ἁρμόσαι τινὶ αὐτῶν τὰ ὑπὸ τῆς προφητείας σημαινόμενα. Ὅρα τοίνυν εἰ μὴ ταῖς προτεταγμέναις διὰ τῶν ἔμπροσθεν περὶ τοῦ πάθους τοῦ Σωτῆρος προρρήσεσιν ἀκολούθως συνῆπται ἡ μετὰ χεῖρας τὴν βασιλείαν αὐτοῦ διαγράφουσα. Ἐχρῆν γὰρ ἡμᾶς καὶ τὰ περὶ ταύτης παιδευθῆναι. Πολλῶν δὲ προφητειῶν τὸν ἐκ Δαυΐδ προφητευόμενον Χριστὸν ἀνυμνουσῶν· ἐπειδὴ εἰκὸς ἦν ὑπολαβεῖν τινας τὸν Σολομῶντα δηλοῦσθαι δι' αὐτῶν· μόνος γὰρ οὗτος τῶν υἱῶν Δαυΐδ ἐπιδοξότατα βασιλεύσας, καὶ τὸν νεὼν ἤγειρε τῷ Θεῷ, καὶ σοφίᾳ διαπρέψαι μεμαρτύρηται· ἀναγκαίως ἡ προκειμένη προφητεία «εἰς Σολομῶντα» ἐπιγέγραπται· ἢ αὐτοῦ τοῦ Σολομῶντος εἶναι λέλεκται· ἵνα μηκέτι αὐτὸς νομίζηται ὁ προσδοκώμενος εἶναι ἐκ Δαυΐδ· ἐξ αὐτοῦ δὲ Σολομῶντος ἐλπίζεται ἕτερος ὁ καὶ αὐτῷ ἐπηγγελμένος. Ἐὰν μὲν οὖν ἐκδεξώμεθα εἰς αὐτὸν εἰρῆσθαι τὸν Σολομῶντα τὸν ψαλμὸν κατὰ τὴν τῶν Ἑβδομήκοντα προγραφήν, ἐροῦμεν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον, περὶ αὐτοῦ τὴν εὐχὴν ἀναπέμψαν τῷ Θεῷ διὰ τοῦ πρώτου στίχου, δι' οὗ εἴρηται· «Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός», τουτέστι τῷ Σολομῶντι, τὸν ἑξῆς λόγον περὶ τοῦ ἐξ αὐτοῦ γενησομένου ποιεῖται· διὸ ἐπιλέγει· «Καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως·» δηλαδὴ τῷ μέλλοντι προελεύσεσθαι ἐκ σπέρματος αὐτοῦ Ἰησοῦ. Ἢ τῶν προκειμένων ὁ νοῦς τοιοῦτος· Ὅρος παρὰ τῆς σῆς θεότητος ἐξενήνεκται, δόγμα τε καὶ κρῖμα βασιλικὸν ἐκ τοῦ Πνεύματος διατέτακται, ὡς ἂν ἐκ τῆς Σολομῶντος διαδοχῆς ὁ σοῦ κόσμου Σωτὴρ κατὰ σάρκα γεννηθείη. Τοῦτο οὖν τὸ κρῖμα σου, ὁ Θεός, ἤδη ποτὲ δώρησαι τῷ βασιλεῖ, δηλαδὴ τῷ Σολομῶντι, ὡς ἂν δι' ἔργων χωρήσειαν οἱ λόγοι· καὶ αὐτῷ μὲν τῷ βασιλεῖ τὸ δηλωθὲν κρῖμα παράσχου, τὴν δὲ δικαιοσύνην σου τῷ

υἱῷ τοῦ βασιλέως, τῷ μέλλοντι ἐκ σπέρματος αὐτοῦ προελεύσεσθαι· ἵν' ὁ γεννώμενος ὁ ἐκ πνεύματος καὶ διάδοχος αὐτοῦ, ὑποδεξάμενος τὴν σὴν δικαιοσύνην, «διακρίνῃ τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.» Καὶ ταῦτα μέν, εἴπερ εἰς αὐτοῦ προσώπου τοῦ Σολομῶντος ἀναφέροιτο ἡ προγραφὴ κατὰ τοὺς Ἑβδομήκοντα φέρουσα, «εἰς Σολομῶντα·» εἰ δὲ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς τοῦ Σολομῶντος εἶναι λέγοιτο ἡ προφητεία, φήσομεν, ὅτι αὐτὸς ὁ Σολομών, Πνεύματος πληρωθείς, τρία διὰ τούτων παρίστησι πρόσωπα· τὸν Θεόν, ᾧ τὴν εὐχὴν ἀναπέμπει, καὶ τὸν βασιλέα, ὃν πέπειστο βασιλεύειν τῶν ὅλων, δηλαδὴ τὸν Υἱὸν τοῦ Θεοῦ· καὶ τρίτον ὃν ἀνείληφεν ἄνθρωπον ἐκ σπέρματος Δαυῒδ ἐξ αὐτοῦ τε τοῦ Σολομῶντος γεννώμενον, ἕτερον ὄντα παρὰ τὸν βασιλέα τὸν διὰ τοῦ ψαλμοῦ φάντα· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Διὰ τούτων γὰρ σαφῶς καταστάς, ἀκούει πρὸς τοῦ Πατρός· «Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.» Οἶδε δὲ καὶ αὐτὸς ὁ Σολομὼν τὸν Υἱὸν τοῦ Θεοῦ, σοφίαν ὀνομάζων αὐτόν, ἐν οἷς ἐξ αὐτοῦ προσώπου ἐν Παροιμίαις τάδε φησίν· «Ἐγὼ ἡ Σοφία κατεσκήνωσα βουλήν, καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι·[2]» καὶ ἑξῆς· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ σε, πρὸ τοῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.[3]» Γέννημα τοίνυν τοῦ Θεοῦ ἡ σοφία καὶ ὁ Υἱὸς αὐτοῦ ὁ Μονογενής· καὶ περὶ αὐτοῦ τὴν παροῦσαν εὐχὴν ἀναπέμπει ὁ Σολομὼν φάσκων· «Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός», δῆλον δ' ὅτι τῷ Μονογενεῖ Λόγῳ σου. Ἐπειδὴ γὰρ ἔκρινας αὐτὸν ἐπὶ γῆς ὀφθῆναι, ἵνα μὴ μόνον τῶν κατ' οὐρανῶν, ἀλλὰ καὶ τῶν ἐπὶ γῆς βασιλεύῃ, τοῦτο τὸ κρῖμα ἤδη ποτὲ ἐπὶ πέρας ἀγέσθω· καὶ τὴν δικαιοσύνην δὲ τὴν σὴν τῷ υἱῷ τοῦ βασιλέως δός, ὁ Θεός· υἱοῦ βασιλέως ἐνταῦθα τοῦ κατὰ σάρκα νοουμένου ἐκ σπέρματος Δαυῒδ, ὃν αὐτὸς ἑαυτῷ ὁ προὼν τοῦ Θεοῦ Λόγος ἐξ ἁγίου Πνεύματος καὶ τῆς ἁγίας Παρθένου συνεστήσατο· ὃν καὶ ἐν Παροιμίαις αἰνίττεσθαι τὸν Σολομῶντα ἡγοῦμαι δι' ὧν γράφει λέγων· «Τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη; Τίς συνήγαγε ἀνέμους ἐν κόλπῳ; Τίς συνέστρεψεν ὕδωρ ἐν ἱματίῳ; Τίς ἐκράτησε πάντων τῶν ἄκρων τῆς γῆς; Τί ὄνομα αὐτῷ, καὶ τί ὄνομα τῷ Υἱῷ αὐτοῦ;[4]» Οὕτω γὰρ ἡρμήνευσαν οἱ λοιποί· ὁ μὲν Ἀκύλας εἰπών· «Τί ὄνομα αὐτῷ, καὶ τί ὄνομα τῷ Υἱῷ αὐτοῦ;» καὶ ὁ Θεοδοτίων ὁμοίως· «Τί ὄνομα αὐτῷ, καὶ τί ὄνομα

---

1. Ψαλμ. 2, 6-8. 2. Παρμ. 8, 12, 15. 3. Παρμ. 8, 22, 25. 4. Παρμ. 24, 22.

τῷ Υἱῷ αὐτοῦ;» Σαφῶς γὰρ ἐν τούτοις μὲν κρατήσας τῆς γῆς, καὶ καταβεβηκὼς καὶ ἀνελθὼν εἰς οὐρανόν, τά τε λοιπὰ δεόμενα τῆς κατὰ σχολὴν ἑρμηνείας πεποιηκώς, οὐδεὶς ἂν γένοιτο ἕτερος τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὃς αὐτὰ δὴ ταῦτα διδάσκων ἔλεγεν· «Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ Υἱὸς τοῦ ἀνθρώπου·[1]» Ὁ δ' ἐνταῦθα λεγόμενος αὐτοῦ Υἱὸς εἴη ἂν ὁ κατὰ σάρκα νοούμενος, ἣν ἀνείληφεν ἐκ σπέρματος Δαυῒδ καὶ Σολομῶντος γενομένην.

Ἀλλ' ἐπεὶ Ἰουδαίων παῖδες τὰς προκειμένας τῶν Παροιμιῶν φωνὰς εἰς τὸν ἐπὶ πάντων Θεὸν ἀνάξουσιν, οὐκ εἰδότες τὸν Υἱὸν τοῦ Θεοῦ, δεικτέον αὐτοῖς ἐκ τῶν προκειμένων ὡς Υἱὸν Θεοῦ, σαφῶς καὶ διαρρήδην παρίστησιν ἡ Γραφὴ λέγουσα· «Τί ὄνομα αὐτῷ, καὶ τί ὄνομα τῷ Υἱῷ αὐτοῦ;» Φάσκων δὲ ὁ λόγος ἐν τῷ ψαλμῷ· «Ὁ Θεός, τὸ κρῖμά σου τῷ βασιλεῖ δός», ἄλλο εἶναι τὸ κρῖμα παρὰ τὴν κρίσιν διδάσκει. Κρῖμα γὰρ τὸ ἅπαξ δόξαν τῷ Θεῷ καὶ τὸ κριθὲν παρ' αὐτῷ τυγχάνει· κρίσις δὲ τῶν κρινομένων διάκρισις, ᾗ παρακολουθεῖ τὸ κατ' ἀξίαν ἀπονεμητικὸν ἑκάστῳ. Διόπερ ἐνταῦθα οὐ τὴν κρίσιν ἀξιοῖ δοῦναι τῷ βασιλεῖ· ἀλλὰ τὸ κρῖμα, τουτέστι τὸ δόγμα καὶ τὸ κριθὲν τῷ Πατρὶ περὶ τῆς εἰς ἀνθρώπους θεοφανείας αὐτοῦ. Τὸ μὲν οὖν κρῖμα τῷ βασιλεῖ δέδοται· ἡ δὲ δικαιοσύνη τῷ υἱῷ τοῦ βασιλέως. Δικαιοσύνη γὰρ ἦν αὐτὸς ὁ βασιλεύς, ὥσπερ οὖν παρίστησιν ὁ Ἀπόστολος εἰπών· «Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις.[2]» Αὕτη τοίνυν ἡ τοῦ Πατρὸς δικαιοσύνη τῷ Υἱῷ τοῦ βασιλέως δέδοται τῷ ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα γενομένῳ· ἐν ᾧ κατῴκησεν ὥσπερ ἐν ναῷ ὁ τοῦ Θεοῦ λόγος καὶ ἡ σοφία, καὶ ἡ δικαιοσύνη. Τὴν δὲ αἰτίαν τοῦ δοθῆναι τὴν δικαιοσύνην τῷ δηλωθέντι υἱῷ τοῦ βασιλέως, ἑξῆς διδάσκει λέγων· «Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει.» Ἔδει γὰρ τοὺς πτωχοὺς τοῦ Θεοῦ καὶ τὸν ἐν ἀνθρώποις λαὸν αὐτοῦ ὑπὸ τοῦ υἱοῦ τοῦ βασιλέως διακρίνεσθαι ἐν δικαιοσύνῃ· ἐπεὶ μὴ ἐχώρουν ἄλλως δέξασθαι τὸν βασιλέα. Διόπερ μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, δι' οὗ ἀνείληφεν Υἱοῦ ἀνθρώπου ἐξ ἁπάντων τῶν ἐθνῶν κατὰ τοῦ δικαίου λόγον, «ἐξελέξατο ἑαυτῷ λαὸν περιούσιον[3]», καὶ τοὺς καλουμένους αὐτοῦ πτωχούς, οὓς καὶ μακαρίζων ἔλεγε· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[4]» Καὶ ἄλλως δὲ περὶ τῆς δικαιοσύνης διδάσκει ὁ Ἀπόστολος λέγων· «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη γὰρ ἐν αὐτῷ ἀποκαλύπτεται.[5]» Καὶ περὶ τῶν πτωχῶν πάλιν ὁ αὐτὸς διασαφεῖ λέγων· «Βλέπετε γὰρ

1. Ἰω. 3, 13. 2. Α' Κορ. 1, 30. 3. Δευτ. 14, 2. 4. Ματθ. 5, 3. 5. Ῥωμ. 1, 16-17.

τὴν κλῆσιν ὑμῶν, ἀδελφοί· ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ εὐγενεῖς, οὐ πολλοὶ δυνατοί· ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς· καὶ τὰ ἀσθενῆ καὶ τὰ ἐξουθενημένα ἐξελέξατο, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ.[1]»

Στίχ. γ'. «Ἀναλαβέτωσαν τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.»

Πρὸς τοῖς προτέροις καὶ ταῦτα τὸ πνεῦμα τὸ προφητικὸν εὔχεται, ὅπως τὰ ὄρη τὰ πάλαι ἐχθραίνοντα τῷ λαῷ εἰρηνεύσειε πρὸς αὐτὸν ἀπωθούμενα τὴν ἔχθραν, καὶ ὅπως οἱ βουνοὶ τὴν προλεχθεῖσαν δικαιοσύνην τῷ αὐτῷ λαῷ εὐαγγελίζωνται. Πρότερον μὲν γὰρ τὰ ὄρη ἔχθραν εἶχε πρὸς τὸν λαόν, καὶ οἱ βουνοὶ ὡσαύτως· ὅτε δὲ ὁ υἱὸς τοῦ βασιλέως ἴδιον ἐποιήσατο τὸν λαὸν πάλαι ἀπηλλοτριωμένον αὐτοῦ, τηνικαῦτα καὶ τὰ καλούμενα ἐνταῦθα ὄρη εἰρηνεύει πρὸς τὸν λαόν. Ὄρη δὲ καὶ βουνοὺς εἰρηνεύοντας ἀνθρώποις τίνας ἂν εἴποις ἢ τὸν ἀγγέλων χορὸν καὶ τὰς τούτων ἀνωτέρας θείας δυνάμεις; αἳ πάλαι μέν, ὅτε ἀλλότριος ἦν ὁ λαὸς τοῦ Θεοῦ, ἐχθραὶ ἦσαν αὐτοῦ· νῦν δ' ὅτε κτῆμα γέγονε τοῦ υἱοῦ τοῦ βασιλέως, ἐφιλιώθησαν αὐτῷ μεταβαλόντες τῆς ἔχθρας. Νοήσεις δὲ τὸν ἐξ ἁπάντων τῶν ἐθνῶν συνηγμένον λαόν, παραθεὶς τούτοις τὴν ἐν τῷ Ζαχαρίᾳ προφητείαν, ὧδε λέγουσαν· «Χαῖρε καὶ εὐφραίνου, θύγατερ Σιών. Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται, καὶ κατασκηνώσει ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ἔσονταί μοι εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν. Καὶ γνώσονται, ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς σέ.[2]» Σαφῶς γὰρ διὰ τούτων ἀπὸ τῶν ἐθνῶν, ἀλλὰ οὐκ ἀπὸ τοῦ Ἰουδαίων ἔθνους συντάξειν αὐτὸς ἑαυτῷ λαὸν ὁ Κύριος εὐαγγελίζεται. Τούτῳ δὴ οὖν τῷ λαῷ αἱ δυνάμεις αἱ ὑπερκόσμιοι καὶ αἱ ἀγγελικαί, ὄρη καὶ βουνοὶ ἐνταῦθα ὀνομαζόμεναι, εἰρήνευσαν ἐχθραίνουσαι τὸ πρίν, ὅτε τῇ ἀθέῳ προσεῖχεν εἰδωλολατρείᾳ. Αἱ δ' αὐταὶ δικαιοσύνην εὐαγγελίζονται τῷ αὐτῷ λαῷ· ἤτοι τὸν Χριστὸν τοῦ Θεοῦ, αὐτὸν ὄντα τὴν δικαιοσύνην, ἢ τὸ σωτήριον Εὐαγγέλιον, δι' ὃ λέλεκται· «Ἀναλαβέτωσαν τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.» Καὶ ταῦτα ἔσται, ἐπειδὴ ὁ προλεχθεὶς υἱὸς τοῦ βασιλέως «κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων·» κρίνας γὰρ πρότερον ἀξίους εἶναι σωτηρίας, οὕτως αὐτοὺς σῴζει. Οὐ γὰρ ἀκρίτως, μετ' ἐξητασμένης δὲ κρίσεως τὴν σωτηρίαν παρέχει τοῖς ἑαυτοῦ πτωχοῖς καὶ τοῖς υἱοῖς τῶν πενήτων, ὧν καὶ ἡ προφητεία μέμνηται λέγουσα· «Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν.[3]» Πτωχοὺς δὲ ποίους φησίν, ἢ τοὺς δυναμένους ὁμοίως Παύλῳ λέγειν· «Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν,

1. Α' Κορ. 1, 26-29. 2. Ζαχ. 2, 14-15. 3. Ἡσ. 61, 1.

καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν·[1]» τούς τε ὁμοίως Πέτρῳ φήσαντας· «Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι.[2]» Τοιούτους δὲ πτωχοὺς αὐτὸς ἑαυτῷ παρεσκεύαζε παραινῶν μὴ κτῆσθαι χρυσίον μηδὲ ἀργύριον εἰς τὰς ζώνας, μὴ πήραν εἰς ὁδόν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον.[3] «Τοιοῦτοι δὲ ἦσαν καὶ οἱ πάλαι περιελθόντες ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς.[4]» Ἀλλ' εἰ μὲν τούτων μόνον ἐμνημόνευσεν ὁ λόγος, ἀποκέκλειστο πᾶς ὁ μὴ τοιοῦτος· νῦν δὲ καὶ δεύτερον τάγμα καταριθμεῖται φάσκων· «Καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων.» Υἱοὶ δὲ πενήτων ἦσαν οἱ τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Σωτῆρος ἡμῶν γνώριμοι, ὁποίους δηλῶν ὁ Ἀπόστολος ἔλεγεν· «Ἐὰν γὰρ πολλοὺς παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ ἐγὼ ὑμᾶς ἐγέννησα·[5]» καὶ πάλιν· «Τέκνα μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.[6]» Ἀλλὰ τοὺς μὲν πτωχοὺς ἑαυτοῦ καὶ τοὺς υἱοὺς τῶν πενήτων σὺν δικαιοσύνῃ καὶ ὀρθῇ κρίσει σῴζει· τὸν δὲ συκοφάντην προειρημένον ἢ καὶ τὸν λαὸν αὐτοῦ καὶ τὴν Ἐκκλησίαν πολεμεῖν (μυρίοι δὲ συκοφάνται τὴν Ἐκκλησίαν αὐτοῦ διαβάλλουσι), καὶ τὸν βίον τῶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ διαπρεπόντων ἄλλοι συκοφαντοῦσιν· ὧν ἐπιστήσας τῇ τελευτῇ τοῦ βίου, ὄψει ὅπως εἴρηται τό, «Καὶ ταπεινώσει συκοφάντην.» Τίς γὰρ τῶν τυραννευσάντων, καὶ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἐκκλησίαν βλασφημίαις καὶ συκοφαντίαις περιβαλλόντων, οὐ τεταπείνωται; Τίς τῶν σοφῶν τοῦ αἰῶνος τούτου, τὴν αὐτοῦ γλῶτταν ἀκονήσας κατὰ τῆς θεοπνεύστου Γραφῆς, οὐ τὰ ἐπείχειρα πέπονθε τῆς συκοφαντίας; Ἀλλὰ γὰρ πλείστων ὅσων ἐπισταμένων συκοφαντῶν κατὰ τῆς Ἐκκλησίας αὐτοῦ, πάντων τε κατὰ καιροὺς ταπεινουμένων, αὐτὸς συμπαραμένειν τῷ ἡλίῳ θεσπίζεται, ὁμοίως ἡλίῳ ταῖς αὐγαῖς τῆς αὐτοῦ διδασκαλίας τὸν σύμπαντα καταλάμπων κόσμον· καὶ πρὸ τῆς σελήνης δέ· ἢ κατὰ τὸν Ἀκύλαν, «Καὶ εἰς πρόσωπον τῆς σελήνης·» ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ ἔμπροσθεν τῆς σελήνης διαμενεῖ.» Οὐ γὰρ πρὸ τῆς σελήνης, τουτέστι πρὶν γενέσθαι τὴν σελήνην· ἀλλ' ἐνώπιον ὥσπερ καὶ ἔμπροσθεν ἡγούμενος τῆς σελήνης. Ὥσπερ γὰρ ἥλιος μὲν ἡμέραν ἐργάζεται ὑπὲρ γῆς γενόμενος· σελήνη δὲ νυκτὸς διαλύει τὸ σκότος τῷ ἑαυτῆς φωτί, τὸν αὐτὸν τρόπον καὶ ὁ προφητευόμενος ὁμοίως μὲν σελήνῃ τὰς ἐν σκότῳ καὶ νυκτὶ τυγχανούσας ψυχὰς φωτίζει, ἡλίῳ δὲ παραπλησίως τὸν σύμπαντα καταλάμπει κόσμον, διαμένει τε καὶ συμπαραμένει ἄχρι τῆς συντελείας τοῦ αἰῶνος. Εἰς ὅσον γὰρ ἥλιος τὸν σύμπαντα φαιδρύνει κόσμον, εἰς τοσοῦτον καὶ αὐτὸς τῷ ἡλίῳ συμπαραμένων καὶ συνεκτεινόμενος τὰς τῶν

---

1. Α' Κορ. 4, 11. 2. Πράξ. 3, 6. 3. Ματθ. 10, 9. 4. Ἑβρ. 11, 37. 5. Α' Κορ. 4, 15. 6. Γαλ. 4, 19.

ἀνθρώπων φωτίζει ψυχάς· ὡσαύτως δὲ καὶ σελήνῃ πλησιφαεῖ παραπλησίως εἰς γενεὰς γενεῶν λέγεται διαρκεῖν.

Στίχ. ς΄-η΄. «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.»

Κατάβασιν τοῦ Θεοῦ Λόγου νοήσεις, ἐπιστήσας τῇ καταβάσει καὶ τῇ συμπεριφορᾷ καθ' ἣν συμπεριενεχθεὶς τῇ τῶν ἀνθρώπων σμικρότητι, «ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος.[1]» Δι' ὃ λέλεκται· «Καταβήσεται.» Ἀναγκαίως δὲ καὶ παραδείγματι κέχρηται προφητεία φήσασα, «Ὡς ὑετὸς ἐπὶ πόκον.» Ὃ δὴ συμφώνως οἱ λοιποὶ πάντες ἡρμήνευσαν· Ἀκύλας μὲν εἰπών, «Καὶ καταβήσεται ὡς ὑετὸς ἐπὶ κουράν·» Σύμμαχος δέ, «Καταβήσεται ὡς δρόσος ἐπὶ πόκον·» καὶ οἱ λοιποὶ ἑρμηνευταὶ ὁμοίως· παριστῶντες τοῦ Λόγου τὴν ἐξ ὕψους τὴν ἐξ αὐτῶν οὐρανῶν κάθοδον ἐπὶ γῆς τοῦ προφητευομένου· καὶ ὡς ἠρέμα καὶ ἡσυχῇ μηδενὸς αἰσθομένου καταβέβηκεν. Ὑετὸς γὰρ ἐπὶ πόκον κατιών, ἀνεπαισθήτως καὶ ἀψοφητὶ κάτεισιν. Ἐπεὶ τοίνυν ἡ κατὰ σάρκα γένεσις τοῦ Σωτῆρος ἡμῶν τοιαύτην ἀνείληφε τὴν οἰκονομίαν, ὡς μηδένα νοῆσαι μηδὲ ἀκουσθῆναι, μηδὲ τοὺς ἐκ γειτόνων οἰκοῦσι τὸ μυστήριον τῆς συλλήψεως καὶ τοῦ τοκετοῦ τῆς ἁγίας Παρθένου. Τοῦτ' αὐτὸς ὁ παρὼν ᾐνίξατο λόγος, εἰπών· «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον·» καὶ ἄλλως, ἐπειδὴ πόκος προβάτων δορά, νοήσας ὅπως αὐτὸς ἐδίδασκε λέγων ὁ Σωτήρ· «Οὐκ ἦλθον εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·[2]» ἐφαρμόσεις τὸ παρὸν λόγιον τῇ αὐτοῦ φωνῇ. Οὐ γὰρ ἐπὶ ἕτερον ἔθνος καταβέβηκεν, ἀλλ' ἐπὶ μόνον τὸ Ἰουδαίων, παρ' οἷς καὶ τὰς διατριβὰς ἐποιήσατο. Ἡ μὲν οὖν πρώτη κατάβασις αὐτοῦ γέγονεν ὡς ὑετὸς ἐπὶ πόκον κατὰ τοὺς ἀποδοθέντας τρόπους· μετὰ ταῦτα δὲ οὐκέτι ὡς ἐπὶ πόκον, ἀλλὰ σὺν πολλῇ κινήσει· καὶ κτύπος ἐξάκουστος γέγονε καθ' ὅλης τῆς οἰκουμένης ἡ διδασκαλία αὐτοῦ. Δι' ὃ ἐπιλέγεται ἑξῆς, «καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν.» Σταγόνες γὰρ ἢ ψεκάδες κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς στάζουσαι ἐπὶ τὴν γῆν οὐκέτ' ἀψοφητί, σὺν πολλῷ δὲ ψόφῳ κατίασι. Καὶ τοῦτο δὲ τέλος ἐτύγχανεν, ὅτε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστόλων αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Τούτοις ἑξῆς εἴρηται· «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης·» κατὰ δὲ τὸν Ἀκύλαν, «Βλαστήσει ἐν ἡμέραις αὐτοῦ δίκαιος καὶ πλῆθος εἰρήνης·» κατὰ δὲ τὸν Σύμμαχον, «Ἀνθήσει ἐν ταῖς ἡμέραις αὐτοῦ δίκαιος.» Ἡμέραι δὲ τοῦ Σωτῆρος ἡμῶν αἱ ἀπὸ τῆς παρουσίας αὐτοῦ μέχρι τῆς συντελείας τοῦ αἰῶνος νοηθήσονται. Ὥσπερ γὰρ ἀκούομεν τό, «Ἐν ταῖς ἡμέραις Δαυΐδ», καί, «Ἐν ἡμέραις Ἱεροβοάμ», οὕτως εἶεν ἂν ἡμέραι τοῦ Σωτῆρος

1. Φιλιπ. 2, 8. 2. Ματθ. 15, 24.

ἡμῶν. Ἀλλ' ἐκεῖνοι μέν, πρὸς ὀλίγον φανέντες, θᾶττον ἀπεσβέσθησαν· δι' ὃ καὶ αἱ ἡμέραι αὐτῶν ἐξέλιπον· αἱ δὲ ἡμέραι τοῦ Σωτῆρος ἡμῶν ὁπόσαι τυγχάνουσι, φθάσας ὁ λόγος ἐδήλωσεν εἰπών· «Συμπαραμενεῖ τῷ ἡλίῳ καὶ ἔμπροσθεν τῆς σελήνης γενεὰς γενεῶν·» οἷς ἀκολούθως καὶ αὐτὸς τοῖς ἑαυτοῦ μαθηταῖς ἐπηγγέλλετο λέγων· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι ἄχρι τῆς συντελείας τοῦ αἰῶνος·[1]» Οὕτω γὰρ ἤμελλε συμπαραμένειν τῷ ἡλίῳ. Οὐκοῦν ἐν ταῖς ἡμέραις αὐτοῦ, καθ' ἃς συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ ὁμοίως σελήνῃ τὰς τῶν ἐν σκότῳ φωτίσει ψυχάς, ἀναλάμψει ἐπὶ πάσης τῆς γῆς δικαιοσύνη· ἢ κατὰ τὸν Ἀκύλαν, «δίκαιος·» οὐκέτι παρὰ Ἰουδαίοις μόνοις ἑνός που καὶ δευτέρου ὀνομαζομένου δικαίου, καθ' ὅλης δὲ τῆς οἰκουμένης μυρίων ἐν Χριστῷ δικαιουμένων. Τὸ δὲ πλῆθος τῶν δικαίων τῶν ἐν ταῖς ἡμέραις τοῦ Σωτῆρος ἀνθούντων καὶ φωτὸς δίκην ἀνατελλόντων ὁμοίως τῷ ἑαυτῶν φωστῆρι νοήσεις ἀπὸ τοῦ πλήθους τῶν ἁπανταχοῦ γῆς μαρτύρων αὐτοῦ καὶ τῶν κατὰ τὴν Ἐκκλησίαν αὐτοῦ τὸν ἀγγελικὸν ἐν παντελεῖ ἁγνείᾳ κατορθούντων βίον. Εἰ δὲ καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνθήσειν λέλεκται, καὶ τοῦτο ὅπως δι' ἔργων πληροῦται ἔστι καταμαθεῖν ἐκ τοῦ μὴ Ἰουδαίους μόνους, ἀλλὰ καὶ πᾶν ἔθνος καλεῖσθαι ἐπὶ τὴν ἔνθεον πίστιν, δούλους τε ἐξ ἴσου τοῖς ἐλευθέροις θεοσεβεῖν, καὶ πένητας ὁμοίως τοῖς πλουσίοις, ἄρχοντάς τε σὺν ἀρχομένοις σὺν πολλῇ Θεοῦ δικαιοσύνῃ. Ὅπως δὲ πλῆθος εἰρήνης ἀνατέταλκεν ἐν ταῖς δηλωθείσαις τοῦ Σωτῆρος ἡμῶν ἡμέραις, νοῆσαι ἔστιν ἐπιστήσαντα τῇ καταστάσει τῶν πρὸ τῆς αὐτοῦ παρουσίας πραγμάτων. Καθ' ἣν τὸ σύμπαν τῶν ἀνθρώπων γένος διῄρητο ἀποτετμημένων ὥσπερ ἐξ ἑνὸς σώματος εἰς μυρία διεσπαρμένα μέλη, ἄλλων ἄλλως ἐθνῶν πάλαι πρότερον ἀφωρισμένων, πολεμούντων τε ἀλλήλοις καὶ πολεμουμένων· καὶ τῶν μὲν τυραννουμένων, τῶν δὲ δημοκρατουμένων, ἑτέρων δὲ ὀλιγαρχουμένων· τοπάρχων κατ' ἔθνος καὶ τυράννων κρατούντων· ὡς ἄμικτα εἶναι καὶ ἄβατα τοῖς πλησιοχώροις τὰ τῆς τῶν γειτόνων χώρας· πολέμους τε ἀσπόνδους καὶ ἔχθρας ἀκαταλλάκτους ἐκ μακροῦ αἰῶνος μέχρι τοῦ Σωτῆρος ἡμῶν συνεστάναι. Ἐξ ἐκείνου δὲ πάσης πολυαρχίας ἐκποδὼν ἀρθείσης, μοναρχία τῶν πλείστων ἐθνῶν ἐπικεκράτηκε· γέγονέ τε ὡς ἀληθῶς πλῆθος εἰρήνης, κοινωνίαν καὶ ἐπιμιξίαν κτησαμένων ἁπάντων τῶν ἐθνῶν· ὡς ἔργῳ μαρτυρεῖσθαι τὴν ἐν χερσὶ μαρτυρίαν μόνῳ τῷ Σωτῆρι ἡμῶν ἐφαρμόττουσαν. Τοῦτο δὲ τὸ πλῆθος τῆς εἰρήνης παραμένειν φησὶν «ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη·» ἢ κατὰ τὸν Ἀκύλαν, «ἕως οὗ ἡ σελήνη·» ἢ κατὰ τὸν Σύμμαχον, «ἕως παλαιώσεως τῆς σελήνης.» Πότε δὲ παλαιοῦται σελήνη; Κατὰ τὴν συντέλειαν τοῦ αἰῶνος, καθ' ἣν πληρωθήσεται ἡ φάσκουσα προφητεία· «Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι·[2]» καὶ πάλιν· «Οὐκ ἔσται σοι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἡ σελήνη φω-

1. Ματθ. 28, 20. 2. Ἰωὴλ 2, 10.

τιεῖ σοι τὴν νύκτα.[1]» Οὐκοῦν ὥσπερ ἀνωτέρω συμπαραμένειν τῷ ἡλίῳ τὸν προφητευόμενον ἐδήλου, οὕτως καὶ ἐνταῦθα τὸ πλῆθος τῆς ὑπ' αὐτοῦ προξενηθησομένης ἀνθρώποις εἰρήνης μέχρι τῆς συντελείας διαρκέσειν θεσπίζει. Ὅπως μὲν οὖν καταβήσεται ἠρέμα καὶ ἀψοφητὶ ἐπὶ τὸ Ἰουδαίων ἔθνος, καὶ ὡς πληρώσει τὴν σύμπασαν οἰκουμένην δίκην σταγόνων σταζουσῶν ἐπὶ τῆς γῆς, καὶ ὡς δικαιοσύνη ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ καὶ πλῆθος εἰρήνης, δεδήλωται διὰ τῶν εἰρημένων.

Ἑξῆς δὲ διδάσκει, ὅτι μὴ ἐν γωνίᾳ γῆς περιγραφήσεται αὐτοῦ ἡ δεσποτεία· κυριεύσει δὲ τῶν ἐθνῶν ἁπάντων. Δι' ὃ λέλεκται· «Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.» Εἰ γάρ ἐστί τινα πέρατα γῆς, ἃ δὴ πανταχοῦ κυκλοῦσι, θάλασσαι Ὠκεανός τε ἀπέραντος ἀνθρώποις· τοῦτο πάντων εἴσω τῶν ἁπανταχοῦ θαλασσῶν Κύριον ὁμολογήσει τὸν θεσπιζόμενον. Δι' ὃ λέλεκται· «Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης.» Γνοίης δ' ἂν τοῦ λόγου τὸ ἀποτέλεσμα συνιδὼν ὅπως ἁπανταχοῦ γῆς αἱ τοῦ Θεοῦ Ἐκκλησίαι τὸν Χριστὸν αὐτοῦ Κύριον ἀναγορεύουσιν. Ἀλλὰ καὶ ἀπὸ ποταμοῦ ἕως τῶν περάτων τῆς οἰκουμένης κατακυριεύσειν αὐτόν φησι σφόδρ' ἀναγκαίως. Ἐχρῆν γὰρ ἡμᾶς μαθεῖν ὁπόθεν ἄρξεται τῆς διδασκαλίας· σημαίνει δέ, ὡς ἄρα ἔσται αὐτῷ ἡ καταρχὴ ἀπὸ ποταμοῦ. Ὅντινα ποταμὸν παρίστησι τὸ Εὐαγγέλιον φάσκον· «Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. Ὁ δὲ διεκώλυεν αὐτὸν λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός μέ. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· Ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶ πληρῶσαι πᾶσαν δικαιοσύνην.[2]» Ὅτε μετὰ τὸ βαπτισθῆναι αὐτὸν «Ἠνοίγησαν οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡς περιστερὰν καὶ ἐρχόμενον εἰς αὐτόν. Φωνή τε ἐκ τῶν οὐρανῶν ἠκούσθη λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα.[3]» Ἐξ ἐκείνου γὰρ γνωρίζεσθαι αὐτοῦ ἤρξατο ἡ κυριότης. Παραδόξως δὲ τούτου μέμνηται τοῦ ποταμοῦ καὶ Ἡσαΐας ὁ προφήτης εὐαγγελιζόμενος τὴν ἔρημον, ἐν ᾗ ἐκήρυττεν Ἰωάννης ὁ Βαπτιστής. Ἐβόα δ' οὖν λέγων· «Εὐφράνθητι, ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου.[4]» Ἀντὶ τίνος γὰρ οὐχ ἑτέρου μέμνηται ποταμοῦ ὁ τοσοῦτος προφήτης, ἀλλ' αὐτοῦ τοῦ Ἰορδάνου καὶ τῆς ἐρήμου ἀμφὶ τοῦτον· εὐφροσύνην τε καὶ ἀγαλλίασιν τῇ ἐρήμῳ τοῦ Ἰορδάνου, ἀλλ' οὐχὶ τῇ Ἱερουσαλήμ, οὐδὲ τῇ λοιπῇ Ἰουδαίᾳ εὐαγγελίζεται; Οὐκοῦν ἔχομεν καὶ παρὰ τῷ Ἡσαΐᾳ τὴν δήλωσιν τοῦ ποταμοῦ περὶ οὗ φησιν ὁ παρὼν λόγος, «Καὶ ἀπὸ ποταμοῦ ἕως τῶν περάτων τῆς οἰκουμένης» κατακυριεύσειν τὸν προφητευόμενον. Ὀφθαλμοῖς δὲ παραλαβεῖν ἔστι δι' ἔργων κεχωρηκυίας τὰς

1. Ἡσ. 60, 19. 2. Ματθ. 3, 13-15. 3. Ματθ. 3, 17. 4. Ἡσ. 35, 1.

προαναφωνήσεις, ὁρῶντας μέχρι τῶν περάτων τῆς γῆς ἐν ταῖς Ἐκκλησίαις αὐτοῦ κυριολογούμενον τὸν Χριστὸν τοῦ Θεοῦ.

Στίχ. θ'-ια'. «Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι.»

Σφόδρ' ἀκολούθως μετὰ τὸ εἰπεῖν, «Κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης», Αἰθιόπων ἐμνημόνευσεν, οἳ τὰ ἔσχατα τῆς καθ' ἡμᾶς οἰκουμένης οἰκοῦσι, τά τε πρὸς ἀνατολὰς καὶ τὰ πρὸς δύοντα ἥλιον. Ὅθεν καὶ παρὰ τοῖς ἔξω τοῦ καθ' ἡμᾶς λόγου κατὰ φύσιν εἰρῆσθαι δοκεῖ τό,

*Αἰθίοπας, τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν·*
*Οἱ μὲν δυσομένου ὑπερίονος, οἱ δ' ἀνιόντος.*

Καὶ ἐν ἑτέρῳ δὲ εἴρηται ψαλμῷ· «Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ·[1]» καὶ πάλιν ἐν ἑτέρῳ προφήτῃ λέλεκται· «Ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσιν οὐσίας μοι.[2]» Καὶ ἐν τοῖς προκειμένοις δὲ ἀκολούθως τούτοις τό, «Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες», θεσπίζεται. Δι' ὧν ἁπάντων ὁ λόγος σημαίνει τὰ ἔσχατα τῆς γῆς τὴν τοῦ προφητευομένου γνῶσιν ἀναλήψεσθαι, καὶ προσκυνήσειν αὐτῷ, προσπίπτοντας καὶ γόνυ κλίνοντας. Δι' ὃ λέλεκται κατὰ τὸν Ἀκύλαν· «Εἰς πρόσωπον αὐτοῦ κάμψουσιν Αἰθίοπες·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἔμπροσθεν αὐτοῦ ὀκλάσουσιν Αἰθίοπες.» Διὰ δὲ τῶν Αἰθιόπων τῶν τὰ ἔσχατα τῆς γῆς οἰκούντων καὶ τὰ εἴσω τῆς οἰκουμένης ἔθνη δηλοῦνται. Καὶ πρόδηλον ἁπανταχοῦ γῆς οἱ εἰς αὐτὸν πεπιστευκότες, γόνυ κλίνοντες καὶ εἰς αὐτὴν προπίπτοντες τὴν γῆν, δι' αὐτοῦ τὴν προσκύνησιν τῷ ἐπὶ πάντων ἀναπέμπουσι Θεῷ. Ἀλλὰ καὶ οἱ ἐχθροὶ αὐτοῦ, φησί, χοῦν λείξουσιν, ἐξομοιωθέντες τῷ ἑαυτῶν πατρὶ τῷ ὄφει, ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορευομένῳ, καὶ γῆν ἐσθίοντι κατὰ τὴν ἐξ ἀρχῆς γενομένην αὐτῷ προστίμησιν. Οὕτω δ' οὖν ὄψει τοὺς τῆς Ἐκκλησίας τοῦ Χριστοῦ πολεμίους τὸν χοῦν καὶ τὰς σωματικὰς ἡδονὰς περιλιχμωμένους. Εἰ γὰρ τὸ σῶμα, ᾧπερ κεῖται ἡ ψυχή, χοῦς ἀνείρηται κατὰ τὴν φάσκουσαν Γραφήν· «Ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον·[3]» οἱ τὸν χοῦν περιλιχμώμενοι καὶ τὰς τῆς σαρκὸς ἡδυπαθείας τιμῶντες διαβέβληνται εἰκότως, ὡς ἂν ἐχθροὶ τοῦ σωτηρίου τυγχάνοντες λόγου. Ἀλλ' οὗτοι μὲν τοιοῦτοι· τὸ δ' ἕτερον τάγμα τῶν τὴν βασιλείαν τοῦ Χριστοῦ γνωριζόντων δῶρα προσοίσουσιν αὐτῷ, προφητεύεται· δι' ὃ λέλεκται ἑξῆς· «Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσάξουσι.» Καὶ ἐν τούτοις δὲ ὁ λόγος, διελὼν εἰς δύο μέρη τὴν οἰκουμένην, τὸ μὲν ἀφορίζει ἐπὶ τὸ πρὸς δυσμαῖς ἡλίου κλῖμα, ὃ δὴ πρῶτον παρίστησιν εἰπών· «Βασιλεῖς

1. Ψαλμ. 67, 32. 2. Σοφ. 3, 10. 3. Γεν. 2, 7.

Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι·» δι' ὧν τὴν πρὸς δυσμαῖς σημαίνει θάλασσαν καὶ τὰς ἐν ταύτῃ νήσους. Οὕτως οὖν ποτε καὶ Ἰωνᾶς ὁ προφήτης ἀνέστη φυγεῖν εἰς Θαρσεῖς καὶ κατέβη εἰς Ἰόππην, καὶ ἀνέβη εἰς πλοῖον τοῦ φυγεῖν εἰς Θαρσεῖς, ἥν φασιν εἶναι τὴν Θαρσόν. Ἐν δὲ τῷ Ἐζεκιὴλ τοῦ Θαρσεῖς ὀνόματος φερομένου, οἱ Ἑβδομήκοντα Καρχηδόνα ἡρμήνευσαν. Τὸ δὲ ἕτερον κλῖμα τὸ πρὸς ἀνατολὰς ἡλίου δηλοῦται διὰ τοῦ, «Βασιλεῖς Ἀράβων καὶ Σαβά.» Τό τε γὰρ τῶν Ἀράβων γένος ἀνατολικὸν τυγχάνει, ἐπέκεινα δὲ αὐτοῦ τὰ Περσικὰ μέρη, καὶ ἡ τῶν Σαβαϊτῶν χώρα εἶναι λέγεται. Ἀντὶ δὲ τοῦ, «Βασιλεῖς Ἀράβων καὶ Σαβά», ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος, ἥ τε Ἑβραϊκὴ γραφὴ συντόνως τούτοις, «Βασιλεῖς Σαβὰ καὶ Σαβὰ» εἰρήκασιν. Ὥστ' εἶναι ταὐτὸν μὲν ἐκφωνούμενον ὄνομα, διαλλάττειν δὲ τῇ τῶν στοιχείων διαφορᾷ· τὸ μὲν γὰρ πρῶτον Σαβὰ διὰ τοῦ καλουμένου παρ' Ἑβραίοις «σέν», τὸ δὲ δεύτερον διὰ τοῦ «σάδη» στοιχείου κατὰ τὴν Ἑβραϊκὴν ἐμφέρεται γραφήν· ἔνθεν καὶ τὰ τῆς ἑρμηνείας αὐτοῖς ἐναλλάττει. Καὶ ὁ Σωτὴρ δὲ τούτου μέμνηται τοῦ ὀνόματος λέγων· «Βασίλισσα Σαβὰ ἀναστήσεται ἐν ἡμέρᾳ κρίσεως, καὶ κατακρινεῖ τὴν γενεὰν ταύτην, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶντος·[1]» σαφῶς παριστὰς ὡς ἐν τοῖς πέρασι τῆς γῆς τὸ Σαβὰ ἔθνος τυγχάνει. Ἱστορεῖ δὲ καὶ ἡ τρίτη τῶν Βασιλειῶν περὶ τοῦ αὐτοῦ ἔθνους ταῦτα· «Καὶ βασίλισσα Σαβὰ ἤκουσε τὸ ὄνομα Σολομῶντος, καὶ ἦλθε πειράσαι αὐτὸν ἐν αἰνίγμασι. Καὶ ἦλθεν εἰς Ἱερουσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα. Καὶ κάμηλοι αἴρουσαι ἡδύσματα καὶ χρυσὸν πολὺν σφόδρα καὶ λίθον τίμιον.[2]» Κέκληται δὲ ἡ χώρα καὶ τὸ ἔθνος Σαβὰ ἀπὸ προπάτορος τοῦ Σαβά, ὃς ἀναγέγραπται υἱὸς γεγονὼς τοῦ Χοῦς. Λέγει δ' οὖν ἡ Μωϋσέως γραφή· «Υἱοὶ δὲ Χοῦς, Σαβὰ καὶ Εὐίλα, καὶ Σαβάθα.[3]» Χοῦς δὲ ἑρμηνεύεται «ὁ Αἰθίοψ.» Γένος οὖν Αἰθιοπικὸν ἔοικεν εἶναι τὸ Σαβὰ ἔθνος. Καὶ δεύτερον δὲ εἴρηται Σαβά, περὶ οὗ φησιν ἡ Γραφή· «Υἱοὶ δὲ Ῥεγμάς, Σαβὰ καὶ Δαδάν.» Εἰκότως τοίνυν ἐν τῷ ψαλμῷ γέγραπται κατὰ τοὺς λοιπούς· «Βασιλεῖς Σαβὰ καὶ Σαβὰ δῶρα προσάξουσι.» Πλὴν ἀλλὰ σημαίνει ἡ προφητεία διὰ τούτων τὰς κατὰ τὸ ἀνατολικὸν κλῖμα βασιλείας καὶ τὰς πρὸς δυσμὰς ἡλίου δῶρα τῷ θεσπιζομένῳ προσοίσειν, οὕτω πως σημαινομένων τῶν ὑπὸ τὰς βασιλείας ἐθνῶν. Μήποτε δὲ καὶ βασιλεῖς οἱ τῶν ἐθνῶν προεστῶτες ἄγγελοι δηλοῦνται ἱερωμένοι τῷ Θεῷ καὶ δῶρα προσάγοντες αὐτῷ τὰς Ἐκκλησίας ὧν καθηγοῦνται ἐθνῶν; Δι' ὃ ἑξῆς προσκυνήσειν αὐτῷ πάντας τοὺς βασιλεῖς θεσπίζει. Οὐ γὰρ μόνον προσοίσειν αὐτῷ τὰ προλεχθέντα δῶρά φησιν, ἀλλὰ καὶ προσκυνήσειν αὐτῷ. Ὃ δὴ καὶ Μωϋσῆς ἐν μεγάλῃ ᾠδῇ ἐδίδασκεν ᾠδὴ πη' περὶ Χριστοῦ λέγων· «Εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἀγγε-

1. Λουκ. 11, 31. 2. Γ' Βασ. 10, 1-2. 3. Γεν. 10, 7.

λοι Θεοῦ.[1]» Οὗτοι δῆτα οἱ βασιλεῖς, ἀφανεῖς καὶ ἀόρατοι τῶν ἐθνῶν ἄρχοντες, προσκυνήσαντες τὸν ἑαυτῶν Κύριον, τὰς ὑπ' αὐτοῖς ψυχὰς δῶρα προσῆγον αὐτῷ. Διόπερ τούτοις ἑξῆς συνῆπται τό· «Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ.» Σύμφωνον δ' ἂν εἴη τοῦτο τῷ φήσαντι λόγῳ· «Κύριος εἶπε πρὸς μέ· Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.» Ὃ δὴ καὶ πεπεῖσθαι χρὴ πληρωθήσεσθαι, ὅτ' ἂν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ μάλιστα κατὰ τὴν δευτέραν τοῦ Σωτῆρος ἡμῶν θεοφάνειαν. Τότε γοῦν πάντες οἱ βασιλεῖς προσκυνήσουσιν αὐτῷ, καὶ πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ. «Καὶ τοῦτο ἔσται τὸ πάντων τέλος, ὅτ' ἂν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅτ' ἂν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρι οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ πόδας αὐτοῦ, ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.[2]»

Στίχ. ιβ'. «Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.»

Ἀντὶ τοῦ· «Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου», ὁ Σύμμαχος· «Ὅτι ἐξελεῖται πένητα οἰμώζοντα.» Οὐ γὰρ ὡς ἤδη γεγενημένα, ἀλλ' ὡς μέλλοντα ἔσεσθαι ταῦτα θεσπίζει. Ὅρα δὲ ὁσάκις τοῦ πτωχοῦ μνημονεύει, πρῶτον εἰπών· «Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχοὺς ἐν κρίσει·» δεύτερον, «Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων·» καὶ νῦν πάλιν· «Ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός·» καὶ αὖθις· «Φείσεται πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων σώσει.» Οἶμαι δὲ διὰ τούτων ἁπάντων πτωχοὺς καὶ πένητας καλεῖν τοὺς ἀποστόλους καὶ τοὺς μαθητὰς τοῦ Σωτῆρος ἡμῶν, οἵ, τὴν δι' αὐτὸν πτωχείαν ἀνειληφότες, τὴν εἰς ἄκρον ἀρετῆς ἐλαύνουσαν κατώρθουν φιλοσοφίαν· δι' ὃ περὶ αὐτῶν Ἡσαΐας μὲν προανεφώνει λέγων· «Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με.[3]» Αὐτὸς δὲ ὁ Σωτήρ, αὐτοῖς προσομιλῶν, ἔλεγε· «Μακάριοι οἱ πτωχοί, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. Πάντα[4]» οὖν «τὰ ἔθνη δουλεύσουσιν αὐτῷ, ὅτι ἐρρύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός.» Τὸ γάρ, «ὅτι», παρὰ πᾶσι τοῖς ἑρμηνευταῖς καὶ ἐν αὐτῇ τῇ Ἑβραϊκῇ γραφῇ κείμενον, αἰτιολογικὸν τυγχάνει, διδάσκον ὅπως πάντα τὰ ἔθνη δουλεύσειν ἤμελλε τῷ Σωτῆρι. Τοῦτο γάρ, φησί, γενήσεται, «ἐπειδὴ ῥύσεται πτωχὸν ἐκ δυνάστου·» ὡς εἰ σαφέστερον ἔλεγεν· Ὅτι τῶν ἀποστόλων αὐτοῦ τὸ τάγμα, τῶν δι' αὐτὸν πτωχῶν καὶ πενήτων, ῥύσεται ἀπὸ παντὸς δυνάστου. Πολλῶν γὰρ δυναστῶν ὁρατῶν τε καὶ ἀφανῶν ἀντικειμένων καὶ ἐπανισταμένων τούτοις

---

1. Δευτ. 32, 43. Ψαλμ. 96, 7. 2. Α' Κορ. 15, 24-26. 3. Ἡσ. 61, 1. 4. Ματθ. 5, 3.

αὐτοῖς τοῖς πτωχοῖς καὶ τοῖς πένησιν, αὐτός, ἀφανεῖ δυνάμει προασπίζων αὐτῶν, ἐκ πάντων αὐτοὺς ῥύσεται, πρὸς τὸ μὴ κωλυθῆναι τὴν δι' αὐτῶν ἐπιτελουμένην τοῦ εὐαγγελικοῦ κηρύγματος ὑπηρεσίαν. Καὶ τοῦτο πράξει συνὼν αὐτοῖς, καθ' ἣν ποιήσεται πρὸς αὐτοὺς ἐπαγγελίαν φήσας· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.[1]» Οὕτως οὖν καὶ ἐφείσατο πτωχοῦ καὶ πένητος, καὶ ψυχὰς πενήτων ἔσωσε· καὶ ταῦτα πάντα τοῖς αὐτοῦ μαθηταῖς καὶ ἀποστόλοις παρεῖχεν, ἵν' εἰς πᾶσαν τὴν γῆν ἐξέλθοι ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. Τούτων δὲ τῶν πτωχῶν καὶ τῶν πενήτων ἐκ τόκου καὶ ἐξ ἀδικίας ἐλυτρώσατο τὰς ψυχάς, ὅπως μηδενὶ μηδὲν ὀφείλοιεν. Εἰ δὲ καί ποτε δεδανεισμένοι ὤφλησαν, ὥστε ἐνόχους αὐτοὺς γενέσθαι παλαιῶν ἁμαρτημάτων, ἀλλ' αὐτός, τὸ αἷμα τὸ τίμιον λύτρον ὑπὲρ αὐτῶν δούς, ἐλυτρώσατο τὰς ψυχὰς αὐτῶν· ὅθεν ὁ θεῖος Ἀπόστολος ἐδίδασκε λέγων· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα.[2]» Ἐπειδὴ γὰρ χρεῶσται ἦσαν καὶ ὀφειλέται τῆς Μωϋσέως νομοθεσίας, οὐκ ἐπλήρουν δὲ τὰ γεγραμμένα, εἶθ' ὑπὸ κατάραν ἦσαν, διὰ τὸ μὴ πάντα τὸν νόμον φυλάττειν. Γέγραπτο γάρ· «Ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά.[3]» Εἰκότως ταύτης τῆς ἀρᾶς ἐλευθερώσας αὐτούς, ἐκ τόκου καὶ ἐξ ἀδικίας ἐλυτροῦτο αὐτούς, γινόμενος ὑπὲρ αὐτῶν κατάρα· καὶ τὸ τίμιον αὐτοῦ αἷμα ὑπὲρ αὐτῶν διδούς, καὶ οὕτω τιμίους ἑαυτῷ ἀπεργαζόμενος. Διὸ λέλεκται ἑξῆς· «Καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.» Ὅθεν ἀναγέγραπται εἰρηκὼς πρὸς αὐτούς· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ καὶ ἀγαλλιᾶσθε, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς.[4]» Διὰ τί δὲ τὸ ὄνομα αὐτῶν ἔντιμον ἦν ἐνώπιον αὐτοῦ, ἀλλ' ἐπειδήπερ αὐτὸς καὶ τῶν ὀνομάτων αὐτοὺς ἠξίου, τὸν μὲν Σίμωνα Πέτρον ἀνειπών, τὸν δὲ Θωμᾶν Δίδυμον, τούς τε υἱοὺς Ζεβεδαίου Βοανεῖργες, ὅπερ ἑρμηνεύεται «υἱοὶ βροντῆς·» Ἀλλὰ καὶ κατὰ τὸ κοινὸν πάντων αὐτῶν ἔντιμον ὄνομα ἦν ἐνώπιον αὐτοῦ. Τοῦτο δὲ ἦν ὅπερ ἐπεσημήνατο ἡ τοῦ Εὐαγγελίου γραφὴ φήσασα· «Τούτους τοὺς δώδεκα ἐξελέξατο ὁ Ἰησοῦς, οὓς καὶ ἀποστόλους ὠνόμασεν.[5]» Ἀντὶ δὲ τοῦ, «τὸ ὄνομα αὐτῶν», «τὸ αἷμα αὐτῶν», ἡ Ἑβραϊκὴ γραφὴ περιέχει· οὕτω δὲ καὶ οἱ λοιποὶ ἡρμήνευσαν· ὁ μὲν Ἀκύλας εἰπών· «Καὶ τιμηθήσεται τὸ αἷμα αὐτῶν ἐν ὀφθαλμοῖς αὐτοῦ·» ὁ δὲ Σύμμαχος· «Καὶ τίμιον ἔσται τὸ αἷμα αὐτῶν ἐνώπιον αὐτοῦ.» Δι' ὧν σαφῶς ἠνίξατο τὸν θάνατον τῶν προλεχθέντων, ὧν ὁ καθεὶς ποικίλον ὑπέμεινε τὸ τοῦ μαρτυρίου τέλος, ἄλλος ἄλλως διὰ τὴν εἰς αὐτὸν μαρτυρίαν τὸν δι' αἵματος ὑπομείνας ἀγῶνα·

1. Ματθ. 28, 20. 2. Γαλ. 3, 13. 3. Δευτ. 27, 26. 4. Λουκ. 10, 20. 5. Λουκ. 6, 13.

ὥστ' εἰρῆσθαι περὶ αὐτῶν· «Τίμιος ἐνώπιον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.[1]» Τούτῳ γὰρ ὅμοιον τυγχάνει καὶ τὸ μετὰ χεῖρας φάσκον· «Καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ.»

Στίχ. ιε΄, ις΄. «Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας, καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός.»

Δοκεῖ μοι ἐνταῦθα τό, «καὶ ζήσεται», συνᾴδειν τῇ σωτηρίῳ φωνῇ φησάσῃ πρὸς τοὺς αὐτοῦ μαθητάς· «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος.[2]» Ἵνα γὰρ τὴν παραμονὴν καὶ τὴν παρατείνουσαν εἰς ἄπειρον ζωὴν τοῦ προφητευομένου παραστήσῃ, ἐπήγαγε τό, «καὶ ζήσεται.» Μακρᾶς γὰρ ἔδει ζωῆς εἰς κατόρθωσιν τῶν εἰρημένων. Εἰ γοῦν ὁ προφητευόμενος κρινεῖ τὸν λαὸν αὐτοῦ ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχοὺς αὐτοῦ ἐν κρίσει, καὶ ταπεινοῖ συκοφάντην, καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, κατακυριεύσει τε ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως τῶν περάτων τῆς οἰκουμένης· εἰκότως μακροβίου ζωῆς ἔδει αὐτῷ. Πῶς τε ὑποταγεῖεν αὐτῷ Αἰθίοπες καὶ βασιλεῖς Θαρσεῖς καὶ νῆσοι, προσκυνήσουσί τε αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς, καὶ πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ; Τούτων γὰρ ἕνεκα πάντων διαρκοῦς αὐτῷ ζωῆς ἔδει. Διὸ μετὰ ταῦτα πάντα καλῶς καὶ ἀναγκαίως ἐπενήνεκται τό, «καὶ ζήσεται·» τοῦτον δηλουμένης τὸν τρόπον τῆς τοῦ προφητευομένου ἀθανάτου καὶ αἰωνίου ζωῆς. Ἑξῆς δ' εἴρηται· «Καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας.» Ἀντὶ δὲ τοῦ, «τῆς Ἀραβίας», πάλιν ἡ Ἑβραϊκὴ γραφὴ τὸ «Σαβὰ» περιέχει· οἵ τε λοιποὶ ἑρμηνευταὶ τῇ ὁμοίᾳ κέχρηνται τῇ φωνῇ. Τροπικῶς μὲν οὖν εἴποι ἄν τις τὸ χρυσίον τοῦτο σημαίνειν τὸν ἐν ἀνθρώποις καθαρώτατον νοῦν. Καὶ κατὰ ἱστορίαν δὲ ἐπληροῦτο τὸ λόγιον, ὅτε οἱ ἐξ ἀνατολῆς μάγοι ἐλθόντες παῖδα ὄντα προσεκύνησαν τὸν Σωτῆρα, προσήνεγκάν τε αὐτῷ χρυσίον καὶ λίβανον καὶ σμύρναν. Μή ποτε δὲ καὶ τό, «ζήσεται», εἰς ἐκεῖνον ἀναφέρεται τὸν χρόνον, καθ' ὃν Ἡρώδης, ἐπιβουλεύων νηπιάζοντι τῷ Ἰησοῦ, «πέμψας ἀνεῖλε πάντας τοὺς περὶ τὴν Βηθλεὲμ παῖδας ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν μάγων.[3]» Τότε γὰρ χρηματισθεὶς ὁ Ἰησοῦς, παρέλαβε Μαρίαν τὴν γυναῖκα αὐτοῦ καὶ τὸ παιδίον, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον. Διὸ ταῦτα θεσπίζουσα ἡ παροῦσα προφητεία προὔλεγεν, ὅτι «ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας» τοῦ ἀπὸ Σαβά· ὡσεὶ σαφέστερον ἔλεγε «τοῦ ἐκλεκτοῦ.» Ἡ γὰρ Σαβὰ αὕτη καὶ τὸ Σαβαϊτῶν ἔθνος λέγεται εἶναι τῆς Ἀραβίας τῆς καλουμένης Εὐδαίμονος· ἐντεῦθέν τε ἱστορεῖται τῷ Σολομῶνι φέρεσθαι μετὰ τῶν ἄλλων καὶ χρυσίον ἐκλεκτόν. Καὶ ἄλλως δὲ αὐτοῖς ὀφθαλμοῖς ὁρῶμεν ἐν ταῖς ἐκκλησίαις Χριστοῦ μυρία κειμήλια ἀπὸ χρυσίου καθαροῦ εἰς αὐτοῦ τε τιμὴν ἀφιερούμενα. Εἰκότως οὖν οὐδὲ τὴν τούτων μνήμην παριδεῖν

1. Ψαλμ. 115, 6. 2. Ματθ. 28, 20. 3. Ματθ. 2, 16.

ἠξίωσεν ὁ λόγος. Ἐπιλέγει δὲ ἑξῆς· «Καὶ προσεύξονται περὶ αὐτοῦ διηνεκῶς, διὰ πάσης ἡμέρας ἕκαστος εὐλογήσει αὐτόν.» Οὐ δεῖ δὲ πολλῶν λόγων εἰς τὸ παραστῆσαι ὅπως πάντες οἱ εἰς τὸν Χριστὸν τοῦ Θεοῦ πεπιστευκότες ἀδιαλείπτους ἀναφέρουσιν εὐχὰς «περὶ αὐτοῦ», ὡς ἂν ἔχοιεν αὐτὸν αἰεὶ συνόντα, καὶ βοηθὸν αὐτοῖς πᾶσι γιγνόμενον. Ὡς δὲ διὰ πάσης ἡμέρας ἕκαστος εὐλογεῖ αὐτόν, τίς ἂν ἀμφιβάλλοι; Νύκτωρ γοῦν καὶ μεθ' ἡμέραν πλεῖον τῆς ἀναπνοῆς πᾶσα ψυχὴ τῶν εἰς αὐτὸν γνησίως πεπιστευκότων, τὴν προσηγορίαν αὐτοῦ τιμῶσα καὶ σέβουσα εὐλογεῖ αὐτόν, πεπεισμένη εἰς ἑαυτὴν ἀντιστρέφειν τὴν εὐλογίαν, ἀκολούθως λογίῳ εἰς αὐτοῦ πρόσωπον Χριστοῦ φήσαντι· «Οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται.[1]» Ὅθεν καὶ αὔξει ὁσημέραι καὶ πληθύει τὸ Χριστιανῶν γένος, διὰ τὸ μετέχειν τῆς ἐκ Θεοῦ εὐλογίας, ἧς ἀπολαύει διὰ τὸ ἀδιαλείπτως τὸν Χριστὸν αὐτοῦ εὐλογεῖν ἀκολούθως τῇ μετὰ χεῖρας γραφῇ φασκούσῃ· «Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν·» Καὶ τὸ τούτων αἴτιον παρίστησι λέγων· «Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρου τῶν ὀρέων.» Οὕτω δὲ σημαίνει τὴν Ἐκκλησίαν αὐτοῦ τεθεμελιωμένην καὶ ἐστηριγμένην ἐπὶ τὴν ἀρραγῆ τῆς αὐτοῦ δυνάμεως πέτραν, ἐπηρμένην δὲ καὶ ὑψωμένην, ὡς ἂν ἐπὶ ἄκρα ὀρέων κειμένην, προφητικῶν δηλαδὴ καὶ ἀποστολικῶν λόγων, οἷς ἡ Ἐκκλησία τοῦ Σωτῆρος ἡμῶν ἐποικοδομεῖται.

Στίχ. ις΄-ιζ΄. «Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ, καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.»

Ὅπως ὑπερήρθη τοῦ προφητευομένου Σωτῆρος ἡμῶν ὁ καρπὸς ὑπὲρ τὸν Λίβανον νοήσεις τὰ περὶ τοῦ Λιβάνου ἐν προφητείαις λελεγμένα συναγαγών. Εἴρηται δὲ ἐν μὲν τῷ Ἡσαΐᾳ· «Ἰδοὺ δὴ Κύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος·[2]» καὶ ἑξῆς· «Ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.[3]» Λέλεκται δὲ καὶ ἐν Ζαχαρίᾳ· «Διάνοιξον, ὁ Λίβανος, τὰς πύλας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου.[4]» Εἴρηται δὲ καὶ ἐν κη΄ ψαλμῷ· «Συντρίψει τὰς κέδρους τοῦ Λιβάνου, καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον.[5]» Ἐπιλύεται δὲ ταύτας τὰς φωνὰς ἀσαφεῖς οὔσας ὁ παρὰ τῷ Ἐζεκιὴλ φάσκων λόγος· «Ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος, ὁ πλατὺς τῇ ἐκτάσει, πλήρης ὀνύχων, ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἀπέκοψε τὰ ἁπαλὰ τῆς κέδρου·[6]» οἷς ἑξῆς ἐπιλέγεται· «Ὅτε ἂν ἔλθῃ ὁ βασιλεὺς Βαβυλῶνος καὶ εἰσέλθῃ εἰς Ἱερουσαλήμ, καὶ λήψεται τοὺς ἄρχοντας.[7]» Σαφῶς γὰρ διὰ τούτων ἡ προφητεία τὸν μὲν ἀετὸν τὸν μέγαν τὸν μεγαλοπτέρυγον τὸν βασιλέα τῶν Βαβυλωνίων ἡρμήνευσε, τὸ δὲ Λίβανον τὴν Ἱερουσαλήμ. Ἐφαρμόσεις δὲ καὶ τὰ παρὰ τοῖς λοιποῖς προφήταις ὥσπερ Λιβάνου λελεγμένα τῇ Ἱερουσαλήμ.

1. Ἀριθ. 24, 9. 2. Ἡσ. 10, 33. 3. Ἡσ. 10, 34. 4. Ζαχ. 11, 1. 5. Ψαλμ. 88, 5-6. 6. Ἰεζ. 17, 3. 7. Ἰεζ. 17, 12.

Ἀλλ' οὐδὲ τῶν ἐκ περιτομῆς τις ἀμφιβάλλοι ἂν μὴ οὐχὶ περὶ τῆς Ἱερουσαλὴμ αἰνίττεσθαι ὁμολογεῖν τὰ περὶ Λιβάνου λελεγμένα. «Ὑπεραρθήσεται» τοίνυν, τὸ παρὸν λόγιόν φησιν, «ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ», δηλαδὴ τοῦ προφητευομένου Σωτῆρος. Καρπὸς δὲ αὐτοῦ τίς ἂν γένοιτο ἢ Ἐκκλησία αὐτοῦ ἡ καθ' ὅλης τῆς οἰκουμένης ἐστηριγμένη, περὶ ἧς ἐλέγετο· «Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρον τῶν ὀρέων;» Αὕτη τοίνυν ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον προφητεύεται· εἰ γὰρ καὶ ἔδοξέ ποτε ὁ δηλωθεὶς Λίβανος, λέγω δὲ ἡ Ἱερουσαλήμ, δοξάζεσθαι καὶ ἀνθεῖν, ἀλλ' ὑπερήρθη καὶ πολὺ κάλλιον ἐκείνης ἀσυγκρίτῳ ὑπεροχῇ τοῦ Σωτῆρος ἡμῶν ὁ καρπός, ἡ καθ' ὅλης δηλαδὴ τῆς οἰκουμένης Ἐκκλησία γέγονε. Τούτοις ἑξῆς τοὺς λαοὺς τοὺς κατὰ πᾶσαν πόλιν συγκροτουμένους καὶ τὰ πολλὰ πλήθη παρίστησι λέγων· «Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.» Τὸ δέ, «ἐκ πόλεως», εἴρηται, ἀντὶ τοῦ, καθ' ἑκάστην πόλιν καὶ κατὰ πάντα τόπον. Ἀλλὰ καὶ ἡ Ἐκκλησία αὐτοῦ πόλις ὠνόμασται τοῦ Θεοῦ διὰ τὴν ἐν αὐτῇ συνισταμένην νόμιμον καὶ εὐαγγελικὴν πολιτείαν. Διὸ λέλεκται· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ·[1]» καὶ πάλιν· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.[2]» Ἐπεὶ τοίνυν ἡ πόλις τοῦ Θεοῦ, ἀρδευομένη τῷ ἐν αὐτῇ πλημμύροντι ποταμῷ, λόγῳ, πολὺ πλῆθος προφέρει τῶν ἐν τῇ Ἐκκλησίᾳ συγκροτουμένων, εἰκότως ἐπιλέλεκται· «Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.» Προηγεῖτο μὲν οὖν τοῦ χόρτου δίκην ἐξανθοῦντος πλήθους ὁ προλελεγμένος καρπὸς αὐτοῦ, πολὺ βελτίων καὶ κρείττων τυγχάνων τοῦ χόρτου τῆς γῆς· διὸ προτέτακται τό· «Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ·» μετὰ δὲ τὸν καρπὸν τὸν ἐξαίρετον, τοὺς ἐν τῇ Ἐκκλησίᾳ δηλαδὴ καρποφοροῦντας, τὰ λοιπὰ πλήθη καταριθμεῖ διὰ τοῦ· «Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς.» Εἶτ' ἐπὶ τούτοις λέγεται· «Ἔσται τὸ ὄνομα αὐτοῦ εἰς τοὺς αἰῶνας.» Διαμένοντος δὲ καὶ διαιωνίζοντος τοῦ Χριστοῦ ὀνόματος, συμπαρεκτείνεσθαι καὶ τὸ Χριστιανῶν ὄνομα ἀκόλουθον ἂν εἴη. Τοῦτο δὲ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως ἦν· διὸ εἴρηται· «Πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ.» Καὶ ἀνωτέρω δὲ ἐλέγετο συμπαραμένειν τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης εἰς γενεὰς γενεῶν. Ὅτι δὲ ταῦτα οὐ δυνατὸν θνητῇ ἐφαρμόσαι φύσει, φθάσαντες ἤδη παρεστήσαμεν. Μετὰ ταῦτα δὲ λέλεκται· «Καὶ ἐνευλογηθήσεται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.[3]» Οἷς παραθήσεις τὸν φήσαντα πρὸς τὸν Ἀβραὰμ χρησμόν· «Καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς.» Καὶ θέα, ὅπως ἡ πρὸς τὸν Ἀβραὰμ ἐπαγγελία ἐφυλάττετο κατὰ χρόνους ἀνανεουμένη δι' ἑκάστου προφήτου. Τῷ μὲν γὰρ Ἀβραὰμ πρώτῳ λέλεκτο τό· «Εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ

1. Ψαλμ. 86, 3. 2. Ψαλμ. 45, 5. 3. Γεν. 22, 18.

ἔθνη τῆς γῆς·» μετὰ δὲ ταῦτα ὁ Ἰακὼβ θεσπίζων περὶ τοῦ Χριστοῦ ἀναγέγραπται εἰρηκώς· «Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα ἕως ἂν ἔλθῃ ὃ ἀπόκειται· καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν.[1]» Καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις αὖθις εἴρηται διὰ τοῦ Βαλαάμ· «Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν.[2]» Καὶ Μωϋσῆς δὲ τῶν ἐθνῶν ἐν ᾠδῇ μεγάλῃ μέμνητο λέγων· «Εὐφράνθητε, ἔθνη λαὸς αὐτοῦ· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ.[3]» Οὕτως οὖν καὶ ἐνταῦθα τὰ πρὸς τὸν Ἀβραὰμ διὰ τοῦ χρησμοῦ τεθεσπισμένα ἐπαναλαμβάνει τὸ λόγιον διδάσκον οὐκ ἄλλως ἢ διὰ τοῦ Χριστοῦ πληρωθήσεσθαι, φάσκον· «Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.» Εἶθ' ἑξῆς φησι· «Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.» Πῶς δὲ μακαριοῦσιν αὐτὸν πάντα τὰ ἔθνη; διὰ τῆς ἐν αὐτοῖς μακαριότητος τὴν ἐξ αὐτοῦ χάριν παριστῶντα.

Στίχ. ιη΄- κ΄. «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.»

Εὐλογούμενα τὰ ἔθνη ἐν τῷ προφητευομένῳ κατὰ τὸ λόγιον τὸ φῆσαν· «Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη·» αὔξει τὴν κατὰ Θεὸν αὔξησιν, καὶ πληθύει, καὶ τῆς γῆς κατακυριεύει. Διόπερ φησὶν ὁ θεῖος Ἀπόστολος· «Εὐλογητὸς ὁ Θεὸς ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ.[4]» Οὕτω δὲ ἔχοντα, ἀντευλογεῖ τὸν τῆς εὐλογίας αὐτοῖς αἴτιον γεγενημένον. Διὸ πρῶτον μὲν ἐμακάριζον αὐτόν, εἶτα καὶ εὐλογεῖν διδάσκεται διὰ τοῦ λέγειν· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.» Ἐπιτήρει δέ, ὡς ἕκαστον μέρος τῆς βίβλου τῶν Ψαλμῶν εἰς ὅμοιον καταλήγει τέλος. Τοῦ μὲν γὰρ πρώτου μέρους τελευταῖος ἦν ὁ μ΄, οὗ πρὸς τῷ τέλει ἐλέγετο· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο·» τοῦ δὲ δευτέρου τελευταῖος ἦν ὁ μετὰ χεῖρας ὁμοίως ἐπὶ τῷ τέλει λέγων· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος. Καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ», καὶ τὰ ἑξῆς· τοῦ δὲ τρίτου μέρους τελευταῖος ὁ πη΄ τυγχάνει, οὗ τέλος· «Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.» Ὁμοίως δὲ καὶ τοῦ τετάρτου μέρους τελευταῖος μὲν ἔστιν ὁ ρε΄, τέλος δὲ τούτου· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, καὶ ἐρεῖ πᾶς ὁ λαός· Γένοιτο, γένοιτο.» Τὸ δὲ πέμπτον μέρος εἰς τὸ «ἀλληλούϊα» καταλήγει, ἐν ᾧ καὶ πᾶσα περιγέγραπται ἡ βίβλος. Πλὴν ὁ παρὼν μετὰ τὴν προεκτεθεῖσαν περὶ τοῦ Χριστοῦ πρόρρησιν ἐπιφέρει τό· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ», καὶ προστίθησι τό, «ὁ ποιῶν θαυμάσια μόνος.» Ποῖα δὲ θαυμάσια, ἢ τὰ προλεχθέντα ἐν οἷς ἦν τὸ καταβήσεσθαι αὐτὸν ἐπὶ πόκον ὡς ὑετόν, καὶ τὸ ταπεινῶσαι συκοφάντην, καὶ τὸ συμπαραμενεῖν τῷ ἡλίῳ· καὶ τὸ ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνατελεῖν δικαιοσύνην, καὶ τὸ κατακυριεύσειν

---

1. Γεν. 49, 10. 2. Ἀριθ. 24, 7. 3. Δευτ. 32, 43. 4. Ἐφ. 1, 3.

αὐτὸν ἀπὸ θαλάσσης ἕως θαλάσσης· τοὺς Αἰθίοπας προπίπτειν ἐνώπιον αὐτοῦ· δῶρά τε αὐτῷ προσαχθήσεσθαι ἐξ ἁπάντων τῶν ἐθνῶν· ἀλλὰ καὶ τὸ στήριγμα αὐτὸν ἐν τῇ γῇ γενήσεσθαι, καὶ τὸν καρπὸν αὐτοῦ ὑπὲρ τὸν Λίβανον ἀρθήσεσθαι, καὶ ὅσα ἄλλα τούτοις ἑξῆς κατηρίθμηται; ἐφ' οἷς πᾶσι διδασκόμεθα λέγειν· «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος. Καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα.» Ὄνομα δὲ δόξης αὐτοῦ ἡ θεότης αὐτοῦ τυγχάνει· εἰ γὰρ τὸ ὑπὸ τῆς ἁγίας Παρθένου γεγενημένον ὀνόματος ἠξίωται τοῦ Ἰησοῦ κατὰ τὸν Γαβριὴλ φήσαντα πρὸς τὸν Ἰωσήφ· «Καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ·[1]» ἀκόλουθόν ἐστι τὸ τῆς δόξης αὐτοῦ ὄνομα τὴν περὶ αὐτοῦ νοεῖσθαι θεολογίαν, δι' ἧς Θεὸς Λόγος καὶ μονογενὴς Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς ἐπινενόηται· ὅθεν ἐπιλέγεται ἑξῆς· «Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.» Πάλαι μὲν γὰρ ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.[2]» Καὶ ἐπεὶ μηδὲ Ἰουδαῖοι οἷς τοσαύτας ἐνεδείξατο θαυματουργίας παρεδέξαντο τὴν γνῶσιν αὐτοῦ, εἰκότως φησὶ πρὸς Μωϋσῆν· «Ἔασόν με, καὶ θυμωθεὶς ὀργῇ ἐκτρίψω αὐτούς, καὶ ποιήσω σε εἰς ἔθνος μέγα·[3]» καὶ ἐπιλέγει· «Ζῇ τὸ ὄνομά μου, ὅτι πληρωθήσεται τῆς δόξης μου πᾶσα ἡ γῆ.[4]» Εἰ γὰρ καὶ τὰ μάλιστα οὗτοι, φησί, παρωθοῦνται τὴν ἐμὴν δόξαν, ἀλλὰ καιρῷ τινι πληρωθήσεται ἡ οἰκουμένη πᾶσα τῆς ἐμῆς δόξης. Ὃ δὴ καὶ τὸ παρὸν λόγιον διδάσκει φῆσαν· «Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ.» Τοῦτο καὶ Ἡσαΐας παρίστη θεσπίζων τὰ σεραφεὶμ κυκλοῦντα τὸν Κύριον Σαβαὼθ βοῶντά τε καὶ λέγοντα· «Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.[5]» Ἀλλὰ ταῦτα μὲν θεϊκῇ προγνώσει ἐθεσπίζετο πάλαι· ἔργοις δὲ ἐπληροῦτο πρότερον ἢ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τῷ τῶν ἀνθρώπων ἐπιλάμψαι γένει· ἰδοὺ γὰρ καθ' ἡμᾶς αὐτοὺς ἀνατέτραπται μὲν πᾶσα δαιμονικὴ πλάνη· πεπλήρωκε δὲ τὴν οἰκουμένην ἅπασαν ἡ Ἐκκλησία Χριστοῦ, τὸν Θεὸν Ἰσραὴλ ἐν πάσῃ τῇ γῇ δοξάζουσα. Καὶ ἐπειδήπερ ταῦτα τὸ Πνεῦμα τὸ ἅγιον προφητικῶς μέλλοντα ἔσεσθαι προανεφώνει, χορὸς ἀγγέλων ὑπακούει συνευχόμενος τῇ τῶν πραγμάτων τελειώσει, πιστούμενός τε αὐτὰ καὶ λέγων· «Γένοιτο, γένοιτο·» ἢ κατὰ τὸν Ἀκύλαν, «πεπιστωμένως, πεπιστωμένως», ἢ κατὰ τὸν Σύμμαχον· «Ἀμὴν καὶ ἀμήν·» οἷς ἑξῆς ἐπιλέγεται· «Ἐξέλιπον ὕμνοι Δαυῒδ τοῦ υἱοῦ Ἰεσσαί.» Ἀνθ' οὗ ὁ μὲν Σύμμαχος ἡρμήνευσεν· «Ἐπετελέσθησαν προσευχαὶ Δαυῒδ υἱοῦ Ἰεσσαί·» ὁ δὲ Θεοδοτίων καὶ ἡ πέμπτη ἔκδοσις· «Ἀνεκεφαλαιώθησαν προσευχαὶ Δαυῒδ καὶ Ἰεσσαί.» Οἱ μὲν

1. Ματθ. 1, 21. 2. Ἰω. 1, 10. 3. Ἔξ. 32, 9-10. 4. Ἀριθ. 14, 21. 5. Ἡσ. 6, 3.

οὖν ἄπειροι τῆς ἀκριβείας τοῦ ἀναγνώσματος οὐχ ὡς μέρος τοῦ ὅλου ψαλμοῦ ἐξειλήφασι τό, «Ἐξέλιπον ὕμνοι Δαυῒδ υἱοῦ Ἰεσσαί·» ἀλλ' ὡς ἔξωθεν τῆς προφητείας παραγεγραμμένον ἀνέγνωσαν. Αἱ δὲ λοιπαὶ ἑρμηνεῖαι καὶ ἡ Ἑβραϊκὴ γραφὴ σαφῶς παρίστησιν, ὅτι καὶ ταῦτα μέρος τυγχάνει τοῦ ὅλου ψαλμοῦ. Ἐπειδὴ γὰρ Δαυῒδ ὁ βασιλεὺς ἐν προσευχαῖς ἐτίθετο ἀεὶ ἐπιλάμψαι τοῦ Σωτῆρος τὴν ἐκ σπέρματος αὐτοῦ προφωνουμένην γένεσιν· ταύτης δὲ εἰς ἔργα χωρούσης, ἔμελλε συμπληροῦσθαι πάντα τὰ προπεφητευμένα· εἰκότως μετὰ τὸ συμπέρασμα τῶν προλελεγμένων ἐπιλέγεται, ὡς ἄρα ἐπετελέσθησαν καὶ συνεπληρώθησαν διὰ τῶν προλελεγμένων αἱ τοῦ Δαυῒδ προσευχαί. Δύναται δὲ τό, «ἐπετελέσθησαν ἢ ἐξέλιπον», προφητικῶς λέγεσθαι εἰς μέλλοντα χρόνον· τῶν γὰρ προκατηριθμημένων ἕκαστον γενήσεται ἐπὰν καὶ ἐπιτελεσθῶσι καὶ συμπληρωθῶσιν αἱ προσευχαὶ Δαυῒδ τοῦ υἱοῦ Ἰεσσαί. Εὐκαιρότατα δὲ διὰ τὸν προφητευόμενον Χριστὸν τοῦ Θεοῦ ἐμνημόνευσεν οὐχ ἁπλῶς «τοῦ Δαυῒδ», ἀλλὰ μετὰ προσθήκης «τοῦ υἱοῦ Ἰεσσαί·» ἵνα συνάψωμεν τῇ παρούσῃ γραφῇ τὴν Ἡσαΐου προφητείαν, δι' ἧς τὸ ὅμοια περὶ τοῦ Χριστοῦ θεσπίζεται ἐν οἷς εἴρηται· «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν τὸ Πνεῦμα τοῦ Θεοῦ [1]», καὶ τὰ ἑξῆς· οὗ ἐπιλέγεται· «Καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν. [2]» Ὁρᾷς γὰρ ὅπως καὶ ἐνταῦθα διὰ τῆς ῥίζης Ἰεσσαὶ ἡ κλῆσις τῶν ἐθνῶν ἀναφωνεῖται· ὥστε μὴ μάτην μηδὲ τὴν προσθήκην τὴν «τοῦ υἱοῦ Ἰεσσαὶ» ἐν τῇ προκειμένῃ φέρεσθαι προφητείᾳ. Κατὰ καιρὸν δὲ ἐνταῦθα, Χριστοῦ βασιλείας καὶ κλήσεως ἐθνῶν εὐαγγελισθείσης, τὸ δεύτερον μέρος τῆς βίβλου τῶν Ψαλμῶν περιγράφεται, ἀρξάμενον μὲν ἀπὸ πρώτου καὶ τεσσαρακοστοῦ, καταλῆξαν δὲ εἰς τὸν μετὰ χεῖρας.

## ΤΩΝ ΕΠΙΓΕΓΡΑΜΜΕΝΩΝ ΤΟΥ ΑΣΑΦ ΨΑΛΜΩΝ. ΑΙ ΠΕΡΙΟΧΑΙ.

### Α'.

Οἱ τοῦ «Ἀσὰφ» ἐπιγεγραμμένοι εἰσὶ μὲν τὸν ἀριθμὸν ιβ', τούτων δὲ εἷς ἀπεσχοίνισται τῆς τῶν προκειμένων ια' συναφείας, κατατέτακται δὲ πρὸ τοῦ ν' ψαλμοῦ. Ὁ γοῦν μθ' ἐπιγέγραπται τοῦ «Ἀσάφ·» τὴν δὲ ὑποπεσοῦσαν ἡμῖν αἰτίαν τοὺς τόπους διηγούμενοι παρεθήκαμεν. Εἰσάγει δὲ ὁ μετὰ χεῖρας πρῶτος ὢν τοῦ Ἀσάφ, τὸν προφήτην ὑπερθαυμάζοντα τὸ μακρόθυμον τοῦ παναγάθου Θεοῦ, καὶ τὴν ἐπὶ τοῖς ἀσεβέσιν ἀνεξικακίαν αὐτοῦ, τήν τε ἐνδιδομένην συγχώρησιν τοῖς ἁμαρτάνουσιν· ἣν ὑπερεκπληττόμενος, ἑαυτοῦ κατηγορεῖ ὡς ὀλιγοψυχοῦντος καὶ μικροῦ δεῖν σαλευθέντος, καὶ τῆς ψυχῆς τὰς βάσεις περιτραπέντος, δι' ἃς ἑώρα τῶν ἀσεβῶν καὶ ἀθέων ἀνδρῶν

1. Ἡσ. 11, 1. 2. Ἡσ. 11, 10.

εὐπραγίας. Πλὴν ἀποδυσπετήσας ἐν τοῖς πρώτοις, προϊὼν τὴν καταστροφὴν αὐτῶν θεσπίζει λέγων· «Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; Ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν [1]», καὶ τὰ τούτοις ἀκόλουθα.

Β'.

Ὁ δεύτερος ἐπὶ ποίαις περιστάσεσιν τὰ ἐν τῷ πρώτῳ λέλεκτο διδάσκει, ἀποδυρόμενος τῆς Ἱερουσαλὴμ τὴν ἐσχάτην πολιορκίαν, ἣν πέπονθεν ἐπὶ τῶν Ῥωμαϊκῶν χρόνων, σημαίνων τε τὴν ἐπανάστασιν τῶν τὸν τόπον πολιορκησάντων· ὁ δὴ παρίστησι φήσας· «Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;» Οἷς ἑξῆς ἐπιλέγει· «Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πέλυκι καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου·» οἷς αὖθις ἐπιλέγει· «Τὰ σημεῖα ὑμῶν οὐκ εἴδομεν· οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι· [2]» τῷ γὰρ φάσκειν μηκέτι προφήτας γεγονέναι κατὰ τὴν δηλουμένην πολιορκίαν σημεῖον ἦν τῆς ὑστάτης αὐτῶν ἀποπτώσεως. Ἕπεται δὲ ταῦτα σφόδρα ἀκολούθως ταῖς διὰ τῶν ἔμπροσθεν περὶ τοῦ Χριστοῦ λεχθείσαις προρρήσεσιν. Ἐπειδὴ γὰρ ἐλθόντα αὐτὸν μὴ παρεδέξαντο, ἀναγκαίως τὴν ἐπελθοῦσαν αὐτοῖς ὀργὴν μετὰ τὰ κατ' αὐτοῦ τολμηθέντα αὐτοῖς θεσπίζει.

Γ'.

Ὁ τρίτος τοῦ Ἀσὰφ εἰς τὸ τέλος παραπέμπει τὸν τοῖς προτέροις ἐντετυχηκότα, καὶ παραινεῖ «μὴ διαφθεῖραι.[3]» Ἐπιγράφει τε πρὸς τούτοις, ὅτι καὶ ψαλμὸς εἴη καὶ ᾠδή· ἐπειδὴ περιέχει εὐχαριστίαν τῶν εἰς τὸν Χριστὸν πεπιστευκότων. Καὶ τὴν τοῦ Θεοῦ δικαιοκρισίαν παρίστησι διδάσκων ὅπως ἔστησεν ἡμέραν κρίσεως, ἐν ᾗ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Καὶ οὔτε οἱ κατὰ τὸν παρόντα βίον κακούμενοι τῆς παρὰ τῷ Θεῷ μελλούσης ἐλπίδος ἀποπεσοῦνται, οὔθ' οἱ κατὰ τὸν ἐνεστῶτα καιρὸν ἐπαρθέντες καὶ καταλαζονευσάμενοι τοῦ Χριστοῦ ἀτιμώρητον ἕξουσι τὸν μετὰ ταῦτα βίον. Διὸ ἐκ προσώπου μὲν τῶν τοῦ Σωτῆρος ἡμῶν ἀποστόλων καὶ μαθητῶν καὶ εὐαγγελιστῶν ἀναφωνεῖ τό· «Ἐξομολογησόμεθά σοι, ὁ Θεός, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου·» περὶ δὲ τῶν κατὰ τοῦ Σωτῆρος ἡμῶν τολμησάντων προϊὼν ἐπάγει τό· «Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν.» Εἶθ' ἑξῆς ἐξ αὐτοῦ προσώπου τοῦ Χριστοῦ ἐπιφέρει τό· «Ἐγὼ δὲ ἀπαγγελῶ εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ. Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.»

1. Ψαλμ. 72, 18-19. 2. Ψαλμ. 73, 1-9. 3. Ψαλμ. 74, 1.

Δ΄.

Καὶ ὁ παρὼν ψαλμὸς λέλεκται «Ἐν ὕμνοις·[1]» οὐ μόνον ἀλλὰ καὶ ᾠδὴ τυγχάνει ἀναπέμπουσα εἰς τὸ τέλος. Διαγράφει δὲ τῶν μὲν ἀποστόλων τοῦ Σωτῆρος καὶ τῆς Ἐκκλησίας αὐτοῦ τὴν ἀσφάλειαν. αὐτοῦ δὲ τὴν ἐν εἰρήνῃ μονὴν καὶ στάσιν, καὶ τὴν ἐπὶ τῆς Ἰουδαίας παρουσίαν· καὶ ὡς ἡ ἀληθινὴ αὐτοῦ πόλις, καὶ τὸ Σιὼν ὄρος τὸ ἀληθινὸν αὐτοῦ οἰκητήριον πάντοτε εἰρηνεύεται, οὐδὲ πώποτε ἐχθροῖς ὑποχείριον γιγνόμενον. Ὃ δὴ σημαίνει λέγων· «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. Ἐγενήθη εἰρήνῃ ὁ τόπος αὐτοῦ καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.» Εἶθ' ἑξῆς τῶν ἐχθρῶν αὐτοῦ καὶ τῶν τῆς Ἐκκλησίας αὐτοῦ πολεμίων τὴν πτῶσιν παρίστησιν ὧδε φάσκων· «Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον·» καὶ πάλιν· «Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. Ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν πάντες οἱ ἐπιβεβηκότες τοὺς ἵππους·» οἷς ἐπισυνάπτει τὴν ἔνδοξον τοῦ Σωτῆρος παρουσίαν λέγων· «Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ ἐφοβήθη καὶ ἡσύχασεν ἐν τῷ καταστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι πάντας τοὺς βασιλεῖς τῆς γῆς.»

Ε΄.

Καὶ ὁ μετὰ χεῖρας τοῦ μὲν Ἀσὰφ τυγχάνει, ὑπογράφει δέ, «Ὑπὲρ Ἰδιθούμ·[2]» περὶ οὗ προδιειλήφαμεν διὰ τῶν ἔμπροσθεν. Ἔοικεν δὲ ὑπὲρ τοῦ Ἰδιθοὺμ συντάττειν τοὺς λόγους, πολλὰ ὡς εἰκότως ἐφ' οἷς ἀκήκοεν περὶ τοῦ λαοῦ καταστενάζοντος, λειποθυμοῦντος τε ἤδη καὶ μικροῦ δεῖν καὶ ἑαυτὸν ἀπογινώσκοντος διὰ τὰς τοῦ λαοῦ παρανομίας καὶ τὰ συμβησόμενα δι' αὐτὰς τῷ παντὶ ἔθνει. Δι' ὃ ἐν ἀρχῇ μὲν ὡς ἐκ προσώπου αὐτοῦ τίθησι τό, «Φωνῇ μου πρὸς τὸν Θεὸν ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι·» εἶθ' ἑξῆς τὴν γενομένην αὐτῷ ἀθυμίαν ὑποφαίνει λέγων· «Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἠδολέσχησε καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. Ἐταράχθην καὶ οὐκ ἐλάλησα.» Καὶ ἐπιλέγει· «Νύκτωρ μετὰ τῆς καρδίας μου ἠδολέσχουν καὶ ἔσκαλλον τὸ πνεῦμά μου. Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκρύψει ἀπὸ γενεᾶς εἰς γενεάν; ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός, ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;» Ταῦτ' ἦν τὰ λυπήσαντα τὴν τοῦ Ἰδιθοὺμ ψυχήν. Δι' ὃ καλῶς ὠλιγοψυχηκέναι ὡμολόγει. Ἀλλὰ τὸ θεῖον Πνεῦμα διὰ τοῦ προφήτου Ἀσὰφ ἑξῆς τὰ λυπηρὰ θεραπεύει ἐν οἷς φησι· «Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια. Ἐγνώρισας ἐν τοῖς

1. Ψαλμ. 75, 1. 2. Ψαλμ. 76, 1.

λαοῖς τὴν δύναμίν σου, ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ·» καὶ αὖθις· «Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, ἐταράχθησαν αἱ ἄβυσσοι· πλῆθος ἤχους ὕδατος·» καὶ ἐπισφραγίζεται λέγων· «Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.» Ἀναγκαίως δὲ τούτων ὁ Ἀσὰφ ὑπέμνησε τὸν Ἰδιθούμ, ὡς ἂν μηκέτι λέγοι· «Ἠδολέσχησε καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου·» πιστεύων δὲ τοῖς πάλαι ἐπὶ Μωϋσέως τοῦ Θεοῦ παραδόξοις ἔργοις, δι' ὧν ἐλυτρώσατο τὸν λαόν, τὰ ὅμοια καὶ εἰς τὸν ἐπιόντα χρόνον ἐλπίζοι γενήσεσθαι.

## Ϛ'.

Ὁ ἕκτος οὐκέτι ψαλμὸς οὐδὲ ᾠδὴ οὐδὲ ὕμνος, οὐδὲ ἀναπέμπει εἰς τὸ τέλος. Ὅθεν οὐδὲν τούτων ἐπιγέγραπται· διεγείρει δὲ ἡμᾶς εἰς σύνεσιν τῶν ἐμφερομένων. Διὰ τί δὲ μηδὲν τῶν προειρημένων ἡ προγραφὴ περιέχει, ἀλλ' ἐπειδήπερ ὁ πᾶς λόγος τοῦ Ἰουδαίων ἔθνους κατηγορεῖ, καταριθμούμενος αὐτῶν τὰ πάλαι ἀσεβήματα; Τοῦτο δὲ πράττει ὁ προφήτης εἰς ἀπολογίαν τῆς τοῦ Θεοῦ δικαιοκρισίας· μέλλων γὰρ θεσπίζειν τὰ συμβησόμενα τῷ ἔθνει πρὸ τῆς τοῦ Σωτῆρος παρουσίας, ἀναγκαίως διδάσκει, ὅτι μὴ ἐπὶ μικροῖς ἀσεβήμασι ταῦτα πείσονται. Διόπερ καταριθμεῖται ὁσάκις ἥμαρτε καὶ ὁσάκις ἤνεγκεν αὐτοὺς ἡ τοῦ Θεοῦ μακροθυμία, καὶ ὡς ὕστερον πληρώσαντας αὐτοὺς τὸ μέτρον τῶν ἀσεβημάτων δικαιότατα μετῆλθεν ἡ ἐκ Θεοῦ ὀργή. Ἵν' οὖν ταῦτα γνῶμεν, ἀναγκαίως ἐπιγράφει, «Συνέσεως τῷ Ἀσάφ[1]», καὶ προϊὼν ἑξῆς ἀνακεφαλαιοῦται αὐτῶν πάσας τὰς παρανομίας.

## Ζ'.

Ἐπιτεμόμενος τὸ πλῆθος τῶν ἀσεβημάτων τοῦ Ἰουδαίων ἔθνους, καὶ ὥσπερ ἐν στήλῃ τὰς κατ' αὐτῶν κατηγορίας ἐντυπώσας, ἀκολούθως διὰ τῶν προκειμένων τὴν γενομένην κατ' αὐτῶν ἐπανάστασιν κατὰ τοὺς χρόνους Ἀντιόχου τοῦ τῆς Συρίας βασιλέως θεσπίζει. Ὁ ἐπελθὼν τοῖς Ἱεροσολύμοις, οὐ καθαιρεῖ μέν, βεβηλοῖ δὲ τὸ ἱερόν, εἰδωλολατρεῖν ἐπαναγκάσας τὸ ἔθνος. Τούτων δὲ τὴν ἱστορίαν ἡ τῶν ἐπιγεγραμμένων Μακκαβαίων βίβλος περιέχει· ἐν ᾗ καὶ τὰ πλήθη τῶν ἀνῃρημένων, οἵ τε τρόποι τῶν ὑπὸ εὐσεβείας μεμαρτυρηκότων παρ' αὐτοῖς ἀνεγράφησαν. Διὸ τὸ προφητικὸν Πνεῦμα ἔντευξιν ὑπὲρ τοῦ παντὸς ἀναπέμπει λαοῦ φάσκον· «Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς.[2]» Ταῦτα γὰρ ἦν σεμνολογήματα τοῦ ἔθνους· διὸ σὺν παρ-

1. Ψαλμ. 77, 1. 2. Ψαλμ. 78, 1-2.

ρησίᾳ πολλῇ λέλεκτο. Ἀλλ' οὐ τοιαῦτα ἦν τὰ ἐν τῷ γ' καὶ ο', δι' οὗ ἐλέγετο· «Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;[1]» Ἐν ἐκείνοις γὰρ τὴν εἰς τέλος ἀποβολὴν τοῦ ἔθνους ἐδήλου, καὶ τὴν ἐσχάτην τῆς Ἱερουσαλὴμ ἀπόπτωσιν. Καὶ ἐν ἐκείνῳ μὲν οὐκ ἐμφέρεται χρηστὸν τέλος οὐδὲ ἐπαγγελία τις θεραπεύουσα τὰ λελεγμένα· ἐν δὲ τῷ παρόντι μετὰ τὰ σκυθρωπὰ ἐπισυνάπτει τῷ τέλει τοῦ παντὸς λόγου· «Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε. Ἡμεῖς δέ, λαός σου καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα. Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.» Αὗται γὰρ σαφῶς δικαίων τυγχάνουσι φωναί.

## Η'.

Ἡ ὀγδόη προφητεία τοῦ Ἀσὰφ πολλὰ σημαίνει κατὰ τὸ αὐτὸ διὰ τῆς προγραφῆς· ἔστι γάρ, «εἰς τὸ τέλος», καί, «ὑπὲρ τῶν ἀλλοιωθησομένων», καί, «ψαλμός·[2]» πρὸς τούτοις ἅπασιν ἐπιτετήρηται ὡς καὶ «μαρτύριον» εἴη μόνος οὗτος τῶν ἐν πάσῃ τῇ βίβλῳ φερομένων οὕτως ἐπιγεγραμμένος. Εἰς μὲν οὖν τὸ τέλος ἀναπέμπει διὰ τὸ θεσπίζειν τὸ μέλλον· «ὑπὲρ» δὲ τῶν «ἀλλοιωθησομένων», διὰ τὴν μεταβολὴν τῶν διὰ τῆς προφητείας δηλουμένων· «μαρτύριον» δὲ εἴρηται διὰ τὸ μαρτύρεσθαι περὶ τοῦ ἐν αὐτῷ προαναφωνουμένου ἀνδρὸς καὶ τοῦ καλουμένου Υἱοῦ ἀνθρώπου. Υἱὸν γάρ τινα ἀνθρώπου εἰσάγει καὶ ἄνδρα δεξιᾶς τοῦ Θεοῦ τοῦτον ὀνομάζει. Πρῶτον μὲν οὖν τοῦ Ἰουδαίων ἔθνους τὴν ἀπὸ Αἰγύπτου πορείαν καὶ τὴν ἐπὶ τῆς Παλαιστινῶν γῆς οἴκησιν παρίστησιν ἐν ἀλληγορίαις τρόπῳ φάσκων· «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν», καὶ τὰ τούτοις ἀκόλουθα· εἶτα δηλοῖ τὴν ἐσομένην ἐρημίαν αὐτῶν φάσκων· «Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;» Καὶ περὶ τῶν πολιορκησάντων δὲ διδάσκει λέγων· «Ἐλυμήναντο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν.» Δι' ὧν δύο πολιορκητὰς ἔσεσθαι τοῦ ἔθνους σημαίνει· ὃ δὴ γέγονε μὲν καὶ κατὰ τοὺς τῶν Βαβυλωνίων χρόνους· πρῶτος γὰρ ὁ Ἀσσύριος ἐπελθὼν τὰς δέκα φυλὰς τοῦ Ἰσραὴλ αἰχμαλώτους ἀπήγαγεν· εἶτα μετὰ τοῦτον ὁ Βαβυλώνιος τοὺς ὑπολοίπους ἐχειρώσατο, τὴν Ἱερουσαλὴμ σὺν τῷ ναῷ πυρπολήσας. Ὃ δὴ θεσπίζει φάσκων ὁ λόγος· «Ἐμπεπυρισμένη ἐν πυρὶ καὶ ἀνεσκαμμένη·» γέγονε δὲ καὶ ἐπὶ τῆς Ῥωμαίων βασιλείας, πρῶτον μὲν πολιορκήσαντος αὐτοὺς Τίτου τοῦ καὶ τὸ ἱερὸν πυρπολήσαντος μετὰ τὰ τολμηθέντα αὐτοῖς κατὰ τοῦ Σωτῆρος ἡμῶν· ἔπειτα Ἀδριανοῦ τοῦ τὴν πόλιν αὐτὴν ἄβατον Ἰουδαίοις εἶναι νομοθετήσαντος. Ἀλλ' ἐπειδὴ ταῦτα περὶ τῆς πολιορκίας ἐθέσπισε τοῦ ἔθνους, προϊὼν περὶ

1. Ψαλμ. 73, 1. 2. Ψαλμ. 79, 1.

τῆς σωτηρίου θεοφανείας εὐχὴν ἀναπέμπει λέγων· «Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ Υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ.» Παρακαλεῖ δὲ ἐν τούτοις τὸν ἄνδρα τῆς δεξιᾶς τοῦ Θεοῦ ὀφθῆναι ἐπὶ γῆς. Δι' αὐτοῦ γάρ, φησίν, ἡμεῖς οἱ παραδεξάμενοι αὐτὸν οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ἀλλὰ καὶ ζωώσεις ἡμᾶς δι' αὐτοῦ· δι' ὃ καὶ ἱκετεύομεν λέγοντες· «Κύριε τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου», διὰ τοῦ δηλωθέντος ἀνδρός, «καὶ σωθησόμεθα.»

Θ'.

Σφόδρα ἀκολούθως τοῖς προλεχθεῖσιν ἡ μετὰ χεῖρας προφητεία «ὑπὲρ τῶν ληνῶν [1]» προγέγραπται, καὶ εἰς τὸ τέλος ἀναπέμπει. Ληνοὺς δὲ διὰ τούτων ὀνομάζει τὰς καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίας τοῦ Θεοῦ, ἐν οἷς ὁ τρυγητὸς τῆς ἁγίας ἀμπέλου συνῆκται. Παραδόξως δὲ προγέγραπται, «ὑπὲρ τῶν ληνῶν», μετὰ τὸν ἀφανισμὸν τῆς προτέρας ἀμπέλου. Ἐκείνης γὰρ λυμανθείσης ὑπὸ τοῦ ἀγρίου συός, τοῦ τε φραγμοῦ αὐτῆς καθαιρεθέντος, ἐνταῦθα πολλῶν ληνῶν καὶ οὐκέτι μιᾶς ὁ λόγος μνημονεύει. Ληνὸν δὲ μίαν τὴν πρώτην ἐδήλου καὶ ὁ Ἠσαΐας λέγων· «Καὶ ᾠκοδόμησα πύργον, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ [2]», δηλαδὴ τῷ ἀμπελῶνι. Ἀλλ' ἐπεὶ τὴν πτῶσιν ἐδήλου τοῦ προτέρου πύργου, καὶ τὸν ἀφανισμὸν τοῦ προληνίου, τήν τε τοῦ παντὸς ἀμπελῶνος ἐρημίαν ἐν ἐκείνοις· εἰκότως διὰ τοῦ παρόντος τῶν ἐθνῶν ἁπάντων τὴν κλῆσιν εὐαγγελίζεται, «ὑπὲρ τῶν ληνῶν» ἐπιγράψας τὴν προφητείαν. Διὸ ἐπὶ χαρὰν καὶ εὐφροσύνην προκαλεῖται τοὺς εὐαγγελιζομένους φάσκων· «Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν· ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. Λάβετε ψαλμόν, καὶ δότε τύμπανον, ψαλτήριον τερπνὸν μετὰ κιθάρας.» Ταῦτα μὲν οὖν τοῖς ἀξίοις τοῦ Εὐαγγελίου, τοῖς τὰς ληνοὺς ἀπὸ τῶν οἰκείων καρπῶν πληροῦσι. Περὶ δὲ τοῦ Ἰουδαίων ἔθνους σαφῶς ἐπιλέγει· «Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῆς καρδίας αὐτῶν.» Πολλῆς δὲ ἔχεται ἀκολουθίας ταῦτα πρὸς τὴν ἔμπροσθεν προφητείαν. Ὡς γὰρ ἐκεῖ τῆς ἀμπέλου τὸν ἀφανισμὸν ἐδήλου, οὕτω καὶ ἐνταῦθα τῶν αὐτῶν τὸ ἀπειθὲς καὶ ἀνήκοον ἐλέγχει· καὶ ὡς ἐν ἐκείνῳ ἄνδρα δεξιᾶς τοῦ Θεοῦ εἰσήγαγε, καὶ Υἱὸν ἀνθρώπου κεκραταιωμένον, οὕτω διὰ τῶν προκειμένων τὴν «ὑπὲρ τῶν ληνῶν» συνῆψε προφητείαν, δηλαδὴ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ ἃς ὁ Υἱὸς τοῦ ἀνθρώπου συνεστήσατο.

Ι'.

Θεοὺς εἰσάγει καὶ Θεὸν ἐν μέσῳ θεῶν διακρίνοντα τοὺς ὠνομασμένους θεοὺς ἐν τούτοις ὁ Ἀσὰφ ἀναγκαίως· ἐπειδὴ γὰρ διὰ τῶν

1. Ψαλμ. 80, 1. 2. Ἡσ. 5, 2.

ἔμπροσθεν τοῦ παντὸς Ἰουδαίων ἔθνους κατηγόρει, ἀκολούθως ἐπὶ τοῦ παρόντος τοὺς παρ' αὐτοῖς ἄρχοντας ἰδίως ἐλέγχει. Εἶτ' ἐπειδὴ τὸν Χριστὸν τοῦ Θεοῦ ἐν τῷ πρὸ τούτου ἄνδρα ὠνόμασε δεξιᾶς αὐτοῦ καὶ Υἱὸν ἀνθρώπου κεκραταιωμένον, τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν σημήνας, ἵνα μή τις αὐτὸν ψιλὸν ὑπολάβοι ἄνδρα καὶ τοῖς πολλοῖς ὅμοιον, θεολογεῖ αὐτὸν ἐν τοῖς μετὰ χεῖρας φήσας· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν.[1]» Καὶ ὅπως μὴ ταραχθείη τις εἰς τὸν περὶ μοναρχίας λόγον, Θεὸν ἀκούων τὸν Χριστὸν τοῦ Θεοῦ, εἰκότως καὶ πλείονας θεοὺς ὀνομάζει τοὺς διὰ τῶν ἑξῆς κατηγορουμένους, μονονουχὶ παρακελευόμενος μὴ ἀποκνεῖν καὶ τὸν Υἱὸν Θεοῦ Θεὸν ἀποκαλεῖν. Εἰ γὰρ οἱ διαβαλλόμενοι τοῦ ἔθνους ἄρχοντες θεοὶ ἠξιώθησαν ὀνομασθῆναι, ποῖος ἂν γένοιτο κίνδυνος τὸν ἄνδρα τῆς δεξιᾶς τοῦ Θεοῦ καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου τὸν κεκραταιωμένον Θεὸν ὁμολογεῖν; Εἶτ' ἐπὶ τέλει τοῦ παντὸς ὁ Προφήτης εὐχὴν ἀναπέμπει ὑπὲρ τῆς τῶν ἐθνῶν κλήσεως φάσκων· «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.» Ἔοικε δὲ τούτῳ ἀκόλουθος εἶναι ὁ μθ' ψαλμός, ἐν ᾧ καὶ αὐτῷ λέλεκτο· «Θεὸς θεῶν Κύριος ἐλάλησε.[2]» Καὶ ἐν ἀμφοτέροις δ' οὖν Θεὸς θεῶν εἴρηκται· καὶ πάλιν ἐν ἀμφοτέροις κρίνων ἀναγέγραπται. Καὶ ἐν μὲν τῷ παρόντι λέλεκται· «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν·» ἐν δὲ τῷ μθ' σφόδρα τούτοις ἀκολούθως ὅπως ἀναστὰς κρίνει τὴν γῆν ὑπογράφει ὁ λόγος φάσκων· «Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν·[3]» καὶ ἑξῆς· «Ὁ Θεὸς ἐμφανῶς ἥξει, καὶ οὐ παρασιωπήσεται. Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται[4]», καὶ τὰ ἑξῆς· δι' ὧν ὅπως μέλλει κρίνειν διεξέρχεται. Καὶ ἐπειδήπερ ἐν τῷ μετὰ χεῖρας λέλεκται· «Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν·» εἰκότως ἐν τῷ μθ' τοὺς παρὰ Μωϋσεῖ περὶ θυσιῶν ἀνατρέπει νόμους, ἕτερον τρόπον παραδιδοὺς λογικῆς θυσίας, τὸν καθ' ὅλης τῆς οἰκουμένης ἐν πᾶσι τοῖς ἔθνεσιν ἐπιτελούμενον· δι' ὃ λέλεκται· «Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.»

## ΙΑ'.

Ὁ παρὼν λόγος, τελευταῖος ὢν τοῦ Ἀσάφ, ἱκετηρίαν περιέχει καὶ παράκλησιν ὑπὲρ τοῦ λαοῦ σφόδρ' ἀκολούθως. Ἐπειδὴ γὰρ ἐν τοῖς πρώτοις ἐθέσπισε τὴν ἐσχάτην τοῦ τόπου πολιορκίαν, εἶτ' ἀναδραμὼν τῷ χρόνῳ δευτέραν τὴν ὑπ' Ἀντιόχου γενομένην ἔταξεν, εἶτ' ἐπὶ ταύτης τρίτης ἐμνημόνευσε τῆς προαγούσης τοῖς χρόνοις, λέγω δὲ τῆς κατὰ τῶν Ἀσσυρίων καὶ Βαβυλωνίων ἀρχῆς· ἀκολούθως διὰ τῶν προκειμένων δέησιν καὶ ἱκετηρίαν ἀναπέμπει ὑπὲρ τῆς τοῖς χρόνοις πρώτης πολιορκίας, καθ' ἣν πάντες οἱ περίοικοι τῆς Ἰουδαίας

1. Ψαλμ. 81, 1. 2. Ψαλμ. 49, 1. 3. Ψαλμ. 49, 1. 4. Ψαλμ. 49, 3.

δεξιὰς τοῖς Ἀσσυρίοις κατ' αὐτῶν ὤρεξαν. Ὃ δὴ σημαίνει λέγων· «Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται, Μωὰβ καὶ οἱ Ἀγαρηνοί, Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ, ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον. Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.» Οἷς ἑξῆς τὸ καταληψόμενον αὐτοὺς ὑπογράφει τέλος φάσκων· «Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου, ὡσεὶ πῦρ ὃ διαφλέξει δρυμόν, ὡσεὶ φλὸξ κατακαύσει ὄρη», καὶ τὰ ἐπιφερόμενα. Ἔνθα γενόμενος ἀναγκαίως ἐπιτηρήσεις, ὡς ὅπου μέμνηται τοῦ Ἀσσούρ, οὗτοι δὲ ἦσαν οἱ Ἀσσύριοι, καὶ τῶν προλεχθέντων ἐθνῶν τὴν κατ' αὐτῶν ποιεῖται δέησιν, καὶ τὴν καταστροφὴν αὐτῶν ἑξῆς θεσπίζει· καὶ ἐν τῷ οη' ὁμοίως, ἐν ᾧ τὰ κατὰ Ἀντίοχον προανεφώνει, ὃς Ἑλληνίζειν καὶ παραβαίνειν τὰ πάτρια ἠνάγκαζεν Ἰουδαίους. Πάλιν γὰρ κἀκεῖ τὴν καταστροφὴν τῶν πολεμίων προὔλεγεν. Οὐκέτι δὲ καὶ ἐν τῷ ογ', καθ' ὃν ἡ ἐσχάτη αὐτῶν ἐδηλοῦτο ἀποβολή.

Οὗτοι μὲν οὖν οἱ συνημμένοι τοῦ Ἀσὰφ ια'. Ὁ δὲ ιβ' πρὸ τοῦ ν' ψαλμοῦ κατατέτακται δι' ἣν ἀποδεδώκαμεν αἰτίαν τοὺς τόπους διηγούμενοι. Ἀλλὰ γὰρ μετὰ τὴν τούτων ἐπιτομὴν φέρ' ἐπαναλαβόντες τὸν πρῶτον, τὴν κατὰ μέρος αὐτοῦ διάνοιαν ἐπιθεωρήσωμεν.

## ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ. ΟΒ'.

Στίχ. α'-γ'. «Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεός, τοῖς εὐθέσι τῇ καρδίᾳ!»

Τὸ τρίτον μέρος τῆς βίβλου τῶν Ψαλμῶν ἄρχεται μὲν ἀπὸ τοῦ παρόντος, περαιοῦται δὲ εἰς τὸν πη', ὡς τοὺς πάντας περιέχειν ψαλμοὺς ἑπτὰ καὶ δέκα· ὧν ἐφεξῆς ια' τυγχάνουσι τοῦ Ἀσάφ· εἶτα τῶν υἱῶν Κορὲ δ', καὶ τοῦ Δαυῒδ εἷς, καὶ Αἰθὰν τοῦ Ἐσδραΐτου τελευταῖος. Ὁ μέντοι μετὰ χεῖρας τοῦ Ἀσὰφ (προφήτης δὲ ἦν οὗτος συγχρονίσας τῷ Δαυῒδ), «Ψαλμὸς» μὲν ἐπιγέγραπται, διὰ τὸ περιέχειν ἐπὶ τέλει τῶν λόγων τῶν μὲν ἀσεβῶν τὴν καταστροφήν, τῶν δ' εὐσεβῶν τὸ παρὰ τῷ Θεῷ τεταμιευμένον ἀγαθὸν τέλος· ἃ δὴ παρίστη λέγων· «Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται, ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστιν·» ἄρχεται δ' ἀπὸ δογματικῆς διδασκαλίας, δι' ἧς αἰτίαν ἀποδίδωσι τῆς τῶν ἀσεβῶν κατά τινας καιροὺς εὐπραγίας· τὸ γὰρ ἀγαθὸν εἶναι καὶ μακρόθυμον τὸν Θεόν, τοῦτό φησιν ὑπάρχειν αἴτιον. Ὃ δὴ διδάσκει καὶ ὁ θεῖος Ἀπόστολος λέγων· «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει;[1]» καὶ ἀλλαχοῦ δὲ εἴρηται· «Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἀγαθὸς καὶ μακρόθυμος μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν.[2]» Ὡς ἀγαθὸς γοῦν

1. Ῥωμ. 2, 4. 2. Ψαλμ. 7, 12.

«ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχει ἐπὶ πονηροὺς καὶ ἀγαθούς.[1]» Ἔνθεν καὶ ὁ Σωτὴρ ὅρον περὶ τοῦ Πατρὸς ἐξήνεγκεν εἰπών· «Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός.[2]» Κἂν ἐξετάζῃς περὶ τοῦ Υἱοῦ, μαθήσῃ ὅπως ἐστὶ καὶ αὐτὸς ἀγαθός· ἐπείπερ ἀπαύγασμά ἐστι φωτὸς ἀϊδίου καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ Πατρὸς ἐνεργείας, «καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.[3]» Τοιοῦτος μὲν οὖν ὁ Θεὸς πέφυκεν· ἔγνωσται δὲ οὐ πᾶσιν, ἀλλὰ μόνῳ τῷ Ἰσραήλ, τῷ διορατικῷ δηλαδὴ καὶ γνωστικῷ ἀνδρί, ὃν δὴ παρίστησι συνάπτων ἑξῆς καὶ λέγων, «τοῖς εὐθέσι τῇ καρδίᾳ.» Ὁ γὰρ μηδὲν σκολιὸν κεκτημένος ἐν τῇ ἑαυτοῦ ψυχῇ, λογισμοῖς δὲ ὀρθοῖς ἐπιβάλλων τοῖς τῆς προνοίας λόγοις, αὐτὸς ἂν εἴη ὁ Ἰσραήλ, ᾧ καὶ ἔγνωσται ἀγαθὸς ὢν ὁ Θεὸς δι' ὑπερβολήν τε ἀγαθότητος πάντων ἀνεχόμενος. Ἀλλ' ὁ μὲν Θεὸς τοιοῦτος. Ἐγὼ δέ, ἄνθρωπος φιλαλήθης εἶναι θέλων, τὴν ἐμαυτοῦ διηγοῦμαι τῆς ψυχῆς νωθρίαν. Μικροῦ γὰρ δεῖν τὴν ἐμαυτοῦ στάσιν καὶ βάσιν, καί, ὡς ἂν εἴποι τις μεταφορικῶς, τοὺς τῆς ψυχῆς πόδας καὶ τὰ ἐρείσματα παρετράπην ἐκ τῆς εἰς τὸν Θεὸν ἐλπίδος διὰ τὰς τῶν ἀθέων καὶ ἀσεβῶν ἀνδρῶν εὐπραγίας. Ἀλλὰ παρὰ μικρὸν μὲν τοῦτ' ἔπαθον· διὰ δὲ τὴν τοῦ Θεοῦ χάριν οὐκ ἐσαλεύθην, οὐδὲ κατεκράτησέ μου ὁ προλεχθεὶς λογισμός· ἢ γὰρ ἂν ἀπωλόμην, καὶ πάντα μου τὰ διαβήματα κέχυτο· «παρ' ὀλίγον» γὰρ «ἐξεχύθη τὰ διαβήματά μου», οὐ μὴν ἐξεχύθη. Νοήσεις δὲ ὅπως ἐκχεῖται ψυχῆς διαβήματα, ἐπιστήσας, ὡς ἤδη τινές, προκόψαντες ἐν ἀσκήσει θεοσεβείας, ἐν σωφροσύνῃ τε καὶ ἁγνείᾳ διαλάμψαντες μακροῖς χρόνοις, ὕστερόν ποτε ὑπεσύρησαν χαυνότερον βιώσαντες καὶ ὀλισθήσαντες, ἢ παντελῶς ἐκπεσόντες τοῦ σκοποῦ, καὶ ὥσπερ ναυάγιον παθόντες τῶν πάλαι συνηγμένων αὐτοῖς ἀγαθῶν πράξεων. Τούτων γὰρ οὐκ ἂν ἁμάρτοις εἰπὼν τοὺς πόδας τῆς ψυχῆς σεσαλεῦσθαι· οὐ μὴν ἀλλὰ καὶ ὅλους πεπτωκέναι, τά τε διαβήματα αὐτῶν καὶ τὰς κατὰ Θεὸν πορείας τὴν ἐν μακρῷ χρόνῳ προκοπὴν ἀπορρεῦσαι καὶ ἐκκεχῦσθαι. Ἀλλὰ ταῦτα μὲν παρὰ μικρόν, φησίν, ἔπαθον, οὐ μὴν πέπονθα διὰ τὸ τοῦ Θεοῦ ἔλεος. Πλὴν ἤμελλόν γε ταῦτα πάσχειν διὰ ζῆλον ὃν ἐζήλουν ἐπὶ τοῖς ἀνόμοις ὁρῶν τὴν εἰρήνην αὐτῶν καὶ τὴν ἐν πλούτῳ καὶ τρυφῇ, ἔν τε ἀρχαῖς καὶ ἀξιώμασιν εὐημερίαν. Εἰς ταῦτα γὰρ ἀφορῶν διεπριόμην, ὡς μικροῦ δεῖν κινδυνεῦσαι περιπεσεῖν ἀθέοις λογισμοῖς· οἷς οὐ περιπέπτωκα δόγμασιν ὀρθοῖς θεραπευόμενος, τοῖς ὑπομιμνήσκουσιν ἀγαθὸν εἶναι τὸν Θεὸν καὶ ἀνεξίκακον καὶ μακρόθυμον. Διόπερ ἐκπληττόμενος αὐτοῦ καὶ ἀποθαυμάζων τὴν ὑπερβολὴν τῆς ἀγαθότητος, εἶπον ἀρχόμενος τοῦ λόγου· «Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεός, τοῖς εὐθέσι τῇ καρδίᾳ.» Ἀντὶ δὲ τοῦ· «Ὡς ἀγαθός», ὁ Σύμμαχος· «Πλὴν ὄντως», φησίν, «ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ, τοῖς καθαροῖς τὴν καρδίαν.» Παρέστησε γὰρ τίς εἴη ὁ Ἰσραήλ, ἐπισυνάψας καὶ

1. Ματθ. 5, 45. 2. Μάρκ. 10, 18. 3. Σοφ. Σολ. 7, 27. Ἑβρ. 1, 3.

εἰπών, «τοῖς καθαροῖς τὴν καρδίαν.» Οὗτοι γάρ εἰσιν ὁ ἀληθινὸς Ἰσραήλ· διὸ ἐλέγετο καὶ ὑπὸ τοῦ Σωτῆρος· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται·[1]» καὶ ὁ Ἰσραὴλ δὲ «ὁρῶν τὸν Θεὸν» ἑρμηνεύεται.

Στίχ δ΄-θ΄. «Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν, καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν. Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος.»

Ὡς ἐν ἱστορίᾳ διεξέρχεται τὰ ταράξαντα αὐτοῦ τὴν ψυχήν, ἵνα γνῶμεν, ὅτι μὴ ἐπὶ μικροῖς ἐσαλεύθησαν αὐτοῦ οἱ πόδες παρ' ὀλίγον· μηδὲ ἐπὶ τοῖς τυχοῦσιν ἤμελλον ἑαυτοῦ ἐκχεῖσθαι τὰ διαβήματα. Τίνα δὲ ἦν ταῦτα; Οἱ ἀσεβεῖς καὶ τὸν Θεὸν οὐκ εἰδότες, οὕτω, φησίν, ἐν εὐσταθείᾳ βίου καὶ θυμηδίαις διῆγον, καὶ μέχρις ἐσχάτης τελευτῆς τοσαύτης ἀπήλαυον τρυφῆς, ὡς καὶ πάνθ' ὁντινοῦν εὔξασθαι τῶν ἴσων αὐτοῖς τυχεῖν, ζηλῶσαί τε αὐτῶν οὐ μόνον τὴν ζωήν, ἀλλὰ καὶ τὸν θάνατον, ὃν οὐδὲ παραιτήσασθαι ἐξῆν οὐδὲ ἀπευκτὸν ἡγήσασθαι. Οὕτως οὐκ ἦν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν. Ἀλλὰ καὶ εἰ συνέβη ποτὲ μάστιγι καὶ πληγῇ, τουτέστι περιστάσει καὶ συμφορᾷ περιπεσεῖν αὐτῶν τινα, ἢ ἐν νόσοις ἐξετασθῆναι καὶ ζημίαις, οὐκ ἦν στερέωμα ἐν τῇ μάστιγι αὐτῶν. Οὐ γὰρ στερεά τις ἦν καὶ ἐπίμονος ἡ κατ' αὐτῶν πληγή· βραχεῖα δέ τις καὶ ἐξ ἐπιπολῆς παρατρέχουσα. Οὐδὲ ἐν κόποις δὲ ἀνθρώπων ἐξητάζοντο, γεωπονοῦντες καὶ τὴν τροφὴν ἀπὸ χειρῶν ποριζόμενοι, πενίᾳ τε κατατρυχόμενοι· τοὐναντίον δὲ πλούτῳ περιρρεόμενοι καθηδυπάθουν ἐντρυφῶντες, καὶ μηδὲν ὅμοιον πάσχοντες τοῖς λοιποῖς ἀνθρώποις τοῖς μαστιζομένοις ἑκάστης ἡμέρας δι' ἐπιπόνου καὶ μοχθηροῦ βίου. «Διὸ ἐν κόπῳ ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται.» Ὁ δὲ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Ὅτι οὐκ ἐνεθυμοῦντο, περὶ θανάτου· στερεὰ γὰρ ἦν τὰ πρόπυλα αὐτῶν·» καὶ ἑξῆς· «Ἐν ταλαιπωρίᾳ», φησίν, «ἀνδρὸς οὐκ ἐγένοντο, οὐδὲ μετὰ ἀνθρώπων ἐπλήσσοντο.» Ἐπεὶ οὖν ἐν τοιούτοις ἦσαν, «διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία. Δέον γὰρ ἀσεβεῖς ὄντας, ὅσον ἐν ἀνθρωπίνοις λογισμοῖς, τἀπίχειρα πάσχειν τοῖς ἀσεβήμασιν· οἱ δὲ κατενετρύφων τοῦ βίου θεομαχοῦντες. Δι' ὃ ἐπιτριβόμενοι χείρους ἑαυτῶν ἐγίγνοντο, «καὶ περιεβάλλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν·» ἀνθ' οὗ ὁ Σύμμαχος· «Ὑπερηφανίαν», φησίν, «ἠμφιώσαντο, ἀποθήκας ἐξ ἀδικίας ἔχοντες.» Ἔτι μὴν πρὸς τούτοις· «Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν·» οὗ δὴ σαφεστέραν ὁ Σύμμαχος ἀπέδωκε τὴν διάνοιαν εἰπών· «Προέπιπτον ἀπὸ λιπαρότητος οἱ ὀφθαλμοὶ αὐτῶν·» καὶ ὁ Ἀκύλας δὲ ὁμοίως ἡρμήνευσε φήσας· «Ἐξῆλθον ἀπὸ στέατος ὀφθαλμοὶ αὐτῶν.» Εἶτ' ἐπὶ τούτοις· «Διήλθοσαν», φησίν, «εἰς διάθεσιν καρδίας, διενοήθησαν καὶ ἐλάλησαν ἐν

1. Ματθ. 5, 8.

πονηρίᾳ·» ἃ καὶ αὐτὰ ὁ Σύμμαχος ἡρμήνευσεν οὕτω· «Παρέβαινον τὰ φαινόμενα τῇ καρδίᾳ καταμωκώμενοι.» Καὶ γὰρ αὐτὰ τὰ τοῖς πάντων ὀφθαλμοῖς ὁρώμενα ἔργα τοῦ Θεοῦ, καὶ τὰ προφανῆ τῆς Προνοίας θαύματα παρέβαινον οὗτοι, νοοῦντες μὲν καὶ συνιέντες αὐτά, καταμωκώμενοι δὲ καὶ χλευάζοντες δι' ὑπερβολὴν ἀπονοίας. Ἔτι μὴν «ἐλάλησαν ἐν πονηρίᾳ, καὶ ἀδικίαν εἰς τὸ ὕψος ἐφθέγγοντο. Ἔθεντό τε εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς.» Καὶ ταῦτα δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· «Ἐλάλουν ἐν πολλῇ συκοφαντίᾳ, τοῦ ὕψους κατελάλουν. Ἔτασσον εἰς οὐρανὸν τὸ στόμα αὐτῶν· ἡ δὲ γλῶσσα αὐτῶν περιπατήματα ἐν τῇ γῇ.» Βλάσφημα γὰρ προφερόμενοι ῥήματα κατὰ τοῦ Θεοῦ, ὡς μήτε ὁρῶντος μήτε ἐπισκοποῦντος, μήτε μὴν ὅλον ὑπάρχοντος, ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν, καὶ μέχρι τοῦ οὐρανοῦ ἐξέτεινον ἑαυτῶν τὸ στόμα· καὶ ταῦτα ταπεινοὶ ὄντες καὶ τὴν γλῶσσαν ἐπὶ τῆς γῆς ἔχοντες. Ταῦτ' ἦν δι' ἃ ὡμολόγουν τὸ ἐμαυτοῦ πάθος, κατ' ἐμαυτοῦ στηλιτεύων ἔγγραφον κατηγορίαν, καὶ ὅτι «παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες μου, καὶ παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν.»

Στίχ. ι΄. «Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς.»

Τὰ μὲν ἄθεα τῶν ἀσεβῶν ῥήματα καὶ ἡ κρατήσασα αὐτῶν ὑπερηφανία τοιαύτη τις ἦν οἵα δεδήλωται. Χρὴ δὲ μὴ ἀγνοεῖν, ὡς αὐτὰ ταῦτα πρὸς ἀγαθοῦ γεγένηται τῷ ἐμῷ λαῷ. Εἰ γὰρ καὶ τὰ μάλιστα πρός τινα καιρὸν αὐτοῖς ἐκείνοις τοῖς ἀσεβέσιν ὁ ἐμὸς λαὸς παρεδόθη εἰς ἔκπραξιν ἁμαρτημάτων, ἀλλ' ἡ ὑπερβολὴ τῆς τῶν προλεχθέντων ἀπονοίας, πτῶσιν αὐτοῖς ἐργασαμένη καὶ ὀλέθρου γενομένη αὐτοῖς αἰτία, ἄνεσιν καὶ ἀναπνοὴν τῷ ἐμῷ παρέξει λαῷ. Ἐκπεσόντων γὰρ ἐκείνων καὶ ἀπολομένων διὰ τὰς οἰκείας ἀσεβείας, «ὁ λαός μου ἐπιστρέψει ἐνταῦθα», τουτέστιν ἐν τῷ παρόντι βίῳ· «καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς», δηλαδὴ τοῖς ἐν τῷ ἐμῷ λαῷ ἀξίοις. Πλήρεις δὲ ἡμέραι εἰσὶν αἱ παντὸς ἀγαθοῦ πεπληρωμέναι, καὶ τὸν οἰκεῖον χρόνον τῆς ζωῆς ἀποπληροῦσαι. Οὕτω λέλεκταί που, ὅτι «Ἐκοιμήθη πλήρης ἡμερῶν.[1]» Ὁ μὲν οὖν ἐμὸς λαὸς ἐκ τούτων ὠφέληται· οἵ γε μὴν προλεχθέντες ἀσεβεῖς καὶ ἄθεοι οὕτως ἠσέβουν, ὡς τοὺς ὁρῶντας ἀμηχανεῖν καὶ λέγειν· «Πῶς ἔγνω ὁ Θεός, καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ;» εἰ γάρ ἐστιν ἐν τῷ Ὑψίστῳ γνῶσις, καὶ εἰ ταῦτα ἐφορᾷ, καὶ τοὺς ἐπὶ γῆς ἐπισκοπεῖ, πῶς οὗτοι τοιαῦτα δρῶντες εὐθηνοῦσιν, καὶ εἰς τὸν αἰῶνα κατέσχον πλούτου; Κἀγὼ δέ, ταῦτα θεωρῶν, ἐθορυβούμην τοῖς λογισμοῖς, ὡς πρὸς ἐμαυτὸν ἐννοεῖν· «Μήποτε ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν, καὶ ὁ ἔλεγ-

1. Γεν. 25, 8.

χός μου εἰς τὰς πρωΐας;» Εἰ γὰρ τοῖς μὴ ταῦτα πεποιηκόσι τοσαύτη πάρεστιν εὐθυμία, εἰς μάταιον ἄρα ἐγὼ κοπιῶ, καὶ περιττῶς ἐσπούδακα δικαιοσύνης ἐπιμελόμενος· εἰκῇ δὲ καὶ μάτην ἐφύλαξά μου τὰς χεῖρας καὶ τὰς πράξεις ἐξ ἀδίκων ἔργων· εἰκῇ καὶ νηστείαις καὶ κακοπαθείαις κατατρύχων ἐμαυτὸν καὶ μαστίζων πᾶσαν ἡμέραν διετέλεσα· εἰκῇ καὶ μάτην ἐπόνουν, ἅμα τῇ ἕῳ ἀνιστάμενος καὶ ἐξαγορεύων ἐν ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς τὰς ἐμαυτοῦ ἁμαρτίας ἀποκλαόμενός τε καὶ τοὺς κατ' ἐμαυτοῦ προφέρων ἐλέγχους ἐν ταῖς πρὸς τὸν Θεὸν ἐξομολογήσεσι. Ταῦτ' ἦν ἃ ἐνθυμούμενος, παρὰ μικρὸν ἐσαλευόμην. Ἀντὶ δὲ τούτων ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἴσως οὖν κἀγὼ μάτην ἐκάθαρα τὴν ψυχήν μου, καὶ ἐνιπτόμην ἐν ἀναμαρτησίᾳ τὰς χεῖράς μου, καὶ διετέλεσα μυκτηριζόμενος καθ' ἑκάστην ἡμέραν, καὶ ἐλεγχόμενος καθ' ἕκαστον ὄρθρον.

Στίχ. ιε'-ιζ'. «Εἰ ἔλεγον, Διηγήσομαι οὕτως, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυντέθεικα. Καὶ ὑπέλαβον τοῦ γνῶναι τοῦτο, κόπος ἐστὶν ἐνώπιόν μου· ἕως οὗ εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν.»

Τὰ προλεχθέντα ἐν τοῖς ἐμαυτοῦ λογισμοῖς ἐνεθυμήθην αὐτὸ μόνον, ἐφ' οἷς καὶ ἐκινδύνευον σάλον παθεῖν, οὐ μὴν καὶ ἐξηγόρευον εἰς ἑτέρους. Εἰ γὰρ κρίνας οὕτω φρονεῖν τὴν ἄθεον ταύτην διδασκαλίαν προέφερον εἰς ἑτέρους· παραβάτης ἂν ἐγενόμην τῶν εὐσεβῶν δογμάτων, καὶ τὰς συνθήκας ἂν παρῆλθον τῆς γενεᾶς τῶν σῶν τέκνων. Τέκνα γάρ σου τοῦ Θεοῦ πάντες γεγόνασιν οἱ ἅγιοι καὶ θεοφιλεῖς ἄνδρες. Γενεὰ δὲ αὐτῶν ἡ ἐξ αὐτῶν διαδοχὴ τῶν ἁγίων, ὧν τὰ μαθήματα καὶ τὰ δόγματα παρεχάραξα ἄν, εἰ προέφερον εἰς ἑτέρους τοὺς προλεχθέντας ἐμαυτοῦ λογισμούς. Ἀλλὰ καὶ εἰ παρεῖχον ἐμαυτὸν τοῦ γνῶναι τὰς αἰτίας, δι' ἃς οἱ ἁμαρτωλοὶ εὔθυμοι διατελοῦσι καὶ εἰς τὸν αἰῶνα κατέσχον πλούτου, οἱ δὲ δίκαιοι ταπεινοῦνται· οὐδὲ οὕτω κατέλαβον ἂν τὰς ἀπορρήτους περὶ τούτων κρίσεις, κόπους δὲ μόνους ἐμαυτῷ συνῆγον, εἰς ἀπορίαν ἐμπίπτων καὶ εἰς ψυχῆς κάματον. Διό φησι· «Καὶ εἰ ὑπέλαβον τοῦ γνῶναι τοῦτο, κόπος ἐστὶν ἐνώπιόν μου·» ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ εἰ ἐλογιζόμην ἐπιγνῶναι τοῦτο, μόχθος ἐφαίνετό μοι.» Διόπερ ὁρῶν ἀκατάληπτον οὖσαν ἀνθρώποις τὴν τούτων γνῶσιν, εὐσεβεῖ χρώμενος λογισμῷ, διενοούμην παρ' ἐμαυτῷ κρεῖττον εἶναι ἐπέχειν καὶ ἐκδέχεσθαι τὸν ἐπιτήδειον τῆς τούτων γνώσεως καιρόν. Οὗτος δὲ ἦν, «Ἕως εἰσέλθω εἰς ἁγιαστήριον τοῦ Θεοῦ, καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν·» ἢ κατὰ τὸν Σύμμαχον, «Ἕως εἰσέλθω εἰς τὰ ἁγιάσματα τοῦ Θεοῦ, συνετισθῶ τὰ ἔσχατα αὐτῶν.» Ταύτην δὲ καλὴν ἐμαυτῷ καταφυγὴν εὑρὼν τῆς τῶν ἀπορουμένων λύσεως, τὴν ἀπαλλαγὴν δηλαδὴ τοῦ θνητοῦ βίου, καὶ τὴν εἴσοδον τὴν ἐπὶ τὰς ἐπαγγελίας τοῦ Θεοῦ, θεραπείας ἐτύγχανον καὶ παραμυθίας· εὖ εἰδώς, ὡς ἐκεῖσε γενόμενος, συναισθήσομαι τοὺς λόγους τῶν ἐζητημένων, γνώσομαί τε τὰ ἔσχατα τῶν ἀσεβῶν. Μὴ γὰρ

προσήκει εἰς τὸν παρόντα μόνον ἀποβλέπειν βίον καὶ εἰς τὴν παροῦσαν αὐτῶν τρυφήν, ἀλλὰ καὶ εἰς τὰ ἔσχατα αὐτῶν ἀφορᾶν.

Στίχ. ιη' -κ'. «Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά· κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν ὡσεὶ ἐνύπνιον ἐξεγειρομένων.» Τρισὶ λογισμοῖς ἐπιβαλὼν περὶ τῶν ἐζητημένων, τὸν μὲν ἑώρων ἀσεβῆ καὶ ἄθεον τὸν λέγοντα· «Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου·» τὸν δὲ τῆς τούτων καταλήψεως, πεπληρωμένον κόπου καὶ πόνου διὰ τὰ βάθη τοῦ πλούτου τῆς γνώσεως τοῦ Θεοῦ, καὶ διὰ τὸ ἀνεξερεύνητα εἶναι τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνιάστους τὰς ὁδοὺς αὐτοῦ· ἐπὶ τὸν τρίτον οὖν ἔστην κρίνας ἐπέχειν μὲν τέως, περιμένειν δὲ καὶ ἀφορᾶν εἰς τὸ πάντων τέλος. Τούτῳ δ' ἐμπιστεύσας ἐμαυτὸν τῷ λογισμῷ εὐσεβεῖ ὄντι καὶ ἀληθεῖ, ἐξ αὐτῆς ὠνάμην τῆς πίστεως. Ἔγνων γὰρ ἐξ ὑποβολῆς τοῦ προφητικοῦ Πνεύματος, ὡς διὰ τὰς δολιότητας αὐτῶν καταβαλεῖ αὐτοὺς οὐκ εἰς μακρὸν ὁ Θεός, μετὰ τὸ ἐπαρθῆναι καὶ ὑψωθῆναι. Εἶτα φωτισθείς, καὶ τὴν πτῶσιν αὐτῶν τὴν ἐπὶ τέλει καταληψομένην αὐτοὺς προφητικῇ δυνάμει συνιδών, εἰκότως φημί· «Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν», γεγόνασί τε «ὡσεὶ ἐνύπνιον» ἐξεγηγερμένου. Ἕως μὲν γάρ τις φαντάζεται ὀνειρώττων ἐν τοῖς ὕπνοις, δοκεῖ τι πράττειν ἀπατώμενος τῇ τοῦ ἐνυπνίου φαντασίᾳ· ἐπειδὰν δὲ διεγερθῇ τὸν ὕπνον ὑποτριψάμενος, οἴχεται αὐτῷ τὰ τῆς φαντασίας. Οὕτω δὲ καὶ τῶν ἀσεβῶν ἡ τοῦ παρόντος βίου δοκοῦσα εὐπραγεία καὶ ὁ πλοῦτος καὶ ἡ ὑπερηφανία ὅμοιον ἕξει τὸ τέλος τοῖς ὀνειρώττουσι καὶ ἐνυπνιαζομένοις, ἔπειτα διεγρηγοροῦσι καὶ μηδενὸς ὧν ἐδόκουν ὁρᾶν τε καὶ κατέχειν ταῖς χερσὶν ἐπειλημμένοις. Κατὰ δὲ τὸν Σύμμαχον, ἀντὶ τοῦ, «Πλὴν διὰ τὰς δολιότητας ἔθου αὐτοῖς», τοῦτον εἴρηκε τὸν τρόπον· «Ὄντως ἐν ὀλίσθῳ ἔταξας αὐτούς, κατέβαλες αὐτοὺς εἰς ἀφανισμούς· ἐξαίφνης ἐξέλιπον, ἀνηλώθησαν ὡς οὐχ ὑπάρξαντες, ὡς ὄνειρον ἐξυπνίσαντι.» Εἰς δὲ τό, «ἐξαίφνης», καὶ τό, «ἐξάπινα», παραθήσεις τὴν σωτήριον φωνὴν τὴν λέγουσαν· «Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε ποίᾳ ἡμέρᾳ καὶ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται·[1]» καὶ πάλιν· «Ἥξει ὁ Κύριος αὐτοῦ ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει.[2]»

«Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουθενήσεις.» Ἀνωτέρω μὲν ἔλεγεν, «Ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ·» νῦν δὲ τί ποτ' ἦν τὸ ἁγιαστήριον διδάσκει λέγων· «Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.» Ἔνθεν εἰκότως ὁ θεῖος Ἀπόστολος, πόλιν οὐράνιον Θεοῦ εἰδὼς ἔλεγεν· «Προσεληλύθαμεν Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ·[3]» καὶ πάλιν· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστί.[4]» Ταύτην οὖν καὶ ὁ παρὼν

1. Ματθ. 24, 42. 2. Ματθ. 24, 50. 3. Ἑβρ. 12, 22. 4. Γαλ. 4, 26.

Προφήτης τὴν πόλιν τοῦ Θεοῦ σημαίνει λέγων· «Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.» Εἰ μὲν γὰρ ἦσαν, φησί, φυλάξαντες τὴν σὴν εἰκόνα, εἰκότως καὶ τῆς σῆς πόλεως κατηξιοῦντο· ἐπεὶ δὲ «ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρεσυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς[1]», ἀναλόγως τε τῇ ἑαυτοῦ κακίᾳ ἑαυτὸν μετεμόρφωσεν εἰς ἀγρίου θηρὸς τρόπον τε, γέγονέ τε ἵππος θηλυμανής, ἢ λύκος ἁρπακτικός, ἢ ὄφις καὶ γέννημα ἐχιδνῶν, ἢ ἄλλο τι τούτοις παραπλήσιον· τούτου χάριν ὥσπερ κίβδηλον νόμισμα τὴν τοιαύτην εἰκόνα τῆς ἑαυτοῦ πόλεως ἀπορρίπτει ὁ Θεός, ἐξουδενῶν αὐτήν, οὐδὲ ἀξίαν κρίνων τῶν ἐν τῇ πόλει αὐτοῦ μονῶν. Πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατρί· δι' ὃ λέλεκται· «Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουθενήσεις.» Τοῦτο μὲν οὖν προφητικῶς ὁ Ἀσὰφ ἀπεφθέγξατο, ὥσπερ ἐπιθειάσας, καὶ τὸ μέλλον πεφωτισμένοις ψυχῆς ὀφθαλμοῖς τεθεαμένος. Τὴν δὲ αἰτίαν δι' ἣν ἐφωτίσθη τὴν πόλιν τοῦ Θεοῦ συνιδεῖν, παρίστησι λέγων ἑξῆς·

Στίχ. κα'-κδ'. «Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν.»

Ἐπειδὴ γὰρ «ζηλῶν ἐζήλωσα τῷ Κυρίῳ» κατὰ τὸν προφήτην Ἠλίαν, ἐξειλκόμην τε τοῖς λογισμοῖς ὁρῶν ἀσεβεῖς εὐθυμουμένους· ἀλλὰ καὶ ἐπυρούμην τοὺς νεφροὺς καὶ τὰ βάθη τὰ κρύφια τῆς ἐμαυτοῦ ψυχῆς· δι' ὃ καὶ ἔλεγον, «Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν·» τούτου χάριν ἠξιώθην φωτισθῆναι ὑπὸ τοῦ Πνεύματος καὶ τὴν πόλιν ἰδεῖν τοῦ Θεοῦ, τούς τε ἀξίους αὐτῆς καὶ τοὺς μή. Ἀντὶ δὲ τοῦ, «Ἐξεκαύθη ἡ καρδία μου», ὁ Σύμμαχος, «Συνεστέλλετο», φησίν, «ἡ καρδία μου, καὶ ἐντὸς τῶν νεφρῶν μου διελεγόμην ἀντιλέγων.» Εἶθ' ἑξῆς εἴρηται· «Καὶ ἐγὼ ἐξουθενημένος, καὶ οὐκ ἔγνων·» ὃ δὴ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών, «Ἤμην δὲ ἀνεπιστήμων καὶ μὴ εἰδώς·» καὶ πάλιν· «Κτηνώδης ἐγενήθην παρὰ σοί·» ἢ κατὰ τὸν Σύμμαχον, «Κτηνωδῶς διετέλεσα παρὰ σοί. Καὶ ἐγώ», φησίν, «διαπαντὸς μετὰ σοῦ·» κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ συνήμην σοι διαπαντός.» Εἰ γὰρ καὶ τὰ μάλιστα οὐ συνείην πρὶν φωτισθῆναι καὶ γνῶναι τὰ περὶ τῆς σῆς πόλεως λελεγμένα, καὶ τὰ περὶ τῆς εἰκόνος τῶν ἀσεβῶν· καὶ εἰ δίκην ἀλόγου κτήνους διετέλεσα πρότερον ἀνοηταίνων, καὶ μὴ δυνάμενος ἐπιβαλεῖν τοῖς τῆς σῆς προνοίας λόγοις· ὅμως οὐκ ἀπελιμπανόμην σου τοῦ Θεοῦ, οὐδὲ ἐξέπιπτον τῆς ἐπὶ σὲ ἐλπίδος, συνήμην δέ σοι διαπαντός· καὶ τοῦτ' ἔπραττον οὐκ ἐξ ἐμαυτοῦ δυνάμεως, ἀλλ' ἐκ τῆς σῆς χάριτος. Σὺ γὰρ αὐτὸς τῇ σαυτοῦ φιλανθρωπίᾳ, τῆς ἐμῆς δεξιᾶς χειρὸς ἐπιλαβόμενος, συνεῖχες καὶ διεκράτεις πρὸς τὸ μὴ διαχεῖσθαί μου τὰ διαβήματα, μηδὲ τοὺς πόδας μου σαλεύεσθαι τῆς παρὰ σοὶ στάσεως. Διό φημι· «Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου.» Εἶχον γὰρ καλὴν δεξιάν, ἐρ-

1. Ψαλμ. 48, 21.

ρωμένην καὶ πατρικήν, τὰ δεξιὰ πάντα καὶ τά σοι ἀρεστὰ πράττουσαν· δι' ὃ ἐπιλαβόμενος αὐτῆς, «τῇ βουλῇ σου ὡδήγησάς με·» ἢ κατὰ τὸν Σύμμαχον, «τῇ συμβουλίᾳ σου ὡδήγησάς με», τὸν θνητὸν διαπορθμεύων βίον, καὶ εἰς εὔδιον καὶ ἀσφαλῆ λιμένα τῆς παρὰ σοὶ ἀναπαύσεως χειραγωγῶν με· ὡς, εἴ γε μὴ τῆς δεξιᾶς τῆς ἐμῆς κεκρατήκεις, πάλαι ἄν, ὥσπερ ὑπὸ χειμάρρου κατασύροντος περιτραπεὶς τοὺς τῆς ψυχῆς πόδας, πτώματι περιέπιπτον ἐξαισίῳ. Νῦν δὲ σὺ αὐτὸς «ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με.» Καὶ τέλος μετὰ τοὺς δηλωθέντας πειρασμοὺς καὶ τοὺς χειμῶνας τοὺς ἀναθορυβήσαντάς μου τὴν ψυχήν, διαγαγών με ἀκινδύνως τὰ τοῦ βίου ῥεύματα, «μετὰ δόξης προσελάβου με», μηδὲν πεπονθότα ὑπὸ τῶν τοσούτων. Κατὰ δὲ τὸν Σύμμαχον, «Ὕστερον», φησί, «τιμὴ διεδέξατό με.»

Στίχ. κε΄-κη΄. «Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ, καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς;»

Ἡ σὴ φιλανθρωπία, φησί, καὶ τὸ σὸν ἔλεος καὶ ἡ χάρις πάντων μοι τῶν ἀγαθῶν γέγονεν αἰτία. Τῇ γὰρ σαυτοῦ χρησάμενος ἀγαθωσύνῃ, «ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου», καὶ διέσωσάς με, ὥστε μὴ σαλευθῆναι τοὺς πόδας, μηδὲ διαχυθῆναί μου τὰ διαβήματα. Ἀλλὰ καὶ «μετὰ δόξης προσελάβου με·» ἐπειδήπερ σοὶ τοῦτο ὡς ἀγαθῷ Θεῷ πάρεστιν· ἐμοὶ γὰρ οὐδὲν ὑπάρχει ἐν τῷ οὐρανῷ, οὐδὲ κατὰ ὀφειλήν μοι ταῦτα γέγονεν· ἀλλ' οὐδὲ ἔστι μοί τις ἄλλος ἐν τῷ οὐρανῷ ἢ σὺ μόνος. Δι' ὃ οὐδὲν ἐπὶ τῆς γῆς ἠθέλησα παρὰ σοῦ κτήσασθαι, οὐδὲ ηὐξάμην τυχεῖν θνητῶν καὶ ἐπικήρων πραγμάτων. Εἰκότως δὲ οὐδὲν παρὰ σοῦ ἠθέλησα ἐπὶ τῆς γῆς· τὰς γὰρ ἐν οὐρανῷ ἐπόθουν διατριβάς, καὶ τῶν αὐτόθι ἀγαθῶν τυχεῖν ηὐχόμην. Δι' ὃ κατέτηκον τὸν ἐμαυτοῦ βίον, καὶ τὴν ἐπὶ γῆς ζωὴν κατέτρυχον, τήν τε καρδίαν μου κατεπόνουν, σὲ μόνον τὸν Θεὸν τῆς ἐμαυτοῦ ἐλπίδος μερίδα τιθέμενος. Ὅθεν φημί· «Ἐξέλιπεν ἡ σάρξ μου καὶ ἡ καρδία μου· ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα. Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται· ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ. Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι, τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου, τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.» Ἀνωτέρω μὲν ἔλεγον, «Καὶ ἐγὼ διαπαντὸς μετὰ σοῦ·» ἢ κατὰ τὸν Σύμμαχον, «Καὶ συνήμην σοι διαπαντός·» τῇ πίστει δηλαδὴ καὶ τῇ προαιρέσει καὶ τῇ πρὸς σὲ ἀγάπῃ· νυνὶ δὲ καὶ τὴν αἰτίαν καθίστημι φανεράν, δι' ἣν συνήμην σοι διαπαντός, καὶ σὲ μερίδα ἐτιθέμην ἐμαυτοῦ. Ἤδειν γάρ, καὶ ἀκριβῶς ἐπεπείσμην, ὅτι «Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται·» δι' ὃ οὐκ ἐμάκρυνον ἐμαυτόν, καίπερ ἀγνοῶν τοὺς λόγους τῆς σῆς διοικήσεως, ἀλλὰ συνήμην σοι διαπαντός. Μακρύνουσι δὲ ἑαυτοὺς οἱ ταῖς αὐτῶν ἁμαρτίαις καὶ τοῖς ἀθέοις καὶ ἀσεβέσι λογισμοῖς ἀλλοτρίους ἑαυτοὺς καθιστῶντες τοῦ Θεοῦ· οἵτινες ὅσῳ πορ-

ρωτάτω αὐτοῦ γίγνονται, τοσούτῳ τῇ ἀπωλείᾳ πλησιάζουσιν· ὡς ἔμπαλιν, συναπτόμενοι τῷ Θεῷ, τῇ μὲν ζωῇ συνάπτονται, τῆς δὲ ἀπωλείας μακρύνονται. Τέλος δὲ τῶν ἑαυτοὺς μακρυνόντων ὄλεθρος τυγχάνει, ἅτε δὴ ἐκπορνευσάντων ἀπὸ τοῦ Θεοῦ. Ὁ μὲν οὖν Θεὸς οὐδένα μακρύνει ἑαυτοῦ, οὐδὲ ἀπωθεῖται· ἀλλ' ἕκαστος ἑαυτὸν ἀπαλλοτριοῖ τοῦ Θεοῦ, ἐκπορνεύων καὶ τὴν ἑαυτοῦ ψυχὴν ἔκδοτον παραδιδοὺς τοῖς τοῦ Θεοῦ ἐναντίοις. Οἱ δὲ μακρύνοντες ἑαυτοὺς ἐξ οἰκείας προαιρέσεως ἐπισπῶνται καθ' ἑαυτῶν τὴν ἀπώλειαν. Τούτους δὲ τῇ ἀπωλείᾳ οἰκειωθέντας ὁ Θεὸς αὐτὸς τὸ ἑξῆς διατίθησι. Τί δὲ ἦν τοῦτο; «Ἐξωλόθρευσας», φησί, «πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.» Πορνεύει δὲ ἀπὸ τοῦ Θεοῦ ὁ μετὰ τὸ πλησιάσαι αὐτῷ μακρύνας ἑαυτόν. Αὐτὸς μὲν γὰρ καὶ νυμφεύεσθαι οὐκ ἀπαξιοῖ τὴν ἀνθρωπίνην ψυχήν, καὶ τὰ οἰκεῖα σπέρματα ἐν αὐτῇ καταβάλλεσθαι· ἡ δὲ μακρύνουσα ἑαυτὴν καὶ ἑτέροις παρέχουσα τοῖς καταπορνεύειν αὐτὴν ἐθέλουσι, πνεύμασι πονηροῖς καὶ δαίμοσιν ἀκαθάρτοις, ἢ λογισμοῖς ἀθέοις καὶ ἀσεβέσιν, ἢ πράξεσι μιαραῖς καὶ ἀκαθάρτοις, εἰκότως ὀλέθρῳ παραδίδοται. Διὸ λέλεκται· «Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ.» Ἀλλὰ γὰρ ταῦτα εἰδὼς ἐγώ, καὶ ἀκριβῶς πεπεισμένος περὶ τῆς σῆς δικαίας κρίσεως, τὴν ἐναντίαν εἱλόμην τοῖς ἀσεβέσι, καίπερ μὴ νοῶν τὰ σὰ μυστήρια· ἀλλὰ καὶ κτηνώδης γενόμενος παρὰ σοί, ὅμως συνήμην σοι διαπαντός. Οὐδὲν γὰρ ἐμοὶ κάλλιον ἐφαίνετο τοῦ προσκολλᾶσθαί σοι τῷ ἐμῷ Θεῷ, καὶ ταῦτα αἱρεῖσθαι ἅπερ αὐτὸς ὥρισας καὶ ἐνετείλω. Οὕτω γὰρ «ὁ κολλώμενος τῷ Κυρίῳ ἕν πνεῦμά ἐστι.[1]» Διόπερ ἐμοὶ οὐδὲν κάλλιον οὐδὲ κρεῖττον κατεφαίνετο τοῦ προσκολλᾶσθαί σοι. Διό φημι, ὅτι «Ἐμοὶ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστιν.» Εἰ γὰρ οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός, πόθεν ἂν γένοιτο ἑτέρῳ τι ἀγαθὸν ἢ ἐκ τοῦ προσκολλᾶσθαι αὐτῷ; Καὶ ἤδη μὲν ἀπήλαυον παντὸς ἀγαθοῦ, κολλώμενος καὶ συναπτόμενος τῷ Θεῷ· ὥστε λέγειν· «Ἐκολλήθη ὀπίσω σου ἡ ψυχή μου.[2]» Καὶ εἰς τὸν μέλλοντα δὲ χρόνον ἀγαθὰς ὑπέγραφον ἐλπίδας ἐμαυτῷ. Ἕτερόν τε τοῦτο ἀγαθόν μοι ἦν, τὸ «τίθεσθαι ἐν Κυρίῳ τὴν ἐλπίδα μου.» Τέλος γάρ μοι τῆς πάσης ἐλπίδος ἦν τὸ «ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών.» Καταξιωθεὶς γὰρ τῆς εἰς τὴν πόλιν σου εἰσόδου, περὶ ἧς ἀνωτέρω ἐλέγετο· «Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουθενώσεις», καὶ ταῖς πύλαις ταῖς ἐπουρανίοις ἐπιβάς, ἀνακηρύξω τοῖς πᾶσι τὰς εἰς ἐμέ σου εὐεργεσίας. Ἔνθα γενόμενος καὶ τῶν ἐπαγγελιῶν σου τεύξομαι, «ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη.[3]» Τοιαῦτα γὰρ «ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.»

Μὴ κείμενον δὲ ἐν τῷ Ἑβραϊκῷ, μηδὲ παρὰ τοῖς λοιποῖς ἑρμηνευταῖς τὸ «ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών», παρὰ μόνοις δὲ

1. Α' Κορ. 6, 17. 2. Ψαλμ. 62, 9. 3. Α' Κορ. 2, 9.

τοῖς Ἑβδομήκοντα φερόμενον, ὠβέλισται, διὰ τὸ καὶ περιττὸν εἶναι. Τὸ γὰρ πάντων ἀγαθὸν τέλος ἐπ' αὐτὴν ἄγει τὴν ἐπουράνιον Σιών, ἥτις ἦν ἡ ἀποδεδομένη τοῦ Θεοῦ ἐν οὐρανοῖς πόλις, θυγατρὸς Σιὼν νοουμένης τῆς παρ' ἡμῖν Ἐκκλησίας, ὡς διὰ πολλῶν ἀποδεῖξαι ῥᾴδιον.

## ΣΥΝΕΣΕΩΣ ΤΩ ΑΣΑΦ, ΟΓ΄.

Στίχ. α΄. «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;»

Διεγείρει μὲν ἡμᾶς καὶ παρορμᾷ ἐπὶ τὴν τῶν λεγομένων σύνεσιν τὸ πνεῦμα τὸ προφητικόν. Οὔτε δὲ ψαλμὸν ἐπιγράφει συνήθως, οὔτε ᾠδήν, οὔτε ὕμνον, οὐδέ τι τῶν παραπλησίων, διὰ τὸ σκυθρωπὸν τῶν ἀπαγγελλομένων. Ἐν οἷς δοκεῖ ἔντευξις περιέχεσθαι, περὶ ἧς ὁ θεῖος Ἀπόστολος διεκελεύετο, δεῖν λέγων πάντας ἡμᾶς ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας.[1]» Ἐντυγχάνει γοῦν ὁ λόγος τῷ Θεῷ, προφητικῶς τὰ μέλλοντα ὡς παρῳχηκότα διεξιών, καὶ τὴν ἐσχάτην σημαίνων πολιορκίαν τῆς Ἱερουσαλὴμ τὴν ὑπὸ Ῥωμαίων γενομένην μετὰ τὴν σωτήριον Παρουσίαν. Καὶ ταῦτα μηδὲ συστάντος πω τοῦ τόπου προαναφωνεῖ. Ὁ μὲν γὰρ Ἀσάφ, δι' οὗ ταῦτα προεφητεύετο, σύγχρονος γέγονε τῷ Δαυΐδ· Σολομὼν δὲ μετὰ τὴν τοῦ Δαυΐδ τελευτὴν οἰκοδομεῖ τὸν νεών. Δύο δὲ πορθήσεις προθεωρήσας τοῦ τόπου, τήν τε προτέραν τὴν ὑπὸ Βαβυλωνίων γενομένην, καὶ τὴν δευτέραν τὴν ὑπὸ Ῥωμαίων· τὴν μὲν πρώτην διὰ τοῦ οθ΄ ψαλμοῦ σημαίνει καὶ διὰ τοῦ πβ΄, τὴν δὲ ὑστάτην διὰ τῆς μετὰ χεῖρας προφητείας, ἧς ἀπάρχεται λέγων· «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;» Τέλος γὰρ αὐτοῖς παντελοῦς ἀποπτώσεως οὐδ' ἄλλοτε γέγονεν, ἢ ὅτε ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν τὴν κατ' αὐτῶν ἐξηνέγκατο ἀπόφασιν εἰπών· «Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[2]» Οἷς ἀκολούθως καὶ ὁ ἱερὸς Ἀπόστολος μετὰ τὴν τῶν πραγμάτων ἔκβασιν γράφων περὶ αὐτῶν ἔλεγεν· «Ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.[3]» Καὶ κατὰ μέρος δὲ τὰ ἑξῆς συμβάντα τῷ τόπῳ ἐπὶ τῆς τῶν Ῥωμαίων πολιορκίας παρίστησιν ὁ παρὼν προφήτης, ἐν οἷς φησιν· «Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἔκοψαν τὰς θύρας αὐτῆς», δῆλον δ' ὅτι τῆς Ἱερουσαλήμ, «ἐπὶ τὸ αὐτό, ἐν πέλυκι καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.» Εἰ δὲ λέγοι τις ταῦτα καὶ ἐπὶ τῶν χρόνων τῶν Βαβυλωνίων γεγονέναι, προσεκτέον τοῖς ἑξῆς, δι' ὧν εἴρηται· «Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.» Σημεῖα γὰρ ἦν τοῦ τὸ Θεὸν ἐφορᾶν καὶ ἐπισκοπεῖν τὸ Ἰουδαίων ἔθνος τὸ

1. Πρβλ. Α΄ Τιμ. 2, 1. 2. Λουκ. 13, 35. 3. Α΄ Θεσσ. 2, 16.

παρέχειν αὐτοῖς προφήτας· ἐπεὶ καὶ ὅτε κακῶς ἔπραττον, ὥσπερ ἰατροὺς καὶ σωτῆρας αὐτοῖς τοὺς προφήτας ἐφίστη. Οὕτω γοῦν ἐπὶ τῆς πρώτης πολιορκίας τὸν μέγαν τοῦ Θεοῦ προφήτην Ἱερεμίαν εἶχον, καὶ τὸν Βαρούχ· ἀλλὰ καὶ γυνή τις Ὀλδᾶ τοὔνομα κατὰ τοὺς αὐτοὺς ἐπροφήτευε χρόνους· ἐν αὐτῇ τε τῇ Βαβυλωνίων χώρᾳ συνῆν αὐτοῖς Ἐζεκιὴλ καὶ Δανιὴλ ἐπίσημοι καὶ διαφανεῖς προφῆται· καὶ μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον κατὰ τοὺς Κύρου καὶ Δαρείου χρόνους, Ζαχαρίας καὶ Ἀγγαῖος προφῆται ἐγνωρίζοντο. Πῶς οὖν οἷόν τε ἦν ἐφαρμόζειν τοῖς τότε χρόνοις τὴν παροῦσαν προφητείαν φάσκουσαν· «Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, καὶ οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι; » Ἀλλὰ γὰρ ταῦτα τέλους ἐτύγχανε μετὰ τὴν σωτήριον Παρουσίαν καὶ τὰς προλεχθείσας αὐτοῦ φωνάς, μεθ' ἃς οὐκ εἰς μακρὸν ἐπιστάντες Ῥωμαῖοι τὸν τόπον ἠφάνισαν. Ὃ δὴ καὶ αὐτὸς ἐδήλου θεσπίζων τὸ μέλλον ὁ Σωτὴρ διὰ παραβολῆς τῆς οὕτως ἐχούσης· «Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ· καὶ ἀπέστειλε τοὺς ἑαυτοῦ δούλους καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους· οἱ δὲ οὐκ ἤθελον ἐλθεῖν. Πάλιν ἀπέστειλεν ἑτέρους· οἱ δέ, πρὸς τὸ μὴ θελῆσαι ἀπαντῆσαι, ἔτι καὶ διαλαβόντες τοὺς δούλους ὕβρισαν καὶ ἀπέκτειναν.[1]» Οἷς ἐπιλέγει· «Ὁ δὲ βασιλεύς, ἀκούσας, ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε.[2]» Ταῦτα ὁ Σωτὴρ ἐν αὐτῷ τῷ ἱερῷ ἔτι τότε συνεστῶτι ἀναγέγραπται εἰρηκώς· ἃ καὶ ἐπληροῦτο οὐκ εἰς μακρόν, Οὐεσπασιανοῦ καὶ Τίτου πολιορκησάντων τὸν τόπον· καθ' οὓς προφητῶν οὐδεὶς γεγονὼς ἱστορεῖται γενέσθαι κατὰ τούτους. Τοιγαροῦν πολιορκίαν ὁ μετὰ χεῖρας παρίστησι λόγος· διό φησιν ἀρχόμενος· «Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος; »Ἔστι δὲ ἐκ τούτων τὴν ἀρετὴν ἀποθαυμάσαι τῆς θεοπνεύστου Γραφῆς, ὡς τὰ μακροῖς ὕστερον πραχθέντα χρόνοις προγνώσει θείᾳ προείληφε. Τὸ δέ, «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος», εἴρηται, ἐπειδὴ πολλάκις ἀσεβείαις καὶ πλημμελείαις τῶν Ἰουδαίων ἔθνος ὑποπίπτον παρεδίδοτο τοῖς περιοίκοις ἀλλοφύλοις ἔθνεσι· καὶ ποτὲ μὲν αὐτοὺς Μωαβῖται ἐχειροῦντο, ποτὲ δὲ Ἀμμανῖται, καὶ ἄλλοτε δὲ Μανδιηναῖοι. Εἶτ' ἐπιστρέφων αὐτοὺς ἀνελάμβανεν ὁ Θεός· καὶ μετὰ ταῦτα πάλιν παρανομοῦντας παρεδίδου πολεμίοις ἑτέροις, καὶ αὖθις ἀνεκτᾶτο· οὐδέποτε δὲ αὐτοὺς ἀπωθεῖτο εἰς τέλος, πρὸς βραχὺν δέ τινα καιρὸν ἐπιστρέφων ἐνῆγεν εἰς σωτηρίαν. Μετὰ δὲ τὸ κατὰ τοῦ Σωτῆρος τολμηθὲν αὐτοῖς ἄγος «ἔφθασεν εἰς αὐτοὺς ἡ ὀργὴ εἰς τέλος[3]», κατὰ τὴν ἀποστολικὴν Γραφήν, ὡς ἐξ ἐκείνου καὶ εἰς δεῦρο μηκέτ' ἐπᾶραι κεφαλὴν αὐτούς. Ὃ δὴ σημαίνουσα ἡ προφητεία φησίν· «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος;» Σεσιωπημένως δὲ ὁ λόγος διὰ τῆς ἐρωτήσεως ᾐνίξατο τὴν κατὰ τοῦ Σωτῆρος

1. Ματθ. 22, 2-6. 2. Ματθ. 22, 7. 3. Α' Θεσσ. 2, 16.

ἡμῶν πρᾶξιν, μεθ' ἣν καὶ εἰς τέλος ἀπεβλήθησαν. Τοῦτο δὲ καὶ ὁ Σωτὴρ αὐτὸς παρίστη λέγων· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[1]» Τὸ γάρ, «Ποσάκις ἠθέλησα», δηλοῖ τὴν μακρῷ χρόνῳ ἐνδοθεῖσαν αὐτοῖς μακροθυμίαν· τὸ δέ, «καὶ οὐκ ἠθελήσατε», παραστατικὸν ἂν γένοιτο τῆς ὑστάτης αὐτῶν ἀποβολῆς, ὅτε καὶ ὠργίσθη ὁ θυμὸς αὐτοῦ ἐπὶ τὰ πάλαι γενόμενα πρόβατα νομῆς αὐτοῦ. Ἑξῆς δὲ ὁ λόγος ἱκετηρίαν προσάγει λέγων· «Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.» Σφόδρα δὲ καταλλήλως συναγωγῆς ἐμνημόνευσε, καὶ πρῶτον κτῆμα τοῦ Θεοῦ φησιν αὐτὴν γεγονέναι· ἅτε εἰδὼς καὶ τὴν μὴ ἐξ ἀρχῆς, ἀλλ' ὕστερον μετὰ τὴν ἀπόπτωσιν ἐκείνης ἐξ ἁπάντων τῶν ἐθνῶν ὑποστᾶσαν Ἐκκλησίαν. Ἧς καὶ ἐν ἑτέροις μνημονεύει λέγων· «Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε·[2]» καὶ πάλιν· «Εὐηγγελισάμην δικαιοσύνην ἐν Ἐκκλησίᾳ πολλῇ·[3]» καὶ αὖθις· «Παρὰ σοῦ ὁ ἔπαινός μου ἐν Ἐκκλησίᾳ μεγάλῃ.[4]» Ἀλλ' οὐ τοιαύτη καὶ ἡ προτέρα ἐτύγχανε συναγωγή· ἡ μὲν γὰρ ἐκ τοῦ κατὰ τὸ αὐτὸ συνάγεσθαι οὕτως ὠνομασμένη, ἡ δὲ τὸ ἐξαίρετον παριστῶσα τῆς ἐκλογῆς, ἡ Ἐκκλησία· Εἰ δέ τις ἔροιτο τὴν αἰτίαν δι' ἣν ἀπεβλήθη ἡ συναγωγή, ἣν ἐκτήσατο ἀπ' ἀρχῆς, αὐτὸς ὁ Χριστὸς τοῦ Θεοῦ δι' ἑτέρας προφητείας διδάξει λέγων· «Περιεκύκλωσάν με κύνες πολλοί, συναγωγὴ πονηρευομένων περιέσχε με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.[5]» Ταῦτ' ἦν τὰ αἴτια δι' ἃ ἡ προτέρα συναγωγὴ ἀποβέβλητο. Ἑξῆς δ' ἐπιλέγει· «Ἐλυτρώσω ῥάβδον κληρονομίας σου·» δυσωπητικῶς· Σὺ γάρ, φησίν, ταύτην ἐλυτρώσω τὴν συναγωγὴν καταξιώσας αὐτὴν σὴν χρηματίσαι μερίδα καὶ ῥάβδον κληρονομίας σου· «ὅτε γὰρ διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.[6]» Ταύτης οὖν τῆς σαυτοῦ κληρονομίας μνήσθητι. Ἀντὶ δὲ τοῦ, «ῥάβδον κληρονομίας σου», «σκῆπτρον κληρονομίας», ὁ Ἀκύλας ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «σκῆπτρον κληρουχίας σου·» διδάσκοντος τοῦ λόγου πάντας μὲν ἀνθρώπους εἶναι τοῦ Θεοῦ, τὸν δὲ ἀφωρισμένον αὐτοῦ λαὸν ὥσπερ βασιλικὸν αὐτοῦ σκῆπτρον γεγονέναι.

Στίχ. β'-ζ'. «Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ. Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας εἰς τέλος· ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ!»

Τίς ἦν ἡ ῥάβδος, ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς τί ποτ' ἦν τὸ προλεχθὲν σκῆπτρον, διασαφεῖ λέγων· «Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ.» Βασιλικὸν γὰρ ἦν ὄρος καὶ σκῆπτρον βα-

1. Ματθ. 23, 37-38. 2. Ψαλμ. 21, 23. 3. Ψαλμ. 39, 10. 4. Ψαλμ. 21, 26. 5. Ψαλμ. 21, 17-19. 6. Δευτ. 32, 8, 9.

σιλείας, ἐν ᾧ κατεσκεύαστο ὁ νεὼς καὶ ὁ οἶκος τῆς κατασκηνώσεως τοῦ Θεοῦ. Διὸ «μητρόπολις πιστὴ» Σιὼν ἐχρημάτιζε καὶ «πόλις Θεοῦ» Ἱερουσαλήμ, εἰκόνα φέρουσα τῆς ἐπουρανίου, περὶ ἧς ὁ θεῖος Ἀπόστολος διδάσκων ἔλεγε· «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ.[1]» Τοῦτο δ' εἰπών, ἑξῆς θεσπίζει τὰ συμβησόμενα τῷ τόπῳ, τὰ μέλλοντα ἔσεσθαι ὡς παρῳχηκότα συνήθως προφωνῶν. Λέγει δ' οὖν· «Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου·» ἢ κατὰ τὸν Ἀκύλαν, «Ἐβρυχήσαντο οἱ πολέμιοί σου ἐν μέσῳ τῆς συνταγῆς σου. Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν, ὡς εἰς τὴν ἔξοδον ὑπεράνω·» ὃ δὴ σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Ἔθηκαν τὰ σημεῖα αὐτῶν ἐπισήμως γνώριμα κατὰ τὴν εἴσοδον ἐπάνω.» Ἀλλὰ καὶ ἀντὶ τοῦ, «Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἔκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πέλυκι καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν», πάλιν ὁ Σύμμαχος, «Ἐν ἁρμένοις ξυλίνοις ἀξίναις τῶνδε καὶ τὰς πύλας αὐτῆς ὁμοῦ ἐν μοχλοῖς καὶ δικράνοις κατέρριψαν.» Σημεῖα δὲ τῶν πολεμίων τίνα ἦν, ἅπερ ἐπισήμως πρὸ τῶν εἰσόδων ἔθηκαν, ἢ τὰ πολεμικὰ ὄργανα, καὶ πελέκεις καὶ ἀξίναι καὶ τοιαῦτα δόρατά τε καὶ ὅπλα; Εἰκὸς δὲ καὶ τὰς σημαίας τὰς πρὸ τῶν στρατοπέδων φερομένας διὰ τούτων δηλοῦσθαι. Ἀλλὰ καὶ «Ἐνεπύρισαν», φησί, «ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, καὶ εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου.» Ἐν ᾧ διερμηνεύει τὴν διάνοιαν τοῦ ἀνωτέρω λελεγμένου. Ἐπειδὴ γὰρ ἐν τοῖς ἔμπροσθεν εἴρητο· «Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ·» ὅπως κατεσκήνωσεν ἐν αὐτῷ διασαφεῖ νῦν φήσας· «Τὸ σκήνωμα τοῦ ὀνόματός σου·» Σκήνωμα γὰρ ἦν ὁ τόπος οὐκ αὐτοῦ τοῦ Θεοῦ, ἀλλὰ τοῦ ὀνόματος αὐτοῦ· Δυσωπεῖ δὲ ἐφ' ἑκάστῳ, προστιθείς· Ἐν μέσῳ γάρ, φησί, τῆς ἑορτῆς σου τὸ ἁγιαστήριόν σου καὶ τὸ σκήνωμα τοῦ ὀνόματός σου. Τὰ γὰρ τοιαῦτα δυσωπητικὰ ἦν καὶ ἐγερτικὰ ἐπὶ ἐκδίκησιν τῶν τετολμημένων, ἐφ' ἣν παρορμᾷ ἑξῆς λέγων· «Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος·» κατὰ δὲ τὸν Σύμμαχον· «Τὸ ὕψωμα», φησί, «τῶν ποδῶν σου ἠφανίσθη εἰς νῖκος.» Ὕψωμα δὲ τῶν ποδῶν αὐτοῦ ὁ νεὼς ἦν ὁ εὐκτήριος. Ἐνεκαυχήσαντο οἱ μισοῦντες τὸν Θεὸν ἐν μέσῳ τῆς ἑορτῆς αὐτοῦ εἰκότως. Ἐπειδὴ γὰρ αὐτοὶ πρότεροι τὸν τόπον οἰκοῦντες ἀθέους ἤραντο χεῖρας κατὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ ἐν μέσῳ τῆς ἑορτῆς αὐτοῦ, βοαῖς τε ἀθέοις καὶ ἐναγέσιν ἐχρήσαντο, ἐν αὐτῇ τῇ τοῦ Πάσχα ἡμέρᾳ τὸ αἷμα αὐτοῦ καθ' ἑαυτῶν καὶ κατὰ τῶν ἰδίων τέκνων ἐξαιτησάμενοι·[2]» εἰκότως ἐν μέσῳ τῆς ἑορτῆς μετῄει αὐτοὺς ἡ ἐκ Θεοῦ ὀργή· ὡς καὶ ἑτέραν προφητείαν πληροῦσθαι εἰς αὐτούς, δι' ἧς εἴρητο· «Καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ τὰς πανηγύρεις ὑμῶν εἰς θρῆνον.[3]»

---

1. Ἑβρ. 12, 22. 2. Πρβλ. Ματθ. 27, 25. 3. Ἀμ. 8, 10.

Στίχ. η', θ'. «Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό· Καταπαύσωμεν τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς.»

Τὰ προλεχθέντα πάντα δυσσεβεῖ σκοπῷ, φησί, διεπράξαντο οἱ ἐχθροί σου· τό τε γὰρ ἁγιαστήριόν σου ἐνεπύρισαν, καὶ τὸ σκήνωμα τοῦ ὀνόματός σου ἐβεβήλωσαν, καὶ τὰ λοιπὰ πάντα τετολμήκασιν· οὐκ ἀνθρώποις ἐπιβουλεύοντες, οὐδὲ τόπον πολιορκεῖν προθέμενοι· σοὶ δὲ τῷ Θεῷ πολεμοῦντες, καὶ τὰς ἑορτάς σου καταλῦσαι διανοούμενοι. Ταῦτα δέ, εἰ καὶ μὴ στόματι ἐλάλουν, ἀλλὰ ταῖς καρδίαις αὐτῶν καὶ ταῖς ἐνθυμήσεσι ἐλογίζοντο. Ἀλλὰ τότε μὲν οἱ ἐχθροὶ τοῦ Θεοῦ ταῦτα λογιζόμενοι τὸν πάλαι τῷ Θεῷ ἀφωρισμένον τόπον καθῄρουν· ὁ δὲ μέγας καὶ δυνατὸς Θεὸς ἀνθ' ἑνὸς ἐκείνου τὰς ἀπ' ἀνατολῶν ἡλίου μέχρι δυσμῶν καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίας ἐν πᾶσι συνίστη τοῖς ἔθνεσι. Καὶ οἱ μὲν ἐχθροί σου, φησί, καὶ πολέμιοι τὰ ἑαυτῶν σημεῖα ἔθηκαν ἐν ὑψηλῷ καὶ ἐπισήμοις τόποις, παρ' αὐτὰς τὰς εἰσόδους τοῦ ἱεροῦ· ὡς ἂν πάντες οἱ διιόντες ὁρῷεν αὐτῶν τὰ νικητήρια· ἡμεῖς δέ, ὧν ἐκ προσώπου ἱκετήριος εὐχὴ ἀναπέμπεται, «Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν.» Πῶς δὲ οὐκ εἴδομεν ἡμῶν τὰ σημεῖα, ἀλλ' ἐπεὶ «οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι;» Πάλαι μὲν γὰρ καθ' ἕκαστον καιρὸν καὶ κατὰ γενεὰς καὶ κατὰ διαδοχὰς τῶν ἡμετέρων πατέρων, προφῆται συνῆσαν αὐτοῖς πολιορκουμένοις καὶ εἰς αἰχμαλωσίαν ἀπαγομένοις· ὅπερ ἦν μέγιστον δεῖγμα καὶ σημεῖον τοῦ μὴ ἀνεπισκόπους αὐτοὺς ὑπάρχειν· ἡ γοῦν προνοητικὴ τῶν ὅλων δύναμις, ὥσπερ ἰατροὺς ἐν ταῖς ἐσχάταις συμφοραῖς τοὺς προφήτας τῷ τότε λαῷ καθίστη· καὶ ταῦτα ἦν τοῦ Θεοῦ τὰ σημεῖα. Νῦν δὲ εἰς ἡμᾶς γινόμενα ὅτε τὰ προλεχθέντα δι' ἔργων χωρεῖ, «Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν·» δι' ὃ «οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.» Εἰ μὲν γὰρ πρὸς καιρὸν βραχὺν διέλιπον οἱ προφῆται, εἶτα μετὰ ταῦτα πάλιν ἀνεφάνησαν, οὐκ ἂν ἐλέγετο, «καὶ ἡμᾶς οὐ γνώσεται ἔτι·» νῦν δὲ ἐπειδὴ μετὰ τὰ κατὰ τοῦ Σωτῆρος τολμηθέντα αὐτοῖς, Ῥωμαίων ἐπιστάντων καὶ τὸν τόπον ἐκ βάθρων ἐρημωσάντων, οὐδαμοῦ προφῆται παρῆσαν τοῖς πολιορκουμένοις· ἀλλ' οὐδὲ ἐν τοῖς μετὰ ταῦτα χρόνοις γεγόνασιν, οὐδ' ἤμελλον εἰσαῦθίς ποτε ἀναστήσεσθαι· θαυμαστῶς ἡ πρόρρησις φήσασα, «Οὐκ ἔστιν ἔτι προφήτης», ἐπήγαγε, «καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.» Ὅτι οὔτ' ἐπὶ τῶν Βαβυλωνίων χρόνων ἥρμοττε λέγεσθαι, οὔτ' ἐπὶ τῶν παλαιοτέρων. Ἤκμαζε γοῦν καθ' ἑκάστην γενεὰν παρ' αὐτοῖς ἡ τῶν προφητῶν διαδοχή, ἣ καὶ διήρκεσε μέχρις Ἰωάννου τοῦ προφήτου.

Στίχ. ι', ια'. «Ἕως πότε, ὁ Θεός, ὀνειδίζει ὁ ἐχθρός, παροξύνει ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;»

Πολλάκις εἴρηται διὰ τῆς μετὰ χεῖρας προφητείας τό, «εἰς τέλος.» Ἐν ἀρχῇ μὲν γὰρ ἐλέγετο· «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος;» εἶθ' ἑξῆς· «Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας εἰς τέλος·» καὶ τρίτον· «Παροξύνει ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος·» καὶ

αὖθις· «Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;» δι' ὧν ὁ λόγος τὴν τελευταίαν πολιορκίαν τοῦ τόπου σημαίνει. Πυνθανόμενος δὲ καὶ λέγων· «Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός;» διδαχθῆναι ποθεῖ ἕως πότε ταῦτ' ἔσται, καὶ τίς ἔσται ἡ περιγραφὴ τοῦ χρόνου, καὶ μέχρι τίνος παροξύνει ὁ ὑπεναντίος τὸ ὄνομά σου, καὶ εἰ διαμένει εἰς τέλος τοῦτο πράττων. Εἶτ' ἀκολούθως πυνθάνεται τὴν τούτων αἰτίαν ἀξιῶν· διό φησιν· «Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;» Ἡ δὲ τοῦ λόγου διάνοια τοῦτον ἔχει τὸν νοῦν· ὁ κόλπος τοῦ Θεοῦ ἀγαθῶν ἐστι πλήρης, διὸ λέλεκται· «Μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο.[1]» Καὶ ἔστιν ἀπόρρητος οὗτος τῆς Πατρικῆς θεότητος θησαυρὸς καὶ πλήρωμα τῶν ἀγαθῶν ἁπάντων, ἐξ ὧν δίδωσι τὰ χαρίσματα τοῖς ἀξίοις αὐτοῦ. Ἐπεὶ τοίνυν ἐκ μέσου τοῦ κόλπου τὰ χαρίσματα τοῖς ἀξίοις δωρεῖται ἐκτείνων εἰς αὐτοὺς τὴν ἑαυτοῦ δεξιάν, ἀπὸ δὲ τῶν μὴ ἀξίων ἀποστρέφει τὴν χεῖρα τὴν δεξιάν, μηδὲν αὐτῶν τῶν ἐν αὐτῷ δηλωθέντι κόλπῳ τεταμιευμένων ἀγαθῶν δωρούμενος· εἰκότως πυνθάνεται λέγων· «Ἱνατί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;» Καὶ πάλιν προστίθησι τό, «εἰς τέλος», σημαίνων, ὡς ἀποστροφὴ τῆς τοῦ Θεοῦ δεξιᾶς εἰς τέλος ἔσται αὐτοῖς. Διὰ δὲ τῆς ἐρωτήσεως ἐπὶ τὴν ζήτησιν τῆς αἰτίας ἡμᾶς διεγείρει, ὡς ἂν ζητήσαιμεν τί τὸ αἴτιον γεγένηται τοῦ εἰς τέλος αὐτοὺς ἀποβληθῆναι. Εἰ μὲν γὰρ ἁμαρτίας καὶ παρανομίας αἰτιάσαιτό τις, ἀλλὰ καὶ πάλαι τοιαῦτα πράξαντας αὐτοὺς ἔγνωμεν καὶ μὴ ἀπωσθέντας εἰς τέλος· μυρίους γὰρ ἀθεμίτους πράξεις μοιχείας τε καὶ εἰδωλολατρείας, προφητῶν τε ἀναιρέσεις καταλέγουσιν αὐτῶν οἱ προφητικοὶ λόγοι· ἀλλ' οὐ πώποτε ἐγκατελείφθησαν εἰς τέλος. Συνῆσαν δὲ αὐτοῖς, καίπερ τοιαῦτα πράττουσιν, οἱ προφῆται· ἐγίγνοντο δὲ παρ' αὐτοῖς καὶ ἀγγέλων ἐπιφάνειαι, καὶ Πνεύματος ἁγίου παρουσία. Τί τοίνυν τὸ ξένον, καὶ τί τοσοῦτον αὐτοῖς τετόλμηται, ὡς εἰς τέλος αὐτοὺς ἀπωσθῆναι, καὶ τὴν δεξιὰν τοῦ Θεοῦ ἀποστραφῆναι αὐτοὺς εἰς τέλος; Λέγων δὲ ταῦτα, αἰνίττεται σεσιωπημένως τὸ πραχθὲν αὐτοῖς κατὰ τοῦ Χριστοῦ τοῦ Θεοῦ τόλμημα.

Στίχ. ιβ'-ιη'. «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.»

Διελθὼν τὰ προλελεγμένα, ἐπαναλαμβάνει τοὺς περὶ τῆς προνοίας λόγους, καὶ τῆς δυνάμεως τοῦ Θεοῦ παρίστησι τὰς μεγαλουργίας, εὐκαίρως εὐσεβεῖς προϊέμενος φωνάς, ὡς ἂν μή τις νομίσειε, διὰ τὸ μὴ ἐφορᾶν αὐτόν, μηδὲ ἐπιστατεῖν τοῖς πᾶσι τὰ προλεχθέντα γεγενῆσθαι. Διό φησιν· Εἰ καὶ ταῦτα τοῦτον ἐπράχθη τὸν τρόπον· ἀλλ' ὅμως πεπείσμεθα, ὅτι σὺ ὁ Θεὸς ἡμῶν, ὃν καὶ βασιλέα ἡμῶν εἶναι γνωρί-

1. Ἰω. 1, 18.

ζομεν, κρίσει βασιλικῇ καὶ θείᾳ πάντα οἰκονομεῖς ἐπὶ σωτηρίᾳ τῶν ὅλων· «Ὁ» γὰρ «Θεὸς ἡμῶν, βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.» Ὥστ' εἰ καὶ ἐν μιᾷ γωνίᾳ γῆς τοιαῦτα πραχθῆναι συγκεχώρηκας διὰ τοὺς οἰκήτορας τοῦ τόπου· ἀλλ' ὅμως πεπείσμεθα, ὅτι τοὺς καθ' ὅλης τῆς οἰκουμένης οἰκοῦντας ἀνθρώπους σωτηρίας ἀξιώσεις, τὸν ἑαυτοῦ Χριστὸν ἐγείρας ἅπασιν ἀνθρώποις Σωτῆρα. Καί μοι δοκεῖ δι' ἑνὸς τοῦ μετὰ χεῖρας στίχου ὥσπερ ἀνταπόδοσιν ποιεῖσθαι τῶν ἐπιπορημένων· ἀντὶ γὰρ τῶν συμβεβηκότων κατὰ τοῦ δηλωθέντος τόπου, ἐργάσεται, φησίν, ὁ Θεὸς σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Συνήθως δὲ καὶ νῦν τὰ ἐσόμενα ὡς παρῳχηκότα θεσπίζει. Εἶτα διδάσκει ἑξῆς ὁποίας ἤδη πρότερον ὁ Θεὸς κατειργάσατο θαυματουργίας λέγων· «Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν.» Ἀντὶ δὲ τοῦ, «Σὺ δὲ ἐκραταίωσας», ὁ Σύμμαχος, «Σὺ διεσκέδασας τῇ ἰσχύϊ σου τὴν θάλασσαν», ἡρμήνευσε Καί μοι δοκεῖ διὰ τούτων ὡς πρὸς τὴν ἱστορίαν σημαίνειν τὴν ἐπὶ Μωσέως γενομένην δίοδον τοῦ λαοῦ διὰ τῆς Ἐρυθρᾶς θαλάσσης. Διὸ κατὰ μὲν τὸν Σύμμαχον εἴρηται, «Σὺ διεσκέδασας τῇ ἰσχύϊ σου τὴν θάλασσαν·» κατὰ δὲ τὸν Θεοδοτίωνα, «Σὺ διέστησας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν.» Εἶτα τοὺς Αἰγυπτίους καὶ τὸν Φαραὼ αἰνίττεσθαί μοι δοκεῖ φάσκων· «Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος· σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος·» δράκοντα μὲν τὸν Φαραώ, κεφαλὰς δὲ αὐτοῦ τοὺς ὑπ' αὐτὸν ἄρχοντας αἰνιττόμενος· ἢ δράκοντας τοὺς Αἰγυπτίους, κεφαλὰς δὲ αὐτῶν τοὺς τριστάτας καὶ τοὺς ἡγουμένους αὐτῶν ὀνομάζων. Τὸ δέ, «Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν», εἴποι ἄν τις τὰ νεκρὰ σώματα αὐτῶν, ἐκβρασθέντα τῆς θαλάσσης, βορὰν γεγονέναι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Ἀντὶ δὲ τοῦ, «τοῖς Αἰθίοψιν», ὁ μὲν Ἀκύλας, «τοῖς ἐξελευσομένοις», ὁ δὲ Θεοδοτίων, «τῷ ἐσχάτῳ», καὶ ἡ πέμπτη ἔκδοσις, «τῷ ἐξεληλυθότι», ἡρμήνευσαν. Τῶν μὲν τῇ Ἐρυθρᾷ θαλάσσῃ καταποντωθέντων μνημονεύσας ὁ λόγος, ἑξῆς καὶ τῶν μετὰ ταῦτα πεπραγμένων ἀναφέρει τὴν μνήμην λέγων· «Σὺ διέρρηξας πηγὰς καὶ χειμάρρους.» Οὐ γὰρ Μωσῆς, φησίν, ἦν ὁ τῇ ῥάβδῳ τύψας τὴν πέτραν καὶ ἐξαγαγὼν ἐξ αὐτῆς πηγὰς καὶ χειμάρρους· ἀλλὰ σὺ ἦσθα, ὁ Θεός, ὁ ταῦτα διὰ Μωσέως παραδοξοποιῶν. Καὶ τὸ ἐπιλεγόμενον δὲ ἐν τῷ, «Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ», ἀναφέροιτο ἂν ἐπὶ τὸν Ἰορδάνην, ὃν ἀποξηρανθέντα διῆλθον ποσὶ μετὰ τὴν Μωϋσέως τελευτὴν οἱ υἱοὶ Ἰσραήλ, ἡγουμένου αὐτῶν Ἰησοῦ. Ἔστι δὲ ὁ τρόπος «περιληπτικός», ἀντὶ τοῦ ἑνικοῦ πληθυντικῶς προενηνεγμένος. Τὸ δὲ «Ἠθάμ», ὁ μὲν Ἀκύλας «στερεοὺς ποταμοὺς» ἡρμήνευσεν, ὁ δὲ Σύμμαχος «ἀρχαίους». Καὶ ταῦτα μὲν ὡς πρὸς τὴν λέξιν εἰρήσθω. Τροπικῶς δ' ἄν τις ἐπιβαλὼν τοῖς τόποις ἀνοίσει ταῦτα ἐπὶ δυνάμεις ἀφανεῖς καὶ ἀοράτους, αὐτὰς εἶναι λέγων τοὺς δράκοντας τοὺς ἐνταῦθα ὠνομασμένους· θάλασσάν τε τροπικῶς τὸ τούτων οἰκη-

τήριον, αὐτόν τε τὸν ἄρχοντα τῶν πονηρῶν πνευμάτων σημαίνεσθαι διὰ τοῦ πολυκεφάλου δράκοντος· περὶ οὗ φήσειέ τις εἰρῆσθαι τό, «Σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι». Ζητήσει δὲ ὁ τοιοῦτος καὶ τινὰς Αἰθίοπας νόμοις ἀλληγορίας, τοὺς τὰς ψυχὰς μεμελανωμένους φάσκων εἶναι· οὓς δὲ καὶ ἐσθίειν ἐρεῖ τὸν προλεχθέντα δράκοντα, ἀναλόγως τοῖς ἐσθίουσι τοῦ σωτηρίου Λόγου τὰς σάρκας· ἀκολούθως δὲ τούτοις καὶ πηγὰς ῥηγνυμένας εἰς χειμάρρους καὶ ποταμοὺς ἀποξηραινομένους τροπικῶς ἀποδοῦναι πειράσεται. Ἀλλ' ἡμεῖς, πρὸς λέξιν τὴν διάνοιαν ἀποδεδωκότες, ἐπὶ τὰ ἑξῆς διαβησόμεθα. Παραστήσας ὁ προφήτης ὁποῖα εἴργασται θαύματα ὁ πρὸ αἰώνων βασιλεὺς Θεός, ἔτι καὶ ταῦτα προστίθησι λέγων· «Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ.» Τὴν γὰρ τοσαύτην τῶν πραγμάτων μεταβολὴν σὺ μόνος ὁ παντοδύναμος εἰργάσω. Ὡς γὰρ τὴν στερέμνιον πέτραν εἰς ῥευστὴν οὐσίαν μεταβαλών, πηγὰς καὶ χειμάρρους ἐξ αὐτῆς εἰργάσω, καὶ ἀνάπαλιν τὰ τῶν ποταμῶν ῥεύματα εἰς τὸ ἐναντίον καταστήσας ἐξήρανας· οὕτω καὶ τὴν ἡμέραν ὅτε θέλεις νυκτοποιεῖς, ἔμπαλίν τε τὴν νύκτα μετατρέπεις εἰς ἡμέραν· αὐτὸς καὶ φωστῆρας ἐν οὐρανῷ κατηστέρισας αὐτοῖς, καὶ ἡλίῳ διέταξας δρόμους, ὅρους τε τῷ παντὶ νομοθετήσας, ὥσπερ μεθορίους διεῖλας τὸν σύμπαντα αἰῶνα κατακερματίσας εἰς διάφορα τμήματα τοὺς τοῦ παντὸς ἐνιαυτοῦ καιρούς. Ἑνὸς γὰρ ὄντος τοῦ χρόνου, καὶ τῆς τοῦ παντὸς ἀνακυκλήσεως μιᾶς καὶ τῆς αὐτῆς οὔσης, σὺ ὁ πάντα δυνατὸς Θεὸς τροπαῖς διαφόροις διεῖλας τὸ πᾶν, θέρος μὲν ἔαρι συνάψας, τούτῳ δὲ μετόπωρον περιγράψας, χειμῶνά τε περιορίσας ἔαρι· πάντα γὰρ ταῦτα σὺ ἔπλασας. Ἐπεὶ τοίνυν σὺ ὁ ἐξ αἰῶνος καὶ πρὸ αἰῶνος βασιλεὺς ἡμῶν τοιαῦτα πέφυκας μεγαλουργεῖν καὶ παραδοξοποιεῖν, μεταβάλλειν τε ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία τὰ τῷ σῷ νεύματι παριστάμενα· εἰκότως ἀντιβολοῦμεν καὶ νῦν ταῖς ἡμετέραις ἱκετηρίαις ἐπινεῦσαι, μνησθῆναί τε ταύτης (ἀντὶ δὲ τοῦ, «ταύτης», «ταῦτα» ὁ Σύμμαχος ἡρμήνευσεν·) ὅπως καὶ ἐφ' ἡμῶν μεταβολὴν ποιήσειας τῶν προκαταλαβόντων ἡμᾶς κακῶν. Ἀντὶ δὲ τοῦ, «Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον», ὁ Ἀκύλας, «Σὺ ἡτοίμασας φωστῆρα καὶ ἥλιον» ἡρμήνευσεν.

Στίχ. ιη', ιθ'-κα'. «Ἐχθρὸς ὠνείδισε τῷ Κυρίῳ, καὶ λαὸς ἄφρων παρώξυνε τὸ ὄνομά σου. Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι.»

Τὰ μὲν τῆς σῆς ἀνεκφράστου δυνάμεως ἔργα τοιαῦτά τινα, ὁποῖα δεδήλωται τυγχάνει. Τούτων δέ σε μνησθῆναι καὶ ἐφ' ἡμῶν ἱκετεύομεν. Ἐπειδὴ καὶ νῦν οἱ ἐχθροὶ καὶ οἱ πολέμιοι, οὐχ ἡμᾶς τοὺς πολεμηθέντας καὶ ὑποχειρίους αὐτοῖς γενομένους, ἀλλὰ σὲ τὸν Θεὸν ἡμῶν ὀνειδίζουσι· καὶ λαὸς ἄφρων ὁ σὲ τὸν Θεὸν μὴ εἰδώς, ἐπὶ δαίμοσι δὲ καὶ πολυθέῳ πλάνῃ καυχώμενος, οὐχ ἡμᾶς, ἀλλὰ σὲ καὶ τὸ σὸν ὄνομα παρώξυνεν· οὗ χάριν δεόμεθα καὶ ἀντιβολοῦμεν, μὴ ἐκδότους παρα-

δοῦναι τοῖς ἀπηνέσι θηρσὶ τὰς ψυχὰς τῶν ἐξομολογουμένων σοι, μηδὲ λήθην ποιήσασθαι εἰς τὸ παντελές, μὴ βορὰ γενώμεθα θηρίων ψυχὰς ἐσθίειν πεφυκότων· ὁποῖαί εἰσιν αἱ ἀντικείμεναι δυνάμεις, αἱ τῶν ψυχῶν τῶν ἀνθρωπίνων ἐπίβουλοί τε καὶ πολέμιοι· ἀλλὰ γὰρ «ἐπίβλεψον εἰς τὴν διαθήκην σου», καὶ μνήσθητι τῆς συνθήκης σου, δι' ἧς ηὐδόκησας σῶσαι τὸ τῶν ἀνθρώπων γένος, καινὴν διαθήκην αὐτοῖς διὰ τοῦ Χριστοῦ σου δεδωρημένος. Εἰ γὰρ καὶ τὰ μάλιστα γεγόνασί τινες ἐσκοτισμένοι τὴν διάνοιαν καὶ «οἴκῳ ἀνομιῶν» πεπληρωμένοι, μὴ παραδεξάμενοι τὸν Χριστόν σου, ἀλλὰ σὺ ὡς φιλάνθρωπος Θεὸς τῶν σῶν πτωχῶν μὴ ἀποστραφῇς τὰς ἱκετηρίας. Τίνες δ' ἂν εἶεν οἱ πτωχοὶ οἱ ταῦτα ὑπὲρ παντὸς εὐχόμενοι τοῦ λαοῦ, ἀλλ' οἱ τοῦ Σωτῆρος ἡμῶν μαθηταὶ καὶ ἀπόστολοι πρὸς οὓς ἐλέγετο· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν;[1]» Τούτοις γὰρ καὶ Ἡσαΐας ἐμαρτύρει ἐκ προσώπου λέγων τοῦ Χριστοῦ· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με.[2]» Οὗτοι γοῦν ὑπερηύχοντο τοῦ παντὸς λαοῦ, μονονουχὶ φήσαντες ἂν οἱ πάντες αὐτοὶ ὁμοίως Παύλῳ τό· «Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται.[3]» Καὶ αὐτοὶ δὲ οἱ προφῆται τοῦ Θεοῦ, δι' αὐτὸν πτωχεύοντες, ταῦθ' ὑπὲρ τοῦ παντὸς καθικέτευον ἔθνους.

Στίχ. κβ΄, κγ΄. «Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου, μνήσθητι τῶν ὀνειδισμῶν σου, τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἐχθρῶν σου, ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός.»

Ἐπειδὴ οὐχ ἡμεῖς ἠδικήμεθα ἀλλὰ σύ· σὲ γὰρ ὠνείδισεν ὁ ἐχθρός, καὶ λαὸς ἄφρων τὸ σὸν ὄνομα παρώξυνε· τούτου χάριν ἀνάστηθι, ὁ Θεός, καὶ δίκασον τὴν δίκην σου. Κατὰ δὲ τὸν Σύμμαχον· «Στῆθι, ὁ Θεός, προμάχησον τῆς μάχης σου, καὶ μνημόνευσον τοῦ ὀνείδους σου παρὰ ἄφρονος τοῦ διὰ πάσης ἡμέρας. Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν πολεμίων σου, ἤγουν τῶν ἀνθεστηκότων σοι, μέχρις οὗ ἀναβαίνοντος ἀδιαλείπτως;» Καὶ μέχρι τούτων ἵσταται ὁ λόγος παρακαλῶν τὸν Θεὸν διαναστῆναι καὶ δικάσαι τὴν δίκην αὐτοῦ, μνησθῆναί τε τοῦ ὀνειδισμοῦ τῶν ἀφρόνων, μηδὲ λήθῃ παραδοῦναι τὰς φωνὰς τῶν ἐχθρῶν καὶ τὰς ὑπερηφανίας τῶν διαπαντὸς ἐπαιρομένων. Οὐ μὴν ἐπισυνῆπται τούτοις ἑξῆς χρηστοτέρα τις ἀπόκρισις, οὐδὲ ἀγαθῶν ἐπαγγελία τοῖς δεηθεῖσιν, ὅπερ ἔστιν ἐφ' ἑτέρων εὑρεῖν. Διόπερ ἀρχόμενος ὁ λόγος ἀπωσμὸν εἰς τέλος ἐθέσπισε τοῖς δηλουμένοις, καὶ δι' ὅλου τό, «εἰς τέλος», ἐπῆγε τῇ τῶν σκυθρωπῶν προρρήσει. Ἔνθεν ὁρμώμενος καὶ ὁ θεῖος Ἀπόστολος, γράφων περὶ αὐτῶν ἔλεγε τό, «Ἔφθασε δὲ εἰς αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.[4]»

1. Ματθ. 5, 3. 2. Ἡσ. 61, 1. 3. Ῥωμ. 9, 3, 4. 4. Α΄ Θεσσ. 2, 16.

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΜΗ ΔΙΑΦΘΕΙΡΗΣ, ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ. ΟΔ΄.

Στίχ. β΄. «Ἐξομολογησόμεθά σοι, ὁ Θεός, ἐξομολογησόμεθά σοι, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.»

Ἀντὶ τοῦ, «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς», ὁ Σύμμαχος, «Ἐπινίκιος περὶ ἀφθαρσίας ψαλμὸς τοῦ Ἀσάφ», ἡρμήνευσεν. Οὐκοῦν περὶ ἀφθαρσίας ὁ λόγος τῆς τοῖς δικαίοις ἀποκειμένης, οἷς καὶ τὰ τῆς νίκης ἀποτεθησαύρισται βραβεῖα. Διὸ καὶ ἐπινίκιος εἴρηται· ἀναπέμπει δὲ ἡμᾶς εἰς τὸ τέλος, περὶ οὗ φησιν ὁ Ἀπόστολος· «Εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.[1]» Εἰς ἐκεῖνο γὰρ τὸ τέλος οἱ κατὰ τὸν ἐνεστῶτα αἰῶνα τὸν καλὸν ἀγῶνα νενικηκότες τῆς ἀφθάρτου ζωῆς τεύξονται· ὃ δὴ πρὸς τοῖς τελευταίοις καὶ ὁ μετὰ χεῖρας λόγος παρίστησι λέγων· «Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσω, καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου.» Συμφώνως γὰρ τῷ Ἀποστόλῳ ὁ παρὼν λόγος κλασθήσεσθαι τὰ κέρατα εἰπών, ἐπήγαγε τό, «Ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου·» καὶ τοῦτ' ἔστι τὸ τῆς παρούσης προφητείας συμπέρασμα. Διὸ καὶ ψαλμὸς καὶ ᾠδὴ κατὰ τὸ αὐτὸ ὠνόμασται· ἐκ προσώπου δὲ τῶν δικαίων τὴν καταρχὴν ποιεῖται εἰπών· «Ἐξομολογησόμεθά σοι, ὁ Θεός, ἐξομολογησόμεθά σοι, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου.» Μόνοις γὰρ αὐτοῖς πρέπει ἡ εὐχαριστήριος ἐξομολόγησις, καθ' ἣν καὶ ὁ Σωτὴρ ἐξωμολογεῖτο ἐν Εὐαγγελίοις πρὸς τὸν Πατέρα φάσκων· «Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς.[2]» Πρῶτον δὲ ἐξομολογοῦνται, εἶτα ἐπικαλοῦνται τὸ ὄνομα αὐτοῦ, διὰ τῆς τοιᾶσδε ἐπικλήσεως παρὰ τῷ Θεῷ τευξόμενοι σωτηρίας, κατὰ τὸ φάσκον λόγιον· «Καὶ πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται.[3]» Δύναται δὲ ὁ λόγος διδασκαλικὸς εἶναι ἐξομολογήσεως τῶν ἐν τῷ πρὸ τούτου ἀποκλαυσαμένων τὴν πτῶσιν τῆς Ἱερουσαλὴμ καὶ τὴν ἐσχάτην αὐτῆς πολιορκίαν. Οἱ γὰρ εἰρηκότες ἐν τοῖς ἔμπροσθεν, «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;[4]» καὶ τὰ ἑξῆς, διδάσκονται νῦν ἐξομολογεῖσθαι τῷ Θεῷ καὶ ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ. Ἐπειδὴ διττός ἐστιν ὁ τῆς ἐξομολογήσεως τρόπος, ἀναγκαίως δεύτερον εἴρηται ἐπὶ τοῦ παρόντος τό, «Ἐξομολογησόμεθά σοι·» τοῦ μὲν πρώτου, ὡς εἰκός, ἐφ' ἁμαρτίας τὴν ἐξομολόγησιν δηλοῦντος, τοῦ δ' ἑξῆς τὴν ἐφ' οἷς εὖ πεπόνθασιν οἱ τὸ πρῶτον ἐξομολογησάμενοι εὐχαριστίαν.

Στίχ. γ΄, δ΄. «Διηγήσομαι τὰ θαυμάσιά σου, ὅταν ἐκλάβω καιρόν, ἐγὼ εὐθύτητας κρινῶ.»

---

1. Α΄ Κορ. 15, 24-26. 2. Ματθ. 11, 25. 3. Ἰωὴλ 3, 5. Πράξ. 2, 21. Ῥωμ. 10, 13. 4. Ψαλμ. 73, 1.

Θεοῦ φωνὰς εἶναι τὰς προκειμένας ὁ νοῦς τῶν λεγομένων παρίστησι. Τὸ γάρ, «Ἐγὼ εὐθύτητας κρινῶ», καὶ πάλιν τό, «Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς», δῆλον δ' ὅτι τῆς γῆς, καὶ ἑξῆς τό, «Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω», τίνι ἂν ἁρμόζοι λέγειν ἢ Θεῷ; Εἰ τοίνυν ἐκ προσώπου τοῦ Θεοῦ ταῦτα λέγεται, πῶς ἕτερος εἰδὼς Θεόν, πρὸς ὡς αὐτὸν ἀναφωνεῖ λέγων· «Διηγήσομαι τὰ θαυμάσια σου ὅταν λάβω καιρόν», καὶ ἐπιφέρει· «Ὅτι ὁ Θεὸς κριτής ἐστι·» καὶ πάλιν, «Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου;» Πῶς δὲ πρὸς τούτοις ἅπασιν ἐπιλέγει· «Ἐγὼ δὲ ἀναγγελῶ εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ, καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω;» Ὅρα τοίνυν εἰ μὴ διὰ τούτων ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος τὰς οἰκείας ἐνεργείας διδάσκει τὴν τοῦ Πατρὸς διεξιὼν θεολογίαν. Φησὶ γοῦν· «Διηγήσομαι τὰ θαυμάσιά σου ὅταν λάβω καιρόν.» Ὁ μὲν Ἀκύλας, «Ὅταν λάβω συνταγάς·» ὁ δὲ Σύμμαχος, «Ὅταν λάβω τὴν συναγωγήν.» Καί μοι δοκεῖ εὐκαίρως εἰρηκέναι τό, «Ὅταν λάβω συνταγάς», ἤ, «τὴν συναγωγήν.» Ἐπαγγέλλεται γὰρ καιροῦ λαβόμενος πάντα τὰ θαυμάσια τοῦ Πατρὸς διηγήσασθαι ἐπὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας, ἣν αὐτὸς ὁ Πατὴρ ἐπηγγέλλετο αὐτῷ εἰπών· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Ὅταν οὖν λάβω, φησί, ταύτην τὴν συνταγήν, καὶ ἐπειδὰν τύχω τούτου τοῦ καιροῦ, τηνικαῦτα παρ' αὐτοῖς τοῖς ἐξ ἐθνῶν ἐπιστρέφουσι διηγήσομαι πάντα τὰ θαυμάσιά σου. Οἷς ἐπιλέγει· «Ἐγὼ εὐθύτητας κρινῶ.» Δικαιοσύνης γὰρ καὶ εὐθύτητος ἔργον τὸ μὴ Ἰουδαίους μόνους προσίεσθαι, μηδὲ τὸ ἐξ Ἀβραὰμ γένος κατὰ τὴν Μωϋσέως κλῆσιν, ἀλλ' ἐξ ἁπάντων τῶν ἐθνῶν τὴν ἐκλογὴν ποιεῖσθαι τῶν σῳζομένων. Διόπερ ὁ Πέτρος ἐν ταῖς Πράξεσιν ἀναγέγραπται εἰρηκώς· «Ἐπ' ἀληθείας οἶδα, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός· ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν δεκτός ἐστιν αὐτῷ.[2]» Καὶ ὁ Παῦλος δὲ Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι τὸ Εὐαγγέλιον κηρύττεσθαί φησι λέγων· «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται.[3]» Οἷς ἀκολούθως ἐνταῦθα φάσκει τό· «Ἐγὼ εὐθύτητας κρινῶ.» Εἶτ' ἐπιλέγει· «Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες αὐτήν· ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς.» Κατὰ δὲ τὸν Σύμμαχον, «Συσταθήσεται», φησίν, «ἡ γῆ σὺν τοῖς κατοικοῦσιν αὐτήν· ἐγὼ ἥδρασα τοὺς στύλους αὐτῆς.» Ταῦτα δὲ τοῖς ἐν τῷ πρὸ τούτου λελεγμένοις εἴρηται συμφώνως. Ἡ γὰρ πολιορκηθεῖσα γῆ καὶ πυρὶ παραδοθεῖσα περὶ ἧς ἐλέγετο· — «Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἔκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, ἐν πέλυκι καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν

1. Ψαλμ. 2, 8. 2. Πράξ. 10, 34. 3. Ῥωμ. 1, 16-17.

γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου·[1]» — ταῦτα παθοῦσα ἐτάκη, καὶ πάντες οἱ κατοικοῦντες αὐτὴν διὰ τὰς ἀσεβείας αὐτῶν τοιαῦτα πεπόνθασι. Πλὴν τούτων ἀπολλυμένων, «ἐγώ», φησίν, «ἐστερέωσα τοὺς στύλους αὐτῆς.» Τίνας δ' ἂν εἴποις τούτους ἢ τοὺς ἱεροὺς ἀποστόλους καὶ πάντας τοὺς τοῦ Σωτῆρος ἡμῶν μαθητάς τε καὶ εὐαγγελιστάς; Ἐξ αὐτῆς γὰρ ἐκείνης προελθόντες τῆς γῆς, στῦλοι καὶ ἑδραίωμα γεγόνασι τῆς Ἐκκλησίας. Διὸ καὶ Παῦλος τοὺς κορυφαίους τῶν ἀποστόλων στύλους ὠνόμαζε λέγων· «Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι.[2]»

Στίχ. ε', ς'. «Εἶπα τοῖς παρανομοῦσι, Μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι, Μὴ ὑψοῦτε κέρας.»

Τοὺς μὲν στύλους τῆς ἁγίας καὶ καθολικῆς Ἐκκλησίας ἐγώ, φησὶν ὁ Θεός, ἐστερέωσα· ὅτι ἐκλεξάμενος αὐτοὺς ἐκ τῆς ἀποδοθείσης γῆς τακείσης μετὰ τῶν οἰκούντων αὐτήν· τοῖς δὲ λοιποῖς διεμαρτυράμην διαστειλάμενος καὶ παραινέσας μὴ παρανομεῖν. Κατὰ δὲ τὸν Σύμμαχον· «Εἶπα», φησί, «τοῖς στασιάζουσι, Μὴ στασιάζετε· καὶ τοῖς παρανόμοις, Μὴ ἐπαίρετε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν λαλοῦντες τραχήλῳ ἀνομίαν.» Δύναται δὲ ταῦτα πρὸς τὸ ἕτερον τάγμα τὸ ἐκ περιτομῆς λέγεσθαι, τῶν καταστασιασάντων τοῦ Σωτῆρος καὶ κατεπαρθέντων αὐτοῦ· δι' οὓς ἐτάκη αὐτῶν ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες αὐτήν. Πλὴν καὶ τοῖς καθ' ὅλης τῆς οἰκουμένης ἔθνεσι διὰ τοῦ τῶν ἀποστόλων κηρύγματος ἐμαρτύρατο μὴ παρανομεῖν, καὶ τοῖς ἁμαρτάνουσι μὴ ὑψοῦν τὸ τῆς ἁμαρτίας κέρας, μηδὲ ἐπαίρεσθαι καὶ καταθρασύνεσθαι, μηδὲ λαλεῖν ἀδικίαν κατὰ τοῦ Θεοῦ· ὅπερ πρότερον ἔπραττον πολυθέῳ προσέχοντες πλάνῃ, καὶ τὸν τῶν ὅλων Θεὸν μὴ εἰδότες.

Στίχ. ζ'-θ'. «Ὅτι οὔτε ἀπὸ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς κριτής ἐστι.»

Καὶ ταῦτα, φησί, διεμαρτυράμην διὰ τῶν ἐμῶν ἀποστόλων ἅπασιν ἀνθρώποις, μνημονεύειν τῆς κρίσεως τοῦ Θεοῦ, καὶ παύσασθαι πάσης παρανομίας, πεπεισμένους ὅτι οὐ πόρρω που ἀφέστηκεν ὁ τῶν ὅλων κριτής· πάντα δὲ πληροῖ καὶ πανταχοῦ πάρεστι. Διὸ προσήκει ὡς ἐν ὀφθαλμοῖς αὐτοῦ ζῶντας ἐπιστρεφῶς πολιτεύεσθαι. Οὐ γὰρ μακρὰν ἀφέστηκεν, ὡς νομίσαι πόρρω που ἀπῳκίσθαι αὐτόν, ἢ πρὸς αὐταῖς ἀνατολαῖς, ἢ κατὰ τὰ δυσμικὰ μέρη, ἤ που ἐν ἐρημίαις καὶ ὄρεσι. Μέσος γὰρ ἐπιπαρὼν τοῖς πᾶσι, κριτὴς τῶν ὅλων ἐστί. Ἔργον τε αὐτοῦ τῆς κρίσεως τὸ κατ' ἀξίαν ἀπονέμειν ἑκάστῳ, καὶ τοῦτον μὲν ταπεινοῦν, τοῦτον δὲ ὑψοῦν· ταπεινοῦν μὲν τοὺς ὑπερηφάνους καὶ τοὺς ἐπαίροντας εἰς ὕψος τὸ κέρας αὐτῶν· ὑψοῦν δὲ τοὺς ταπεινούς, κατὰ τό· «Ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.[3]» Διό φησιν· «Ὅτι οὔτε ἀπὸ ἐξόδων καὶ ἀπὸ

---

1. Ψαλμ. 73, 6-7. 2. Γαλ. 2, 9. 3. Ἰακ. 4, 6.

ἀνατολῶν ἡλίου, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων·» ἀνθ' ὧν ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Οὐ γὰρ ἀπὸ ἀνατολῆς, οὐδὲ ἀπὸ δύσεως, οὐδὲ ἀπὸ ἐρήμου ὀρέων· ἀλλ' ὁ Θεὸς κριτὴς τοῦτον μὲν ταπεινοῖ, τοῦτον δὲ ὑψοῖ.» Καὶ τοῦτο δέ, φησίν, ἀναγκαῖον εἰδέναι πάντας ἀνθρώπους, «Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου, πλῆρες κεράσματος. Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο· πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη, πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς.» Κατὰ δὲ τὸν Σύμμαχον· «Ποτήριον γὰρ ἐν χειρὶ Κυρίου καὶ οἶνος ἄκρατος πληρῶν ἐκχυθείς, ὥστε ἕλκειν ἀπ' αὐτοῦ. Πλὴν τὰς τρυγίας αὐτοῦ ἐκστραγγίσουσι πίνοντες οἱ φαῦλοι τῆς γῆς.» Καὶ ταῦτα, φησίν, ἐδίδαξα πάντας ἀνθρώπους, ὡς ἂν μὴ ἀγνοεῖν, ὅτι περιμένει τοὺς πάντας τὸ ποτήριον, ὅπερ ἑκάστῳ κίρνησιν ὁ τῶν ὅλων κριτής. Νοήσεις δὲ τοῦτο ἀπὸ τῶν ἐν ταῖς προφητείαις λελεγμένων περὶ ποτηρίου· γέγραπται γοῦν ἐν Ἱερεμίᾳ οὕτως· «Εἶπε Κύριος ὁ Θεὸς Ἰσραὴλ πρός μέ· Λάβε τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου ἐκ χειρός μου, καὶ ποτιεῖς αὐτὸ πάντα τὰ ἔθνη, πρὸς ἃ ἐγὼ ἐξαποστελῶ σε πρὸς αὐτούς. Καὶ πίονται καὶ ἐξεμοῦνται, καὶ ἐκμανήσονται ἀπὸ προσώπου τῆς μαχαίρας, ἧς ἐγὼ ἀποστελῶ ἀναμέσον αὐτῶν. Καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς Κυρίου, καὶ ἐπότισα πάντα τὰ ἔθνη πρὸς ἃ ἀπέστειλέ με Κύριος ἐπ' αὐτά, τὴν Ἱερουσαλὴμ καὶ τὰς πόλεις Ἰούδα, καὶ βασιλεῖς αὐτοῦ καὶ ἄρχοντας αὐτοῦ, τοῦ θεῖναι αὐτοὺς εἰς ἐρήμωσιν, καὶ εἰς ἄβατον καὶ εἰς συριγμόν· καὶ τὸν Φαραὼ βασιλέα Αἰγύπτου καὶ τοὺς παῖδας αὐτοῦ, καὶ τοὺς μεγιστᾶνας αὐτοῦ·[1]» καὶ ἑξῆς φησι· «Καὶ πάντας τοὺς βασιλεῖς τῆς γῆς τῶν ἀλλοφύλων, τὴν Ἀσκάλωνα, καὶ τὴν Γάζαν, καὶ τὴν Ἀκκάρων, καὶ τὴν Ἰδουμαίαν, καὶ τὴν Μωαβῖτιν, καὶ τοὺς υἱοὺς Ἀμμών, καὶ πάντας βασιλεῖς Τύρου, πάντας βασιλεῖς Σιδῶνος, καὶ πάντας βασιλεῖς νήσου τοὺς ἐν τῷ πέραν τῆς θαλάσσης.[2]» Μεθ' ἃ ἐπιλέγει οὕτως· «Εἶπε Κύριος παντοκράτωρ ὁ Θεὸς Ἰσραήλ· Πίετε καὶ μεθύσθητε, καὶ ἐξεμέσετε, καὶ πεσεῖτε, καὶ οὐ μὴ ἀναστῆτε ἀπὸ προσώπου τῆς μαχαίρας, ἧς ἐγὼ ἀποστελῶ ἀναμέσον ὑμῶν. Καὶ ἔσται ὅταν μὴ βούλωνται δέξασθαι τὸ ποτήριον ἐκ τῆς χειρός σου, ὥστε πιεῖν, καὶ ἐρεῖς πρὸς αὐτούς. Οὕτως εἶπε Κύριος τῶν δυνάμεων· Πιόντες πίεσθε.[3]» Δι' ὧν διδάσκει ὁ λόγος δίκην ἰατροῦ τοῖς δεομένοις πικρᾶς ἀντιδότου τὸν Θεὸν ἐπάγειν τὰς κολάσεις, ὡς ἂν ἐμέσαιεν, καὶ ἀποκενώσειεν τὴν πλεονάσασαν ἐν αὐτοῖς κακίαν· καὶ πρώτην γε αὐτὴν τὴν Ἱερουσαλὴμ τοῦ λεχθέντος ποτοῦ πιεῖσθαι· εἶτα δὲ τὰ λοιπὰ ἔθνη, ὡς καὶ πάντων τῆς ὁμοίας τευξομένων καθάρσεως διὰ τῶν ἐπαχθησομένων αὐτοῖς τιμωριῶν. Καὶ τὸ παρὸν οὖν λόγιον καταλλήλως τῇ προφητικῇ διδασκαλίᾳ ποτήριον εἶναι διδάσκει ἐν χειρὶ Κυρίου, ἐν ᾧ τοὺς ἑκάστου καρποὺς συναγαγών, ὥσπερ ἄκρατον οἶνον ἐργάζεται. Εἶτ' ἐπιδίδωσι τὸ κατ'

1. Ἱερ. 25, 15-19. 2. Ἱερ. 25, 20-22. 3. Ἱερ. 25, 27-28.

ἀξίαν πόμα ἀναλόγως ταῖς ἑκάστου πράξεσι κιρνῶν αὐτὸ κατὰ τὸν τοῦ δικαίου λόγον. Μὴ γὰρ τὰς φαύλας πράξεις μόνας ἑκάστου, ἀλλὰ καὶ τὰς ἀγαθὰς λογίζεσθαι, σταθμᾶσθαί τε ὥσπερ συμμετρίᾳ καὶ κατάλληλον τοῖς ἑκάστου ἔργοις ἀπεργάσασθαι τὸ κρᾶμα. Ὃ δὴ παρίστησι λέγον· «Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο·» ὡς ἂν μία γένοιτο κρᾶσις τῶν τε ἑκάστου μοχθηρῶν πράξεων καὶ τῶν χρηστοτέρων. Ἀντὶ δὲ τοῦ, «Ἐξέκλινεν ἐκ τούτου εἰς τοῦτο», ὁ Σύμμαχος, «Ὥστε ἕλκειν ἀπ' αὐτοῦ», ἡρμήνευσε· τὴν δὲ τρύγα πιεῖσθαι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. Οὐκέτι γὰρ κρᾶμα, ἀλλὰ τὸ ἔσχατον καὶ θολερὸν τοῖς τὰ μεγάλα ἡμαρτηκόσιν ἀποκείσεσθαι. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Πλὴν τὰς τρυγίας ἐκστραγγιοῦσι πίνοντες οἱ φαῦλοι τῆς γῆς.»

Στίχ. ι', ια'. «Ἐγὼ δὲ ἀπαγγελῶ εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ.»

Τὰ μὲν προλεχθέντα πάντα εἶπα τοῖς παρανομοῦσι, καὶ διεστειλάμην ἅπασι μαρτυράμενος. Ἐγὼ δὲ ὁ ἀνωτέρω εἰπών· «Διηγήσομαι τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν·[1]» καὶ πάλιν φήσας· «Ἐγὼ εὐθύτητας κρινῶ·[2]» καὶ αὖθις εἰπών· «Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς·[3]» μετὰ τὸ κηρῦξαι καὶ μαρτύρασθαι τὰ προλεχθέντα τοῖς ἁμαρτωλοῖς, καὶ μετὰ τὸ διδάξαι τὸν περὶ τῆς κρίσεως λόγον τοὺς πάντας, τί πράξω; «Εἰς τὸν αἰῶνα ψαλῶ τῷ Θεῷ Ἰακώβ.» Οἶδα γὰρ ἐμαυτοῦ πατέρα τὸν γενόμενον τοῦ θεοφιλοῦς Θεόν, κἀκείνῳ ψαλῶ, κἀκείνῳ ἀπαγγελῶ τὰ ἐμαυτοῦ κατορθώματα. Εἶθ' οὕτω λαβὼν παρὰ τοῦ Πατρὸς τὴν τοῦ κρίνειν ἐξουσίαν, «πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω·» συγχωρήσας μὲν αὐτοῖς ἐπαίρεσθαι κατὰ καιρὸν καθ' ὃν ἔδει χρήσασθαι τῇ ἀνοχῇ, καὶ τῇ μακροθυμίᾳ καὶ τῇ χρηστότητι· πλὴν ἐπὶ τέλει τὰ κέρατα αὐτῶν κατεπαρθέντα τοῦ Θεοῦ συγκλάσω· ἀνάπαλιν δὲ τὰ τοῦ δικαίου κέρατα ὑψώσω, ἐπείπερ ἦν τεταπεινωμένα. Τότε δὲ ὑψωθήσεται, ἐπειδὰν συμβασιλεύῃ τῷ ἑαυτοῦ βασιλεῖ κατὰ τὸν Ἀπόστολον, ὅς φησιν· «Ἀπαρχὴ γὰρ Χριστός· εἶτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ· εἶτα τὸ τέλος, ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.[4]» Ὅτε καὶ πίονται οἱ δίκαιοι ποτήριον ζωῆς ἀθανάτου· ὅπερ αὐτοῖς ἐπήγγελται εἰπών· «Ἕως ἂν πίω αὐτὸ καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.[5]»

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΕΝ ΥΜΝΟΙΣ, ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ, ΩΔΗ. ΟΕ'.

Στίχ. β', γ'. «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.»

---

1. Ψαλμ. 74, 2, 3. 2. Ψαλμ. 74, 3. 3. Ψαλμ. 74, 4. 4. Α' Κορ. 15, 23, 24. 5. Ματθ. 26, 29.

Τῶν ἐπ' ἀγαθὸν τέλος ἀναπεμπόντων καὶ ὁ παρὼν τυγχάνει ψαλμός. Συνᾴδει δὲ τῷ πρὸ αὐτοῦ, τοὺς περὶ τῆς κρίσεως τοῦ Θεοῦ λόγους περιέχων. Ὃ δὴ παρίστησι φάσκων ἑξῆς· «Ἐκ τοῦ οὐρανοῦ ἠκόντισας κρίσιν, γῆ ἐφοβήθη καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.» Καὶ ἐν ἐκείνῳ μὲν ἐλέγετο τοῖς παρανομοῦσι· «Μὴ ὑψοῦτε κέρας, καὶ μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν·[1]» ἐν δὲ τῷ μετὰ χεῖρας· «Ἐταράχθησαν», φησίν, «οἱ ἀσύνετοι τῇ καρδίᾳ· ὕπνωσαν ὕπνον αὐτῶν, καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου.» Οὗτοι δὲ ἦσαν οἱ τὰ κέρατα ὑψοῦντες. Παιδεύει δὲ διὰ τῶν προκειμένων ὁ λόγος δόγμα βαθύτατον, ὡς ἂν εἰδείημεν τίς ποτέ ἐστιν ὁ ἀληθινὸς Ἰσραήλ, καὶ τίς ἡ τούτου κατὰ τὸν ἀληθῆ λόγον χώρα ἡ ὀνομαζομένη Ἰουδαία· τίς τε ἡ ἀληθινὴ Ἱερουσαλήμ, καὶ ὁποῖον τὸ τοῦ Θεοῦ οἰκητήριον. Ταῦτα τὸ προφητικὸν Πνεῦμα μεθ' ὑπερβαλλούσης σοφίας οἰκονομεῖ· ὁμοῦ καὶ τοῖς ταπεινότερον καὶ Ἰουδαϊκώτερον ἀκροωμένοις θυμηδίαν παρέχον διὰ τῆς ὁμωνυμίας τῶν δηλουμένων, ὁμοῦ καὶ τοὺς θεωρητικοὺς παιδεύματα διδάσκον θείων δογμάτων. Ὁ μὲν οὖν Ἰουδαῖος, πλέον οὐδὲν ἢ σὰρξ καὶ αἷμα τυγχάνων, σαρκίνως καὶ σωματικῶς ἀκούσεται τῶν προκειμένων· κἄπειτα ἐπαρθήσεται, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν κεφαλὴν κατὰ τὸν ἱερὸν Ἀπόστολον. Διὸ ἑαυτὸν μὲν εἶναι τὸν Ἰσραὴλ οἰήσεται, καὶ τὴν Ἰουδαίαν οὐδ' ἑτέραν εἶναι τῆς Παλαιστίνων χώρας, καὶ τὸν τόπον τοῦ Θεοῦ, τὴν ἐπὶ γῆς Ἱερουσαλήμ· ἐπειδήπερ ἡ Ἑβραϊκὴ λέξις περιέχει ἐν Σαλὴμ γεγονέναι τὸν τόπον αὐτοῦ· καὶ οἱ λοιποὶ δὲ ἑρμηνευταὶ τοῦτον ἡρμήνευσαν τὸν τρόπον, «ἐν Σαλὴμ» ἐκδεδωκότες. Ὁ δὲ τοῖς θείοις δόγμασι μεμαθητευμένος, παιδευθείς, ὅτι οὐ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ, οὐδὲ ὅσοι σπέρμα «Ἀβραάμ» εἰσι, πάντες τέκνα· οὐ γὰρ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα· ἔτι τε ἐπακούσας τοῦ αὐτοῦ Ἀποστόλου λέγοντος, «Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ·[2]» καὶ πάλιν· «Ἡμεῖς γάρ ἐσμεν ἐν περιτομῇ οἱ ἐν πνεύματι Θεοῦ λατρεύοντες, καὶ οὐκ ἐν σαρκὶ πεποιθότες·[3]» ἔτι μὴν ἐπιστήσας τό, «Βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρκα[4]», ὡς ἑτέρου ὄντος τοῦ μὴ κατὰ σάρκα, ἀλλὰ κατὰ πνεῦμα ἀληθινοῦ Ἰσραήλ· τούτοις μεμαθητευμένος, τὸν ἀληθινὸν Ἰσραὴλ ἐκδέξεται εἶναι τὸν ἐκ τοῦ πράγματος σημαινόμενον. Μεταλαμβάνεται γοῦν τοὔνομα εἰς τὸν ὁρῶντα τὸν Θεόν· τὸν διορατικὸν τοίνυν καὶ γνωστικὸν καὶ ἐπιστημονικὸν ἄνδρα

1. Ψαλμ. 74, 5-6. 2. Ῥωμ. 2, 28, 29. 3. Φιλιπ. 3, 3. 4. Α' Κορ. 10, 18.

μόνον εἶναι τὸν ἀληθινὸν Ἰσραὴλ ἀποφανεῖται· ὃν ἡ μετὰ χεῖρας παρίστησι λέξις φάσκουσα· «Ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.» Ἐλέγχει δὲ τὸν Ἰουδαῖον οὐκ ἄξιον ὄντα τῆς προσηγορίας τοῦ Ἰσραὴλ ὁ προφητικὸς λόγος ἀποτεινόμενος πρὸς αὐτοὺς καὶ λέγων· «Οὐαὶ ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν·[1]» καί, «Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαὸς Γομόρρας.[2]» Ὥσπερ οὖν ὁ φάσκων περὶ τῶν ἐθνῶν· «Διότι ἀπ' Ἀνατολῶν ἡλίου μέχρι δυσμῶν δεδόξασται τὸ ὄνομα αὐτοῦ ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά·[3]» καὶ πάλιν· «Διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι[4]», σαφῶς παρίστησι δύνασθαι τὰ ἔθνη εἶναι τὸν Ἰσραήλ, εἴπερ «ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.» Καὶ πρὸς μὲν Ἰουδαίους ἐλέγετο· «Ὑμεῖς δὲ βεβηλοῦτε αὐτό[5]», δῆλον δ' ὅτι τὸ ὄνομα τοῦ Θεοῦ. Καὶ αὖθις εἴρηται πρὸς αὐτούς· «Δι' ὑμᾶς διαπαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν.[6]» Εἰ τοίνυν ἡ μετὰ χεῖρας Γραφὴ διδάσκει ἐκεῖνον εἶναι τὸν Ἰσραήλ, παρ' ᾧ τὸ τοῦ Θεοῦ δοξάζεται ὄνομα, ἐκ τῶν εἰρημένων γένοιτ' ἂν κατάδηλος ὁ ὀφείλων λέγεσθαι κυρίως Ἰσραήλ. Ἀναλόγως δὲ τούτῳ νοήσεις καὶ τὴν Ἰουδαίαν· ἔνθα γάρ ἐστιν ἡ γνῶσις τοῦ Θεοῦ, αὐτή ἐστιν ἡ Ἰουδαία. Τοῦτο γοῦν ἡ Γραφὴ παρίστησι λέγουσα· «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.» Εἰ δὲ μὴ τὸ πρᾶγμα ἐπὶ τῆς Ἰουδαίας, λέγω δὲ τῆς Παλαιστίνων χώρας εὑρίσκοιτο, πλείστης οὔσης εἰδωλολατρείας ἐν αὐτῇ γενομένης, αὐτῶν Ἰουδαίων τὸ παλαιὸν εἰδωλολατρευόντων ἐν αὐτῇ ὡς τοὺς προφήτας ἀπελέγχειν αὐτοὺς καὶ λέγειν· «Κατὰ γὰρ τὸν ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου Ἰούδα, καὶ κατὰ ἀριθμὸν ἀμφόδων Ἱερουσαλὴμ ἔθυον τῇ Βαάλ·[7]» πῶς δυνατὸν ταύτην εἶναι λέγεσθαι τὴν τὸ γνωστὸν τοῦ Θεοῦ κεκτημένην Ἰουδαίαν; Διὰ τί δὲ οὐκ ἂν εἴποις τὴν Αἰγυπτίων χώραν ἀξίαν τῆς προσηγορίας, περὶ ἧς εἴρηται· «Καὶ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου·[8]» καὶ αὖθις· «Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις;» Εἰ γὰρ παρ' οἷς γνωστός ἐστιν ὁ Θεὸς παρὰ τούτοις καὶ ἡ Ἰουδαία τυγχάνει, τί τὸ κωλῦον μὴ πάντας τοὺς τὴν γνῶσιν ἀνειληφότας τοῦ Θεοῦ ἐν τῇ Ἰουδαίᾳ εἶναι λέγεσθαι; Τούτοις οὖν ἀναλόγως καὶ ἡ καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησία Θεοῦ, ἐν ᾗ ὁ ἐπὶ πάντων Θεὸς γνωστὸς ὢν τυγχάνει, Ἰουδαία τε εὐλόγως ἂν ῥηθείη. Οὐκ ἂν δὲ ἁμάρτοις Ἰουδαίαν εἶναι λέγων πᾶσαν τὴν θεόπνευστον καὶ Ἰουδαϊκὴν Γραφήν, κτῆμα οὖσαν καὶ ὡς περίχωρον τοῦ ἀληθινοῦ Ἰσραήλ, διὰ τὸ τὴν γνῶσιν τοῦ Θεοῦ ἐν αὐτῇ περιέχεσθαι. Οὕτω μὲν οὖν ἡ ἀληθινὴ Ἰουδαία καὶ ὁ ἀληθινὸς Ἰσραὴλ νοηθήσεται κατὰ τὸν ὅμοιον τρόπον.

---

1. Ἡσ. 1, 4. 2. Ἡσ. 1, 10. 3. Μαλ. 1, 11. 4. Μαλ. 1, 11. 5. Μαλ. 1, 12. 6. Ἡσ. 52, 5. 7. Ἱερ. 2, 28. 8. Ἡσ. 19, 19.

Στίχ. γ'. Νοήσεις δὲ ὅπως «ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.»

Εἰ μὲν γὰρ ὁ παρὰ Ἰουδαίοις τιμώμενος τόπος ἀπόρθητος καὶ ἀπολέμητος πεφύλακτο, λόγον εἶχε συγχωρεῖν Ἰουδαίων παισὶν αὐτὸν εἶναι νομίζειν τὸν ὑπὸ τῶν Γραφῶν δηλούμενον· εἰ δ' οὗτος μὲν ἐκ βάθρων ἀνῇρται ἁλοὺς πολλάκις ὑπὸ πελεμίων, ἐν εἰρήνῃ δὲ λέγεται ὑπάρχειν ὁ τόπος αὐτοῦ· οὐκ ἂν δύναιτο ἀληθεῖ λόγῳ νομίζεσθαι τόπος εἶναι τοῦ Θεοῦ ὁ πολλάκις ὑπὸ πολεμίων ἁλούς. Διὸ οὐδὲ ὠνόμασε νῦν, «ἐπὶ τὴν Ἱερουσαλήμ», ὡς ἂν μή τις ἐκπέσοι ἐπὶ τὴν Ἰουδαϊκὴν πόλιν· ἀντὶ δὲ ταύτης τὴν διάνοιαν τοῦ πράγματος παρέστησεν εἰπών· «Ἐγενήθη ἐν Σαλὴμ ὁ τόπος αὐτοῦ.» Σαλὴμ δὲ ἑρμηνεύεται «εἰρήνη·» διὸ παρὰ τοῖς Ἑβδομήκοντα εἴρηται· «Ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ.» Εἰ μὲν οὖν καὶ ἐπὶ γῆς εὑρίσκοιντο ψυχαὶ παντὸς ἠλευθερωμέναι πολέμου ἐν εὐσταθείᾳ καὶ ἀταραξίᾳ καὶ γαλήνῃ διάγουσαι, εἰκότως ἂν λεχθεῖεν καὶ αὗται τόπος τοῦ Θεοῦ, ὡς ἂν χωρητικαὶ οὖσαι θείου Πνεύματος. Διὸ περὶ τῶν τοιούτων εἴρηται τό, «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.[1]» Εἰ δὲ σπανίως μὲν εὑρίσκοιντο ἐπὶ γῆς τοιοῦτοι, ἐν δὲ τῇ κατ' οὐρανὸν χρηματιζούσῃ Θεοῦ πόλει πληθύει τὸ τοῦ Θεοῦ οἰκητήριον, ἐν ἀγγέλοις, καὶ ἀρχαγγέλοις, καὶ θείαις δυνάμεσι, καὶ πνεύμασιν ἁγίοις· εἰκότως τὸν τόπον τοῦ Θεοῦ παρ' ἐκείνοις εἴποι ἄν τις, κἀκείνην εἶναι τὴν εἰρήνην ἀληθῶς Σαλὴμ ἐνταῦθα κατὰ τὴν Ἑβραϊκὴν φωνὴν ὠνομασμένην. Διὸ καὶ ὁ Ἀπόστολος ταύτην εἰδὼς ἔλεγεν· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν.[2]» Σαλὴμ μὲν γὰρ ἑρμηνεύεται «εἰρήνη», Ἱερουσαλὴμ δὲ «ὅρασις εἰρήνης·» ἧς τὸ ἐφέστιον ἐν ταῖς κατ' οὐρανὸν θείαις τυγχάνει δυνάμεσιν· ἐν αἷς ὁ Θεὸς αὐτὸς ἐμπεριπατεῖ, χωρητικαῖς οὔσαις τῆς αὐτοῦ θεότητος. Ἑξῆς τούτοις λέγεται· «Καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.» Εἶτα συνάπτει φάσκων ὁ λόγος· «Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον.» Καὶ ἐνταῦθα πάλιν εἰ μὲν ἐπὶ τῆς αἰσθητῆς καὶ ἐπιγείου Σιὼν ταῦτα πέπρακτο, οὐδὲ ἔδει φθονεῖν Ἰουδαίοις οὕτως ἐκδέχεσθαι βουλομένοις· εἰ δὲ πᾶν τοὐναντίον ἐξ αὐτῶν ὁρᾶται τῶν πραγμάτων, διὰ τὸ ἠρημῶσθαι τὴν Σιὼν ἐκ τῆς τῶν πολεμίων πολιορκίας, ἀνάγκη τῇ ἀποδοθείσῃ εἰρήνῃ καταλλήλως καὶ τὴν Σιὼν ἐκλαμβάνειν, ἤτοι τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ἢ τὴν ἐπουράνιον, ἣν ὁ θεῖος Ἀπόστολος παρίστη λέγων· «Προσεληλύθατε Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.[3]» Ἐνταῦθα γὰρ μηδεμιᾶς ἁμαρτίας ἐνεργούσης, μηδέ τινος ὑφεστῶτος ψυχῶν πολεμίου, συντέτριπται τὰ κράτη τῶν τόξων,

1. Λευϊτ. 26, 12. 2. Γαλ. 4, 26. 3. Ἑβρ. 12, 22.

ἀνήρηταί τε ὅπλον καὶ ῥομφαία· ὡς λέγεσθαι περὶ τῶν καταξιουμένων τῆς ἐκεῖ διατριβῆς· «Ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός.[1]»

Στίχ. ε'. «Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων, ἐταράχθησαν οἱ ἀσύνετοι τῇ καρδίᾳ.»

Σφόδρα ἀκολούθως, μετὰ τὸ παραστῆσαι τὸν τόπον τοῦ Θεοῦ, διδάσκει, ὅτι ἀποκέκλεισται εἴσω τοῦ τόπου αὐτοῦ τὰ ἀγαθά· ἀκτῖνας δ' ὥσπερ ἐκπέμπει καὶ ἐπὶ τοὺς πορρωτάτω. Διό φησι· «Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων.» Τίνα δὲ ἦν τὰ αἰώνια ὄρη, ἀλλ' ἡ Σιὼν καὶ ἡ Σαλήμ, τὰ διὰ τῶν ἔμπροσθεν ἀποδοθέντα; Ἄνωθεν γοῦν ἀπὸ τῶν οὐρανίων ὑψωμάτων, ὥσπερ ἐκ τινῶν αἰωνίων ὀρῶν, τὰς αὐγὰς τῶν τῆς θεότητος αὐτοῦ μαρμαρυγῶν, καὶ μέχρι τῶν ἐπὶ γῆς ἐκπέμπων, φωτίζει τὰς τῶν ἀξίων ψυχάς, καταλάμπων αὐτὰς τῷ ἁγίῳ αὐτοῦ Πνεύματι· ταύτας μὲν οὖν φωτίζει· τοὺς δὲ ἀναξίους τῶν φώτων αὐτοῦ προνοίᾳ τῆς δικαιοκρισίας αὐτοῦ μετερχόμενος θορυβεῖ. Διὸ ἐπιλέγει· «Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ.» Ἀσύνετοι γὰρ ἀληθῶς ὄντες τῇ καρδίᾳ, ἢ κατὰ τὸν Σύμμαχον, «ὑπερήφανοι τὴν καρδίαν», οὐ παρεδέξαντο τοῦ φωτὸς τοῦ Θεοῦ τὰς μαρμαρυγάς, διὸ ἐταράχθησαν. Οἱ δ' αὐτοί, καὶ «ὑπνώσαντες τὸν ὕπνον αὐτῶν, οὐχ εὗρον οὐδὲν ἐν ταῖς χερσὶν αὐτῶν, ἄνδρες» ὄντες «πλούτου.» Πρὸς βραχὺ γὰρ ὀνειρώξαντες τῇ τοῦ θνητοῦ βίου φαντασίᾳ, καὶ μέγα φρονήσαντες ἐπὶ πλούτῳ, ἐνόμιζόν τινες εἶναι, κατεντρυφῶντες ταῖς ἀπὸ τοῦ πλούτου ποριζομέναις αὐτοῖς ἡδυπαθείαις· ὡς δὲ τοῦ ὕπνου διεγρηγόρησαν, μεταστάντες τοῦ παρόντος βίου, εὗρον ἑαυτοὺς οὐκ ἔχοντας οὐδέν, οὐδέ τι ταῖς χερσὶ κρατοῦντας. Διὸ λέλεκταί που· «Μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος, καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ.[2]» Ἔνθεν εἰκότως οἱ ἀληθῶς ἀσύνετοι τῇ καρδίᾳ ἐταράχθησαν ἀπὸ «ἐπιτιμήσεως τοῦ Θεοῦ Ἰακώβ·» ἢ κατὰ τὸν Σύμμαχον, «ἀπὸ ἐμβριμήσεως·» τὸ τηνικαῦτα γὰρ ὑπὸ ἀπόφασιν γενόμενοι τῆς τοῦ Θεοῦ δικαιοκρισίας, ταραχθήσονται εἰκότως, ἐπειδήπερ ἐνύσταξαν ἐπιβεβηκότες τοῖς ἑαυτῶν ἵπποις, δηλαδὴ τοῖς ἀκολάστοις σώμασι· δέον ἐγρηγορέναι καὶ νήφειν, μνημονεύοντας θείου προστάγματος λέγοντες· «Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν.[3]» Οἱ δὲ ἐνύσταζον καὶ ὕπνωσαν ὕπνον αὐτῶν, ὀνείροις καὶ φαντάσμασιν ἐκδοθέντες, ἵπποις τε θηλυμανέσι τοῖς αὐτῶν σώμασι χρησάμενοι. Οὗτοι τοιγαροῦν πάντες οἱ ποτὲ μὲν λεγόμενοι ἀσύνετοι τῇ καρδίᾳ, ποτὲ δὲ ἄνδρες τοῦ πλούτου, νυνὶ δὲ ἐπιβεβηκότες τοὺς ἵππους, τέως μὲν κατὰ τὴν θνητὴν ζωὴν ἐνύσταξαν, ἢ κατὰ τὸν Σύμμαχον, «ἐκαρώθησαν», κάρῳ καὶ μέθῃ ψυχῆς περιενεχθέντες· εἶτα δὲ «ὕπνωσαν ὕπνον αὐτῶν», φαντασίαις ματαίαις ἐκδοθέντες· καὶ τέλος διυπνισθέντες,

---

1. Ἡσ. 51, 11. 2. Ψαλμ. 48, 17-18. 3. Ματθ. 25, 13.

ἐταράχθησαν ἀπὸ ἐπιτιμήσεως τοῦ Θεοῦ Ἰακώβ. Οὗτος δὲ ἦν ὁ ἡμέτερος Σωτήρ, ὁ τοῦ Θεοῦ Λόγος, ὁ τῷ Ἰακὼβ ἀναγεγραμμένος ὦφθαι Θεός, ὁ τὴν κατὰ πάντων κρίσιν παρὰ τοῦ Πατρὸς ἀναδεδεγμένος.

Στίχ. η΄. «Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου.»

Τοῖς μὴ βουληθεῖσι τοῦ θείου φωτὸς τὰς αὐγὰς παραδέξασθαι φοβερὸς εἶναι λέγεται. Διὸ ἀνωτέρω μὲν αὐτῷ προσεφώνει τῷ Θεῷ λέγων· «Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων·» νυνὶ δὲ τῷ αὐτῷ, «Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι;» Οὐκοῦν ὁ αὐτὸς καὶ φωτὸς πάροχος, καὶ φοβερὸς τυγχάνει· τοῖς μὲν δεξιοῖς φωτὸς χορηγός, τοῖς δὲ ἀριστεροῖς φοβερός, οἷς δὴ καὶ φήσει· «Πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.[1]» Εἶθ' ἑξῆς ἐπιφέρει· «Ἀπὸ τότε ἡ ὀργή σου.» Ἀπὸ τότε δέ, πότε, ἀλλ' ἢ ἀφ' οὗ ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους, καὶ ὕπνωσαν ὕπνον αὐτῶν οἱ ἀσύνετοι τῇ καρδίᾳ; Ἐξ ἐκείνου γὰρ αὐτοὶ ἑαυτοῖς ἐθησαύρισαν ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς· ὡς λέγεσθαι πρὸς αὐτούς· «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε.[2]» Ἕκαστος γὰρ καθ' ὃν καιρὸν ἁμαρτάνει, ἀπὸ τότε ὀργὴν ἑαυτῷ θησαυρίζει· ὀργῆς νοουμένης τῆς τοῖς πλημμελοῦσι τεταμιευμένης τιμωρίας. Ἑξῆς δὲ εἴρηται· «Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν.» Πρόσχες δὲ ἐπιμελῶς, ὡς οὐκ εἴρηται, «ἐποίησας», ἀλλ' «ἠκούτισας.» Πρὶν γὰρ ἐπιβῆναι τὸν τῆς κρίσεως καιρὸν τοῖς πρὸ τῆς κρίσεως τὸν θνητὸν βίον διανύουσι, τοὺς περὶ τῆς κρίσεως λόγους ἀκουσθῆναι ἐποίησε διὰ τῶν θείων ἀναγνωσμάτων. Ἀλλὰ νῦν μὲν ἐκ τοῦ οὐρανοῦ ἀκουστὴν ἐποίησε τὴν μέλλουσαν κρίσιν· ἐπιστάντος δὲ τοῦ καιροῦ τῆς τοῦ Θεοῦ δικαιοκρισίας, «Γῆ», φησίν, «ἐφοβήθη καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς.» Σαφῶς δὲ παρίστησι διὰ τούτων ὁ λόγος τὸ αἴτιον τῆς κρίσεως· ὑπὲρ γὰρ τοῦ σῶσαι τοὺς πραεῖς τῆς γῆς. Περὶ γὰρ τῶν ἀσεβῶν εἴρηται· «Οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων· ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.[3]» Ἀναστάντος τοίνυν τοῦ Θεοῦ εἰς κρίσιν ὑπὲρ τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς, γῆ φοβηθήσεται καὶ ἡσυχάσει. Οἱ μὲν γὰρ πραεῖς τεύξονται τῆς σωτηρίας, οἱ δὲ τῇ ὀργῇ παραδοθήσονται· ἡ δὲ λοιπὴ γῆ καὶ οἱ τὴν μέσην εἰληφότες κατάστασιν παύσονται τῆς ταραχῆς τὸν θεῖον ἀνειληφότες φόβον.

Στίχ. ια΄. «Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι, καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι.»

Καὶ τοῦτό φησιν ἔσεσθαι ἐν τῷ ἀναστῆναι τὸν Θεὸν εἰς κρίσιν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. Τί δὲ τοῦτο ἤ, «ἐνθύμιον

1. Ματθ. 25, 41. 2. Ἡσ. 50, 11. 3. Ψαλμ. 1, 5, 6.

ἀνθρώπου ἐξομολογήσεταί σοι;» Πᾶσα γὰρ γλῶσσα καὶ πᾶς λογισμὸς καὶ ἐνθύμησις ἀνθρώπων ἐξομολογήσεται τῷ Θεῷ κατὰ τὸν τῆς κρίσεως καιρόν, ὅτε τὰ κρυπτὰ τῶν ἀνθρώπων φανερὰ γενήσεται. «Καὶ ἐγκατάλειμμα» δέ, φησίν, «ἐνθυμίου ἑορτάσει σοι.» Τί δ' ἂν γένοιτο «ἐγκατάλειμμα ἐνθυμίου» ἢ ὁ κεκαθαρμένος ἀπὸ πάσης πονηρᾶς ἐνθυμήσεως λογισμός; ὅμοιος ὢν ἐκεῖνος περὶ ὧν εἴρηται· «Λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν.[1]» Οὕτω γοῦν αὐτὸς ἐγκατάλειμμα ἐνθυμίου ὠνόμασται· διὸ ἑορτάσει τότε, ἅτε δὴ κατὰ καιρὸν τὰς ἐπαγγελίας ἀπολαβὼν τῆς οὐρανίου βασιλείας.

Στίχ. ιβ', ιγ'. «Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ τὰς εὐχὰς ὑμῶν, πάντες οἱ κύκλῳ αὐτοῦ· τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, τῷ φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.»

Συντελέσας τὸν περὶ τῆς κρίσεως τοῦ Θεοῦ λόγον, παραινετικῶς λοιπὸν πᾶσιν ἡμῖν προστάττει εὔχεσθαι, καὶ ἀποδιδόναι Κυρίῳ τῷ Θεῷ ἡμῶν τὰς εὐχάς· ὡς ἔτι δὲ καιρός ἐστι κατὰ τὸν ἐνεστῶτα βίον, ἀναγκαίως τοῦτο ποιεῖν παραινεῖ. Εὐχὰς δὲ τὰς ἐπαγγελίας εἴωθεν ὀνομάζειν· διὸ λέλεκται· «Ἐὰν εὔξῃ εὐχήν, μὴ χρονίσῃς ἀποδοῦναι· ἀγαθὸν τὸ μὴ εὔξασθαι, ἢ τὸ εὔξασθαι καὶ μὴ ἀποδοῦναι.[2]» Ἕκαστος τοίνυν τῶν ἡμῶν τὴν ἑαυτοῦ πρόθεσιν καὶ τὴν οἰκείαν ἐπαγγελίαν ὥσπερ εὐχὴν ἀποδιδότω, μεμνημένος τοῦ φήσαντος· «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Κυρίῳ τὰς εὐχάς σου· καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με.[3]» Νῦν μὲν οὖν, φησίν, «εὔξασθε καὶ ἀπόδοτε.» Ἔσται γὰρ καιρὸς ἐν ᾧ πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα. Κατὰ γὰρ τὸν τῆς βασιλείας αὐτοῦ καιρὸν «βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσάξουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσοίσουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς.[4]» Τότε γοῦν καθημένῳ ἐπὶ θρόνου δόξης αὐτοῦ προσκυνήσουσι πάντες μετὰ δώρων· τουτέστι, μεθ' ὧν ἐπιφέρεται ἕκαστος καρπῶν. Διόπερ ὡς ἔτι καιρός ἐστιν, ἐντεῦθεν ἤδη παραινεῖ εὔξασθαι καὶ ἀποδιδόναι· ὡς ἄν, τοὺς ἑαυτῶν θησαυροὺς ταμιευσάμενοι, κατὰ καιρὸν αὐτῷ προσκομίσωμεν, ἄξιοι γενόμενοι τῶν κυκλούντων αὐτοῦ τὸν θρόνον. Πάντες γὰρ κύκλῳ αὐτοῦ προσοίσουσιν αὐτῷ δῶρα, φοβερῷ ὄντι τοῖς μὴ πλησιάζουσιν αὐτῷ, μηδὲ τὰ δῶρα προσφέρουσι. Διὸ ἐπιλέγεται· «Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς.» Τὸ γάρ, «Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐπὶ τοὺς υἱοὺς ἀνθρώπων [5]», λεχθήσεται καὶ ἐπ' ἐκείνων τῶν ποτε μὲν ἀρχόντων καὶ ἡγουμένων χρηματισάντων, καὶ Πνεύματος ἁγίου καταξιωθέντων, οὐ μὴν ἀξίως βιωσάντων τῆς χάριτος· ἀφ' ὧν ἀφαιρεῖται τὸ πνεῦμα, ὅπως, στερηθέντες αὐτοῦ, τῇ προσηκούσῃ παραδοθῶσι τιμωρίᾳ. Κατὰ δὲ τὸν

1. Ῥωμ. 11, 5. 2. Ἐκκλ. 5, 3, 4. 3. Ψαλμ. 49, 14, 15. 4. Ψαλμ. 71, 10-11. 5. Γεν. 6, 3.

Σύμμαχον, «Τῷ νομοδότῃ, ἀφαιροῦντι μὲν πνεῦμα ἡγεμόνων, φοβερῷ δὲ τοῖς βασιλεῦσι τῆς γῆς.»

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ ΥΠΕΡ ΙΔΙΘΟΥΜ, ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ. ΟΣ'.

Στίχ. β'. «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.»

Τῷ μὲν Ἀσὰφ εἴρηται ὁ ψαλμός, ἀνήνεκται δὲ εἰς πρόσωπον τοῦ Ἰδιθούμ, ὑπὲρ οὗ τὰ ἐμφερόμενα τῷ ψαλμῷ συνετάττετο. Ὅθεν ὁ Σύμμαχος, «Διὰ Ἰδιθούμ,» ὁ δὲ Ἀκύλας, Ἐπὶ Ἰδιθούμ», ἡρμήνευσαν. Καὶ νῦν μὲν ὁ Ἀσάφ, τοὺς μετὰ χεῖρας λόγους συντάξας, ὥσπερ διδάσκαλος μαθητῇ ἐμμελετᾶν τῷ Ἰδιθοὺμ παραδέδωκεν· ἢ ὥσπερ ἰατρὸς τῷ θεραπείας δεομένῳ σωτήριον φάρμακον ἐπὶ τὸ χρήσασθαι αὐτῷ καὶ ὠφελεῖσθαι τὸν θεραπευόμενον· ἐν δὲ τοῖς ἔμπροσθεν ὑπὲρ τοῦ αὐτοῦ ἀνδρὸς ὁ Δαυῒδ ποτὲ μὲν ᾠδήν, ποτὲ δὲ ψαλμὸν ἔγραφε. Διὸ ἐν μὲν τῷ λη' ψαλμῷ ἐπεγέγραπτο, «Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθούμ, ᾠδὴ τῷ Δαυῒδ.» Ὅτι δὲ ὁ ἀνὴρ οὗτος συγχρονίσαι λέγεται τῷ Δαυῒδ καὶ τῷ Ἀσάφ, ἡ τῶν Παραλειπομένων παρίστησι Γραφή, ὡς ἐν τοῖς ἔμπροσθεν ἀπεδείξαμεν. Καί μοι δοκεῖ ὁ Ἰδιθοὺμ διδασκαλίας δεδεῆσθαι τοῦ περὶ Προνοίας λόγου, διὰ τὸ συνορᾶν ἐν τῷ τῶν ἀνθρώπων βίῳ πολλοὺς ἀθέους καὶ ἀσεβεῖς ἐπαιρομένους καὶ μεγαλαυχουμένους, πλούτῳ τε καὶ περιουσίᾳ ἐντρυφῶντας· δικαίους δὲ ἔμπαλιν ταπεινουμένους καὶ πρὸς τῶν ἀσεβῶν καταπονουμένους. Εἰκὸς γοῦν αὐτὸν ἐπὶ τούτοις ἀποδυσπετεῖν, καὶ λόγους τινὰς κεκινηκέναι πρός τε αὐτὸν τὸν Δαυῒδ καὶ πρὸς τὸν Ἀσάφ, ὁποίους ἐκίνουν καὶ ἕτεροι τῶν παλαιῶν, ὡς ὁ εἰπών· «Ἱνατί ἀσεβεῖς εὐθηνοῦσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ. Ὁ σπόρος αὐτῶν κατὰ ψυχήν· τὰ δὲ παιδία αὐτῶν παίζοντα, ἀναλαμβάνοντα ψαλτήριον καὶ κιθάραν. Λέγει δὲ Κυρίῳ· Ἀπόστα ἀπ' ἐμοῦ· ὁδούς σου εἰδέναι οὐ βούλομαι.[1]»

Τοιαῦτά τινα, ὡς εἰκός, ἐπαποροῦντι τῷ Ἰδιθούμ, οἷα διδάσκαλοι καὶ ἰατροὶ ποτὲ μὲν ὁ Δαυῒδ, ποτὲ δὲ ὁ Ἀσάφ, διδασκαλίας παρεῖχον τῆς τοιᾶσδε δόξης θεραπευτικάς. Ὅθεν ἐν μὲν τῷ λη' τοιάδε λέγειν αὐτὸν ἐδίδασκεν· «Εἶπα· Φυλάξω τὰς ὁδούς μου τοῦ μὴ ἁμαρτάνειν ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυλακὴν ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου· ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα», καὶ τὰ τούτοις ἑξῆς· ἃ δὴ κατὰ τοὺς οἰκείους τόπους παραθέμενοι διεσαφήσαμεν. Ἐν δὲ τῷ ξα' πάλιν ὁ αὐτὸς λέγων τὸν αὐτὸν ἐδίδασκεν· «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου. Καὶ γὰρ αὐτὸς Θεός μου καὶ Σωτήρ μου, ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπιπλεῖον. Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον, φονεύετε πάντες ὑμεῖς;» Καὶ ταῦτα δὲ ὁποῖον ἔχει νοῦν κατὰ τὴν

1. Ἰὼβ. 21, 7-8, 11-12, 14.

δοθεῖσαν χάριν ἡρμήνευται. Οἷς ἀκολούθως καὶ ὁ Ἀσὰφ διὰ τῶν μετὰ χεῖρας τῷ αὐτῷ ἀνδρὶ παραδίδωσι διδασκαλίαν τοῦ μὴ ταράττεσθαι ἐν τοῖς τοῦ βίου πειρατηρίοις, μηδὲ ἐν οἷς ἔγνω ἐκ τῶν ἔμπροσθεν αὐτοῦ προφητειῶν περὶ τῆς τῶν ἀσεβῶν ἐπαναστάσεως, τῆς τε τοῦ λαοῦ τοῦ Θεοῦ ταπεινώσεως· καταφεύγειν δὲ ὡς ἐπὶ λιμένα σωτήριον ἐν ταῖς τοιαῖσδε ἀμηχανίαις ἐπ' αὐτὸν τὸν Θεόν, ταῖς τε πρὸς αὐτὸν ἱκετηρίαις σχολάζειν, καὶ ταῦτα λέγειν, ἅπερ αὐτῷ διὰ τοῦ προκειμένου ψαλμοῦ, οἷα διδάσκαλος, παρεδίδου. Καὶ δῆτα παραλαβὼν τὸ μάθημα τοῦτο, τὴν ἑαυτοῦ ψυχὴν ἐθεράπευε, κατεπᾴδων αὐτὸς ἑαυτῷ καὶ λέγων· «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι.» Τοιοῦτον γάρ, φησίν, ἐμαυτὸν παρεσκεύαζον, ὡς ἄξιον εἶναι τῆς προσοχῆς τοῦ Θεοῦ· διὸ «προσέσχε μοι·» καὶ τοιαύτας τε ἠφίειν φωνὰς καὶ βοάς, ὡς ἀξίας καὶ αὐτὰς τῆς τοῦ Θεοῦ ἀκοῆς. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Φωνῇ μου πρὸς τὸν Θεόν, καὶ βοήσαντός μου πρὸς τὸν Θεόν, παρέσχε τὰς ἀκοὰς αὐτοῦ.» Διὰ τούτων γὰρ ἐδιδάσκετο ὁ Ἰδιθοὺμ μὴ νομίζειν πόρρω που ἀφεστάναι τὸν Θεὸν τῶν ἐπιβοωμένων αὐτόν. Εἰ γὰρ ἅμα τῷ τὴν φωνὴν ἀναπέμψαι ᾔσθετο ἐπηκόου αὐτοῦ γενομένου τοῦ Θεοῦ, αὐτοῖς ἔργοις ἐδιδάσκετο πανταχοῦ παρεῖναι τὸ Θεῖον, καὶ τοὺς τῆς Προνοίας ὀφθαλμοὺς ἐφορᾶν τοὺς ἀξίους.

Στίχ. γ'. Ἀλλὰ καὶ «ἐν ἡμέρᾳ θλίψεώς μου», φησί, «τὸν Θεὸν ἐξεζήτησα ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐ μὴ ἠπατήθην.»

Καὶ ὅτι μὲν πολλαὶ αἱ θλίψεις τῶν δικαίων (ἐπειδὴ ἀπείραστος ἀνὴρ ἀδόκιμος), παντοίως διδάσκουσιν οἱ θεῖοι λόγοι· ὡς δὲ θλιβόμενοι κρείττους ἑαυτῶν ἐγίγνοντο, δοκιμὴν τῆς ἑαυτῶν παρέχοντες ὑπομονῆς, οὐ μὴν συγχεόμενοι ὡς εἰλιγγιᾶν καὶ θορυβεῖσθαι, διδάσκει ὁ εἰπών, «Ἐν θλίψει ἐπλάτυνάς με[1]», καὶ ὁ θεῖος Ἀπόστολος λέγων· «Θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι.[2]» Οὕτως οὖν καὶ ἐνταῦθά φησιν· «Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα·» οὐ γὰρ ἀπέβλεπον ἐπὶ τοὺς θλίβοντας, οὐδ' ἐπὶ τοὺς ἐπαιρομένους· ἐπιστρέφων δὲ ἐμαυτοῦ τὸ τῆς ψυχῆς ὄμμα πρὸς τὸν Θεὸν κατ' αὐτὸν τὸν «τῆς θλίψεως» καιρόν, αὐτὸν ἐξεζήτουν. Ἐζήτουν δὲ αὐτὸν ταῖς χερσί μου, δεδιδαγμένος ἐπαίρειν ὁσίους χεῖρας κατὰ τὸν φάσκοντα λόγον· «Βούλομαι δὲ τοὺς ἄνδρας προσεύχεσθαι, ἐπαίροντας ὁσίους χεῖρας.[3]» Καὶ τοῦτ' ἔπραττον οὐ δι' ἡμέρας μόνον, ἀλλὰ καὶ διὰ νυκτός, τὰς χεῖράς μου ἐπαίρων ἐναντίον αὐτοῦ, καὶ διὰ τῆς προσευχῆς, καὶ διὰ τῶν πρὸς αὐτὸν φωνῶν ἐπιζητῶν αὐτόν. Διὸ ταῦτα πράττων, «Οὐκ ἠπατήθην·» εὑρίσκετο γάρ μοι ζητούμενος· διὸ «προσέσχε μοι», καὶ τὰς ἑαυτοῦ ἀκοὰς ἐμοὶ παρέσχεν. Ἀντὶ

1. Ψαλμ. 4, 2. 2. Β' Κορ. 4, 8, 9. 3. Α' Τιμ. 2, 8.

δὲ τοῦ, «Ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην», ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἡ χείρ μου νυκτὸς ἐκτέτατο διηνεκῶς.» Ταύτην μὲν οὖν εἶχον μεγίστην καὶ μόνην παραμυθίαν. Ἄλλως δέ, οὐδενὸς ἠνεχόμην παρακαλεῖν με καὶ θεραπεύειν ἐθέλοντος ἀνθρώπου ἐν τῷ τῆς θλίψεώς μου καιρῷ. Διὸ ἐπιλέγει· «Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου·» ἢ κατὰ τὸν Σύμμαχον, «Οὐκ ἐπείθετο παρηγορεῖσθαι ἡ ψυχή μου·» ἀλλ' ἀνθρώποις μὲν οὐκ ἐπειθόμην, τοῖς ἄλλως με παρηγορεῖν καὶ παρακαλεῖν· «ἐμνήσθην» δὲ «τοῦ Θεοῦ καὶ ηὐφράνθην·» ἀπήρκει γάρ μοι ἡ τοῦ Θεοῦ μνήμη πρὸς εὐφροσύνην· ἀλλὰ καὶ «ἠδολέσχησα», φησί, «καὶ ὠλιγοψύχησα·» ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσε, «Διελάλουν ἐν ἐμαυτῷ καὶ ἐλειποθύμουν.» Ὅτι μέν, φησί, ἐμαυτῷ διελάλουν, ἐλειποθύμουν· καὶ ὅτε ἠδολέσχουν παρ' ἐμαυτῷ, τηνικαῦτα ὠλιγοψύχει τὸ πνεῦμά μου· ὅτε δὲ ἀνεμιμνησκόμην τοῦ Θεοῦ, εὐφροσύνης ἐπληρούμην· ἀλλὰ καὶ ζητῶν αὐτὸν ταῖς χερσί μου νυκτός, οὐκ ἠπατώμην· εὕρισκον γὰρ ὥσπερ πλησίον παρεστῶτά μοι, καὶ τῆς φωνῆς μου ἐπήκοον γιγνόμενον.

Στίχ. ε'. «Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην, καὶ οὐκ ἐλάλησα.»

Οἱ θλίβοντές με, φησί, λογισμοὶ τοιοῦτοι ἦσαν. Ἐπειδὴ γὰρ ἑώρων τὴν ἀποβολὴν τοῦ λαοῦ, ἣν ἐθέσπισαν οἱ προλεχθέντες προφητικοὶ λόγοι, ἐθορυβούμην εἰκότως, καὶ ἐνενόουν πρὸς ἐμαυτὸν εἰ ἀθεράπευτον αὐτοῖς ἔσται τὸ κακόν. Τὸ μὲν γὰρ ἀποβληθῆναι αὐτοὺς καιρῷ τινι καὶ εἰς τέλος αὐτοὺς τοῦτο παθεῖν ἐπίστευον τῇ προφητείᾳ λεγούσῃ· «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;[1]» ἐνηπόρουν δὲ πρὸς ἐμαυτὸν διανοούμενος ταῦτα· «Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, ἢ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;» καὶ τὰ ἑξῆς. Ταῦτα λογιζόμενος ἐταραττόμην· ἀλλ' ἔφερόν τε τῇ μνήμῃ τὰς παλαιὰς ἡμέρας καὶ τὰ ἐξ αἰῶνος ἔτη ἀπὸ τῶν παλαιῶν Γραμμάτων ἀναλεγόμενος, ὁσάκις ἁμαρτήσαντας αὐτοὺς ἀποβαλών, ἐπανήγαγεν, καὶ πολεμίοις παραδοὺς ἀσεβοῦντας, αὖθις ἀνεκτήσατο. Τί οὖν πάλαι μὲν αὐτοὺς καὶ μετὰ δεινὰς πλημμελείας ἀνεκαλεῖτο, μὴ εἰς τέλος ἀπωθούμενος, μηδὲ ἀποκόπτων τὸ ἔλεος αὐτοῦ· νῦν δὲ οὐδὲν τούτων ποιήσει, λήθην δὲ ἕξει τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ μακρόθυμος καὶ πολυέλεος καὶ φιλοικτίρμων; Ταῦτα νυκτὸς πρὸς ἐμαυτὸν διελογιζόμην, καὶ τὸ πνεῦμά μου ἔσκαλλον, διερευνῶν καὶ βασανίζων τοὺς ἐμαυτοῦ λογισμούς, ἀνακρίνων τε τὸ πνεῦμα, εἴ τι ἄρα ὑποβάλοι πρὸς θεραπείαν τῶν ἠπορημένων. Ἀντὶ δὲ τοῦ, «Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου», ὁ Σύμμαχος, «Ἐκώλυον», φησί, «τὰς ἀναβλέψεις οἱ ὀφθαλμοί μου.» Συνάγων γὰρ εἰς ἐμαυτὸν τοὺς ἐμαυτοῦ λογισμούς,

1. Ψαλμ. 73, 1.

ἔμυον τὰ ὄμματα, ὡς ἂν μὴ τοῖς αἰσθητοῖς προβάλλων, περιελκόμην τοῦ προκειμένου. Μύων οὖν τοὺς ὀφθαλμοὺς τοῦ σώματος, πρὸς ἐμαυτὸν διηπόρουν, οὐ φωνῇ φθεγγόμενος, οὐδὲ πρὸς ἕτερον λαλῶν, αὐτὸς δὲ πρὸς ἐμαυτὸν ἐννοῶν. Διὸ ἀντὶ τοῦ, «Ἐταράχθην, καὶ οὐκ ἐλάλησα», καὶ τῶν ἑξῆς, παρὰ τῷ Συμμάχῳ εἴρηται· «Διηπόρουν, καὶ οὐκ ἐλάλησα.»

Στίχ. ϛ', ζ'. «Ἀνελογιζόμην τὰς ἡμέρας τὰς πρώτας, τὰ ἔτη τὰ ἀπ' αἰῶνος ἀνεμιμνησκόμην. Ἀλλὰ ψαλμούς μου νυκτὸς πρὸς τὴν καρδίαν μου διελάλουν· καὶ ἀνὴρ συνὼν τὸ πνεῦμά μου.»

Οὕτως ἐπαγρύπνως διακείμενος, καὶ τὰς νύκτας διαγρηγορῶν, ἐφρόντιζον περὶ τῶν ἔμπροσθεν δι' ὧν εἴρητο· «Ὡς ἐν δρυμῷ ξύλων, ἀξίναις ἔκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό, πέλυκι καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν. Εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου. Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό· «Καταπαύσωμεν τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς. Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν, οὐκ ἔστιν ἔτι προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι.[1]» Ἐπὶ τούτοις οὖν διηπόρουν, εἰ θεραπεία ἔσται τοῖς ταῦτα πεπονθόσι τὰ κακά. Καὶ εἰκός γε ἦν τὸν Ἰδιθοὺμ ἐπακούσαντα τῆς τοῦ Ἀσὰφ προφητείας, καὶ ταῦτα πρὸς ἑαυτὸν λογισάμενον, ἐπαπορῆσαι πρὸς τὸν προφήτην ὡς πρὸς διδάσκαλον, ἐρώτησίν τε αὐτῷ προσαγαγεῖν, καὶ ὥσπερ τινὰ προτείνοντα πρότασιν φάναι· Τί οὖν, ὦ προφῆτα; ἐπειδὴ ταῦτα προεφήτευσας, βούλομαι γνῶναι καὶ μαθεῖν, «Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει ἀπὸ γενεᾶς εἰς γενεάν; ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός, ἢ συνέξει ἐν τῇ ὀργῇ τοὺς οἰκτιρμοὺς αὐτοῦ;» Καὶ δὴ πρὸς ταύτας τὰς προτάσεις τὴν διδασκαλίαν ὁ Ἀσὰφ ἐποιεῖτο, ὑπὲρ αὐτοῦ τοῦ Ἰδιθοὺμ γράφων τὸν ψαλμόν, διδάσκων τε αὐτὸν λέγειν· «Φωνῇ μου πρὸς τὸν Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχε μοι·» παιδεύων μὴ πολυπραγμονεῖν τὰς τοῦ Θεοῦ βουλάς· εὐχαῖς δὲ σχολάζειν, καὶ ταύταις μόναις προσέχειν τὸν νοῦν εὐσεβοῦντα καὶ εὐφημοῦντα τοῦ Θεοῦ τὰς κρίσεις. «Ἀνεξερεύνητα» γὰρ «τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.[2]

Στίχ. ια'-ιγ'. «Καὶ εἶπα, Νῦν ἠρξάμην· αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.»

Ἀντὶ τούτου ὁ μὲν Ἀκύλας, «Καὶ εἶπα», φησίν, «ἀρρωστία μου· αὕτη ἀλλοίωσις δεξιᾶς Ὑψίστου·» ὁ δὲ Σύμμαχος, «Τρῶσίς μού ἐστιν ἐπιδευτέρωσις δεξιᾶς τοῦ Ὑψίστου·» ἡ δὲ πέμπτη ἔκδοσις, «Καὶ εἶπα», φησίν, «ὠδῖνές μου εἰσὶν ἀλλοίωσις δεξιᾶς τοῦ Ὑψίστου.» Πρὸς τοῖς προηπορημένοις καὶ ταῦτα, φησί, πρὸς ἐμαυτὸν ἐνενόουν, ὅτι οἱ τοιοῦτοι λογισμοί, δι' ὧν ἀρτίως ἐπηπόρουν, ἀρρωστία μου εἰσίν, ἢ ὠδῖνες

1. Ψαλμ. 70, 6-9. 2. Ῥωμ. 11, 33.

εἰσίν, ἢ τρώσεις μού εἰσιν. Ἐξ ἀσθενείας γὰρ ψυχῆς τοὺς τοιούτους προήκαμεν λόγους, καὶ ἀπὸ τρώσεως ψυχῆς· τετρωμένος γὰρ καὶ συναλγῶν ὡς ὑπὲρ ἑαυτοῦ μελῶν· ἀλλὰ καὶ ὠδίνων ὡς ὑπὲρ σπλάγχνων οἰκείων τοιαῦτα ἐφθεγξάμην. Ταῦτα δὲ πέπονθα, ἐπειδήπερ εἶδον ἀλλοίωσιν γενομένην τῆς δεξιᾶς τοῦ Ὑψίστου. Πάλαι μὲν γὰρ αὕτη κατειργάζετο πολλά τε θαύματα καὶ παραδόξους εὐεργεσίας τῷ λαῷ παρέχουσα· νυνὶ δὲ ἀλλοίωσις γεγένηται τῆς δεξιᾶς τοῦ Ὑψίστου. Διὸ καὶ ὠδῖνές με κατέσχον· ὁμολογῶ τετρῶσθαι τὴν ψυχὴν ἀρρωστίᾳ καὶ ἀσθενείᾳ γνώσεως. Τὴν δὲ ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ Θεοῦ ἑώρων, ἀναμιμνησκόμενος τῶν παλαιῶν ἔργων αὐτοῦ. Διό φησιν· «Ἐμνήσθην τῶν ἔργων Κυρίου ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου. Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου, καὶ ἐν τοῖς ἐπιτηδεύμασί σου ἀδολεσχήσω.» Ἀνθ' ὧν ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἀνεμιμνησκόμην τὰς περινοίας Κυρίου, ἀναπολῶν τὰ ἀρχαῖα τεράστιά σου καὶ διεμελέτων πάσας τὰς πράξεις σου, καὶ τὰ μηχανήματά σου διηγούμην», ταῦτα ἀναφέρων τῇ μνήμῃ. Ἔπειτα νῦν ἀκούων, ὡς «εἰς τέλος ἀπώσω, καὶ ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου[1]», εἰκότως ἐνενόησα, ὅτι ἀλλοίωσίς ἐστι τῆς δεξιᾶς τοῦ Ὑψίστου. Μεταβολῆς γὰρ ταῦτα σημεῖα καὶ ἀλλοιώσεως τῆς πάλαι τοῦ Θεοῦ περὶ τὸν λαὸν κηδεμονίας.

Στίχ. ιδ΄, ιε΄. «Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδὸς αὐτοῦ· τίς θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια.»

Τὴν ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ Ὑψίστου συνιδὼν ὁποῖα εἰργάσατο· ἀντὶ γὰρ ἑνὸς ἔθνους πάντων τῶν ἐθνῶν εὐεργετικὴ κατέστη· οὐκέτι γὰρ ἑνὶ λαῷ τὴν δύναμιν αὐτοῦ, ἀλλὰ καὶ πᾶσι τοῖς ἔθνεσι καὶ πᾶσι τοῖς λαοῖς ἐγνώρισε· διόπερ ἐκπληττόμενος καὶ ἀποθαυμάζων, φημί· «ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου·» ἐπέκεινα γάρ ἐστι τῆς θνητῆς φύσεως ἡ κατάληψις τῆς ὁδοῦ σου· ὥστ' ἂν εὐλόγως φάναι τό· «Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.[2]» Οὐκέτ' οὖν προσήκει πολυπραγμονεῖν, οὐδὲ τὰ ἀπόρρητα διερευνᾶσθαι· «τίς» γὰρ «ἔγνω νοῦν Κυρίου, ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;[3]» Διὸ κατὰ καιρὸν ταῦτα ἐννοήσας, ὑπερεκπλήττεται τὸ βάθος τῆς σοφίας τοῦ Θεοῦ, καί φησιν. «Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια.» Ποῖα δὲ θαυμάσια διερμηνεύει ἑξῆς εἰπών· «Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου·» ἀνθ' οὗ ὁ Σύμμαχος ἐξέδωκε· «Γνωστὴν ἐποίησας ἐν τοῖς ἔθνεσιν τὴν ἰσχύν σου.» Ὥσπερ γὰρ «ἐλυτρώσω» πάλαι ποτὲ «ἐν τῷ βραχίονί σου τὸν λαόν σου, τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ», ὅτ' ἠλευθέρους αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας τὸν αὐτὸν τρόπον καὶ νῦν, ὅτε γέγονεν ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου, ἐγνώρι-

1. Ψαλμ. 73, 1. 2. Ῥωμ. 11, 33. 3. Ἡσ. 40, 13.

σας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου, καὶ ἐν τοῖς ἔθνεσιν τὴν ἰσχύν σου.

Στίχ. ιζ΄-ιθ΄. «Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, καὶ ἐταράχθησαν αἱ ἄβυσσοι.»

Σφόδρα ἀκολούθως προειπών, «Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου·» ἢ κατὰ τὸν Σύμμαχον, «Γνωστὴν ἐποίησας ἐν τοῖς ἔθνεσι τὴν ἰσχύν σου», παρίστησι τὴν δύναμιν τῆς Καινῆς Διαθήκης προφητικῶς τὰ μέλλοντα θεσπίζων. Διό φησιν· «Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν.» Ὥσπερ γὰρ πάλαι ποτὲ ἐπὶ τῆς ἐξ Αἰγύπτου πορείας τῶν υἱῶν Ἰσραήλ, «ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω·[1]» τὸν αὐτὸν τρόπον καὶ κατὰ τὴν παρουσίαν τοῦ Ἐμμανουήλ, δηλαδὴ τοῦ μεθ' ἡμῶν Θεοῦ, ὁπηνίκα παρῄει ἐπὶ τὸν Ἰορδάνην ποταμόν, ἰδόντα αὐτὸν τὰ ὕδατα ἐξεπλάγη. Οὐ μὴν ἀλλὰ καὶ τὰ πλήθη τῶν ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ συγκροτουμένων λαῶν, ὕδασι παρωμοιωμένα κατὰ τὸν φάσκοντα προφητικὸν λόγον, «Φωνὴ ἐθνῶν πολλῶν ὁμοία ὑδάτων πολλῶν·[2]» ἰδόντα ψυχῆς ὀφθαλμοῖς τὸν εἰς ἀνθρώπους ἐπιδεδημηκότα Θεόν, φόβον ἀνέλαβον σωτήριον, περὶ οὗ εἴρηται· «Ἀρχὴ σοφίας φόβος Θεοῦ.[3]» Ἕως μὲν γὰρ τυφλώττοντα ἦν ταῦτα τὰ ὕδατα, οὐχ ἑώρα τὸν Θεόν, οὐδὲ φόβον εἶχεν αὐτοῦ· νυνὶ δὲ τὰ μεγάλα ὠφέληται ἀπὸ τῆς θέας καὶ τῆς γνώσεως τοῦ ἐπιδημήσαντος αὐτοῖς λόγου. Καὶ αὖθις κατὰ τὴν ἱστορίαν, ὁπηνίκα ὁ Σωτὴρ ἠνάγκασε τοὺς μαθητὰς ἀνελθεῖν εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν· εἶτα τετάρτῃ φυλακῇ τῆς νυκτὸς ἤρχετο πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης· καὶ τότε εἶδον αὐτὸν ὕδατα, καὶ ἐφοβήθησαν. Ἀλλὰ καὶ ὅτε ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη, ἐταράχθησαν αἱ ἄβυσσοι, καὶ πλῆθος ἤχους ὕδατος. Καὶ ταῦτα μὲν ἐτελεῖτο συμφώνως τῇ προφητείᾳ πρὸς λέξιν, πρὸς δὲ διάνοιαν, τὰ μὲν ὕδατα, λέγω δὲ τὰ πλήθη τὰ ἐκκλησιαστικὰ ἐξ ἁπάντων τῶν ἐθνῶν συνηγμένα, ἀρχὴ σοφίας γέγονε, τὸν θεῖον ἀναλαβόντα φόβον κατὰ τό, «Ἀρχὴ σοφίας φόβος Κυρίου·[4]» αἱ δὲ ἄβυσσοι, ἕτεραι οὖσαι παρὰ τὰ ὕδατα ἐταράχθησαν, ὡς ἦχον καὶ θόρυβον παρασχεῖν. Εἴποις δ' ἂν τὰς ἀβύσσους εἶναι τὰ τάγματα τῶν ἀπίστων ἐθνῶν τῶν τῇ Ἐκκλησίᾳ κατὰ καιροὺς ἐπανισταμένων, καὶ τοὺς κατ' αὐτῆς διωγμοὺς ἐπεγειρόντων· Ἀλλὰ μὲν πρῶτα ὕδατα ἐφοβεῖτο τὸν Θεόν, αἱ δὲ δηλωθεῖσαι ἄβυσσοι ἐταράττοντο· τρίτον δὲ τάγμα τυγχάνει παρὰ τὰ λελεγμένα τὸ τῶν νεφελῶν, ὃ δὴ φωνὴν ἔδωκε. Τίνες δὲ ἦσαν αἱ νεφέλαι, ἀλλ' ἢ αἱ κελευσθεῖσαι μὴ βρέχειν ἐπὶ τὸν πρότερον ἀμπελῶνα, κατὰ τὸ φῆσαν λόγιον· «Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν[5]», δῆλον δέ, ὅτι τὸν ἐκ περιτομῆς λαόν; Νεφέλαι δὲ πεπληρωμέναι

---

1. Ψαλμ. 113, 3. 2. Ἰεζ. 43, 2. 3. Ψαλμ. 110, 10. 4. Ψαλμ. 110, 10. 5. Ἠσ. 5, 6.

ὑδάτων μὴ οὖσαι ἐπὶ τὸν παλαιὸν ἀμπελῶνα τίνες ἂν εἶεν ἢ οἱ τοῦ Σωτῆρος μαθηταὶ καὶ ἀπόστολοι καὶ εὐαγγελισταί, οἳ καθ' ὅλης τῆς οἰκουμένης τὸν ἐπουράνιον ὑετὸν διαδεδωκότες, φωνὴν ἔδωκαν, ὥστε εἰς πᾶσαν τὴν γῆν ἐξελθεῖν τὸν φθόγγον αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν; Διὸ λέλεκται· «Φωνὴν ἔδωκαν αἱ νεφέλαι· καὶ γὰρ τὰ βέλη σου διαπορεύονται.» Ποῖα δὲ τὰ βέλη ἢ τὰ σωτήρια καὶ τὰ ἐκλεκτὰ τὰ τιτρώσκοντα τὰς τῶν σῳζομένων ψυχάς, δι' ὧν ἡ νύμφη Χριστοῦ ἡ Ἐκκλησία τετρῶσθαι ὁμολογεῖ φάσκουσα· «Ὅτι τετρωμένη ἀγάπης ἐγώ;[1]» Καὶ αὐτὸς δὲ ὁ Σωτὴρ βέλος ὠνόμαστο κατὰ τὸν εἰπόντα προφήτην· «Ἔθηκέ με ὡς βέλος ἐκλεκτόν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με·[2]» Ἀλλὰ τοῦ μὲν Πατρὸς βέλος ἦν ὁ μονογενὴς αὐτοῦ Λόγος· τοῦ δὲ Υἱοῦ βέλη ἐτύγχανον οἱ ἀπόστολοι καὶ τὰ θεῖα καὶ πεπυρωμένα αὐτοῦ λόγια. Διὸ λέλεκται ἐν τῷ περὶ τοῦ ἀγαπητοῦ ψαλμῷ· «Τὰ βέλη σου ἠκονημένα, λαοὶ ὑποκάτω σου πεσοῦνται.[3]» Οὕτω δ' οὖν καὶ ἐνταῦθα εἴρηται· «Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται.» Περιτρέχοντα γὰρ ἁπανταχοῦ τὰ τοῦ Χριστοῦ βέλη διεπορεύετο κηρύττοντα· διὸ «φωνὴν ἔδωκαν αἱ νεφέλαι·» ἀλλὰ καὶ «Φωνὴ τῆς βροντῆς σου», φησίν, «ἐν τῷ τροχῷ·» βροντὴν δὲ ἐνταῦθα τὸ κήρυγμα τὸ εὐαγγελικὸν αἰνίττεται. Ὡς γὰρ φωνὴ βροντῆς οὐράνιος τυγχάνει βοή, καὶ πᾶσαν ἀνθρωπίνην ὑπερβάλλουσα δύναμιν, τὸν αὐτὸν τρόπον καὶ τὸ εὐαγγελικὸν κήρυγμα, οὐράνιον τυγχάνον, οὐκ ἀνθρωπίνην περιεῖχεν ἰσχύν. Οὐδὲ γὰρ ἐκ θνητῆς βουλῆς ὡρμᾶτο· σὺν θεϊκῇ δὲ δυνάμει τὸν σύμπαντα ἐπλήρου κόσμον. Διὸ καὶ τοὺς ἀποστόλους αὐτοῦ ὁ Σωτὴρ «βοανῆργες» ὠνόμαζεν, ὅπερ ἑρμηνεύεται «υἱοὶ βροντῆς.» Οὐκοῦν καὶ ἐνταῦθα ἀκολούθως τοῖς ἔμπροσθεν εἴρηται· «Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.» Τροχὸν δὲ σημαίνει τὸν σύμπαντα βίον· ἐπεὶ καὶ ἐν τῷ Ἐζεκιὴλ τροχὸς ἐν τροχῷ λέλεκται ὁ σύμπας τῶν ἀνθρώπων βίος.[4] Ἔστι μὲν οὖν τροχὸς ὁ κόσμος σφαιροειδὴς ὤν, κυκλοφορητικῶς τε κινούμενος. Ἐνταῦθα δὲ τροχὸς ὁ τῶν ἀνθρώπων ἐστὶ βίος, ἄπαυστον τὴν στροφὴν ποιούμενος· διὸ καὶ τροχὸς ἐν τῷ τροχῷ εἴρηται. Κατὰ δὲ τὸν Ἀκύλαν, «Φωνὴ βροντῆς σου ἐν τῷ τροχῷ·» κατὰ δὲ τὸν Σύμμαχον, «Ἦχος βροντῆς σου ἐν τῷ τροχῷ·» κατὰ δὲ τὸν Θεοδοτίωνα, «Φωνὴ βροντῆς σου ἐν τῷ τροχῷ.» Καὶ θέα ὅπως κατὰ πάντας τοὺς ἑρμηνευτὰς «τροχὸς» ὠνόμασται· ἐπεὶ καὶ ἡ Ἑβραϊκὴ λέξις «βαγελγέλ» περιέχει, ὅπερ ἐστὶν «ἐν τῷ τροχῷ·» οὕτω δὲ ὠνόμασται καὶ ἐν τῷ Ἐζεκιήλ. Ἔνθα γενόμενος, παρασημειώσῃ, ὡς καὶ ἡ θεία Γραφὴ τὸ περιέχον τροχὸς οἶδε. Διὸ σφαιροειδῆ φασιν εἶναι τὸν κόσμον. Ἐπεὶ καὶ ἐν τῷ Ἔσδρᾳ ὁ Ζοροβάβελ τὰ νικητήρια ἀπηνέγκατο παρὰ τῷ βασιλεῖ εἰρηκώς· «Μέγας ὁ οὐρανός, καὶ μέγας ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ, καὶ ἐπανέρχεται εἰς τὸν ἴδιον

---

1. Ἀσμ. 2, 5. 2. Ἡσ. 49, 2. 3. Ψαλμ. 44, 6. 4. Ἰεζ. 1, 16.

τόπον ἐν ἡμέρᾳ μιᾷ.[1]» Ταῦτα μὲν οὖν κατὰ φυσικὴν θεωρίαν. Τὰ δὲ προκείμενα θεσπίζει τῆς εὐαγγελικῆς θεοφανείας τὴν δύναμιν· καὶ ὡς δι' αὐτῆς τὰ πλήθη μὲν τῶν ἐθνῶν τὸν Θεὸν ἐπέγνω, αἱ δὲ ἄβυσσοι ἐταράχθησαν, αἱ δὲ προλεχθεῖσαι νεφέλαι ἔδωκαν φωνήν, καὶ ὥστε τὰ βέλη αὐτοῦ διεπορεύθη, καὶ ὡς φωνὴ τῆς βροντῆς αὐτοῦ γέγονεν ἐν τῷ τροχῷ· καὶ ἐπὶ πᾶσι τούτοις ὡς ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οὐκουμένῃ. Τίνας δ' ἂν εἴποις τὰς ἀστραπὰς αὐτοῦ ἢ τὰ φέγγη τῶν τοῦ ἁγίου Πνεύματος χαρισμάτων τὰ ἀστράπτοντα καθ' ὅλης τῆς οἰκουμένης; «Διαιρέσεις γὰρ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα. Καὶ ᾧ μὲν διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, καὶ ἄλλῳ λόγος γνώσεως, καὶ ἄλλῳ πίστις[2]», καὶ τὰ λοιπά· ἅτινα, ἐξαίρετα ὄντα τοῦ Θεοῦ χαρίσματα, ἐξαστράπτει καὶ καταλάμπει τὴν Ἐκκλησίαν αὐτοῦ.

Στίχ. κ', κα'. «Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.»

Ἀκολούθως τοῖς ἀποδεδομένοις ἐσαλεύθη καὶ ἐσείσθη ἡ γῆ. Ἀντὶ γὰρ τοῦ, «καὶ ἔντρομος», κατὰ πάντας τοὺς ἑρμηνευτάς, «καὶ ἐσείσθη» εἴρηται. Οὕτω δὲ ἐσείσθη ἡ γῆ, ὡς εἴρηται ἐν Εὐαγγελίοις, «Καὶ εἰσελθόντος τοῦ Σωτῆρος εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα· «Τίς ἐστιν οὗτος;[3]» Ὡς γὰρ οἱ τὴν πόλιν οἰκοῦντες ἐδηλοῦντο διὰ τοῦ τόπου, κατὰ τὸν αὐτὸν τρόπον καὶ νῦν τοὺς τὴν γῆν οἰκοῦντας κλονηθῆναί φησι καὶ σεισθῆναι τὸ λόγιον. Διὸ πᾶσα ἀκοὴ κεκίνηται ἐκ τοῦ εὐαγγελικοῦ κηρύγματος εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι κεκηρυγμένου. Ἀκολούθως δὲ ἐσαλεύθη καὶ ἐσείσθη ἡ γῆ, ἢ ἐκλονήθη διὰ τὰ ἔμπροσθεν λελεγμένα. Εἰ γὰρ ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ, ἡ φωνὴ τῆς βροντῆς αὐτοῦ ἐξήχησεν ἐν τῷ τροχῷ, εἰ τὰ βέλη αὐτοῦ ἐπὶ πάντας διαπορεύηται, εἰ αἱ νεφέλαι τὴν αὐτῶν ἔδωκαν φωνήν, ἀκόλουθον ἦν ἐκ τούτων ἁπάντων κλονηθῆναι καὶ σαλευθῆναι τὴν γῆν. Ὅπως δὲ ἐν τῇ θαλάσσῃ ἡ ὁδὸς αὐτοῦ γέγονε, καὶ αἱ τρίβοι αὐτοῦ ἐν ὕδασι πολλοῖς, καὶ ὡς τὰ ἴχνη αὐτοῦ οὐ γινώσκεται, εἴσῃ ἐπιστήσας τῇ πρὸς τοὺς μαθητὰς ἐπαγγελίᾳ αὐτοῦ φησάσῃ· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου·[4]» καί, «Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αὐτοῦ αἰῶνος.[5]» Ἀοράτως γὰρ ἁπανταχοῦ τῆς γῆς συνὼν τοῖς αὐτοῦ μαθηταῖς ἐν τῇ τοῦ βίου θαλάσσῃ καὶ τοῖς πολλοῖς τῶν ἐθνῶν ὕδασιν ἐπορεύετο· καὶ τοῦτ' ἔπραττεν ἀοράτῳ καὶ ἀφανεῖ δυνάμει· διὸ λέλεκται· «Καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται.» Ταῦτα μὲν οὖν ἐπληροῦτο κατὰ τὴν σωτήριον θεοφάνειαν· Οὕτω δὲ ταῦτα, φησίν, ἐγίνετο ἐπὶ τῆς εἰς ἀνθρώπους παρουσίας αὐτοῦ, κατὰ τὴν ἀλλοίωσιν τῆς δεξιᾶς τοῦ Ὑψίστου· ὥσπερ καὶ πάλαι

1. Α' Ἔσδρ. 4, 34. 2. Α' Κορ. 12, 4, 8, 9. 3. Ματθ. 21, 10. 4. Ματθ. 28, 19. 5. Ματθ. 28, 20.

ἐπὶ τοῦ προτέρου λαοῦ ὁπηνίκα ἐξαγαγὼν αὐτοὺς ἐκ γῆς Αἰγύπτου διήγαγε διὰ τῆς θαλάσσης· καὶ τότε γὰρ δεικνὺς τὰς ἀρετὰς αὐτοῦ ὁδὸν ἐποίει καὶ τρίβους ἐν ὕδασι πολλοῖς, ὡς προηγουμένῳ αὐτῷ ἐπακολουθεῖν ἐν τῇ πορείᾳ τῆς θαλάσσης τὸν πάντα Ἰσραήλ, ἄγνωστόν τε εἶναι καὶ ἀκατάληπτον ἀνθρώποις τὴν πορείαν αὐτοῦ, ὅτε καὶ ὡδήγησεν «ὡς πρόβατα τὸν λαὸν αὐτοῦ ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών.» Ἄλλος μὲν οὖν τὰ προκείμενα ἅπαντα ἐπὶ τὴν ἔξοδον τὴν ἀπ' Αἰγύπτου ἀνοίσει, τότε πεπληρῶσθαι φάσκων τό, «Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὕδατος·» πᾶσάν τε τὴν περικοπὴν ἀκολούθως ἐπὶ τὴν τότε πραχθεῖσαν ἱστορίαν ἀναπέμψει· ἐγὼ δέ, μὴ εὑρὼν ὅπως τὰ ἑξῆς εἰρημένα κατὰ τὴν λέξιν ἐπληροῦτο· οὐ γὰρ μέμνηται ὁ Μωϋσέως νόμος, ὡς νεφέλαι τινὲς κατὰ τὸν καιρὸν ἐκεῖνον φωνὴν ἔδωκαν σωματικῶς, οὐδὲ ὡς βέλη αἰσθητὰ διεπορεύετο, οὐδὲ ὡς ὅλη οἰκουμένη ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ, καθ' ὃν χρόνον ἦσαν ἐν τῇ ἐρήμῳ, τὴν ὑποπεσοῦσαν εἰς τοὺς τόπους ἑρμηνείαν παρεθέμην. Ὁποίαν δὲ χρὴ τῶν εἰρημένων ἐκδοχῶν αἱρεῖσθαι θείᾳ κρίσει ὁ ἐντυγχάνων εἴσεται.

## ΣΥΝΕΣΕΩΣ ΤΩ ΑΣΑΦ. ΟΖʹ.

Στίχ. αʹ. «Προσέχετε, λαός μου, τὸν νόμον μου· κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.»

Παρορμῶν ἡμᾶς ὁ λόγος ἐπὶ τὴν σύνεσιν τῶν ἐμφερομένων, «Συνέσεως» τὴν ἐπιγραφὴν ἐποιήσατο· ταύτης γὰρ δεόμεθα εἰς θήραν τῆς προκειμένης διανοίας. Πρῶτον μὲν οὖν ζητήσειεν ἄν τις εὐλόγως, τίνος πρόσωπον τυγχάνει τὸ φάσκον ἐν ἀρχῇ, «Προσέχετε, λαός μου, τὸν νόμον μου· κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου.» Οὔτε γὰρ τῷ Ἀσὰφ οὔτε τῷ Δαυῒδ ἁρμόζει ταῦτα λέγειν· ἐπεὶ μὴ νομοθέται γεγόνασιν οὗτοι· οὔτε τό, «Οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου», ἔπρεπε λέγειν ἤτοι τὸν Ἀσάφ, ἢ τὸν Δαυῒδ· οὐ γὰρ οἰκεῖα ῥήματα προσέφερον, τῇ δὲ τοῦ θείου Πνεύματος βουλῇ διηκονοῦντο. Διὸ «συνέσεως» ἐπιγέγραπται, ὡς ἂν συνῶμεν τίς τέ ἐστιν ὁ ταῦτα λέγων, καὶ τίς ὁ λαὸς αὐτοῦ, καὶ τίς ὁ νόμος· ἕτερος γὰρ ἔοικεν εἶναι παρὰ τὸν Μωϋσέως. Ταῦτα δ' ἐπιλύεται τὸ Εὐαγγέλιον, ἐν ᾧ εἴρηται· «Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς.[1]» Διὰ ποίου δὲ προφήτου ταῦτα εἴρητο ἢ διὰ τοῦ προκειμένου Ἀσάφ; Ὃ μὴ συνιέντες τινές, προσέθηκαν ἐν τῷ Εὐαγγελίῳ τό, «διὰ Ἡσαΐου τοῦ προφήτου·»

1. Ματθ. 13, 34, 35.

ἐν δέ γε τοῖς ἀκριβέσιν ἀντιγράφοις ἄνευ τῆς προσθήκης τῆς «διὰ Ἡσαΐου», ἁπλῶς οὕτως εἴρηται· «Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς», ἃ δὴ φέρεται ἐν τοῖς προκειμένοις, οὐ μὴν ἐν τῇ τοῦ Ἡσαΐου προφητείᾳ. Οὐκοῦν ἐκ τῆς εὐαγγελικῆς παραθέσεως ὁ Σωτὴρ ἂν εἴη, καὶ οὐδὲ ἄλλος, ὁ ἐξ οἰκείου προσώπου φάσκων ἐπὶ τοῦ παρόντος τό· «Προσέχετε, λαός μου, τὸν νόμον μου.» Ἵνα δὲ συνῶμεν αὐτόν, «συνέσεως» τὴν προγραφὴν ἐποιήσατο· ὡς μήτε ψαλμὸν μήτε ᾠδὴν μήτε τι τοιοῦτον νομίζειν εἶναι τὰ λεγόμενα, ἀλλὰ Χριστοῦ διδασκαλίαν πρὸς τὸν αὐτοῦ λαόν, δηλαδὴ τὴν Ἐκκλησίαν αὐτοῦ περὶ τῶν παρανομημάτων τοῦ Ἰουδαίων ἔθνους διαστελλομένου. Νοήσεις δὲ τὸν αὐτοῦ λαὸν ἕτερον ὄντα παρὰ τὸν ἐν τοῖς ἑξῆς κατηγορούμενον, τὴν Ζαχαρίου προφητείαν τούτοις παραθείς, δι' ἧς εἴρηται· «Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυττε, θύγατερ Ἱερουσαλήμ. Ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ἔσονταί μοι εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν. Καὶ γνώσεσθε, ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρὸς ὑμᾶς.[1]» Θέα γὰρ ἐν τούτοις, ὡς ὁ Κύριος ἀπεστάλθαι ἑαυτὸν ὁμολογεῖ ὑφ' ἑτέρου Κυρίου παντοκράτορος, ἑαυτῷ τε ἐξ ἁπάντων τῶν ἐθνῶν συνάξειν ἐπαγγέλλεται λαόν. Αὐτὸς οὖν οὗτος ὁ τοῦ Θεοῦ Λόγος τῷ ἐξ ἐθνῶν λαῷ προσεφώνει λέγων· «Προσέχετε λαός μου, τὸν νόμον μου.» Νόμον δὲ αὐτοῦ τὸ Εὐαγγέλιον εἶναι διδάσκει, περὶ οὗ καὶ Ἡσαΐας ἐθέσπιζε λέγων· «Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ, καὶ κρινεῖ ἀναμέσον τῶν ἐθνῶν.[2]» Τοῦτον δὲ καὶ Ἱερεμίας διαθήκην καινὴν ὠνόμασεν εἰπών· «Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ διαθήσομαι Διαθήκην καινήν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν.[3]» Καὶ Ἡσαΐας δὲ πάλιν περὶ τοῦ Σωτῆρος ἀνεφώνει λέγων· «Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, ὁ ἐκλεκτός μου· προσεδέξατο αὐτὸν ἡ ψυχή μου. Κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. Κάλαμον συντεθλασμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει· ἀλλ' εἰς ἀλήθειαν ἐξοίσει κρίσιν· ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι.[4]» Ἀντὶ γὰρ τοῦ, «καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι», τὸ Ἑβραϊκόν, «καὶ τῷ νόμῳ αὐτοῦ», περιέχει, ὡς συμφώνως καὶ οἱ λοιποὶ πάντες ἑρμηνευταὶ ἐκδεδώκασι, «καὶ τῷ νόμῳ αὐτοῦ» εἰρηκότες. Παραινεῖ τοίνυν ὁ Χριστὸς τῷ ἑαυτοῦ λαῷ τῷ ἐξ ἐθνῶν διὰ τῶν προκειμένων προσέχειν τῷ νόμῳ αὐτοῦ. Προσέχειν γὰρ βούλεται, καὶ οὐχ ὡς ἔτυχεν ἀκούειν· θεωρεῖν δὲ κατανενοημένως καὶ συνιέναι τὸν αὐτοῦ νόμον· ἀλλὰ καὶ κλίνειν τὸ οὖς εἰς τὰ ῥήματα τοῦ στόματος

1. Ζαχ. 2, 14-15. 2. Ἡσ. 2, 3, 4. 3. Ἱερ. 38, 31-32. 4. Ἡσ. 42, 1-4.

αὐτοῦ, καὶ προσέχειν τῷ νόμῳ αὐτοῦ παρακελεύεται, ἐπειδήπερ τὰς διδασκαλίας ἐν παραβολαῖς ἐποιεῖτο. Διὸ ἐπιλέγει· «Ἀνοίξω ἐν παραβολῇ τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς·» ὃ δὴ διδάσκει καὶ ἡ τῶν ἱερῶν Εὐαγγελίων γραφή, δι' ἧς εἴρηται, ὅτι «Πάντα ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐκ ἐλάλει αὐτοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς.[1]» Ἀντὶ γὰρ τοῦ, «Φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς», Ἑβραῖος ὢν ὁ Ματθαῖος, οἰκείᾳ ἐκδόσει κέχρηται εἰπών, «Ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς·» ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «Ὀμβρήσω αἰνίγματα ἐξ ἀρχῆθεν», ἐκδέδωκεν· ὁ δὲ Σύμμαχος, «Ἀναβλύσω προβλήματα ἀρχαῖα.» Μέλλων δὲ ὁ τοῦ Θεοῦ Λόγος τὰς κατηγορίας τοῦ προτέρου ποιεῖσθαι λαοῦ, καὶ τὰς αἰτίας δι' ἃς ἀποβέβληται παρατίθεσθαι, ἀναγκαίως τῇ ἑαυτοῦ Ἐκκλησίᾳ παρακελεύεται προσέχειν τοῖς λεγομένοις, καὶ συνιέναι τὰς παραθέσεις τῆς τῶν παλαιῶν κατηγορίας, ὡς ἂν μὴ τοῖς αὐτοῖς περιπέσοι, μαθοῦσα δὲ ἐκ τῆς περὶ ἐκείνων διηγήσεως ὁποῖον αὐτοὺς διεδέξατο τέλος, σωφρονίζοιτο ἐκ τοῦ παραδείγματος. Εἰπών· «Διανοίξω ἐν παραβολῇ τὸ στόμα μου, φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς», ἐπιφέρει τὰς τοῦ προτέρου λαοῦ κατηγορίας. Παραβολῇ γὰρ ἐκείνοις κέχρηται ἀντὶ ὑποδείγματος εἰς ἡμετέραν νουθεσίαν. Καὶ καθ' ἑτέραν δὲ διάνοιαν ὁ παρὼν λόγος τὰς παρανομίας τοῦ Ἰουδαίων ἔθνους συγκαταριθμεῖται, ἐπειδήπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο· «Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;[2]» καὶ ὅσα ἄλλα περὶ τῆς καταλαβούσης αὐτοὺς πολιορκίας ἐλέγετο. Τὰς γὰρ τούτων αἰτίας παρίστησι διὰ τῶν προκειμένων. Καὶ ἐπειδὴ ἐν τῷ πρὸ τούτου ἐλέγετο ψαλμῷ· «Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει ἀπὸ γενεᾶς εἰς γενεάν; ἢ ἐπιλήσεται τοῦ οἰκτειρῆσαι ὁ Θεός, ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;» εἰκότως ἐπειδὴ τοιαῦτα ἐπηπόρηται, τὰς αἰτίας ἐπὶ τοῦ παρόντος καταλέγει τῆς εἰς τὸ τέλος μετελθούσης τὸ Ἰουδαίων ἔθνος ὀργῆς. Καὶ αὐτὸς δὲ ἐν Εὐαγγελίοις ὁ Σωτὴρ παραπλησίως τοῖς προκειμένοις πρὸς τοὺς αὐτοὺς ἀπετείνετο λέγων· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[3]»

Στίχ. γ΄-ζ΄. «Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.»

Τὰ μὲν πρῶτα ἐξ ἑνὸς ἐλέγετο προσώπου, ὅπερ τίνος ἦν ἀποδέδεικται μὲν ἐκ τοῦ αὐτοῦ. Συμπαραλαμβάνει δὲ καὶ ἕτερα ὑποκαταβὰς

1. Ματθ. 13, 34-35. 2. Ψαλμ. 73, 1. 3. Ματθ. 23, 37.

τῆς αὐτοῦ θεότητος, καὶ ἀνθρωπινώτερον φθεγγόμενος, ὡς ἂν ἐκ προσώπου οὗ ἀνείληφεν ἀνθρώπου τοῦ γενομένου ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα· οὗ τὴν γένεσιν ἱστορεῖ τὸ Εὐαγγέλιον φάσκον· «Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυῒδ, υἱοῦ Ἀβραάμ.[1]» Διόπερ συμπαραλαμβάνων τοὺς κατὰ σάρκα ὁμογενεῖς αὐτοῦ γενομένους μαθητὰς καὶ ἀποστόλους πληθυντικῶς διεξέρχεται τὰ μετὰ χεῖρας λέγων· «Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά.» Ὅτε μὲν γὰρ τὸν λαὸν ἑαυτοῦ ἀνεκαλεῖτο, καὶ οἰκεῖον νόμον αὐτοῖς προὐβάλλετο, παρήνει τε κλίνειν τὸ οὖς τοῖς αὐτοῦ ῥήμασι, σὺν αὐθεντείᾳ βασιλικῇ ἐξ ἑνὸς προσώπου προεφέρετο τὴν παραγγελίαν· νῦν δέ, ὅτε τῶν παλαιῶν ἀναγνωσμάτων ἐπιτέμνεται τὴν διήγησιν, κοινοποιεῖ τὸν λόγον ὑπομιμνήσκων τὰ πάλαι πεπραγμένα, καὶ ὡς ἂν τοῖς πᾶσι γνώριμα ἐπαναλαμβάνων τὰ ἀπὸ τῆς ἱστορικῆς Γραφῆς δηλούμενα. Διό φησιν· «Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά.» Οὐ πάντων δέ ἐστι τὸ ἀκούειν καὶ γινώσκειν, ἀλλ' ἢ μόνων τῶν συνιέντων τοὺς λόγους. Διὸ καὶ ὁ Φίλιππος τῷ εὐνούχῳ ἔλεγεν· «Ἆρα γινώσκεις ἃ ἀναγινώσκεις;[2]» Ἀλλ' οὐδὲ πᾶσιν οἱ πατέρες διηγήσαντο. Οὐκ ἔχομεν γοῦν ἡμεῖς οἱ ἐξ ἐθνῶν τῷ θείῳ λόγῳ προσελθόντες διδασκάλους ἐπιγράψασθαι τῶν θείων μαθημάτων τοὺς κατὰ σάρκα πατέρας· ἀλλ' ὅ γε Σωτὴρ ἐξ αὐτοῦ προσώπου καὶ τῶν κατὰ σάρκα ἐκ τῶν αὐτῶν πατέρων γενομένων ἀποστόλων αὐτοῦ καὶ μαθητῶν καὶ εὐαγγελιστῶν ταύτας προφέρεται τὰς φωνὰς λέγων· «Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά, καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν.» Ταῦτα γὰρ ἐκ πατέρων αὐτοὶ παρειληφότες, ἡμῖν τοῖς ἐξ ἐθνῶν ὡς μὴ ἐπισταμένοις ἀπαγγελοῦσι, διδάσκοντες ἡμᾶς τὰ τοῖς παλαιοῖς συμβεβηκότα· ἃ δὴ κατὰ διαδοχὴν ἐκ πατέρων ἠκούσθη τοῖς παισί, καὶ πάλιν ἐξ ἐκείνων εἰς τοὺς μεταγενεστέρους ἐλήλυθεν, ἐκ τούτων τε αὖθις εἰς παῖδας παίδων τῇ μνήμῃ παρεδόθη. Διὸ λέλεκται· «Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου καὶ τὰς δυναστείας αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησε.» Πολλὰ μέν ἐστι τὰ παραδοθέντα ἡμῖν ὑπὸ τῶν πατέρων, ἅπερ αὐτοὺς ὁ Θεὸς εὐεργετῶν διεπράξατο· ἓν δὲ τὸ πάντων ἀναγκαιότερον ἐκεῖνο ἦν, λέγω δὲ τὸ μαρτύριον, καὶ ὁ ἐν τῷ μαρτυρίῳ νόμος, ὃν ἐγγράφως αὐτοῖς παρέδωκεν, ἐντειλάμενος μελετᾶν ἐν αὐτῷ, καὶ τοῖς αὐτῶν παισί τε καὶ ἀπογόνοις τοῖς κατὰ διαδοχὴν γενησομένοις παραδιδόναι τὴν τούτου μελέτην. Διό φησι· «Καὶ ἀνέστησε μαρτύριον ἐν Ἰακώβ, καὶ νόμον ἔθετο ἐν Ἰσραήλ.» Μαρτύριον δὲ ἐκαλεῖτο ἡ σκηνὴ τοῦ μαρτυρίου, ἐν ᾗ ἀπέκειτο ἡ κιβωτὸς τῆς Διαθήκης, καὶ ὁ ἐν τῇ κιβωτῷ νόμος, τά τε χερουβείμ, καὶ τὸ ἱλαστήριον, καὶ ἡ λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων· ἅπερ κελευσθεὶς ποιῆσαι Μωσῆς, κατὰ τὸν τύπον τὸν δειχθέντα αὐτῷ ἐν τῷ

1. Ματθ. 1, 1. 2. Πράξ. 8, 30.

ὄρει κατεσκεύασεν. Ἀλλὰ πάλαι μὲν ἐκεῖνος ὁ νόμος καὶ τὸ μαρτύριον ἐκεῖνο τῷ Ἰακὼβ καὶ τῷ Ἰσραὴλ δέδοτο. Ἐπειδὴ δὲ παρέβησαν οἱ παρειληφότες, εἰκότως ἕτερον ἑαυτῷ καταρτισάμενος λαὸν καὶ μαρτύριον ἕτερον, τὸ Χριστοῦ σῶμα, ναὸν ὃν τοῦ οἰκοῦντος ἐν αὐτῷ Θεοῦ Λόγου, ὡς αὐτὸς ἐδίδαξεν εἰπών· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν·[1]» καὶ πρὸς τούτοις καὶ νόμον ἕτερον τὸν εὐαγγελικὸν τῷ ἑαυτοῦ λαῷ παραδίδωσι. Διὸ ἐν ἀρχῇ τῶν προκειμένων ἔλεγε· «Προσέχετε, λαός μου, τὸν νόμον μου·» πλὴν ἀλλὰ τὸν παλαιὸν νόμον καὶ τὴν παλαιὰν διαμαρτυρίαν (οὕτω γὰρ ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Καὶ ἔστησε διαμαρτυρίαν τῷ Ἰακὼβ») τῷ προτέρῳ λαῷ διέθετο, ἐντειλάμενος αὐτοῖς γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν καὶ ἀπογόνοις, ὡς ἂν μηδεμίαν λάθοι γενεάν, διαμένοι δὲ ἡ τοῦ νόμου διδασκαλία καὶ εἰς τοὺς μετὰ ταῦτα γενησομένους. Διὸ λέλεκται· «Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ τεχθησόμενοι καὶ ἀναστήσονται, καὶ ἀναγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν.» Τὸ δὲ συμπέρασμα τῆς τοῦ νόμου μελέτης καὶ ὁ σκοπὸς οὗτος ἦν, «Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ, καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν· ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν, γενεὰ σκολιὰ καὶ παραπικραίνουσα· γενεὰ ἥτις οὐ κατηύθυνε τὴν καρδίαν αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.» Τίς δὲ ἦν ἡ προτέρα γενεὰ τῶν πατέρων ἀλλ' ἡ ἐπ' αὐτοῦ Μωσέως γενομένη; δι' ἣν δεξάμενος Μωσῆς τὰς πλάκας τῆς νομοθεσίας συνέτριψεν· οὕτως γοῦν καὶ αὐτὸς Μωσῆς γενεὰν σκολιὰν καὶ διεστραμμένην αὐτοὺς ἐκάλει, εἰς αὐτῶν πρόσωπον ἀποτεινόμενος καὶ λέγων· «Τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε; οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός;[2]» Ἀλλ' ἵνα μὴ οἱ μετὰ ταῦτα γενησόμενοι τοῖς πατράσιν ἀποτελεσθῶσιν ὅμοιοι, ἔγγραφον αὐτοῖς παρέδωκε τὸν νόμον, καὶ τὴν διαμαρτυρίαν, δι' ἧς κατηγορεῖ μὲν τῶν πατέρων, διεστείλατο δὲ καὶ διεμαρτύρατο τοῖς τέκνοις μὴ ἐξομοιοῦσθαι τοῖς πατράσι, μηδὲ τῇ προτέρᾳ γενεᾷ, «ἥτις οὐ κατηύθυνε τὴν καρδίαν αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.» Οὐ γὰρ φύσεως φαύλης ἦν, οὐδὲ κατασκευῆς πονηρᾶς, ἐκ προαιρέσεως δὲ ἀνανεύουσα πρὸς τὴν τοῦ Θεοῦ ὑπακοὴν παρεπίκρανε, καὶ ἐκ διαστροφῆς σκολιὰ γέγονε· διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Γενεὰ ἀπροαίρετος τῇ καρδίᾳ, καὶ ἀβέβαιος πρὸς τὸν Θεὸν τῷ πνεύματι τῷ ἑαυτῆς.»

Στίχ. θ΄-ιβ΄. «Υἱοὶ Ἐφραΐμ, ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.»

Ὁ μὲν ἀγαθὸς καὶ φιλάνθρωπος Κύριος τοῖς πρώτοις προπάτορσι τοῦ Ἰουδαίων ἔθνους ἔργα παντὸς λόγου, κρείττονα ἐνεδείκνυτο τὰ διὰ Μωϋσέως· οἱ δὲ ἐγίνοντο σκληραύχενες καὶ ὡς ἀληθῶς λαὸς

1. Ἰω. 2, 19. 2. Δευτ. 32, 6.

μωρὸς καὶ οὐχὶ σοφός, καὶ γενεὰ σκολιὰ καὶ διεστραμμένη. Ἀλλὰ τῶν πρώτων τοιούτων ἀπελεγχθέντων, νόμον τοῖς μετὰ ταῦτα παρεδίδου, διαστειλάμενος καὶ διαμαρτυράμενος ἐν αὐτῷ τά τε πρακτέα καὶ τὰ μή· παραινῶν τὸ μὴ μιμεῖσθαι τοὺς πατέρας, μηδὲ τὴν γενεὰν τὴν σκολιάν, μηδὲ τὴν παραπικραίνουσαν, «ἥτις οὐ κατηύθυνε τὴν καρδίαν αὐτῆς, καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς.» Οἱ δέ, χείρους τῶν πατέρων γενόμενοι, οὐδὲν μὲν ἀπὸ τῆς παραδοθείσης τοῦ νόμου γραφῆς ὠφελοῦντο εἰς βάθος κακίας ἐλαύνοντες. Καὶ πρῶτοί γε τούτων ἦσαν οἱ υἱοὶ Ἐφραΐμ, τιμηθέντες μὲν ἐξαιρέτῳ τιμῇ διὰ τοῦ τὴν αὐτῶν φυλὴν καὶ τὸν αὐτῶν κλῆρον προκριθῆναι τοῦ παντὸς ἔθνους, καὶ τὴν κιβωτὸν τοῦ Θεοῦ καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου τὴν ὑπὸ Μωσέως ἐν τῇ ἐρήμῳ κατασκευασθεῖσαν ὑποδέξασθαι πρώτους· ὁ γοῦν τόπος ὁ ἐν Σηλῷ, ἔνθα ἡ σκηνὴ καὶ τὸ ἁγίασμα, πρὸ τῆς Ἱερουσαλήμ, τῆς φυλῆς Ἐφραΐμ ἐτύγχανεν· ἀλλὰ πρῶτοι ταύτης τυχόντες τῆς τιμῆς, εἰδωλολάτραι γεγόνασι. Καὶ ἔστι γε τὴν ἱστορίαν τῶν πεπραγμένων αὐτοῖς ἀπὸ τῆς βίβλου τῶν Κριτῶν ἀναλέξασθαι. Ἐλέγχει δὲ καὶ ὁ παρὼν ψαλμὸς προϊὼν ἑξῆς καὶ λέγων περὶ αὐτῶν· «Ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ, καὶ τὴν φυλὴν Ἐφραΐμ οὐκ ἐξελέξατο·» καὶ πάλιν· «Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ, σκήνωμα οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις·» καὶ τὴν αἰτίαν παρίστησιν εἰπών· «Μετεστράφησαν εἰς τόξον στρεβλόν. Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.» Εἰκότως οὖν καὶ διὰ τῶν προκειμένων εἴρηται· «Υἱοὶ Ἐφραΐμ, ἐντείνοντες καὶ βάλλοντες τόξον, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.» Πῶς δὲ ἐστράφησαν σαφέστερον παρίστησιν εἰπών· «Καὶ ἐγένοντο εἰς τόξον στρεβλόν.» Δέον γὰρ βάλλειν καὶ πολεμεῖν τοὺς τῷ Θεῷ πολεμίους, οἱ δὲ εἰδωλολατροῦντες πόλεμον ἤραντο κατὰ τοῦ Θεοῦ. Διὸ ἐπιλέγει· «Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠβουλήθησαν πορεύεσθαι.» Καὶ τοὺς λοιποὺς δὲ τοῦ παντὸς ἔθνους δηλοῖ μεταφορικῶς διὰ τῶν υἱῶν Ἐφραΐμ, καὶ τοὺς ὁμοίους τοῖς τρόποις, εἰ καὶ μὴ τῆς αὐτῆς ἐτύγχανον ὄντες φυλῆς, σημαίνων. Ἐπεὶ καὶ οἱ ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἀποσχίσαντες τῆς Ἱερουσαλὴμ καὶ ἐν τῇ Σαμαρείᾳ εἰδωλολατρήσαντες υἱοὶ ἦσαν Ἐφραΐμ. Εἰκότως οὖν τοὺς παραβάτας τοῦ παντὸς ἔθνους υἱοὺς Ἀβραὰμ ὀνομάσας, ἀθρόως διαβάλλει τοὺς πάντας λέγων· «Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς. Ἐναντίον τῶν πατέρων αὐτῶν, ἃ ἐποίησε θαυμάσια ἐν γῇ Αἰγύπτου ἐν πεδίῳ Τάνεως.» Πάντων γὰρ τούτων λήθην πεποιημένοι τῶν πρὸς τοὺς πατέρας αὐτῶν ἐπιδεδειγμένων, ὅπλα ἤραντο κατὰ τοῦ Θεοῦ, οὐ βουληθέντες [ἐν] τῷ νόμῳ αὐτοῦ πορεύεσθαι, καίτοι ἐπ' αὐτοὺς κειμένου τοῦ δύνασθαι καὶ τοῦ βούλεσθαι. Οἱ δὲ τὴν δύναμιν ἔχοντες, οὐκ ἠβουλήθησαν ὀρθῇ χρήσασθαι προαιρέσει· νῶτα δὲ δόντες τῷ Θεῷ, λήθην ἐποιήσαντο τῶν πάλαι θαυμασίων

αὐτοῦ. Ποίων δὲ θαυμασίων ἢ τῶν ἐν αὐτῇ γενομένων τῇ Αἰγύπτῳ, καὶ οὐκ ἐν πάσῃ Αἰγύπτῳ, ἀλλ' ἐν τῷ τῆς Τάνεως πεδίῳ; Ὅπερ Μωσῆς μὲν οὐκ ἐδήλωσε διὰ τῆς ἑαυτοῦ Γραφῆς· ὁ δὲ Ἀσάφ, προφήτης ὤν, διδάσκει διὰ τῶν προκειμένων, ὡς ἐν τῷ πεδίῳ Τάνεως τὰ ἐν Αἰγύπτῳ πραχθέντα θαύματα διὰ Μωσέως ἐπετελέσθη. Λέγει δ' οὖν αὖθις προϊὼν διὰ τῶν ἑξῆς· «Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως.» Διὰ τί δὲ ἐν τῷ τῆς Τάνεως πεδίῳ; Ἐπειδήπερ ἐν τούτῳ μάλιστα τὰ τῆς δαιμονικῆς ἐνεργείας ἐπεκράτει· τότε πολλά τε ἴσχυον κατ' ἐκεῖνο καιροῦ οἱ ἐν τῇ Τάνει ἱδρυμένοι δαίμονες. Τοῦτο δὲ δηλοῖ Ἡσαΐας ὁ προφήτης ἐν τῇ ὁράσει τῆς Αἰγύπτου λέγων· «Καὶ μωροὶ ἔσονται οἱ ἄρχοντες Τάνεως, οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ αὐτῶν μωρανθήσεται. Πῶς ἐρεῖτε τῷ βασιλεῖ, Υἱοὶ συνετῶν ἡμεῖς, υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς; Ποῦ εἰσὶν οἱ σοφοί σου, καὶ ἀναγγειλάτωσάν σοι, καὶ εἰπάτωσάν σοι τί βεβούλευται Κύριος ἐπ' Αἴγυπτον; Ἐξέλιπον οἱ ἄρχοντες Τάνεως, καὶ ἀπώλοντο οἱ ἄρχοντες Μέμφεως.[1]» Δαίμονες δὲ ἦσαν, ὡς εἰκός, πονηροὶ διὰ χρησμῶν καὶ μαντειῶν σοφίαν τινὰ ἐπαγγελλόμενοι, καὶ ἐν ταύτῃ τῶν κατὰ τόπους κρατούντων τῆς Αἰγύπτου σύμβουλοι γινόμενοι. Μήποτε δὲ καὶ οἱ ταῖς γοητείαις ταῖς Αἰγυπτιακαῖς προσανέχοντες, οἵ τε ἀντιστάντες Μωσεῖ ταῖς φαρμακείαις αὐτῶν, οἱ ἄρχοντες ἦσαν Τάνεως, καὶ οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως; Διόπερ εἰκότως ἐν πεδίῳ Τάνεως ὁ παρὼν λόγος διδάσκει πεπρᾶχθαι τὰ διὰ Μωσέως ἐν Αἰγύπτῳ γεγενημένα.

Στίχ. ιγ΄. «Διέρρηξε θάλασσαν καὶ διήγαγεν αὐτούς, παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν.»

Τὰ μὲν ἐν αὐτῇ πεπραγμένα τῇ Αἰγύπτῳ διὰ μιᾶς ἐπετέμετο λέξεως εἰπών· «Ἃ ἐποίησε θαυμάσια ἐν γῇ Αἰγύπτου», καὶ προσθεὶς ὅπερ οὐκ ᾔδειμεν, «ἐν πεδίῳ Τάνεως.» Τίνα δὲ ἦν τὰ θαυμάσια, εἰς πλάτος μὲν ἡ Μωσέως περιέχει Γραφή· ἐπιτέμνεται δὲ ταῦτα ὁ παρὼν ψαλμὸς ἐν τοῖς μετὰ ταῦτα λέγων· «Μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα ὅπως μὴ πίωσιν. Ἐξαπέστειλεν εἰς αὐτοὺς κοινόμυιαν καὶ κατέφαγεν αὐτούς», καὶ τὰ τούτοις ἐπιλεγόμενα. Ταῦτα μὲν οὖν κατ' Αἰγυπτίων ἐγίνετο ἐν πεδίῳ Τάνεως· ἃ δὴ παρελθὼν ἐπὶ τοῦ παρόντος ὁ λόγος, τὰς εἰς τὸν λαὸν εὐεργεσίας προτάττει· ὡς διῆλθον τὴν θάλασσαν, εἰς πολλὰ μέρη διαιρεθέντων τῶν ὑδάτων· ὃ δὴ παρίσταται διὰ τοῦ φάσκοντος λόγου· «Τῷ καταδιελόντι Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις, καὶ διαγαγόντι τὸν Ἰσραὴλ διὰ μέσου αὐτῆς.[2]» Φασὶ γοῦν Ἑβραίων παῖδες εἰς ιβ΄ τμήματα διῃρῆσθαι αὐτὴν κατ' ἀριθμὸν τῶν ιβ΄ φυλῶν τοῦ λαοῦ· ὥστε ἀφωρισμένως ἑκάστην διελθεῖν φυλήν, κατὰ τὴν ἀπονεμηθεῖσαν αὐτῇ πορείαν. Διισταμένων δὲ τῶν ὑδάτων, καὶ ξηρᾶς γῆς ἐν τῷ

1. Ἡσ. 19, 11-13. 2. Ψαλμ. 135, 13-14.

μεταξὺ συνισταμένης, ἀκόλουθον ἦν συνοχὴν γίνεσθαι τῶν ὑδάτων, ὡς κυρτοῦσθαι αὐτὰ συνεχόμενα πρὸς ἄλληλα καὶ ἐν αὐτῷ τῷ ἀέρι ἐπαίρεσθαι καὶ ὑψοῦσθαι κυρτούμενα καὶ μετεωριζόμενα, καὶ ὥσπερ ἐν ἀσκῷ τῷ ἀέρι περικλειόμενα· διὸ λέλεκται· «Παρέστησεν ὕδατα ὡσεὶ ἀσκόν.»

Στίχ. ιδ'-ιζ'. Μετὰ δὲ τὸ τηλικοῦτον θαῦμα, «ὡδήγησεν αὐτούς», φησίν, «ἐν νεφέλῃ ἡμέρας», ἐπισκιαζούσης καὶ σκέπην αὐτοῖς παρεχούσης τῆς νεφέλης, ὡς ἂν μὴ ὑπὸ τοῦ φλογμοῦ τοῦ ἡλιακοῦ καταπονοῖντο. Καταλλήλως δὲ τῇ τῆς ἡμέρας νεφέλῃ, στύλος πυρὸς διὰ τῆς νυκτὸς προῆγεν αὐτούς, ἡμέραν αὐτοῖς φωτεινὴν ἀπεργαζόμενος· διὸ λέλεκται, «Καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός.» Ἐπὶ τούτοις λέγεται· «Διέρρηξε πέτραν ἐν τῇ ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ.» Τήρει δὲ ὅπως καὶ ἐνταῦθα τὸ πλῆθος τῶν ὑδάτων «ἄβυσσον» ὠνόμασεν. Ἀντὶ δὲ τοῦ, «διέρρηξε πέτραν», ὁ Ἀκύλας, «ἔσχισε πέτρους ἐν ἐρήμῳ», ἐξέδωκε, δουλεύσας τῇ Ἑβραϊκῇ γραφῇ, δι' ἧς παρίσταται, ὡς οὐ μία πέτρα ἦν ἡ ἀναβλύσασα αὐτοῖς τὰ ὕδατα, ἀλλὰ πολλαί. Ὅθεν ὁ θεῖος Ἀπόστολος ἐπισημαίνεται λέγων· «Ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης αὐτοὺς πέτρας· ἡ πέτρα δὲ ἦν ὁ Χριστός·[1]» ὡς ἁπανταχοῦ παρεπομένης αὐτοὺς πέτρας, καὶ κατὰ σταθμοὺς καὶ κατὰ μονὰς καὶ κατὰ πάντα τόπον παρούσης. Ἐπιτηρήσας δὲ τοῦτο καὶ ἐν τῇ Μωσέως εὑρήσεις Γραφῇ· ἐν μὲν γὰρ τῇ Ἐξόδῳ εἴρηται· «Καὶ παρενέβαλον ἐν Ῥαφιδεῖν καὶ οὐκ ἦν ὕδωρ πιεῖν τῷ λαῷ. Καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωσῆν·[2]» καὶ ἑξῆς· «Εἶπε Κύριος πρὸς Μωσῆν· Προπορεύου τοῦ λαοῦ, λάβε δὲ μετὰ σεαυτοῦ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ τὴν ῥάβδον ἐν ᾗ ἐπάταξας τὴν θάλασσαν καὶ πορεύσῃ. Ἰδέ, ἐγὼ ἕστηκα πρὸ τοῦ σε ἐκεῖ ἐπὶ τῆς πέτρας ἐν Χωρέβ· καὶ πατάξῃ τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ καὶ πίεται ὁ λαός. Καὶ ἐποίησεν οὕτως Μωσῆς.[3]» Ταῦτα μὲν οὖν ἐν Ἐξόδῳ· ἐν δὲ τοῖς Ἀριθμοῖς λέλεκται· «Καὶ ἦλθον οἱ υἱοὶ Ἰσραὴλ πᾶσα ἡ συναγωγὴ εἰς τὴν ἔρημον Σεῖν, καὶ οὐκ ἦν ὕδωρ τῇ συναγωγῇ, καὶ ἠθροίσθησαν ἐπὶ Μωσῆν καὶ Ἀαρών. Καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωσῆν.[4]» Καὶ ἑξῆς· «Ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Λάβε τὴν ῥάβδον, καὶ ἐκκλησίασον τὴν συναγωγὴν σὺ καὶ Ἀαρὼν ὁ ἀδελφός σου, καὶ λαλήσετε πρὸς τὴν πέτραν ἐναντίον αὐτῶν, καὶ δώσει τὰ ὕδατα αὐτῆς. Καὶ ἐξοίσεται αὐτοῖς ὕδωρ ἐκ τῆς πέτρας, καὶ ποτιεῖτε τὴν συναγωγὴν καὶ τὰ κτήνη αὐτῶν.[5]» Εἰκότως οὖν ἐπειδήπερ ἐν διαφόροις τόποις φαίνεται ἡ πέτρα χορηγήσασα τὸ ὕδωρ, περὶ μὲν τῆς προτέρας διὰ τῶν προκειμένων εἴρηται· «Διέρρηξε πέτραν ἐν ἐρήμῳ, καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ·» περὶ δὲ τῆς ἑτέρας ἑξῆς ἐπάγει· «Καὶ

---

1. Α' Κορ. 10, 4. 2. Ἔξ. 17, 1-2. 3. Ἔξ. 17, 4-5. 4. Ἀριθ. 20, 1-3. 5. Ἀριθ. 20, 7-8.

ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα.» Πλὴν ἀλλὰ τοσούτων αὐτοῖς χορηγηθέντων, ὅμως προσέθεντο τοῦ ἁμαρτάνειν, καὶ ἁμαρτάνειν οὐχ ἑαυτοῖς, ἀλλ' αὐτῷ. Κατ' αὐτοῦ γὰρ τοῦ Θεοῦ τὴν ἁμαρτίαν ἡμάρτανον, ἀσεβοῦντες διὰ τῆς πρὸς αὐτὸν ἀντιλογίας. Διὸ ἐπιλέγει· «Παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ·» ἢ κατὰ τὸν Ἀκύλαν, «Τοῦ προτερίσαι Ὑψίστῳ ἐν ἀβάτῳ·» ἢ κατὰ τὸν Σύμμαχον, «Φιλονεικεῖν τῷ Ὑψίστῳ ἐν δίψει ἐν ἀβάτῳ.» Διὰ τί δὲ παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ, ἐδίδαξε Μωσῆς· μετὰ γὰρ τὸ παρασχεῖν αὐτοῖς ἐκ πέτρας τὸ ὕδωρ, ἱστορεῖ λέγων· «Καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πειρασμὸς καὶ λοιδόρησις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραήλ, καὶ διὰ τὸ πειράζειν αὐτοὺς Κύριον λέγοντας· Εἰ ἔστι Θεὸς ἐν ἡμῖν, ἢ οὔ; [1]»

Στίχ. ιη'-κε'. «Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρῶμα ταῖς ψυχαῖς αὐτῶν. Καὶ κατελάλησαν τοῦ Θεοῦ.»

Ὅπως κατελάλησαν τοῦ Θεοῦ καὶ Μωσῆς διδάσκει λέγων· «Καὶ ἐγόγγυζον πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐπὶ Μωσῆν καὶ Ἀαρών, καὶ εἶπαν πρὸς αὐτούς· Ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου ἐν γῇ Αἰγύπτου, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων, καὶ ἐφάγομεν ἄρτους εἰς πλησμονήν! Ὅτι ἐξηγάγετε ἡμᾶς ἀποκτεῖναι πᾶσαν τὴν συναγωγὴν ταύτην ἐν λιμῷ.[2]» Καὶ μετὰ ταῦτα εἶπε Μωσῆς πρὸς τὸν λαόν· Ἡμεῖς δὲ τί ἐσμεν; οὐ γὰρ καθ' ἡμῶν ὁ γογγυσμὸς ὑμῶν ἐστιν, ἀλλὰ κατὰ τοῦ Θεοῦ. Προσέλθετε ἐναντίον τοῦ Θεοῦ, εἰσακήκοε γὰρ τοῦ γογγυσμοῦ ὑμῶν.[3]» Καὶ μετὰ ταῦτα· «Ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· Ἐγὼ ἀκήκοα τὸν γογγυσμὸν υἱῶν Ἰσραήλ [4]», καὶ τὰ ἑξῆς. Τούτων οὖν μεμνημένος καὶ ὁ παρὼν λόγος, εἶπε· «Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν καρδίαις αὐτῶν, τοῦ αἰτῆσαι βρῶμα ταῖς ψυχαῖς αὐτῶν. Καὶ κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπαν· «Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; Ἐπεὶ ἐπάταξε πέτραν καὶ ἐρρύησαν ὕδατα, καὶ χείμαρροι κατεκλύσθησαν· μὴ καὶ ἄρτον δύναται δοῦναι, ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;» Ἐν μὲν οὖν τῇ ἱστορίᾳ οὐ φέρεται ταῦτα· ἐνταῦθα δὲ τετήρηται, ὡς ἄρα ταῦτα διενοήθησαν· «Ἐξεπείρασαν», γάρ φησι, «τὸν Θεὸν ἐν καρδίαις αὐτῶν», καί, «Κατελάλησαν τοῦ Θεοῦ.» Πῶς δὲ κατελάλησαν ἢ τάδε διανοηθέντες, εἰ καὶ μὴ χείλεσι φθεγξάμενοι, ἀλλὰ ταῖς ψυχαῖς λογισάμενοι, ἃ δὴ ὁ καρδιογνώστης εἰδὼς ἤκουσε; Διὸ εἴρηται· «Ἤκουσε Κύριος καὶ ἀνεβάλετο.» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «Καὶ ἀνυπερθέτησεν», ἡρμήνευσε, τουτέστιν, οὐχ ὑπερέθετο· ὁ δὲ Σύμμαχος, «Καὶ ἐχολώθη·» εἶτα, «Καὶ πῦρ ἀνήφθη», φησίν, «ἐν Ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ.» Καὶ παρὰ Μωσεῖ δὲ γέγραπται· «Καὶ ἦν ὁ λαὸς γογγύζων ἐναντίον Κυρίου, καὶ ἤκουσε Κύριος, καὶ ἐθυμώθη ὀργὴ αὐτοῦ· καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου, καὶ κατέφαγε μέρος

1. Ἐξ. 17, 7. 2. Ἐξ. 16, 2-3. 3. Ἐξ. 16, 7, 9. 4. Ἐξ. 16, 12.

τῆς παρεμβολῆς. Καὶ ἐκέκραξεν ὁ λαὸς πρὸς Μωσῆν· καὶ ηὔξατο Μωσῆς πρὸς Κύριον, καὶ ἐκόπασε τὸ πῦρ. Καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἐμπυρισμός, ὅτι ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου.[1]» Διὸ καὶ ἐν τῷ μετὰ χεῖρας εἴρηται· «Καὶ ἀνήφθη πῦρ ἐν Ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ, ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.» Τὸ δέ, «Ἐνετείλατο νεφέλαις ὑπεράνωθεν», αἰνίττεσθαί μοι δοκεῖ πρόσταγμα δεδόσθαι ἀγγελικαῖς δυνάμεσι, ταῖς εἰς τὰ παράδοξα τότε διακονουμέναις, δι' ὧν καὶ τὸ μάννα ἐχορηγεῖτο τῷ λαῷ. Διδασκόμεθα δὲ καὶ ἐντεῦθεν, ὡς ἄρα νεφέλαι αἱ ἀγγελικαὶ δυνάμεις κέκληνται, ὡς καὶ ἐν τῷ φάσκοντι προφήτῃ· «Καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν·[2]» ὥστε τοὺς ἀγγέλους νοεῖσθαι τὰς νεφέλας, ὥσπερ οὖν καὶ ἐνταῦθα. Καὶ εἰκός γε ἦν διὰ μὲν πονηρῶν δυνάμεων τὰς κατ' Αἰγυπτίων ἐπιτελεῖσθαι πληγὰς κατὰ τὸν φάσκοντα λόγον· «Ἀπέστειλεν εἰς αὐτοὺς ὀργὴν καὶ θυμόν, θλῖψιν καὶ ἀποστολὴν δι' ἀγγέλων πονηρῶν·» τὰ δὲ χρηστότερα δι' αἰσίων καὶ δεξιῶν ἀγγέλων γεγενῆσθαι. Διὸ λέλεκται· «Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἀνέῳξε.» Θύρας δὲ οὐρανοῦ ἀνοιγνυμένας τὰς οὐρανίους νόει πράξεις. Πάντα γὰρ τὰ παραδόξως ὑπὸ τοῦ Θεοῦ πεπραγμένα θεῖα καὶ οὐράνια ἦν· ἃ δὴ καὶ ἀνθρώποις ἀποκέκλειστο, ὅτε μὴ ἐγίγνετο· ὅτε δὲ παραδόξως ἐγίγνετο, ὥσπερ θύρας τινὰς οὐρανίους ἀνέῳγεν αὐτοῖς. Ἀντὶ δὲ τοῦ, «Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος», ὁ Ἀκύλας, «Ἄρτον δυναστῶν ἔφαγεν ἀνήρ», ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «Καὶ πυρὸν οὐράνιον παρέσχεν αὐτοῖς, ἄρτον μεγάλων ἔφαγεν ἄνθρωπος.» Καὶ τήρει ὅπως ἡ Ἑβραϊκὴ φωνὴ οὐ περιέχει τό, «Ἄρτον ἀγγέλων·» ἀλλ' ἤτοι κατὰ τὸν Ἀκύλαν, «ἄρτον δυναστῶν·» ἢ κατὰ τὸν Σύμμαχον «ἄρτον μεγάλων·» ἢ κατὰ τὸν Θεοδοτίωνα, «ἄρτον δυναστῶν·» ἢ κατὰ τὴν πέμπτην ἔκδοσιν, «ἄρτον δυναστῶν.» «Ἀγγέλων» δέ, οὐδεὶς ἡρμήνευσεν. Ἐπεὶ μηδὲ τὸ Ἑβραϊκὸν τοῦτον ἔχει τὸ τρόπον, ἵνα μή τις νομίσῃ καὶ τὰς ἀγγελικὰς δυνάμεις αἰσθητῇ χρῆσθαι τροφῇ. Μέμφεται δὲ καὶ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐν Εὐαγγελίοις τοῖς νομίζουσιν, ὅτι ἀγγέλων ἦν τροφὴ τὸ ἐν τῇ ἐρήμῳ χορηγηθὲν τῷ λαῷ μάννα· διὸ ἔλεγεν· «Ἀμήν, ἀμὴν λέγω ὑμῖν· οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν·[3]» καὶ πάλιν· «Οἱ πατέρες ὑμῶν ἔφαγον ἐν τῇ ἐρήμῳ τὸ μάννα, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθνήσκῃ.[4]» Εἰ μὲν οὖν, φησίν, οὐράνιος ἦν ἄρτος, ᾧ χρῆσθαι τοὺς ἀγγέλους εἰκός, οὐδ' ἂν ἀπέθανον οἱ ἐν τῇ ἐρήμῳ μετασχόντες

1. Ἀριθ. 11, 1-3. 2. Ἡσ. 5, 6. 3. Ἰω. 6, 32. 4. Ἰω. 6, 49-50.

ἄρτου· νῦν δὲ ἐπεὶ οὐκ ἦν οὐράνιος, οὐδὲ ἦν ἀληθῶς ἄρτος ἀγγέλων, διὰ τοῦτο ἀπέθανον. Οὗτος δέ ἐστιν ἀληθῶς οὐράνιος ἄρτος, οὗ ὁ μεταλαβὼν οὐκ ἂν ἀποθάνοι ποτέ. Καὶ τίς οὗτος ἦν διδάσκει λέγων· «Ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ·[1]» παρίστησί τε αὐτὸν λέγων· «Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρὸς μὲ οὐ μὴ πεινάσει, καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ διψήσει πώποτε·[2]» καὶ αὖθις· «Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ἐάν τις φάγῃ ἐκ τοῦ ἐμοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα.[3]» Οὐκοῦν καὶ αἱ ἀγγελικαὶ δυνάμεις ἐκ τῆς τοῦ Λόγου μεταλήψεως αἰώνιον ζωὴν καρποῦνται. Μόνος γὰρ ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος πάσης λογικῆς οὐσίας θρεπτικὸς τυγχάνει. Διόπερ ἀκριβῶς ἡ Ἑβραϊκὴ ἀνάγνωσις ἐν τοῖς προκειμένοις οὐ περιέχει τό, «Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος.»

Στίχ. κς'-λα'. «Ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν. Ἀπῆρεν Νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ Λίβα. Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας, καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά· καὶ ἐπέπεσεν ἐν μέσῳ τῆς παρεμβολῆς αὐτῶν, κύκλῳ τῶν σκηνωμάτων αὐτῶν. Καὶ ἔφαγον καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς, οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν. Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν καὶ ἡ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς· καὶ ἀπέκτεινεν ἐν τοῖς πλείοσιν αὐτῶν, καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν.»

Ὅτι μὴ μόνου ἄρτου, ἀλλὰ καὶ ὄψου προενόησεν αὐτοῖς, διδάσκει καὶ ἡ Μωσέως Γραφή, ἐν μὲν Ἐξόδῳ λέγουσα· «Καὶ εἶπε Μωσῆς καὶ Ἀαρὼν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ· Ἑσπέραν γνώσεσθε, ὅτι Κύριος ἐξήγαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου· πρωῒ δὲ ὄψεσθε τὴν δόξαν Κυρίου, ἐν τῷ εἰσακοῦσαι αὐτὸν πάντα τὸν γογγυσμὸν ὑμῶν, ἐν τῷ διδόναι τὸν Κύριον ὑμῖν ἑσπέρας κρέα φαγεῖν, καὶ ἄρτους τὸ πρωῒ εἰς πλησμονήν.[4]» Καὶ ἐπιλέγει ἑξῆς· «Καὶ ἐγένετο ἑσπέρα, καὶ ἀνέβη ὀρτυγομήτρα, καὶ ἐκάλυψε τὴν παρεμβολήν· τὸ πρωῒ δὲ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς· καὶ ἰδοὺ ἐπὶ προσώπου τῆς ἐρήμου, λεπτὸν ὡσεὶ κόνιον, λευκὸν ὡσεὶ πάγος ἐπὶ τῆς γῆς.[5]» Ἀλλ' ἐπειδὴ μετὰ ταῦτα εἴρηται ἐν Ἀριθμοῖς· — «Καὶ ὁ ἐπίμικτος ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον οἱ υἱοὶ Ἰσραήλ, καὶ εἶπαν, Τίς ψωμίσει ἡμῖν κρέα; Ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, καὶ τοὺς σικυούς, καὶ τοὺς πέπονας, καὶ τὰ πράσα, καὶ τὰ κρόμμυα. Νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος.[6]» Εἶτα ἐπιλέγεται ἑξῆς· «Καὶ ἀπῆλθε Μωσῆς εἰς τὴν παρεμβολήν, αὐτὸς καὶ οἱ πρεσβύτεροι τοῦ Ἰσραήλ. Καὶ πνεῦμα ἐξῆλθε παρὰ Κυρίου, καὶ ἐξέβρασεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης, καὶ ἐπέ-

1. Ἰω 6, 33. 2. Ἰω. 6, 35. 3. Ἰω. 6, 51-52. 4. Ἐξ. 16, 6-8.
5. Ἐξ. 16, 13-14. 6. Ἀριθ. 11, 4.

βαλεν ἐπὶ τὴν παρεμβολὴν ὁδὸν ἡμέρας, ἐντεῦθεν κύκλῳ τῆς παρεμβολῆς ὡσεὶ δίπηχυ ἀπὸ τῆς γῆς. Καὶ ἀναστὰς ὁ λαὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα, καὶ συνήγαγεν ἕκαστος τὸ ἀρκοῦν· ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν· ὁ τὸ ὀλίγον, συνήγαγε δέκα κόρους· Καὶ ἔψυξεν ἐν τοῖς ψυκτῆρσι κύκλῳ τῆς παρεμβολῆς τὰ κρέα ἦν πρὶν ἢ ἐκλιπεῖν. Καὶ ὠργίσθη Κύριος. Καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Μνήματα ἐπιθυμίας, ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητήν·[1]» — εἰκότως οὖν καὶ ἡ μετὰ χεῖρας περικοπὴ διδάσκει ταῦτα λέγουσα· «Ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν», καὶ τὰ ἑξῆς. Διδάσκει δέ, ὡς ἄρα ὑπ' ἀνέμων ἐλαυνόμενα τὰ πτηνὰ κατεφέρετο εἰς τὴν παρεμβολήν. Καὶ κατὰ τὸν Σύμμαχον δὲ εἴρηται· «Ὃς ἦρεν Εὖρον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ Νότον, ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά. Καὶ ἐπέβαλεν ἔνδον εἰς τὴν παρεμβολὴν αὐτῶν κύκλῳ τῶν σκηνῶν. Καὶ φαγόντες, ἐνεπλήσθησαν σφόδρα· καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς, οὐκ ἀπέστησαν τῆς ἐπιθυμίας αὐτῶν. Ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τοῖς ὀδοῦσιν αὐτῶν, ὀργὴ οὖν Θεοῦ ἐπῆλθεν αὐτοῖς, καὶ ἀπέκτεινε τοὺς λιπαρωτέρους αὐτῶν καὶ τοὺς νεανίσκους τοῦ Ἰσραὴλ ὤκλασε.» Καὶ ταῦτ' ἔπασχον εὐλόγως· ὁ μὲν γὰρ αὐτοῖς εἰς ἔνδειξιν τῆς αὐτοῦ δυνάμεως παραδόξως καὶ ταῦτα παρεῖχεν· οἱ δὲ ἀπλήσῳ χρώμενοι τῇ κρεωφαγίᾳ, χολερικῷ πάθει διεφθείροντο, μὴ προσέχοντες μὲν τῷ τοῦ παραδόξου θαύματι, μηδὲ δοξάζοντες τὸν παραδοξοποιόν· ὅλοι δὲ τῶν σαρκῶν γιγνόμενοι, διὸ καὶ ἐπεσπῶντο ἑαυτοῖς ὄλεθρον.

Στίχ. λβ'-λε'. «Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι, καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς.»

Ἐλεγκτικὸς ὢν καὶ κατηγορητικὸς τῆς Ἰουδαίων μοχθηρίας ὁ λόγος, καταρίθμησιν ποιεῖ καὶ τῶν πεπλημμελημένων αὐτοῖς, παριστῶν, ὅτι μὴ μάτην αὐτοὺς τὰ τῆς ὀργῆς τοῦ Θεοῦ μετῆλθεν. Καὶ δὴ διδάσκει, ὡς καὶ μετὰ τὰ προλεχθέντα πάντα, αὔξοντες ἑαυτῶν τὰ κακά, ἥμαρτον ἔτι· καὶ ἥμαρτον, ἐπεὶ οὐκ ἐπίστευσαν τοῖς θαυμασίοις αὐτοῦ. Τοιαῦτα γὰρ ὀφθαλμοῖς ὁρῶντες, ἐνικῶντο ὑπὸ τῆς ἐπιθυμίας. Εἶτα, «καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν.» Δέον γὰρ θεωροὺς γενομένους τῶν τοῦ Θεοῦ μεγαλουργημάτων, ὅλους αὐτοὺς ἀναθεῖναι αὐτῷ· οἱ δὲ θρεμμάτων ἀλόγων δίκην τῇ τῶν σωμάτων προσεῖχον ματαιότητι, ἐν ἀλογίᾳ καὶ ἀνοίᾳ κατηγοροῦντες, καὶ μηδὲν πλέον ἐκ τῶν εἰς αὐτοὺς χορηγουμένων εἰς γνῶσιν Θεοῦ καὶ ψυχῆς σωτηρίαν ποριζόμενοι. Οὕτως οὖν «ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν·» οὐ μόνον, ἀλλὰ καὶ «τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς» ἐξέλιπον· κατὰ κοινοῦ γὰρ ἀκουστέον τοῦ, «ἐξέλιπον·» ἀνθ' οὗ πεποίηκεν ὁ

1. Ἀριθ. 11, 30-34.

Ἀκύλας· «Καὶ συνετέλεσεν ὡς ἀτμὸν τὰς ἡμέρας αὐτῶν, καὶ τὰ ἔτη αὐτῶν κατέσπευσε.» Τοῦ μὲν γὰρ ἐν ματαιότητι τὰς ἡμέρας καταναλίσκοντος καὶ τὰ ἔτη παρατρέχει κατεσπευσμένως· τοῦ δὲ τὰς ἡμέρας ἐν φωτὶ καὶ ἐν ἔργοις ἀγαθοῖς ἐκτελοῦντος αἱ ἡμέραι οὐκ ἐκλείπουσιν, ἀλλὰ πλήρεις γίνονται, καὶ τὰ ἔτη αὐτοῦ ἐντελῆ τυγχάνει καὶ μεμακρυμμένα. Διὸ κἀκείνοις τοῖς μετὰ τοιαύτας παραδοξοποιίας ἐν ἀπιστίᾳ καταγηράσασιν μάταιος καὶ ἐσπευσμένως παρατρέχων ὁ χρόνος. Αὐτίκα δ' οὖν διὰ μὲν τῶν θαυμάτων καὶ τῶν εἰς αὐτοὺς εὐεργεσιῶν οὐδὲν πλέον ἐκτῶντο πρὸς ὠφέλειαν, διὰ δὲ τῆς μετερχομένης αὐτοὺς ὀργῆς κρείττους ἐγίγνοντο. Διὸ ἑξῆς ἐπιλέγει· «Ὅταν ἀπέκτεινεν αὐτούς, ἐξεζήτουν αὐτόν, καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν.» Μαστιζόμενοι γὰρ καὶ κολαζόμενοι, κτηνῶν ἀλόγων δίκην αἴσθησιν ἀνελάμβανον τοῦ τύπτοντος, λόγῳ μὲν ὀρθῷ μὴ σωφρονιζόμενοι· πρὸς οὓς εἶπεν ἂν ὁ λόγος· «Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις. Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαι τῶν μὴ ἐγγιζόντων πρὸς σέ. Πολλαὶ αἱ μάστιγες τῶν ἁμαρτωλῶν· τοὺς δὲ ἐλπίζοντας ἐπὶ Κύριον ἔλεος κυκλώσει.[1]»

Στίχ. λς΄-λθ΄. «Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ.»

Τῶν μὲν παραδόξων ἀπολαύοντες οὐκ ἐπίστευον· μαστιζόμενοι δὲ καὶ ἀποκτεινόμενοι, ἐπέστρεφον πρὸς τὸν Θεόν. Ἀλλ' οὐδὲ τοῦτο γνησίως ἐποίουν, προσποιήσει δὲ καὶ εἰρωνείᾳ μέχρι χειλέων εὐφημεῖν ἐδόκουν, οὐ μὴν καθαρῷ λογισμῷ τοῦτ' ἔπραττον· ὡς καὶ ἐπ' αὐτῶν ἁρμόττειν τὸ φῆσαν λόγιον· «Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ· ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ. Μάτην δὲ σέβονταί με.[2]» Καὶ αὐτοὶ μὲν εἰς τοσοῦτον ἤλαυνον μοχθηρίας· ὁ δέ, πατρὸς ἀγαθοῦ δίκην οἶκτον αὐτῶν πλείονα λαμβάνων, ἱλάσκετο ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ παρεδίδου αὐτοὺς εἰς ἐσχάτην διαφθοράν· ἀλλὰ καὶ τὸν φθοροποιὸν δαίμονα καὶ τὸν τῆς ὀργῆς ὑπηρέτην ἄγγελον τιμωρόν, θυμὸν αὐτοῦ ὀνομαζόμενον, ἀπέστρεφεν ἐξ αὐτῶν, τὸν ἑαυτοῦ Πατέρα ὑπὲρ αὐτῶν ἱλασκόμενος. Διὸ εἴρηται· «Αὐτὸς δέ ἐστιν οἰκτίρμων καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ. Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐχὶ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.» Ἔτι γὰρ τότε μακροθύμως αὐτοὺς ἔφερεν οὔπω εἰς τέλος αὐτοὺς ἀπωθούμενος. Κατὰ δὲ τὸν Σύμμαχον· «Αὐτός», φησίν, «ἐλεήμων, ἐξιλάσκων ἁμαρτίας, καὶ μὴ διαφθείρων. Καὶ ἐπὶ πολὺ ἀπέστρεψεν τὴν ὀργὴν αὐτοῦ, καὶ οὐ διήγειρεν ὅλον τὸν θυμὸν αὐτοῦ.» Ἐπὶ τούτοις ἄλλο τι αὐτῶν κατηγορεῖ λέγων· «Καὶ ἐμνήσθη, ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.» Ἐπειδὴ γὰρ

1. Ψαλμ. 31, 9-10. 2. Ἡσ. 29, 13. Ματθ. 15, 8-9.

«ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι, καὶ ὁ κολλώμενος τῇ σαρκὶ ἓν σῶμα γίνεται[1]», εἰκότως κρεώδεις τινὰς καὶ σαρκώδεις φησὶν αὐτοὺς γεγονέναι διὰ τὸ φιλήδονον καὶ φιλοσώματον, καὶ οὕτως αὐτοὺς γενέσθαι σάρκας. Διό φησιν· «Ἐμνήσθη ὅτι σάρξ εἰσι.» Πῶς δὲ σάρκες ἦσαν διασαφεῖ λέγων ἑξῆς· «Πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.» Τὸ γὰρ πνεῦμα τῆς σαρκὸς τοιοῦτον, γεῶδες καὶ θνητὸν καὶ ἀπολλύμενον. Τοιοῦτοι δέ τινες γεγόνεισαν καὶ οἱ ἐπὶ τοῦ κατακλυσμοῦ, περὶ ὧν εἴρητο· «Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας·[2]» ὡς ἑτέρου μὲν ὄντος τοῦ θείου πνεύματος τοῦ κατ' ἀρχὰς ἀνθρώποις ἐμπνευσθέντος, ἑτέρου δὲ τοῦ τῆς σαρκὸς πνεύματος. Τό γέ τοι τῆς σαρκὸς πνεῦμα τοιοῦτον ἂν εἴη, οἷον καὶ τὸ ἐν τοῖς ἀλόγοις ζῴοις, ὅπερ ἐστὶ πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον. Ὀνομάζει δὲ αὐτὸ οἰκείῳ ὀνόματι ὁ Ἀπόστολος, «φρόνημα σαρκός», ἐν οἷς φησι. «Τὸ γὰρ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται· τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη.[3]» Οὕτω δὲ σάρκες οἱ κατηγορούμενοι γεγόνεισαν ἐκ τοῦ φιλοσωματεῖν· ὡς καὶ περὶ αὐτῶν δικαιότατα ἂν εἰρῆσθαι τό· «Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.[4]»

Στίχ. μ'-μη'. «Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ! Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεόν, καὶ τὸν Ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν. Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ, καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. Μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ὀμβρήματα αὐτῶν ὅπως μὴ πίωσιν. Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν καὶ κατέφαγεν αὐτούς, καὶ βάτραχον καὶ διέφθειρεν αὐτούς. Καὶ ἔδωκε τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. Καὶ ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ. Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν, καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί.»

Μετὰ τὰ προλεχθέντα πάντα παρέμενον παραπικραίνοντες, τουτέστι πικρὸν ἑαυτοῖς τὸν Θεὸν καθιστῶντες, χρηστὸν ὄντα τῇ φύσει καὶ ἀγαθὸν καὶ γλυκύν, τοῖς δὲ τιμωρίας ἀξίοις πικρὸν νομιζόμενον. Οὗτοι γοῦν οἱ ἐν τῇ ἐρήμῳ παρώργισαν αὐτόν, ἑαυτοῖς τὴν ὀργὴν ἐπισπώμενοι. Καὶ πάλιν ἐπέστρεφον καὶ ἐπείραζον τὸν Θεόν, καὶ τὸν Ἅγιον τοῦ Ἰσραὴλ παρώξυνον. Καὶ ταῦτα πάντα διέπραττον μὴ ἀναλαμβάνοντες τῇ μνήμῃ τὰς πάλαι δειχθείσας αὐτοῖς παραδόξους δυνάμεις· καθ' ὃν καιρὸν λυτρούμενος αὐτοὺς ἐκ χειρὸς θλίβοντος τοῦ Φαραώ, ἠλευθέρου τῆς τῶν Αἰγυπτίων δυναστείας, διαφόρως

1. Α' Κορ. 6, 16-17. 2. Γεν. 6, 3. 3. Ῥωμ. 8, 6. 4. Ψαλμ. 48, 21

τοὺς ἐχθροὺς αὐτῶν αἰκιζόμενος ἐν τῷ Τάνεως πεδίῳ· ἐν ᾧ πρῶτον ἐγίγνετο ἡ τοῦ ποταμοῦ εἰς αἷμα μεταβολή, Αἰγυπτίοις οὖσα τοιαύτη οὐ μὴν καὶ τοῖς βοηθουμένοις. Ὅθεν καὶ τὰ ὀμβρήματα αὐτῶν, ἤ, κατὰ τὸν Ἀκύλαν, «αἱ κατάρροιαι αὐτῶν», ἢ κατὰ τὸν Σύμμαχον, «τὰ ῥεῖθρα αὐτῶν», μετεβάλλετο εἰς αἷμα. Πᾶσα γὰρ σύστασις ὑδάτων τὰ ὅμοια τῷ ποταμῷ ἔπασχεν. Ἀλλὰ τούτων οὐδεμίαν ἐποιοῦντο μνήμην οἱ κατηγορούμενοι, οὐδὲ τῇ διὰ τῆς κυνομυίας κατ' Αἰγυπτίων πληγῇ προσεῖχον τὸν νοῦν, οὐδὲ τῇ διὰ τῶν βατράχων μάστιγι, οὐδὲ τῇ διὰ τῆς ἐρυσίβης· ἀλλ' οὐδ' ὅπως δι' αὐτοὺς οἱ Αἰγύπτιοι ἀκρίδι καὶ χαλάζῃ, καὶ πάχνῃ καὶ πυρὶ παραδοθέντες ἐκολάζοντο. Τούτων δ' ἔργοις τὴν πεῖραν εἰληφότες, ἀμνήμονες ἁπάντων ἐγίγνοντο. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Οὐκ ἀνεμιμνήσκοντο τὴν χεῖρα αὐτοῦ, τὴν ἡμέραν ἐν ᾗ ἐρρύσατο αὐτοὺς ἐκ τοῦ θλίβοντος· τοῦ ποιήσαντος τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ἐν Αἰγύπτῳ, ἐν πεδίῳ Τάνεως· τοῦ μεταβαλόντος εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν, καὶ τὰ ῥεῖθρα αὐτῶν, ἵνα μὴ πίωσι· τοῦ ἐπιπέμψαντος αὐτοῖς κυνόμυιαν φαγεῖν αὐτούς, καὶ βάτραχον διαφθεῖραι αὐτούς· τοῦ δόντος τῷ μυζήτῃ τὰ γεννήματα αὐτῶν, καὶ τοὺς κόπους αὐτῶν τῇ ἀκρίδι· τοῦ ἀποκτείναντος ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν καὶ τὰς συκομόρους αὐτῶν ἐν σκώληκι· τοῦ ἐκδόντος λοιμῷ τὰ κτήνη αὐτῶν, καὶ τὰ κτήματα αὐτῶν οἰωνοῖς.» Ἀντὶ δὲ τοῦ, «τῇ ἐρυσίβῃ», ὁ μὲν Σύμμαχος ὁμοίως «τῷ μυζήτῃ», ὁ δὲ Ἀκύλας «τῷ βρούχῳ», ἡρμήνευσε· καὶ πάλιν ἀντὶ τοῦ, «τῇ πάχνῃ», ὁ μὲν Σύμμαχος «τῷ σκώληκι», ὁ δὲ Ἀκύλας «ἐν κρύει,», ἐκδεδώκασι. Σεσιωπημένα δὲ ταῦτα παρὰ Μωσεῖ τὸ παρὸν λόγιον ἐδίδαξεν. Ἔοικε δὲ ἡ ἐρυσίβη καὶ ὁ μυζήτης αὐτὸς εἶναι ὁ παρὰ Μωσεῖ κεκλημένος κνίψ. Τῆς γὰρ Μωσέως Γραφῆς μνημονευούσης δέκα πληγῶν, ὁ παρὼν λόγος τοῦ αἵματος ἐμνημόνευσε καὶ τῶν βατράχων καὶ τῆς κυνομυίας καὶ τῆς ἀκρίδος καὶ τῆς χαλάζης, καὶ τοῦ θανάτου τῶν κτηνῶν, καὶ τοῦ θανάτου τῶν πρωτοτόκων· σκνιπῶν τε οὐκ ἐμνήσθη, οὐδὲ τῶν φλυκτανῶν, οὐδὲ τοῦ σκότους· ἀντὶ δὲ τούτων ἐρυσίβην εἶπε καὶ πάχνην· ἀνθ' ὧν μυζήτην ἢ βροῦχον, ἢ σκώληκα, ἢ κρύος οἱ λοιποὶ ἡρμήνευσαν.

Στίχ. μθ'-να'. «Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ, οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ.»

Πρὸς τοῖς λεχθεῖσι καὶ ταῦτα κατὰ τῶν Αἰγυπτίων ὑπὲρ τῆς σωτηρίας τοῦ λαοῦ ὁ Θεὸς εἰργάζετο· «Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν.» Πολλαχοῦ δὲ τῆς ὀργῆς ὀνομαζομένης καὶ τοῦ θυμοῦ, ὁ παρὼν λόγος τὴν διάνοιαν ἑρμηνεύει τῆς τοιαύτης φωνῆς ἑξῆς ἐπιλέγων· «Ἀποστολὴν δι' ἀγγέλων πονη-

ρῶν·» ἢ κατὰ τὸν Σύμμαχον, «Ἐπαποστολὴν ἀγγέλων κακούντων.» Ἡ γὰρ τῶν κακούντων ἀγγέλων ἐπαποστολὴ ὡς πρὸς ἀνθρώπους ἐνομίζετο θυμὸς εἶναι καὶ ὀργὴ Θεοῦ. Οὐ γὰρ δὴ πάθος εἶναι ὀργῆς περὶ τὸν Θεὸν προσήκει νομίζειν· τὰς δὲ κατὰ τῶν ἀσεβῶν τιμωρίας κρίσει δικαίᾳ Θεοῦ δι' ἀποστολὴν ἀγγέλων τῶν εἰς τοῦτο τεταγμένων γιγνομένας ὀργὴν καὶ θυμὸν καλεῖσθαι. Πλὴν ἀλλὰ τοῖς Αἰγυπτίοις ἐπαποστολῆς ἀγγέλων κακούντων γενομένης, αὐτὸς ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ· κατὰ δὲ τὸν Σύμμαχον, «διέστρωσε ἀτραπὸν τῇ ὀργῇ αὐτοῦ.» Καί μοι δοκεῖ διὰ τούτων αἰνίττεσθαι τὴν παραδοθεῖσαν τῷ λαῷ μυστικὴν λατρείαν κατὰ τὸν καιρὸν τῆς ἐπελθούσης τοῖς Αἰγυπτίοις ὀργῆς. Τότε γὰρ διατάττεται τὴν τοῦ Πάσχα ἑορτὴν ἐπιτελέσαι, θύσαντας μὲν πρόβατον κατὰ σύμβολον τοῦ μέλλοντος ὑπὲρ ἀνθρώπων τυθήσεσθαι Ἀμνοῦ τοῦ Θεοῦ, χρίσαντας δὲ ἑαυτῶν τὰς φλιὰς τῶν οἴκων τῷ αἵματι· ὡς ἄν, τοῦτο θεασάμενος ὁ ὀλοθρευτής, ἀναχωρήσειε τῆς κατὰ τῶν τοῦτο πραξάντων ἐπιβολῆς. Γέγραπται γοῦν· «Καὶ παρελεύσεται Κύριος πατάξαι τοὺς Αἰγυπτίους· καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς, καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν. Καὶ παρελεύσεται Κύριος τὴν θύραν· καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι.[1]»

Ἀλλὰ τούτοις μὲν ὡδοποίησε τρίβον πρὸς τὸ ἐκφυγεῖν τὴν ὀργὴν αὐτοῦ· τῶν δὲ Αἰγυπτίων οὐκ ἐφείσατο· παρεδίδου δὲ εἰς θάνατον τὰς ψυχὰς αὐτῶν, ἀξίων ὄντων τῆς τοιαύτης τιμωρίας· ἐπειδήπερ, ἀσεβείαις ἐκδεδομένοι καὶ τῇ πολυθέῳ καὶ Αἰγυπτιακῇ δεισιδαιμονίᾳ, ἄλλῳ θανάτῳ τὰς ψυχὰς ἐτύγχανον βεβαπτισμένοι. Διόπερ ὁ παρὼν λόγος οὐ κοινὸν θάνατον ἐπεληλυθέναι αὐτοῖς διδάσκει, ἀλλὰ ψυχῶν θάνατον. Ὁ γὰρ ὀλοθρευτής, ᾧ παρεδόθησαν, ἅμα τῇ τοῦ σώματος διαλύσει, τὰς ψυχὰς αὐτῶν παρελάμβανεν, εἰς ὄλεθρον αὐτὰς ἀπάγων. Διὸ καὶ αὖθις γέγραπται· «Οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν.» Εἶτα διασαφεῖ λέγων ἑξῆς· «Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν τῶν πόνων αὐτῶν.» Ἀντὶ δὲ τοῦ, «ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ·» ὁ Σύμμαχος· «Πρωτεῖον δυνάμεων αὐτῶν», ἡρμήνευσε. Τὰ γὰρ πρωτότοκα καὶ πρωτεῖον ἦν τῆς δυνάμεως τῶν γεννησάντων. Διὰ μὲν οὖν τῶν πρώτων πληγῶν, ὥσπερ εἰς μετάνοιαν αὐτοὺς προσκαλούμενος διὰ τῆς ἀνοχῆς καὶ μακροθυμίας, πεφεισμένως αὐτοῖς ἐπῆγε τῆς τιμωρίας. Ἐπὶ τέλει δὲ οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν· ἀλλὰ καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισεν. Ἐπεὶ καὶ πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀνῃρεῖτο, κτηνῶν τε καὶ ἀνδρῶν. Σφόδρα δὲ ἀκριβῶς ἐπὶ μὲν τῶν ἀνθρώπων θανάτῳ φησὶ τὰς ψυχὰς αὐτῶν παραδεδόσθαι· ἦν γὰρ ὁ ὀλοθρευτὴς δαίμων, ὁ τὰς ψυχὰς αὐτῶν καὶ μετὰ θάνατον παραλαμβάνων· ἐπὶ δὲ τῶν κτηνῶν οὐκέτι ψυχῶν ἐμνημόνευσεν,

1. Ἔξ. 12, 23.

ἀλλὰ μόνου τοῦ κοινοῦ καὶ σωματικοῦ θανάτου· οὐ γὰρ μετέχει ψυχῆς τὰ κτήνη τῆς μετὰ τὴν τοῦ σώματος λύσιν παραμενούσης ὁμοίως ταῖς τῶν ἀνθρώπων ψυχαῖς. Τὴν δὲ αὐτὴν ἱστορίαν διαφόρως Μωσῆς τε καὶ ὁ παρὼν λόγος ἡρμήνευσεν· ὁ μὲν ὀλοθρευτὴν εἰπὼν διακονῆσαι τὸν θάνατον τῶν πρωτοτόκων· ὁ δὲ παρὼν λόγος δι' ἀγγέλων πονηρῶν ταῦτα γεγονέναι. Κἀκεῖ μὲν ὁ Μωσῆς τῷ αἵματι κεχρῖσθαι τὰς φλιάς, καὶ τοῦτο φυλακτήριον γεγονέναι τῶν διαφυγόντων τὸν ὀλοθρευτήν· ἐνταῦθα δὲ ὡδοποιηκέναι τρίβον εἴρηται ὁ Θεὸς πρὸς τὸ ἀποφυγεῖν τὴν ὀργὴν αὐτοῦ. Ταῦτα δέ, φησί, συνετελεῖτο ἐν τοῖς σκηνώμασι Χάμ· ἤ, «ἐν ταῖς σκηνώσεσι Χάμ», κατὰ τὸν Σύμμαχον· ἤ, «ἐν ταῖς σκέπαις Χάμ», κατὰ τὸν Ἀκύλαν. Δι' ὧν διδασκόμεθα τὴν Αἴγυπτον γεγονέναι σκηνώματα τοῦ Χάμ. Τριῶν γὰρ παίδων τοῦ Νῶε γενομένων, Σήμ, Χάμ, Ἰάφεθ, ὁ Χὰμ γέγονε πατὴρ τοῦ Χαναάν, Χαναὰν δὲ πατὴρ τοῦ Μεσραΐμ, ὃς ἦν Αἴγυπτος, ἀφ' οὗ Αἰγύπτιοι πάντες· ὥστ' εἰκότως τὴν τῶν Αἰγυπτίων χώραν σκηνώματα τοῦ προπάτορος τοῦ Μεσραΐμ εἰρῆσθαι. Οὗτος δὲ ἦν ὁ Χὰμ τὴν Αἴγυπτον πρῶτος οἰκήσας.

Στίχ. νβ', νγ'. «Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ», καὶ τὰ ἑξῆς.

Μετὰ τὴν κατὰ τῶν Αἰγυπτίων δεκάτην πληγήν, ὅπως τὴν ἀπ' Αἰγύπτου πορείαν πεποίηνται διδάσκει φάσκων· «Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ἀνήγαγεν αὐτοὺς καὶ ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν.»

Κατὰ δὲ τὸν Ἀκύλαν· «Καὶ καθωδήγησεν αὐτοὺς εἰς πεποίθησιν, καὶ οὐκ ἐπτοήθησαν·» κατὰ δὲ τὸν Σύμμαχον, «Ὡδήγησεν αὐτοὺς ἀφόβους καὶ ἀπτοήτους· καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψεν ἡ θάλασσα.» Καὶ ταῦτα μὲν πρότερα ἦν τῆς κατὰ τὴν ἔρημον διατριβῆς· οὐ μὴν καὶ ὁ λόγος τῇ τάξει κέχρηται τῶν πεπραγμένων· ὡς ἐν ὕμνῳ δὲ καὶ ᾠδῇ τὰ δεύτερα πρῶτα τίθησι καὶ τὰ πρῶτα δεύτερα. Διὸ τὰ κατὰ τὴν ἔρημον συμβάντα, καὶ ὅσα ἥμαρτον ἐν τῇ ἐρήμῳ, καὶ ὁσάκις παρεπίκρανον προδιηγησάμενος, μετὰ ταῦτα τὴν τῶν πρώτων μνήμην ποιεῖται, ὡς ἂν τὸν λόγον περιγράψειε μὴ εἰς λυπηρά, ἀλλ' ἐπὶ ταῖς τοῦ Θεοῦ εὐεργεσίαις. Διόπερ ἑξῆς ἐπισυνάπτει τοῖς κατὰ τὴν Αἴγυπτον ὑπὸ τοῦ Θεοῦ πεπραγμένοις, καὶ τῇ διόδῳ τῆς Ἐρυθρᾶς θαλάσσης, τό, «Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ, ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ·» τὰ κατὰ τὴν ἔρημον ἐνταῦθα ἀποσιωπήσας, διὰ τὸ προειληφέναι αὐτῶν τὴν διήγησιν. Ὄρος δὲ ποῖον ἢ τὸ Σιών, ἐφ' ᾧ Ἰερουσαλὴμ ὕστερον μετὰ τοὺς χρόνους τοῦ Ἀσὰφ καὶ τοῦ Δαυΐδ ᾠκοδομήθη; εἶτ' ἐπαναλαμβάνει τὴν διήγησιν διὰ τῶν ἑξῆς λέγων· «Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη, καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας. Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ.» Μνημονεύσας τῆς εἰσόδου τῆς εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ὡς ἀπειλήφασι τὸ

ὄρος τὸ Σιών, ὅπερ μακροῖς ὕστερον χρόνοις ἐκτήσατο Δαυῒδ ἐν ῥομφαίᾳ τὸν Ἰεβουσαῖον ἐλάσας, ἐπαναλαμβάνει τὴν ἱστορίαν ἐπιτεμνόμενος, ὡς μετὰ τὴν τελευτὴν Μωσέως, ἡγουμένου αὐτῶν Ἰησοῦ τοῦ Ναυῆ, παρῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ὡς ἐξέβαλον τοὺς ἀλλοφύλους πολέμῳ κρατήσαντες τῆς χώρας, καὶ ὡς κλήρῳ διείλαντο σχοίνῳ μετρήσαντες τὴν γῆν. Εἶτ' αὖθις αὐτῶν κατηγορεῖ, διδάσκων, ὡς πρὸς τοῖς ἡμαρτημένοις κατὰ τὴν ἔρημον προσθήκας κακῶν ἐποιήσαντο· καὶ μετὰ τὸ κτήσασθαι τὴν γῆν, ἐπείρασαν πάλιν ἐνταῦθα καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον, καὶ τὰ μαρτύρια αὐτοῦ τὰ διὰ Μωσέως αὐτοῖς παραδεδομένα οὐκ ἐφύλαξαν· ἀλλ' ἀπέστρεψαν καὶ ἠθέτησαν, καθὼς οἱ πατέρες αὐτῶν, καὶ μετετέθησαν εἰς τόξον στρεβλόν. Δέον γὰρ τοὺς ἐχθροὺς τοῦ Θεοῦ καὶ τὰς πολεμίους αὐτῶν δυνάμεις τὰς ἀντικειμένας τοξεύειν καὶ βάλλειν, οἱ δὲ εἰδωλολατρήσαντες τὸν Θεὸν ἔβαλλον βλασφήμοις καὶ ἀθεμίτοις λόγοις. Διὸ γεγόνασιν εἰς τόξον στρεβλόν· ὃ δὴ κατ' ἀρχὰς ἐδήλου τὸ λόγιον φῆσαν· «Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξοις, ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου.» Πῶς δὲ ἐστράφησαν εἰς τόξον στρεβλὸν διασαφεῖ λέγων ἑξῆς· «Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν.»

Στίχ. νθ'-ξε'. «Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε, καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ.»

Καταλέξας καὶ τὰ ἐν τῇ γῇ τῆς ἐπαγγελίας πεπραγμένα αὐτοῖς κακά, παρίστησιν ἑξῆς τὴν δικαιοκρισίαν τοῦ Θεοῦ, δεικνύς, ὡς εὐλόγως μετὰ πάντα τὰ προλελεγμένα μετῆλθεν αὐτοὺς ἡ ὀργή. Ὅτε γὰρ ἐστράφησαν εἰς τόξον στρεβλόν, καὶ ὅτε «παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν, καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν», τὸ τηνικαῦτα οὐδὲ ἐμβλέπειν αὐτοὺς ὁ Θεὸς τοιούτους ὄντας, ἀλλ' οὐδὲ ὁρᾶν ἠξίου· ἀλλ' οὐδὲ ἀκούειν αὐτῶν τῆς ἀσεβοῦς φωνῆς. Διὸ ἐπιλέγει· «Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε», κατὰ τὸν Ἀκύλαν, «καὶ ἀνυπερθέτησε·» μηκέτι ἀναβολὴν μηδὲ ὑπέρθεσιν αὐτοῖς ἐνδούς· κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ ἀπεδοκίμασε σφόδρα τὸν Ἰσραήλ.» Οὕτως δὲ ἤκουσεν ὁ Θεός, ὡς καὶ ἐπὶ Σοδομιτῶν εἴρητο· «Φωνὴ Σοδόμων καὶ Γομόρρας βοᾷ πρός με.[1]» Τῶν γὰρ ἀσεβῶν αὐτὰ κέκραγε καὶ βοᾷ τὰ τῆς ἀσεβείας πράγματα· ὧν ἀκούσας ὁ Θεὸς «ἀπώσατο τὴν σκηνὴν Σηλώμ, σκήνωμα οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις.» Ἐν γὰρ τῇ Σηλὼμ πρῶτον ἔστη ἡ σκηνή, ἔνθα ἱερᾶτο Ἡλεὶ καὶ Σαμουήλ, ὡς παρίστησιν ἡ Γραφὴ τῶν Βασιλειῶν. Ταύτην οὖν ἀπώσατο πρώτην τὴν ἐν Σηλὼμ σκήνωσιν διὰ τὰς ἀσεβείας αὐτῶν. Διὸ κατὰ τὸν Σύμμαχον εἴρηται· «Καὶ ἀπέρριψε τὴν σκήνωσιν τὴν Σηλώμ, καὶ τὴν σκήνωσιν τὴν ἱδρυθεῖσαν ἐν ἀνθρώποις.» Ὅπως δὲ τοῖς ἀνθρώποις παρεδόθη ἡ κιβωτὸς διὰ τὰ ἀσεβήματα

1. Γεν. 18, 20.

τοῦ λαοῦ, καὶ ὡς ἐκράτησαν αὐτῆς οἱ πολέμιοι, ἀπήγαγόν τε παρ' ἑαυτοῖς, καὶ ὡς οἱ υἱοὶ Ἰσραὴλ ἐτροπώθησαν, καὶ ὡς οἱ υἱοὶ Ἡλεὶ πεπτώκασιν, οἱ ἱερεῖς ὄντες, ὅ τε τούτων πατὴρ ὡς ἀπώλετο ἐπὶ τῇ τῶν παίδων ἀγγελίᾳ, ἡ πρώτη παρίστησι τῶν Βασιλειῶν. Διὸ εἴρηται ἐνταῦθα· «Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλῶ, σκήνωμα οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις. Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν.» Ἀντὶ δὲ τοῦ, «τὴν ἰσχὺν αὐτῶν», «τὸ κράτος αὐτῶν» ἡρμήνευσεν ὁ Ἀκύλας. Κράτος δὲ αὐτῶν καὶ ἰσχὺν καὶ καλλονήν, εἰς αἰχμαλωσίαν καὶ εἰς χεῖρας θλίβοντος παραδοθέντα τίνα ἂν εἴποις ἢ τὴν κιβωτόν, ἣν ὁ παρὼν αἰνίττεται λόγος φάσκων· «Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν, καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθροῦ;» Ἀλλὰ ταῦτα μὲν παρέδωκεν εἰς χεῖρας ἐχθροῦ, τὸν δὲ λαὸν συνέτριψεν ἐν ῥομφαίᾳ. Διὸ λέλεκται κατὰ τὸν Σύμμαχον· «Καὶ ἐξέδωκεν εἰς μάχαιραν τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν·» καὶ δὴ ὑπεριδόντος αὐτοὺς τοῦ Θεοῦ, τὰ ἑξῆς ἐγίνετο. Τίνα δὲ ταῦτα; «Τοὺς νεανίσκους αὐτῶν κατέφαγε πῦρ, καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν.» Κατὰ δὲ τὸν Ἀκύλαν, «Οὐχ ὑπεμνήσθησαν·» κατὰ δὲ τὸν Σύμμαχον, «Οὐκ ἐπῃνέθησαν.» Οὐκέτι γὰρ μετὰ ὕμνων καὶ ἐπαίνων συνήθως ταῖς γαμουμέναις παρεδίδοντο ἀνδράσι, κατὰ τὴν τῶν λοιπῶν ἑρμηνείαν, διὰ τὴν καταλαβοῦσαν αὐτοῖς τότε συμφοράν. Κατὰ δὲ τὴν τῶν Ἑβδομήκοντα ἔκδοσιν, αἰχμάλωτοι ἀπαχθεῖσαι, ἐν τῷ θνήσκειν αὐτὰς οὐκ εἶχον τοὺς πενθοῦντας, διὰ τὸ μὴ παρεῖναι αὐτοῖς τοὺς προσήκοντας· ἀλλὰ καὶ «οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν» (οὗτοι δ' ἦσαν οἱ τοῦ Ἡλεὶ υἱοί), «καὶ αἱ χῆραι δὲ αὐτῶν οὐ κλαυσθήσονται.» Καὶ ἔστιν εὑρεῖν ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν, ὅπως, τῶν υἱῶν Ἡλεὶ πεσόντων ἐν τῷ πολέμῳ, αἱ τούτων γυναῖκες, χῆραι καταλειφθεῖσαι δεινὸν ὑπέμειναν θάνατον. Διὸ λέλεκται κατὰ τὸν Σύμμαχον, «Καὶ αἱ χηρευθεῖσαι αὐτῶν οὐκ ἔκλαυσαν·» οὐδὲ γὰρ ὑπέστησαν, ὥστε κλαῦσαι· συναπώλοντο δὲ καὶ αὗται τοῖς τικτομένοις κατὰ τὴν φάσκουσαν ἱστορίαν· «Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συναθροίζονται ἀλλόφυλοι εἰς πόλεμον ἐπὶ Ἰσραήλ·[1]» εἶθ' ἑξῆς προελθόντος τοῦ λαοῦ εἰς τὸν πόλεμον, «Πταίει», φησίν, «ἀνὴρ Ἰσραήλ· καὶ ἐγένετο πληγὴ μεγάλη σφόδρα· καὶ ἔπεσαν ἐξ Ἰσραὴλ τριάκοντα χιλιάδες ταγμάτων· καὶ ἡ κιβωτὸς δὲ τοῦ Θεοῦ ἐλήφθη, καὶ ἀμφότεροι οἱ υἱοὶ Ἡλεὶ ἀπέθανον, Ὀφνεὶ καὶ Φινεές. Καὶ ἔδραμεν ἀνὴρ Ἰεμιναῖος ἐκ τῆς παρατάξεως, καὶ ἦλθεν εἰς Σηλὼμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, τὰ ἱμάτια αὐτοῦ διερρωγότα, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. Καὶ ἰδοὺ Ἡλεὶ ἐπὶ τοῦ δίφρου παρὰ τὴν πύλην σκοπεύων τὴν δίοδον· ὅτι ἦν ἡ καρδία αὐτοῦ ἐξεστηκυῖα περὶ τῆς κιβωτοῦ τοῦ Θεοῦ.» Εἶθ' ἑξῆς εἴρηται· «Καὶ Ἡλεὶ ὡς ϟη' ἐτῶν· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν, καὶ οὐκ ἔβλεπε. Καὶ ὁ ἀνὴρ προσελθὼν εἶπεν· Ἐγώ εἰμι

1. Α' Βασ. 4, 1.

ὁ ἥκων ἐκ τῆς παρεμβολῆς, καὶ ἐγὼ ἐκ τῆς παρατάξεως πέφευγα σήμερον. Καὶ εἶπε· Τί ἐστι τὸ γεγονὸς ῥῆμα, τέκνον; Καὶ ἀπεκρίθη τὸ παιδάριον, καὶ εἶπε· Πέφευγεν ἀνὴρ Ἰσραὴλ ἐκ προσώπου ἀλλοφύλων, καὶ πληγὴ μεγάλη γέγονεν ἐν τῷ λαῷ, καὶ ἀμφότεροι οἱ υἱοί σου τεθνήκασι, καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ ἐλήφθη. Καὶ ἐγένετο, ὡς ἐμνήσθη τῆς κιβωτοῦ τοῦ Θεοῦ, καὶ ἔπεσεν ἀπὸ τοῦ δίφρου ὀπισθίως ἐχόμενος τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ, καὶ ἀπέθανεν· ὅτι πρεσβύτης ὁ ἄνθρωπος καὶ βαρύς. Καὶ νύμφη αὐτοῦ γυνὴ Φινεὲς συνειληφυῖα τοῦ τεκεῖν· καὶ ἤκουσε τὴν ἀπαγγελίαν, ὅτι ἐλήφθη ἡ κιβωτὸς τοῦ Θεοῦ, καὶ ὅτι τέθνηκεν ὁ πενθερὸς αὐτῆς καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ ἔκλαυσε καὶ ἔτεκεν, ὅτι ἐπεστράφησαν αἱ ὠδῖνες αὐτῆς ἐπ' αὐτήν· καὶ ἐν τῷ καιρῷ αὐτῆς ἀποθνήσκει. Καὶ εἶπαν αὐτῇ αἱ γυναῖκες αἱ παρεστηκυῖαι αὐτῇ· Μὴ φοβοῦ, ὅτι υἱὸν τέτοκας· καὶ οὐκ ἀπεκρίθη, καὶ οὐκ ἐνόησεν ἡ καρδία αὐτῆς.» Καὶ ἑξῆς ἐπιλέγεται τούτοις· «Καὶ ἀλλόφυλοι ἔλαβον τὴν κιβωτὸν τοῦ Θεοῦ, καὶ εἰσήνεγκαν αὐτὴν εἰς Ἄζωτον. Καὶ ἔλαβον οἱ ἀλλόφυλοι τὴν κιβωτὸν Κυρίου, καὶ εἰσήνεγκαν αὐτὴν εἰς οἶκον Δαγών.[1]» Τούτων δὴ πάντων ἐπιτέμνεται τὴν μνήμην ὁ παρὼν λόγος, καὶ ἐπιλέγει· «Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς καὶ κεκραιπαληκὼς ἐξ οἴνου» Μετὰ τὸ ληφθῆναι τὴν κιβωτὸν ὑπὸ τῶν ἀλλοφύλων, καὶ μετὰ τὸ πραχθῆναι τὰ προλελεγμένα κατὰ τοῦ λαοῦ, τὴν ἐπισκοπὴν αὐτοῦ δεικνὺς ὁ Θεός, μετέρχεται τοὺς ἀλλοφύλους ἀοράτῳ δυνάμει κολάζων αὐτούς. Διὸ λέλεκται· «Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου·» κατὰ δὲ τὸν Σύμμαχον, «Ὡς δυνατὸς διαλαλῶν ἐξ οἴνου·» κατὰ δὲ τὸν Ἀκύλαν, «Ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου.» Εἶτα διεγείρας αὐτὸς ἑαυτόν, πατάσσει τοὺς ἐχθροὺς αὐτοῦ, δηλαδὴ τοὺς τὴν κιβωτὸν τῆς Διαθήκης ἀπολαβόντας· καὶ πατάσσει αὐτοὺς εἰς τὰ ὀπίσω, δίδωσί τε αὐτοῖς ὄνειδος αἰώνιον. Πῶς δὲ εἰς τὰ ὀπίσω ἐπάταξεν αὐτούς, διδάσκει ἡ ἱστορία τοῦτον ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν ἔχουσα τὸν τρόπον· «Καὶ ἐβαρύνθη χεὶρ Κυρίου ἐπὶ τοὺς Ἀζωτίους, καὶ ἐβασάνισεν αὐτούς, καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν, τὴν Ἄζωτον καὶ τὰ ὅρια αὐτῆς·[2]» καὶ αὖθις· «Καὶ μετῆλθε», φησίν, «ἡ κιβωτὸς τοῦ Κυρίου εἰς Γεθθά. Καὶ ἐγένετο μετὰ τὸ μετελθεῖν αὐτήν, καὶ γίνεται χεὶρ Κυρίου ἐν τῇ πόλει κράτος μέγα σφόδρα. Καὶ ἐπάταξε τοὺς ἄνδρας τῆς πόλεως ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἐπάταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν. Καὶ ἐξαποστέλλουσι τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς Ἀσκάλωνα· καὶ ἐβόησαν οἱ Ἀσκαλωνῖται λέγοντες· Τί ἀπεστρέψατε τὴν κιβωτὸν τοῦ Θεοῦ θανατῶσαι ἡμᾶς;» Καὶ ἐπιλέγει ἑξῆς· «Ὅτι ἐγενήθη σύγχυσις θανάτου ἐν ὅλῃ τῇ πόλει βαρεῖα σφόδρα, ὡς εἰσῆλθεν ἡ κιβωτὸς τοῦ Θεοῦ ἐκεῖ· καὶ οἱ ζῶντες καὶ οἱ ἀποθανόντες ἐπλήχθησαν εἰς τὰς ἕδρας· καὶ

1. Α' Βασ. 5, 1-2. 2. Α' Βασ. 5, 6.

ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς τὸν οὐρανόν.» Διὰ δὴ ταῦτα λέλεκται ἐν τῷ παρόντι ψαλμῷ· «Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω· ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς.» Ὄνειδος γὰρ ἦν τὸ ἐν ταῖς ἕδραις πληγῆναι αὐτούς, ὡς ἂν ἀκολασταίνοντας ἐν ἐκείνοις τοῖς μέρεσι. Τοὺς μὲν ἐχθροὺς οὕτως ἐτιμωρήσατο· τοὺς δὲ οἰκείους ἑτέρῳ μετήρχετο. Διὸ εἴρητο· «Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ.» Ποῖον δὲ τοῦτο ἀλλ' ἢ τὴν Σηλώμ; Ἦν γὰρ αὐτὴ τῆς κληρονομίας Ἐφραΐμ· Ἐφραΐμ δὲ τοῦ Ἰωσὴφ υἱὸς ἦν. Διὸ ἐπιλέγει· «Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ, καὶ τὴν φυλὴν Ἐφραΐμ οὐκ ἐξελέξατο·» καίπερ αὐτὴν πρώτην ἐκλεξάμενος, καὶ τὸ σκήνωμα Ἰωσὴφ πρῶτον τιμήσας. Διὸ καὶ ἡ Σηλὼμ εἰς ἐσχάτην ἐρημίαν κατέστη. Παιδεύει δὲ διὰ τούτων ὁ λόγος διὰ τοῦ παραδείγματος τῆς Σηλὼμ μὴ μέγα φρονεῖν τοὺς ἐν τῇ Ἱερουσαλήμ, τὴν σκηνὴν καὶ τὴν κιβωτὸν ὑποδεξαμένους· πείσεσθαι γὰρ τὰ ὅμοια τοῖς πρώτοις, εἰ μὴ ἄξιοι γίνοιντο τοῦ Θεοῦ· ὃ δὴ καὶ ἀπέβη ἐν τοῖς μετὰ ταῦτα χρόνοις.

Στίχ. ξη', ξθ'. «Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ ὄρος Σιὼν ὃ ἠγάπησε. Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ ἐν τῇ γῇ, ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.»

Φυλὴν μὲν φυλῆς ἀντικατηλλάξατο, τὴν φυλὴν Βενιαμὶν ἀντὶ τῆς φυλῆς Ἰωσήφ· καὶ τόπον δὲ ἀντὶ τόπου εἵλατο, τῆς Σηλὼμ τὴν Ἱερουσαλὴμ προκρίνας· ἀλλὰ καὶ ὄρος ἀντὶ ὄρους ἠγάπησε, τὸ Σιὼν δηλαδὴ ἀντὶ τοῦ ὄρους τοῦ ἐν Σηλώμ. Εἶτά φησι· «Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ·» κατὰ δὲ τὸν Ἀκύλαν, «Καὶ ᾠκοδόμησεν ὁμοίως ὑψηλοῖς ἁγίασμα αὐτοῦ·» κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ ᾠκοδόμησεν ὡς τὰ ὑψηλὰ τὸ ἁγίασμα αὐτοῦ.» Ὁμοίως οὖν ὑψηλοῖς καὶ ὡς τὰ ὕψη ᾠκοδόμησε τὸ ἁγίασμα αὐτοῦ. Ἀναπέμπει δ' ἡμᾶς ὁ λόγος εἰς βαθὺ καὶ ἀπόρρητον νοῦν, διδάσκων, ὡς τὸ ἐπὶ γῆς ἁγίασμα τὸ ἐπὶ τῆς Ἱερουσαλὴμ καὶ τῷ ὄρει Σιὼν καταστὰν ὁμοίωσιν εἶχε τῶν ἐν τοῖς ὑψηλοῖς, καὶ ᾠκοδόμητο ὡς τὰ ὕψη κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν γενόμενον τῶν ἐν οὐρανοῖς ὑψηλῶν· ἃ δὴ καὶ ὁ Ἀπόστολος παρίστη λέγων· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν·[1]» καί, «Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ.[2]» Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται, «Καὶ ᾠκοδόμησεν ὁμοίως ὑψηλοῖς ἁγίασμα αὐτοῦ·» κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ ᾠκοδόμησεν ὡς τὰ ὑψηλὰ τὸ ἁγίασμα αὐτοῦ·» κατὰ δὲ τοὺς Ἑβδομήκοντα, «Ὡς μονοκερώτων ᾠκοδόμησε τὸ ἁγίασμα αὐτοῦ·» νοούντων ἡμῶν μονοκέρωτας εἶναι τοὺς τὸ ἓν κέρας ἐπιγραφομένους κατ' οὐρανόν, οὓς ἐδήλου λέγων ὁ Ἀπόστολος· «Καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.[3]» Ἀλλὰ καὶ «ἐν τῇ γῇ», φησίν, «ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.» Κατὰ δὲ τὸν Σύμμαχον, «Ὡς τὴν γῆν, ἣν ἐθεμελίωσεν εἰς τὸν αἰῶνα.»

1. Γαλ. 4, 26. 2. Ἑβρ. 12, 22. 3. Ἑβρ. 12, 22.

Τὸ γὰρ ἁγίασμα τὸ ἐν τῇ αἰσθητῇ καὶ ἐπιγείῳ Ἱερουσαλὴμ οὕτως ᾠκοδόμησεν εἰς τὴν γῆν. Ὥσπερ γὰρ ἡ γῆ μέση ἀπείληπται ὑδάτων κατὰ τὴν Γραφήν· οὕτω καὶ ἡ Ἱερουσαλὴμ μέση τῶν ἀλλοφύλων ἐθνῶν συνειστήκει. Διὸ λέλεκται ἐν προφητείαις· «Αὕτη ἡ Ἱερουσαλήμ, ἐν μέσῳ τῶν ἐθνῶν τέθεικα αὐτήν.[1]» Εἶτ' ἐπὶ τούτοις· «Ἐξελέξατο», φησί, «Δαυῒδ τὸν δοῦλον αὐτοῦ», περὶ οὗ εἴρηται· «Εὗρον Δαυῒδ τὸν δοῦλόν μου, ἄνδρα κατὰ τὴν καρδίαν μου·» ὃν ἐξελέξατο, οὐχ ὥστε πρῶτον ἐκ φυλῆς Ἰούδα βασιλεῦσαι μόνον, ἀλλὰ καὶ ὥστε ἄξιον κριθῆναι τοῦ προελθεῖν ἐκ σπέρματος αὐτοῦ τὸν Χριστὸν τοῦ Θεοῦ. Ἐξελέξατο δὲ αὐτὸν τῶν ἀδελφῶν πλειόνων ὄντων προκρίνας. Ἀνέλαβέ τε αὐτὸν ἐκ τῶν ποιμνίων «τῶν προβάτων, καὶ ἐξόπισθεν τῶν λοχευομένων.» Ὁ γὰρ ἐγείρων ἀπὸ γῆς πτωχὸν καὶ ἀπὸ κοπρίας ἀνιστῶν πένητα, καὶ τὸν Δαυῒδ ταπεινὸν ὄντα καὶ ἀπερριμμένον, ὡς μηδὲ συγκαταριθμεῖσθαι τοῖς αὐτοῦ ἀδελφοῖς, μηδὲ εἰς ἄνδρα λογίζεσθαι, ἐξελέξατο προπαιδαγωγούμενον ἐν τῇ ποιμαντικῇ, καὶ διὰ τῆς τῶν λοχευομένων θρεμμάτων προνοίας τὸ ἐπιμελὲς τῶν δεομένων κηδεμονίας ἐκδιδασκόμενον. Ἔνθεν αὐτὸν ἀναλαβὼν ἐκ τῆς τῶν ἀλόγων προβάτων ποιμαντικῆς, προήγαγεν ὁ Θεὸς καὶ κατέστησε «ποιμαίνειν Ἰακὼβ τὸν δοῦλον αὐτοῦ καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ.» Ὡς γὰρ δοκιμὴν δεδωκότα ἐν τῇ τῶν ἀλόγων θρεμμάτων ποιμαντικῇ, ἐπὶ τὴν λογικωτέραν καθίστη ποίμνην. Ὅπως δ' ἐποίμανε τὰ θρέμματα παρίστη λέγων αὐτὸς πρὸς τὸν Σαούλ· «Ποιμαίνων ἦν ὁ δοῦλός σου τῷ πατρὶ αὐτοῦ ἐν τῷ ποιμνίῳ· καὶ ὅταν ἤρχετο ὁ λέων ἢ ἄρκτος, καὶ ἐλάμβανε πρόβατον ἐκ τῆς ἀγέλης, καὶ ἐξεπορευόμην ὀπίσω αὐτοῦ, καὶ ἐπάταξα αὐτόν, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ ἐπανίστατο ἐπ' ἐμέ, καὶ ἐκράτησα τοῦ φάρυγγος αὐτοῦ, καὶ ἐπάταξα καὶ ἐθανάτωσα αὐτόν, καὶ τὸν λέοντα καὶ τὴν ἄρκτον ἔτυπτεν ὁ δοῦλός σου. Καὶ ἔσται ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος ὡς εἷς τούτων, ὃς ὠνείδισε παρατάξει Θεοῦ ζῶντος. Καὶ εἶπε Δαυῒδ· Κύριος, ὃς ἐξείλατό με ἐκ χειρὸς τοῦ λέοντος καὶ ἐκ χειρὸς τῆς ἄρκτου, οὗτος ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ ἀπεριτμήτου τούτου.[2]» Διὰ γὰρ τούτων δοκιμὴν δεδωκότα πίστεως καὶ εὐσεβείας, τῆς τε ὑπ' αὐτὸν θρεμμάτων ἀλόγων προνοίας, ἐξελέξατο Θεὸς καὶ προήγαγεν ἐπὶ τὴν τῶν λογικωτέρων θρεμμάτων ἀρχήν. Ὁ δέ, ὑποδεξάμενος τοὺς παραδοθέντας αὐτῷ, οὐκ ἀπηνῶς, οὐδὲ σκληρῶς, οὐδὲ ὑπερηφάνως, ἀλλ' ἐν ἀκακίᾳ τῆς καρδίας αὐτοῦ ἐποίμανεν αὐτούς· ἢ κατὰ τὸν Ἀκύλαν καὶ Σύμμαχον, «κατὰ τὴν ἁπλότητα τῆς καρδίας αὐτοῦ. Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς.» Κατὰ δὲν τὸν Ἀκύλαν, «Καὶ ἐν φρονήσεσι ταρσῶν αὐτοῦ καθωδήγησεν αὐτούς.» Κατὰ δὲ τὸν Σύμμαχον, «Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν αὐτοῦ ὡδήγησεν

1. Ἰεζ. 5, 5. 2. Α' Βασ. 17, 34-37.

αὐτούς.» Ἐποίμαινε τοίνυν ὁ Δαυῒδ τὴν ἀνθρωπίνην καὶ λογικὴν ποίμνην· ἀλλ' οὐκ ἐν σοφίᾳ ἀνθρωπίνῃ, οὐδὲ ἐν τῇ ἑαυτοῦ συνέσει, ἀλλ' ἐν ἀκακίᾳ καὶ ἁπλότητι, τὴν πᾶσαν ἐγχειρίζων τῷ Θεῷ φροντίδα. Τήν γε μὴν ἑαυτοῦ σύνεσιν διὰ τῶν χειρῶν ἐπεδείκνυτο, τουτέστι διὰ τῶν πράξεων καὶ διὰ τοῦ βίου, καὶ τῆς λοιπῆς πολιτείας. Καὶ μέχρι τούτου ἵσταται τὰ τῆς παρούσης ὑποθέσεως, κατηγορίαν περιέχοντα τῆς τοῦ Ἰουδαίων λαοῦ μοχθηρίας, διδασκαλίαν τε τῆς τοῦ Θεοῦ μακροθυμίας διὰ τὰς ἐν τοῖς ἔμπροσθεν ἐπηπορημένας φωνάς, πρὸς ἃς ὥσπερ ἀπολογία τις ἀναγκαίως ἐπενήνεκται τῆς τοῦ Θεοῦ δικαιοκρισίας. Ταῦτα δὲ πάντα ἡμᾶς τοὺς ἐξ ἐθνῶν ὁ Χριστὸς τοῦ Θεοῦ παιδεύει, σωφρονίζων ἡμᾶς διὰ τῶν παλαιῶν παραδειγμάτων, ὥσπερ οὖν ἀρχομένοις ἡμῖν εἴρηται τοῦ λόγου.

## ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ. ΟΗ'.

Στίχ. α'-δ'. «Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον.»

Ὅτι πρὸ τοῦ τὸν ναὸν οἰκοδομηθῆναι τὸν ἐν Ἱερουσαλήμ, γέγονεν ὁ Ἀσὰφ τῷ Δαυῒδ συνακμάσας, δῆλον ἐκ τῆς ἱστορίας. Προφητικῶς οὖν τὰ μέλλοντα μακροῖς ὕστερον χρόνοις συμβήσεσθαι καὶ διὰ τῶν παρόντων θεσπίζει. Ἀλλὰ διὰ μὲν τοῦ ο' καὶ γ' τὴν ὑστάτην τῆς πόλεως ἅλωσιν καὶ τὸν ἔσχατον ἀφανισμὸν τοῦ ναοῦ, τὸν ἐπὶ Ῥωμαίων γενόμενον μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν τόλμαν τῶν οἰκητόρων, προανεφώνει, ὡς προαποδέδεικται· διὰ δὲ τῶν μετὰ χεῖρας ἐπεληλυθέναι μὲν ἔθνη τῇ κληρονομίᾳ τοῦ Θεοῦ, καὶ τὸν ἐν αὐτῇ νεὼν μεμιαγκέναι, αὐτήν τε τὴν πόλιν εἰς ὀπωροφυλάκιον τεθεικέναι σημαίνει· οὐ μὴν πυρὶ παραδεδόσθαι τὸν τόπον, οὐδὲ τοιαῦτα πεπονθέναι ὁποῖα ἐδήλου διὰ τοῦ προλεχθέντος. Ἔτι δὲ διὰ τοῦ παρόντος προστίθησιν, ὡς ἄρα οἱ τὸν τόπον μιάναντες πολλοὺς ἀνεῖλον ὁσίους ἄνδρας καὶ Θεοῦ δούλους· ὧν τὰ νεκρὰ σώματα μὴ συγχωρήσαντες τῇ κατὰ φύσιν παραδοθῆναι ταφῇ, τοῖς πετεινοῖς τοῦ οὐρανοῦ βορὰν ἔθεντο. Ταῦτα δὲ οὐκ ἂν εὕροις πραχθέντα κατὰ τὴν ὑστάτην πολιορκίαν τοῦ τόπου· ἐπεὶ μηδὲ ὑπῆρχεν τοῖς τότε παρ' αὐτοῖς ὁσίοις, τῶν τὴν πόλιν οἰκούντων, ἀνοσίων καὶ ἀσεβῶν ἁπάντων γεγονότων, διὰ τὰ κατὰ τοῦ Σωτῆρος ἡμῶν κατά τε τῶν ἀποστόλων αὐτοῦ τετολμημένα αὐτοῖς. Ἀλλ' οὐδὲ ἐπὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας εὕροις ἂν τὰ μετὰ χεῖρας γενόμενα· ἐπεὶ μηδὲ τότε ὁσίους ἄνδρας καὶ θεοφιλεῖς ὑπὸ τῶν Βαβυλωνίων ἀνῃρῆσθαι ἡ ἱστορία παραδίδωσι. Πότε τοίνυν ἐπληροῦτο ταῦτα; Οὐκ ἔστιν ἕτερον εἰπεῖν χρόνον, ἢ τὸν ἐπὶ Ἀντιόχου, καθ' ὃν ἡ τῶν Μακκαβαίων γραφὴ τὰ μετὰ χεῖρας προλεγόμενα δι' ἔργων κεχωρηκότα δείκνυσι. Γέγραπται γοῦν ἐν αὐτῇ τοῦτον τὸν τρόπον· «Καὶ ὑπέστρεψεν Ἀντίοχος μετὰ τὸ πατάξαι τὴν Αἴγυπτον

ἐν τῷ ρ' καὶ μ' καὶ γ' ἔτει, καὶ ἀνέβη ἐπὶ Ἰσραὴλ ἐν ὄχλῳ βαρεῖ· καὶ εἰσῆλθεν εἰς τὸ ἁγίασμα ἐν ὑπερηφανίᾳ. Καὶ ἔλαβε τὸ θυμιατήριον τὸ χρυσοῦν, καὶ τὴν λυχνίαν τοῦ φωτός, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τὴν τράπεζαν τῆς προθέσεως, καὶ τὰ σπονδία, καὶ τὰς φιάλας, καὶ τὰς θυΐσκας τὰς χρυσᾶς, καὶ τὸ καταπέτασμα, καὶ τοὺς στεφάνους, καὶ τὸν κόσμον τὸν κατὰ πρόσωπον τοῦ ναοῦ. Καὶ ἐλέπισε πάντα· καὶ ἔλαβε τοὺς θησαυροὺς τοὺς ἀποκρύφους, οὓς εὗρε. Καὶ λαβὼν σύμπαντα, ἐπιστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. Καὶ ἐποίησε φονοκτονίαν μεγάλην· καὶ ἐγένετο πένθος μέγα ἐπὶ Ἰσραήλ.[1]» Καὶ ἔγραψεν ὁ βασιλεὺς πάσῃ τῇ βασιλείᾳ αὐτοῦ εἶναι πάντας λαὸν ἕνα, καὶ ἐγκαταλιπεῖν ἕκαστος τὰ νόμιμα αὐτοῦ. Καὶ ἀπεδέξαντο πάντα τὰ ἔθνη τὸν λόγον τοῦ βασιλέως· καί γε πολλοὶ ἀπὸ υἱῶν Ἰσραὴλ εὐδόκησαν τῇ λατρείᾳ αὐτοῦ, καὶ ἔθυσαν τοῖς εἰδώλοις, καὶ ἐβεβήλωσαν τὸ Σάββατον.[2]» Καὶ μετὰ ταῦτα εἴρηται· «Καὶ ᾠκοδόμησε βδέλυγμα ἐρημώσεως ἐπὶ τὸ θυσιαστήριον. Καί γε ἐν πόλεσι Ἰούδα κύκλῳ ᾠκοδόμησαν βωμούς· καὶ διὰ τῶν θυρῶν τῶν οἰκείων, καὶ ἐν ταῖς πλατείαις ἐθυμίων ἐπ' αὐτούς. Καὶ τὰ βιβλία τοῦ ψαλμοῦ ἃ εὗρον κατασχίσαντες, ἐνεπύρισαν ἐν πυρί.[3]» Καὶ ἐπιλέγεται· «Καὶ πολλοὶ ἐν Ἰσραὴλ ὠχυρώθησαν ἐν αὐτοῖς τοῦ μὴ φαγεῖν κοινά. Καὶ ἀπεδέξαντο ἀποθανεῖν, ἵνα μὴ μιανθῶσι τοῖς βρώμασι, καὶ ἀπέθανον. Καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ Ἰσραὴλ σφόδρα.[4]» Ταῦτα δὲ μακροῖς ὕστερον ἐπληροῦτο χρόνοις μετὰ τὰ Ἀσσύρια καὶ Μηδικά, καὶ μετὰ τὰ Περσικὰ καὶ μετὰ τὴν Ἀλεξάνδρου τοῦ Μακεδόνος τελευτήν. Τό γε μὴν Πνεῦμα τὸ θεῖον διὰ τοῦ μετὰ χεῖρας προφήτου αὐτὰ δὴ ταῦτα θεσπίζει λέγον· «Ὁ Θεός, εἰσήλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου, ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον. Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρῶμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων. Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν.» Ἀντὶ δὲ τοῦ, «εἰς ὀπωροφυλάκιον», ὁ μὲν Ἀκύλας, «εἰς λιθολογίαν», ὁ δὲ Σύμμαχος, «εἰς δρυμούς» ἐκδεδώκασι.

Στίχ. ε'-ια'. «Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;»

Δοκεῖ μοι ὁ προφήτης Ἀσὰφ μετὰ τὴν τοῦ Ἰουδαίων ἔθνους κατηγορίαν, ἣν πεποίηται ἐν τῷ πρὸ τούτου, τὰ προκείμενα καὶ ἀκολούθως ἐπάγειν, ἐξιλεούμενα ὥσπερ καὶ θεραπεύοντα τὰ διὰ τῶν ἔμπροσθεν ἐληλεγμένα. Καταλέγει γοῦν τοὺς ὑπὲρ εὐσεβείας θανάτους τῶν παρ' αὐτοῖς Ἰουδαίοις μεμαρτυρηκότων· ὧν τὰ θνησιμαῖα οἱ ἐχθροὶ τοῦ

1. Α' Μακκ. 1, 21-25. 2. Α' Μακκ. 1, 41-43. 3. Α' Μακκ. 1, 54-56. 4. Α' Μακκ. 1, 62-64.

Θεοῦ ἔθεντο βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τὰς σάρκας τῶν ὁσίων τοῦ Θεοῦ τοῖς θηρίοις τῆς γῆς. Εὐκαίρως τοίνυν ἐπὶ τούτοις ἱλάσκεται τὸν Θεόν, ὡσανεὶ θυσίας αὐτῷ προσενηνεγμένης τοῦ θανάτου τῶν ὁσίων αὐτοῦ. Διό φησιν· «Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος;» Ἀναπέμπων τὸν λόγον ἐπὶ τὴν μνήμην τῶν ἔμπροσθεν, δι' ὧν εἴρητο· «Ἱνατί, ὁ Θεός, ἀπώσω εἰς τέλος;[1]» Βούλεται γὰρ τὴν εἰς τέλος ἀπόπτωσιν καὶ ἀποβολὴν τοῦ λαοῦ ἐπισχεθῆναι, καὶ τὰ τῆς ὀργῆς παύσασθαι διὰ τῆς μνήμης τοῦ αἵματος τῶν ὁσίων αὐτοῦ. Κατ' ἀμφότερον δὲ ἀκούσῃ τό, «Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος;» καὶ κατὰ τοὺς ἑξῆς ἐπιλεγομένους, «Ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;» Ἕως πότε γὰρ καὶ τοῦτο ἔσται; Λέλεκται δὲ ὁ ζῆλος κατὰ παραβολὴν τῶν δι' ὑπερβολὴν διαθέσεως ζηλούντων τὰς ἑαυτῶν γαμετάς, εἰ προσέχοιεν ἑτέροις ἀνδράσιν· οὕτω γοῦν καὶ ἐπὶ τοῦ Θεοῦ τὴν ἐκδίκησιν τῶν τὰς πρὸς αὐτὸν συνθήκας παραβαινόντων ζῆλον εἴωθε καλεῖν ὁ λόγος. Ἱκετεύει τοίνυν ὁ Προφήτης ἤτοι ἐξ ἰδίου προσώπου, ἢ καὶ ὡς ἐκ τῶν κατὰ τοὺς Ἀντιόχου χρόνους διασωθέντων, μετὰ τὴν πρόρρησιν τῶν μελλόντων ἔσεσθαι κατὰ Ἀντίοχον τὸν τῆς Συρίας βασιλέα, καθ' ὃν οἱ ὅσιοι τοῦ Θεοῦ τὸν ὑπὲρ εὐσεβείας θάνατον ὑπομεμενήκασι, παύσασθαι μὲν τὰ τῆς ὀργῆς τῆς κατὰ τοῦ λαοῦ, μετελθεῖν δὲ τοὺς ἐχθροὺς αὐτοῦ. Διό φησιν· «Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. Ὅτι κατέφαγον τὸν Ἰακώβ, καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν.» Κατὰ καιρὸν δὲ ἐν τούτοις τοῦ Ἰακὼβ οἶμαι πεποιῆσθαι τὴν μνήμην τῆς τοῦ παλαιοῦ προπάτορος θεοσεβείας ἕνεκα. Ὡς γὰρ ὑπομιμνήσκων τὸν Θεὸν τοῦ θεοφιλοῦς ἀνδρὸς καὶ τῆς ἐκείνου ἀρετῆς, δυσωπεῖ διὰ τῆς ἐκείνου μνήμης, καὶ ἱλεοῦται τὰ παρόντα. Ἐν μὲν τῷ πρὸ τούτου ψαλμῷ, ὁπηνίκα τοῦ Ἰωσὴφ ἐμνημόνευεν, οὐ τὸν Ἰωσήφ, ἀλλὰ τὸ σκήνωμα αὐτοῦ ἀποβεβλῆσθαι ἔλεγε διὰ τοῦ· «Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ, καὶ τὴν φυλὴν Ἐφραῒμ οὐκ ἐξελέξατο[2]», τοῦ λόγου σημαίνοντος τὸν ἐν Σηλὼμ τόπον· ἐπείπερ ἐν κλήρῳ τῆς φυλῆς Ἰωσὴφ ἔκειτο ἡ Σηλώμ· ἐν τούτοις δὲ τοῦ Ἰακὼβ μέμνηται καὶ τοῦ τόπου αὐτοῦ· διὰ μὲν τοῦ Ἰακὼβ τοὺς ἀπογόνους τοῦ θεοφιλοῦς ἀνδρὸς δηλῶν, διὰ δὲ τοῦ τόπου αὐτοῦ τὴν Ἱερουσαλὴμ σημαίνων, ἣν εἰς ἔρημον ἐλθεῖν κατὰ τοὺς Ἀντιόχου συνέβη χρόνους. Εἶθ' ἑξῆς ἐπιλέγει· «Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων.» Οἱ δ' ὑπὲρ ἀρχαίων ἁμαρτημάτων εὐχόμενοι δῆλοι ἂν εἶεν μὴ νεωτέροις ἐνεχόμενοι πταίσμασιν. Ἀντὶ δὲ τοῦ, «Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα», ὁ Σύμμαχος, «Τάχυνον, προκαταλαβέτω ἡμᾶς τὰ ἐλέη σου, ὅτι ἠτονήσαμεν σφόδρα», ἡρμήνευσεν. Ὥσπερ δὲ ἀθλητής, πολλοὺς ὑποστὰς ἀγῶνας καὶ ἄθλους ὑπομείνας

1. Ψαλμ. 73, 1. 2. Ψαλμ. 77, 67.

πολλοὺς ἐν φροντίδι καθέστηκε, μή πη ἐξατονήσας πέσῃ· τὸν αὐτὸν τρόπον καὶ οἶδε ἱκετεύουσι προκαταληφθῆναι καὶ βοηθείας τυχεῖν. Διό φασι· «Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, ὅτι ἐπτωχεύσαμεν σφόδρα.»

Στίχ. ι´. «Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου· Κύριε, ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.»

Καὶ ταῦτα ὁ Προφήτης ἐκ προσώπου τῶν κατὰ Ἀντίοχον βασιλέα δεδιωγμένων προφέρεται· προφητικῶς τὴν εὐχὴν διὰ τῆς γραφῆς τοῖς μέλλουσι διώκεσθαι καταλιπών, ὡς ἂν ἔχοιεν ἐξ ἑτοίμου εἰδέναι, ὁποίοις προσήκει κεχρῆσθαι αὐτοὺς λόγοις ἐν ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς. Οὐ μὴν εἰς ἐκείνους μόνους ἵσταται τὰ λεγόμενα· ἁρμόσειε δὲ καὶ πᾶσι τοῖς τὰ παραπλήσια πεπονθόσι, ἐπεὶ καὶ ἐν τοῖς καθ' ἡμᾶς διωγμοῖς, μυρίοι τὰ ὅμοια τοῖς προλεχθεῖσιν ὑπομεμενήκασιν· οἳ καὶ εὐκαίρως χρήσαιντο ταῖς προκειμέναις φωναῖς, ἐν αἷς διδασκόμεθα λέγειν· «Ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς.» Κἂν γὰρ ἡμεῖς μὴ ἄξιοι ὦμεν βοηθείας, ἀλλά τό γε ὄνομα τῆς σῆς δόξης μὴ βλασφημείσθω παρὰ τοῖς ἔθνεσιν, ὡς μὴ ἰσχύσαν ἡμᾶς ῥύσασθαι· «Καὶ ἱλάσθητι», δέ φησι, «ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.» Ἀνωτέρω μὲν οὖν ἐλέγετο· «Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων·» ἀλλ' ἐκεῖ μὲν «ἀνομιῶν·» ἀνομίαι δὲ ἦσαν πάλαι ἡμῖν πεπραγμέναι πρὸ τῆς τοῦ θείου νόμου ὑπακοῆς, αἵτινες εἰκότως ἀρχαῖαι εἴρηνται. Πρὸς γὰρ τῆς τοῦ Θεοῦ γνώσεως τὰ πλημμελούμενα ἡμῖν ἀνομήματα ἦν ἀρχαῖα· νῦν δέ, ὅτε τὰ τῆς εὐχῆς ἀναπέμπομεν, οὐκέτι μὲν ἀνομίας, ἁμαρτίας δὲ ἑαυτοῖς συνοίδαμεν· ἀλλὰ καὶ ταύτας ἱλασθῆναι ἀξιοῦμεν διὰ τὸ ἐπικεκλημένον ἡμῖν σὸν ὄνομα. Τοῦ γὰρ σαυτοῦ φειδόμενος ὀνόματος τοῦ κοσμοῦντος ἡμᾶς, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, μήποτε, λαβόντες ἡμᾶς ὑποχειρίους οἱ ἐχθροί, βλασφημήσωσι τὸ σὸν ὄνομα λέγοντες·

Στίχ. ι´. «Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;»

Ἀλλὰ γὰρ τοῦτο μέν, «ποῦ», εἰπεῖν αὐτοῖς μὴ συγχωρηθείη· ἐμφανὴς δὲ γενόμενος σὺ αὐτὸς ὁ Σωτὴρ ἡμῶν τὴν ἐκδίκησιν ποίησαι τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου. Ταῦτα λέγειν ἐν εὐχαῖς παιδευόμεθα κατὰ τοὺς τῶν διωγμῶν καιρούς, ἀντὶ θυσίας καὶ ὁλοκαυτωμάτων τὰ αἵματα τῶν ἁγίων μαρτύρων προβαλλόμενοι, καὶ τοιαύτας ἀναπέμποντες ἱκετηρίας. Ταῦτα δὲ καὶ πρὸ ἡμῶν οἱ ἐν τῷ Ἰουδαίων ἔθνει τὰ ὅμοια πεπονθότες κατὰ τὸν δηλωθέντα καιρὸν λέγειν ἐδιδάσκοντο· καθ' ὃν παρ' αὐτοῖς γενναῖοι μάρτυρες ἀπεδείχθησαν. Ὧν μέμνηται ἡ γραφὴ τῶν καλουμένων Μακκαβαίων· ἐν οἷς ἦν Ἐλεάζαρός τις, ἐπιφανὴς ἀνήρ, προβεβηκὼς μὲν τὴν ἡλικίαν[1], τὸ δὲ μετ' εὐκλείας θάνατον τῆς ζωῆς αὐτῆς προτιμήσας

1. Β´ Μακκ. 6, 18.

ὑπὲρ τῆς εἰς τὸν Θεὸν εὐσεβείας. Ἀλλὰ καὶ μήτηρ ἑπτὰ παίδων θαυμασία τις καὶ ὑπὲρ πάντα λόγον ἐναθλήσασα τῷ μαρτυρίῳ· παῖδές τε ταύτης ἑπτὰ διαφόροις ὑποστάντες ἄθλοις, ἐξαίσιον ἀρετὴν καρτερίας ἐνεδείξαντο. Ἄλλοι τε παρὰ τούτοις πλεῖστοι ὅσιοι, ὧν τῆς τελευτῆς καὶ τῶν αἱμάτων τῆς ἐκχύσεως διὰ τῆς εὐχῆς μνημονεύων ὁ λόγος φησί· «Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου.» Οἱ μὲν τὰ αἵματα ἑαυτῶν ὥσπερ σπονδὰς ὑπὲρ τοῦ παντὸς ἔθνους ἐκδεδώκασιν· οἱ δέ, μὴ τὰ ὅμοια τούτοις πεπονθότες, ἄλλῳ τρόπῳ τὸν ὑπὲρ εὐσεβείας ὑπέμειναν ἀγῶνα, ἔργοις καὶ δεσμοῖς πεδούμενοι. Ὧν καὶ αὐτῶν τοὺς στεναγμοὺς καὶ τὰς ὀδύνας καὶ τοὺς πόνους εὐκαίρως διὰ τῆς εὐχῆς ἀναμιμνήσκει λέγων·

Στίχ. ια'. «Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων.»

Πεπεδημένους δὲ οὐκ ἂν ἁμάρτοις εἰπὼν καὶ τοὺς ἐν τοῖς θνητοῖς σώμασι πάντα τὸν τῆς ζωῆς αὐτῶν βίον κατατρυχομένους. Ὁποῖος ἦν Παῦλος λέγων· «Ἡμεῖς οἱ ζῶντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι·[1]» καὶ πάλιν· «Ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;[2]» Τοιοῦτοι δὲ ἦσαν καὶ οἱ τοῦ Θεοῦ προφῆται, καὶ πάντες οἱ μὴ καθηδυπαθοῦντες ἐν τοῖς ἑαυτῶν σώμασι, μηδὲ τρυφῇ καὶ ἡδονῇ σχολάζοντες· τοὔμπαλιν δὲ πιέζοντες ἑαυτῶν τὴν ζωὴν ἀσιτίαις καὶ πόνοις καὶ ταῖς ἄλλαις ἀσκητικαῖς κακοπαθείαις· οἳ καὶ οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ παντὸς λαοῦ ἐκ βάθους καρδίας πρὸς τὸν Θεὸν ἔστενον. Διὸ λέλεκται· «Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων.» Τίνες δέ εἰσι οἱ ταῦτα διδασκόμενοι λέγειν, ἑξῆς παρίστησι φάσκων· «Περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.» Ἡμεῖς μὲν γὰρ οὐ κατηξιώμεθα μέχρι θανάτου ἀγωνίσασθαι, οὐδὲ ὑπὲρ Θεοῦ κενῶσαι τὰ ἑαυτῶν αἵματα· ἀλλ' ἐπειδὴ τῶν ταῦτα πεπονθότων ἐσμὲν υἱοί, σεμνυνόμενοι ἐπὶ τῇ τῶν πατέρων ἀρετῇ, δεόμεθα δι' ἐκείνους ἐλεηθῆναι. Διό φαμεν· «Περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων.»

Στίχ. ιβ', ιγ'. «Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν, τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε Κύριε. Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα. Εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου.»

Ἡμᾶς μὲν περιποίησαι, εἰ καὶ μὴ δι' ἡμᾶς, ἀλλὰ διὰ τοὺς πατέρας. Τοῖς δὲ γείτοσιν ἡμῶν, τουτέστι τοῖς ἐπανισταμένοις ἡμῖν καὶ τὸν καθ' ἡμῶν πόλεμον διεγείρουσιν, ἀπόδος τὰ ἀμοιβαῖα, πολυπλασιάζων τὴν ὀφειλομένην αὐτοῖς ὑπὲρ ὧν ἔδρασαν τιμωρίαν, μὴ τοῖς καθ' ἡμῶν ἀρκεσθέντες κακοῖς, ἀλλ' ἤδη καὶ σὲ τὸν ἐπὶ πάντων Κύριον βλασφήμοις καὶ ὀνειδιστικοῖς περιβάλλοντες λόγοις. Ἀλλ'

1. Β' Κορ. 5, 4. 2. Ῥωμ. 7, 24.

ἐκείνοις μέν, φησίν, ἀπόδος τὴν ἀξίαν τιμωρίαν πρὸς ὠφελείας αὐτῶν γενησομένην, ἐπιστρεφομένων καὶ σωφρονιζομένων δι' αὐτῆς· ἡμᾶς δὲ σῷζε, τοὺς υἱοὺς τῶν τεθανατωμένων· οἵ, εἰ καὶ μὴ τοῖς πατράσι γεγόναμεν ὅμοιοι, ἀλλ' ὅμως σου τυγχάνομεν λαὸς καὶ τῆς σῆς νομῆς πρόβατα· διὸ «ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα», εὐχαριστοῦντες δηλαδὴ καὶ τοὺς πρέποντας ὕμνους καὶ δοξολογίας ὑπὲρ ὧν εὖ πεπόνθαμεν σοὶ τῷ πάντων ἀγαθῶν δοτῆρι Θεῷ ἀναπέμποντες. Ἐφεξῆς τε «κατὰ γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου» παισὶν ἡμετέροις καὶ παίδων παισί, διαδόχοις τε αὐτῶν τοῖς μετὰ ταῦτα γενησομένοις, ὥσπερ ἀγαθὸν κλῆρον παραδώσοντες τῆς αἰνέσεως τὰ σωτήρια μαθήματα.

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΤΩΝ ΑΛΛΟΙΩΘΗΣΟΜΕΝΩΝ, ΜΑΡΤΥΡΙΟΝ ΤΩ ΑΣΑΦ. ΟΘ'.

Στίχ. β'. «Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ.»

Τέσσαρές εἰσιν οἱ ἐπιγεγραμμένοι, «Ὑπὲρ τῶν ἀλλοιωθησομένων·» δύο μὲν τοῦ Δαυΐδ, ὁ νθ' καὶ ὁ ξη', τῶν δὲ υἱῶν Κορὲ εἷς, ὁ μδ', καὶ τοῦ Ἀσὰφ ὡσαύτως ὁ μετὰ χεῖρας. Ὁ μὲν οὖν νθ' ἀπόπτωσιν τοῦ Ἰουδαίων ἔθνους ἐδήλου καὶ κλῆσιν ἐθνῶν· ἔλεγε δ' οὖν ἀρχόμενος, «Ὁ Θεός, ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης», καὶ τὰ τούτοις ἑξῆς. Εἶτα προϊών, ἐπῆγε· «Μωὰβ λέβης τῆς ἐλπίδος μου. Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ἐφιλίασαν·» ἤ, «ὑπετάγησαν.» Ὡσαύτως καὶ ὁ ξη', «Ὑπὲρ τῶν ἀλλοιωθησομένων» ἐπιγεγραμμένος, τὰ πάθη τοῦ Σωτῆρος καὶ τὴν τοῦ Ἰσραὴλ ἀποβολὴν παρίστησι λέγων· «Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτὸν διαπαντὸς σύγκαμψον. Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν· ὅτι ὃν σὺ ἐπάταξας κατεδίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν.» Οὗτοι μὲν οὖν, οἱ τοῦ Δαυΐδ. Τῶν δὲ υἱῶν Κορὲ ὁ μδ', «Ὑπὲρ τῶν ἀλλοιωθησομένων» τὴν ἐπιγραφὴν ἔχων, ᾠδὴν ἀνέπεμπε ὑπὲρ τοῦ Ἀγαπητοῦ, οὗ τὴν παρουσίαν θεσπίσας ἐπισυνῆπτε τὴν κλῆσιν τῆς ἐξ ἐθνῶν Ἐκκλησίας τοῦτον αἰνιττόμενος τὸν τρόπον· «Ἄκουσον, θύγατερ, καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου. Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου, ὅτι αὐτός ἐστι Κύριός σου, καὶ προσκυνήσουσιν αὐτῷ, θυγάτηρ Τύρου ἐν δώροις.» Κατὰ τὸν αὐτὸν οὖν τρόπον καὶ ὁ μετὰ χεῖρας «Ὑπὲρ τῶν ἀλλοιωθησομένων» ἐπιγεγραμμένος, καὶ εἰς τὸ τέλος ἀναπέμπων, Χριστοῦ παρουσίαν, τοῦ τε Ἰουδαίων ἔθνους

τὴν αἰχμαλωσίαν καὶ τὸν ἐμπρησμὸν τῆς Ἱερουσαλὴμ ὃν πέπονθεν ὑπὸ Βαβυλωνίων προαναφωνεῖ. Πρῶτον μὲν οὖν διεξέρχεται τὴν ἀπ' Αἰγύπτου τῶν Ἰουδαίων ἔξοδον, καὶ τὴν κατοίκησιν αὐτῶν τὴν ἐπὶ τῆς τῶν Παλαιστίνων γῆς· ἔπειτα συνάπτει τὴν μετὰ ταῦτα εἰσελθοῦσαν αὐτοῖς πολιορκίαν ὑπὸ Ἀσσυρίων καὶ Βαβυλωνίων καὶ πρὸς τούτοις ἱκετηρίαν ἐκτίθεται ὑπὲρ τῆς τοῦ Χριστοῦ ἐπιφανείας· ταῦτα δὲ κατὰ μέρος δειχθήσεται ἐν τῇ τῶν προφητευομένων ἑρμηνείᾳ· κατὰ δὲ τὴν ἀρχὴν ἀνακαλεῖται ὁ ψαλμὸς τὸν ποιμαίνοντα τὸν Ἰσραήλ· οὗτος δὲ ἦν ὁ τοῦ Θεοῦ Λόγος, ὡς πολλάκις ἀπεδείξαμεν παριστῶντες, μὴ τὸν ἐπέκεινα τὸν ὅλων Θεὸν εἶναι τὸν ὦφθαι τῷ Ἀβραὰμ ἐν ἀνδρὸς σχήματι ἀναγεγραμμένον, καὶ τῷ Μωϋσεῖ κεχρηματικέναι, καὶ ἐν τῇ ἐρήμῳ προωδευκέναι τοῦ λαοῦ· εἶναι δὲ τοῦτον οὐδέτερον τοῦ ἐν Εὐαγγελίοις εἰρηκότος· «Πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι·[1]» καί, «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη.[2]» Αὐτὸν δὴ οὖν ἐπὶ τοῦ παρόντος ἀνακαλεῖται φάσκων· «Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες», καὶ τὰ ἑξῆς, ἐπιφάναι τε τὸ πρόσωπον αὐτοῦ ὑπὲρ τῆς κοινῆς ἁπάντων σωτηρίας ἀντιβολεῖ, τήν τε παρουσίαν αὐτοῦ ᾗ τάχος γενέσθαι ἀξιοῖ λέγων· «Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθέ, εἰς τὸ σῶσαι ἡμᾶς.» Τρίτον δὲ εἰπών, «Ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα», τὸν τρόπον τῆς ἐπιφανείας παρίστησιν ἑξῆς ἐπιλέγων· «Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ.» Τὸν γὰρ ἀσώματον τοῦ Θεοῦ Λόγον ἀξιοῖ δι' ἀνδρὸς δεξιᾶς αὐτοῦ καὶ διὰ Υἱοῦ ἀνθρώπου τὴν εὐεργετικὴν αὐτοῦ δύναμιν δωρήσασθαι τοῖς πᾶσι. Τῆς μὲν οὖν σωτηρίου θεοφανείας τὴν μνήμην τοῦτον ἐποιήσατο τὸν τρόπον, τὴν δὲ τοῦ Ἰσραὴλ ἀπόπτωσιν ᾠδέπη θεσπίζει λέγων· «Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς;» δηλονότι τῆς ἀμπέλου, ἣν ἐξ Αἰγύπτου μετήγαγε, «καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. Ἐμπεπυρισμένη ἐν πυρὶ καὶ κατεσκαμμένη.» Ταῦτα περὶ τῆς ἀμπέλου διελθών, τὴν τοῦ Ἰουδαίων ἔθνους ἐθέσπιζεν ἐρημίαν. Εἰκότως οὖν ἐν τῇ προγραφῇ καὶ μαρτύριον κέκληται τὰ λεγόμενα· μαρτύριον γὰρ ταῦτα ἔσεσθαι, καὶ δεμαρτύρατο. Ὅθεν παρὰ τῷ Συμμάχῳ καὶ παρὰ τῷ Ἀκύλᾳ «μαρτυρία» εἴρηται. Ἀντὶ δὲ τοῦ, «ὑπὲρ τῶν ἀλλοιωθησομένων», ὁ μὲν Σύμμαχος, «ὑπὲρ τῶν ἀνθῶν», ὁ δὲ Ἀκύλας, «ὑπὲρ τῶν κρίνων», ἡρμήνευσαν· ἄνθεσι καὶ κρίνοις τὴν πρόσκαιρον βραχὺν γενομένην ποτὲ τοῦ Ἰουδαίων ἔθνους εὐπραγίαν παραβάλλοντος τοῦ λόγου. Ἀναπέμπει δῆτα ὁ Προφήτης ἱκετηρίαν πρὸς τὸν πάλαι ἐφορῶντα καὶ ἐπισκοποῦντα τὸν Ἰσραὴλ τοῦ Θεοῦ Λόγον, καὶ τοῦτον ἀνακαλούμενός φησιν· «Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρό-

1. Ἰω. 8, 58. 2. Ἰω. 8, 56.

σχες·» οὕτω δὲ δυσωπεῖ ὑπομιμνήσκων τῆς πάλαι αὐτοῦ ἐπισκοπῆς. Τοῖς γὰρ σοῖς, φησί, θρέμμασι καὶ τοῖς σοῖς προβάτοις πρόσχες, ὅ ποτὲ ποιμάνας αὐτά. Εἰ γάρ καί ποτε ἄλλοτε τὴν ποιμαντικὴν ὑπέμεινας ἀνθρώπων φροντίδα, ὡδήγησάς τε τὸν ἐν ἀνθρώποις γενόμενόν σου λαόν, τούτων αὐτῶν μνήσθητι· καὶ μὴ παρίδῃς οὓς τοσαύτης ἠξίωσας προνοίας. Πρόσχες οὖν, φησί, καὶ κατανόησον ὁποῖα πέπονθεν ἡ σὴ ποίμνη, καὶ ὡς ἐλυμήνατο αὐτοὺς ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν, καὶ ὡς γέγονεν ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου. Διδάσκει δὲ ταῦτα ἐν Πνεύματι ἁγίῳ ὁ Προφήτης τὸ Ἰουδαίων ἔθνος, μελετᾶν καὶ ἀπαγγέλλειν προλαβὼν τοὺς χρόνους καὶ τὰ πράγματα· ἵν' ἐπειδὰν ἐπιστῇ καὶ δι' ἔργων χωρήσῃ τὰ προπεφητευμένα, δέχοιεν ἐξ ἑτοίμου τῆς πρὸς τὸν Θεὸν ἱκετηρίας τὴν γνῶσιν. Τίς δέ ἐστιν ὁ ποιμαίνων τὸν Ἰσραήλ, αὐτὸς παρίστησιν ὁ εἰπών· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκουσί με τὰ ἐμά·[1]» καὶ αὖθις· «Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων.[2]» Αὐτὸς δὲ ἦν καὶ ὁ τὸν Ἰωσὴφ ὡσεὶ πρόβατον ὁδηγῶν ἤτοι τὴν φυλήν, ἢ τὸ πᾶν Ἰουδαίων ἔθνος μεταφορικῶς ἀπὸ μιᾶς ὀνομάζων φυλῆς τῆς τοῦ Ἰωσήφ· ἢ καὶ μᾶλλον αὐτὸν τὸν ἄνδρα τὸν τῆς φυλῆς προπάτορα. Ἐπειδὴ συνῆν αὐτῷ ἐπιβουλευομένῳ ὑπὸ τῶν ἀδελφῶν, καὶ πιπρασκομένῳ τοῖς Ἰσραηλίταις, καὶ εἰς Αἴγυπτον καταγομένῳ, καὶ τῷ Πετεφρῇ δουλεύοντι, τήν τε ἀκόλαστον δέσποιναν ἀποστρεφομένῳ, ὡς εἰς δεσμωτήριόν τε καθειργμένῳ. Ἐν πᾶσι γοῦν τούτοις ἐπισημαίνεται ἡ Μωϋσέως γραφή, λέγουσα· «Καὶ ἦν Κύριος μετὰ Ἰωσήφ.[3]» Ὅθεν μοι δοκεῖ κυριώτερον ἡρμηνευκέναι ὁ Θεοδοτίων φήσας· «Ὁ καθοδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ.» Οὕτω δ' ἂν εἴποις καὶ πεποιμάνθαι αὐτὸν τὸν Ἰσραὴλ τὸν πρῶτον χρηματίσαντα ταύτῃ τῇ προσηγορίᾳ. Ἦν δὲ οὗτος Ἰακώβ, ὁ παῖς τοῦ Ἰσαάκ. Ἐπεὶ κἀκεῖνος μόνος εἰς τὴν μέσην τῶν ποταμῶν καταβὰς μετὰ τῆς εἰς τὸν Θεὸν ἐλπίδος, αὐτὸν εὕρατο ποιμένα τὸν συνόντα αὐτῷ τοῦ Θεοῦ Λόγον, τὸν τὰς ἐπιφανείας αὐτῷ πεποιημένον. Εὐκαίρως οὖν δυσωπῶν ὁ λόγος τὸν Θεόν, οὐ βούλεται μὲν τοῦ πλήθους τῶν ἀσεβῶν μνημονεύειν· ἑνὸς δὲ καὶ δευτέρου τῶν πάλαι θεοφιλῶν ἀνδρῶν μνήμην ποιεῖται, διὰ τῆς τῶν προπατόρων ἀρετῆς καὶ θεοσεβείας τοὺς ἐξ αὐτῶν γενομένους ἐλέου τυχεῖν ποτνιώμενος. Ὁ δὲ αὐτὸς οὗτος ὁ τῶν ἁγίων ἀνδρῶν ποτε γενόμενος ποιμήν, καὶ τοῖς χερουβὶμ ἐποχούμενος ἦν. Ποίοις δὲ χερουβὶμ ἢ τοῖς παρὰ τῷ Ἐζεκιὴλ τεθεωρημένοις, ὧν εἰκόνας καὶ σύμβολα Μωϋσῆς διὰ χρυσοῦ ὑπεράνω τῆς κιβωτοῦ κελευσθεὶς ἐποίει; Μέμνηται δὲ τῶν χερουβὶμ ὁ Ἐζεκιήλ, τοῦτον λέγων τὸν τρόπον· «Καὶ εἶδον, καὶ ἰδοὺ ἐπάνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς τοῦ χερουβὶμ ὡς λίθος

1. Ἰω. 10, 14. 2. Ἰω. 10, 11. 3. Γεν. 39, 2.

σαπφείρου ὁμοίωμα θρόνου ἐπ' αὐτῷ.[1]» Καὶ μεθ' ἕτερά φησι· «Καὶ ἐξῆλθε δόξα Κυρίου ἀπὸ τοῦ αἰθρίου τοῦ οἴκου, καὶ ἐπέβη ἐπὶ τὰ χερουβίμ· καὶ ἀνέλαβε τὰ χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ ἐμετεωρίσθησαν ἀπὸ τῆς γῆς ἐνώπιον ἐμοῦ ἐν τῷ ἐξελθεῖν αὐτά, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν. Καὶ ἔστησαν ἐπὶ τὰ πρόθυρα τῆς πύλης τοῦ οἴκου τῆς ἀπέναντι, καὶ δόξα Θεοῦ Ἰσραὴλ ἦν ἐπ' αὐτῶν ὑπεράνω.[2]» Ὁρᾷς ὅπως ἐν τούτοις τὸ ἅρμα τοῦ Θεοῦ διαγράφεται, περὶ οὗ λέλεκται ἐν ἑτέρῳ, «Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον χιλιάδες εὐθηνούντων;» Χερουβὶμ δὲ ἦν τὸ ἅρμα, ὡς ὑπὲρ κεφαλῆς θρόνου ὁμοίωμα, καὶ ἐπὶ τούτῳ δόξα Κυρίου. Τίς δὲ ἡ δόξα Κυρίου ἦν κατ' ἀρχὰς τῆς βίβλου δηλοῦται, ἔνθα εἴρηται· Ὑπεράνω τῶν χερουβὶμ ὡς ὅρασις ἦν λίθου σαπφείρου, ὁμοίωμα θρόνου ἐπ' αὐτοῦ· καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν. Καὶ εἶδον ὡς ὄψιν ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος ἕως ἄνω· καὶ ἀπὸ ὁράσεως ὀσφύος ἕως κάτω, ὡς ὅρασις πυρός, καὶ φέγγος αὐτοῦ κύκλῳ·» καὶ ἐπιλέγει· «Αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου.[3]»

Ὁρᾷς ὅπως ὁ λόγος τὴν ἐπὶ τοῦ θρόνου ὀχουμένην δόξαν Θεοῦ διερμηνεύων εἶδος ἀνθρώπου διέγραψε; Τί δ' ἂν γένοιτο τοῦτο τὸ εἶδος τοῦ ἀνθρώπου, ὅπερ οὐκ αὐτὸς ὁ Θεός, ἀλλὰ δόξα τοῦ Θεοῦ εἴρηται, ἢ ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος· ὃν ποτὲ μὲν δόξαν Θεοῦ τοῦ Πατρὸς ὀνομάζει, ποτὲ δὲ εἶδος ἀνθρώπου δι' ὃν ἀνείληφεν ἄνθρωπον; οὗ τὰ μὲν τῆς θεολογίας ἠλέκτρῳ τῷ πάσης ὕλης τιμαλφεστέρῳ παρεικάζετο, τὰ δὲ ἀπὸ ὀσφύος καὶ κάτω, πῇ μὲν ὁράσει πυρός, πῇ δὲ φωτὸς φέγγει· ἐπειδὴ τὰ ἐκ γενέσεως μέτοχα, καὶ οἱ ἐπὶ γῆς ἄνθρωποι διαφόρων αὐτοῦ δυνάμεως ἐπιδέονται· οἱ μὲν φωτὸς ἄξια πράξαντες τῆς φωτιστικῆς ἐνεργείας, οἱ δὲ τὰ πυρὸς ἄξια τῆς καυστικῆς καὶ τιμωροῦ δυνάμεως. Τῶν δ' οὐρανίων εἰκόνας καὶ σύμβολα κατασκευάσαι Μωϋσῆς κελευσθείς, τὰ χερουβὶμ ἀπὸ χρυσοῦ κατεσκεύασεν· ἐπέκειτό τε ταῦτα τῇ κιβωτῷ, μέσον ἔχοντα τὸ ἱλαστήριον ἐκ χρυσοῦ πεποιημένον· καὶ ἦν τὸ ἱλαστήριον μέσον τῶν χερουβὶμ ἡνιόχου δίκην ἐπικείμενον αὐτοῖς· ὥστ' εἶναι εἰκόνα καὶ τύπον τὸ ἀπὸ χρυσοῦ πεποιημένον ἱλαστήριον τοῦ ἐν τῷ προφήτῃ Ἐζεκιὴλ ὑπὲρ τὰ χερουβὶμ ὀφθέντος· ὃν ἀποδείκνυμεν εἶναι τὸν Λόγον τοῦ Θεοῦ. Ὅθεν ὁ θεῖος Ἀπόστολος ἱλαστήριον αὐτὸν καλεῖ λέγων· «Ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ πίστεως ἐν τῷ αὐτοῦ αἵματι.[4]» Ταῦτα δὲ τυπικῶς παρὰ Μωϋσεῖ διὰ χρυσοῦ πεποιημένα, λέγω δὲ τὰ χερουβὶμ καὶ τὸ ἱλαστήριον, προηγεῖτο τοῦ ἐν τῇ ἐρήμῳ λαοῦ κατὰ πρόσωπον Ἐφραὶμ καὶ Βενιαμὶν καὶ Μανασσῆ. Ἐν γὰρ τῇ πορείᾳ τῶν ιβ' φυλῶν ἔμπροσθεν μὲν τῆς κιβωτοῦ παρενέβαλον φυλαὶ τρεῖς, Ἰούδα, καὶ Ἰσάχαρ, καὶ Ζαβουλών· εἵποντο δὲ τῇ κιβωτῷ ὁμοίως φυλαὶ τρεῖς, Ἐφραΐμ, καὶ Βενιαμίν, καὶ Μανασσῆ, κατὰ νώτου

1. Ἰεζ. 1, 26. 2. Ἰεζ. 10, 19. 3. Ἰεζ. 1, 26-27. 4. Ῥωμ. 3, 25.

ἀκολουθοῦσαι τοῖς χερουβίμ. Διὸ λέλεκται ἐνταῦθα· «Ἐμφάνηθι καθήμενος ἐπὶ τῶν χερουβὶμ ἐναντίον Ἐφραΐμ, καὶ Βενιαμίν, καὶ Μανασσῆ.» Διὸ κατὰ τὸν Ἀκύλαν εἴρηται· «Καθήμενε τοῖς χερουβίμ, ἐπιφάνηθι εἰς πρόσωπον Ἐφραΐμ, καὶ Βενιαμίν, καὶ Μανασσῆ.» Σὺ γάρ, φησίν, ὁ εἰς πρόσωπον καὶ ἐνώπιον Ἐφραΐμ, καὶ Βενιαμίν, καὶ Μανασσῆ προπορευόμενος ἐμφάνηθι. Ἀνακαλεῖται δὲ ἐν τούτοις τὸν τοῦ Θεοῦ Λόγον ὁ Προφήτης ἀπὸ τῶν γνωριζομένων τῷ λαῷ τὴν ἐπίκλησιν ποιούμενος· ἀλλ' οὐκ ἀπὸ τῆς θεοπτίας, τῆς τῷ Προφήτῃ Ἐζεκιὴλ τεθεαμένης. Δυσωπεῖ δὲ τὸν παρακαλούμενον διὰ τῆς εὐχῆς· Εἰ γὰρ ὑπέμεινας, φησί, καιρῷ τινι προοδεῦσαι ἀνθρώπων, καὶ τῶν προλεχθεισῶν ἡγήσασθαι φυλῶν, καὶ νῦν τοῖς αὐτοῖς χειμαζομένοις καὶ ἀπολλυμένοις ἐμφάνηθι· καὶ σύ γε αὐτός, ὁ καὶ τότε ποιμάνας καὶ προηγησάμενος τοῦ λαοῦ, «ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.» Ἱκετεύει τε ἐν τούτοις τὴν εἰς ἀνθρώπους αὐτοῦ ἄφιξιν ποιήσασθαι καὶ τοὺς ἀποστραφέντας καὶ ἐν ἀποπτώσει γενομένους πάλιν ἀναλαβεῖν, πάλιν καὶ εἰς αὐτὸν ἐπιστρέψαι ποιῆσαι. Διὸ λέγει· «Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τῶν δούλων σου;» Ὁ λεγόμενος ἐπὶ τοῦ παρόντος Κύριος καὶ Θεὸς τῶν δυνάμεων, αὐτὸς ἦν ἐκεῖνος ὁ ποιμαίνων τὸν ἀληθινὸν Ἰσραήλ, καὶ ὁδηγήσας ὡσεὶ πρόβατον τὸν Ἰωσήφ, καὶ ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ· προοδεύων τε ἐναντίον Ἐφραΐμ καὶ Βενιαμὶν καὶ Μανασσῆ. Κύριος δὲ καὶ Θεὸς τῶν δυνάμεων εἴρηται, ὡς ἐν ἑτέροις ἀρχιστράτηγος δυνάμεως Κυρίου καὶ μεγάλης βουλῆς Ἄγγελος. Τῷ μὲν οὖν διαδόχῳ Μωϋσέως Ἰησοῦ, ἐν σχήματι ἀνδρὸς φανείς, ἑαυτὸν ὡμολόγει ὅστις ἦν λέγων· «Ἐγώ εἰμι ἀρχιστράτηγος δυνάμεως Κυρίου.[1]» Ἐν δὲ τῷ Ἡσαΐᾳ λέλεκται, ὅτι «Παιδίον ἐγενήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν. Οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος.[2]» Κατὰ δὲ τοὺς λοιποὺς ἑρμηνευτάς· «Θεὸς δυνατός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ αἰῶνος.» Τοῦτο τοίνυν διδάσκεται ὑπὸ τοῦ Πνεύματος τοῦ προφητικοῦ εὐχὴν ἀναπέμπειν ὁ καταλειφθεὶς ἔρημος λαός, καὶ αὐτῷ λέγειν· «Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου;» Ἀνθ' οὗ οἱ λοιποὶ πάντες ἑρμηνευταί, «τοῦ λαοῦ σου», ἡρμήνευσαν. Διδάσκονται δὲ καὶ ἄρτον δακρύων ἐσθίειν ἐφ' οἷς τετολμήκασιν· ἵν', ἀποκλαυσάμενοι τὰ ἑαυτῶν κακὰ καὶ πενθήσαντες, τύχοιεν παρακλήσεως κατὰ τὸν φήσαντα μακαρισμόν· «Μακάριοι οἱ κλαίοντες, ὅτι γελάσονται· μακάριοι οἱ πενθοῦντες, ὅτι παρακληθήσονται.[3]» Κατὰ δὲ τὸν Σύμμαχον· «Ἐψώμισας ἡμᾶς», φησίν, «ἄρτον δακρύων, καὶ ἐπότισας ἡμᾶς μετὰ δακρύων μέτρῳ.»

1. Ἰησ. Ν. 5, 14. 2. Ἡσ. 9, 6. 3. Ματθ. 5, 4.

Εἰ γὰρ καὶ τὰ μάλιστα κλαυθμοῦ καὶ δακρύων ἄξιοι γεγόναμεν, ὥστε ἀντὶ ἄρτου τρέφεσθαι κλαυθμοῖς καὶ στεναγμοῖς, καὶ ποτίζεσθαι δάκρυσι καὶ γόοις· ἀλλ' αὐτὰ ταῦτα μεμετρημένα ἡμῖν γινέσθω, ὥστε μὴ εἰς ἄπειρον ἡμῖν παραταθῆναι· λῆξαι δέ ποτε, καὶ μεταβαλεῖν ἐπὶ τὸ φαιδρότερον. Σὺ γὰρ «ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς», μηδὲν τούτων πάλαι καθ' ἡμῶν τολμῶντες, ὅτε σε προστάτην εἴχομεν. Διὸ δεόμεθα, καὶ τὸν Θεὸν τῶν δυνάμεων ἀνακαλούμεθα, ἐπιστρέψαι ἡμᾶς καθικετεύοντες. Τοῦτο δὲ ἔσται εἰ ἐπιφανὴς γένοιο, καὶ τὸ σαυτοῦ πρόσωπον ἐπιδείξειας ἡμῖν. Τούτου γὰρ γενομένου, σωθησόμεθα λέξοντες ἂν καὶ ἡμεῖς· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε.[1]»

Στίχ. θ'. «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας· ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς, καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν.»

Ἀρχόμενος τῆς ἱκετηρίας ὁ Προφήτης, τὸν ποιμαίνοντα τὸν Ἰσραὴλ ἀνεκαλεῖτο. Ἦν δὲ ὁ Ἰσραὴλ ἕτερος τῆς ἐνταῦθα λεγομένης ἀμπέλου. Ὁ μὲν γὰρ ἀεὶ ποιμαίνεται ὑπὸ τοῦ Κυρίου· ἡ δὲ παροῦσα ἄμπελος πολλὴν ὑπέμεινε τὴν ἐπὶ τὰ χείρω ῥοπήν. Δυσωπεῖ δὲ διὰ τοῦ θεοφιλοῦς ἀνδρὸς τοῦ πάλαι Ἰσραὴλ τὸν Θεὸν εἰς τὸ ἐπιβλέψαι κακῶς πράττουσι τοῖς ἐκείνου ἀπογόνοις. Εἴη δ' ἂν Ἰσραὴλ καὶ πᾶσα διορατικὴ ψυχὴ ὑπὸ τοῦ καλοῦ ποιμένος διὰ παντὸς ποιμαινομένη. Λεχθείη δ' ἂν καὶ ἄμπελος Θεοῦ ἡ τὴν εἰκόνα σῴζουσα τοῦ φήσαντος ἐν Εὐαγγελίοις· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή·[2]» Ἡ δ' ἐξ Αἰγύπτου μετενηνεγμένη ἄμπελος ἡ παθοῦσα διαστροφὴν τυγχάνει ψυχή· ὁποῖος γέγονεν ὁ Ἰουδαίων λαὸς εἰδωλολατρήσας ἐν Αἰγύπτῳ μακροῖς χρόνοις, μικροὺς τε προενεγκάμενος καρποὺς ὡς μαρτυρεῖ Μωϋσῆς ἐν μεγάλῃ ᾠδῇ γράφων ταῦτα περὶ αὐτῶν· «Ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόρρας. Ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτῶν. Θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς ἀσπίδων ἀνίατος·[3]» ἀλλὰ γὰρ καὶ οὕτως ἔχοντας αὐτοὺς ἐπισκεψάμενος ὁ Θεὸς μετεφύτευσεν, ἐκριζώσας μὲν τῆς Αἰγυπτιακῆς συμφυΐας, μεταφυτεύσας δὲ ἐν ἑτέρᾳ χώρᾳ καὶ τόπῳ πίονι, ὡς διδάσκει λέγων Ἡσαΐας· «Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι ἐν τόπῳ πίονι. Καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρήχ. Καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ.[4]» Καὶ δὴ ἐν τόπῳ πίονι καὶ πολὺ κρείττονι τῆς Αἰγύπτου χώρας μεταγαγὼν τὴν προλεχθεῖσαν ἄμπελον κατεφύτευσεν. Εἶθ', οἷα γεωργὸς ἄριστος, μετὰ τὴν πρώτην μεταμόσχευσιν, ὡδοποίησε ἔμπροσθεν αὐτῆς, πᾶν τὸ βλαστικὸν ἀποσκευάσας, καὶ πᾶσαν ἀλλο-

1. Ψαλμ. 4, 7. 2. Ἰω. 15, 1. 3. Δευτ. 32, 32. 4. Ἡσ. 5, 2.

τρίαν ὕλην ἐκτεμών, ὡς μή τι κώλυμα ἐμποδὼν αὐτῇ γένοιτο πρὸς τὴν τῶν καρπῶν ἐκφυήν. Ἀντὶ δὲ τοῦ· «Ὡδοποίησας ἔμπροσθεν αὐτῆς», ὁ Σύμμαχος· «Ἀπεσκεύασας ἔμπροσθεν αὐτῆς», ἡρμήνευσεν. Εἶτ' ἐπήγαγε, «καὶ ἐρριζοβόλησας τὰς ῥίζας αὐτῆς.» Τοιαύτης δ' ἐπιμελείας παρὰ τοῦ Θεοῦ Λόγου τυχοῦσα ἡ δηλωθεῖσα ἄμπελος, εἰκότως ἐπλήρωσε τὴν γῆν, ὡς ὄρη μὲν ἐπισκιάσαι, κέδρους δὲ καλύψαι ταῖς αὐτῆς ἀναδενδράσιν, ἐκτεῖναι δὲ τὰ κλήματα ἕως θαλάσσης, καὶ τὰς φυάδας μέχρι ποταμῶν. Ταῦτα πάντα ὑπῆρξεν αὐτῇ. Καὶ ἐπειδὴ τοσούτων ἠξιώθη, εἰκότως ὁ λόγος ὡς ἐν εὐχῇ τοῦτον ὑπομνήσας τὸν γεωργόν, δυσωπεῖ διὰ τῆς ἱκετηρίας καί φησι πρὸς αὐτόν· Ἐπειδὴ τοσαύτης κατηξίωσας προνοίας καὶ ἐπιμελείας τὴν εἰρημένην ἄμπελον, φιλανθρωπίᾳ καὶ χάριτι πάντα ταῦτα εἰς αὐτὴν ἐνδειξάμενος, τίς οὐκ ἂν ἀμηχανήσειε καὶ εἰς ἀπορίαν ἐμπέσοι ζητῶν, «Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς», καταπατεῖν τε αὐτὴν ἅπασι τοῖς ἐθέλουσι συνεχώρησας· ὡς τρυγᾶν αὐτὴν τοὺς βουλομένους, μηδενός τε περιφράττοντος, ποτὲ μὲν ὗν ἐκ δρυμοῦ λυμαίνεσθαι αὐτήν, ἄλλοτε δὲ μονιὸν ἄγριον καταβόσκεσθαι αὐτήν; Ἀλλὰ γὰρ πρὸς ταύτην τὴν ἐπαπόρησιν ἀποκρίνεται διὰ Ἡσαΐου τοῦ προφήτου, ὥσπερ ἀπολογούμενος ὁ γεωργός, καὶ τὴν αἰτίαν παρίστησι λέγων· «Διότι ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας· καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.[1]» Ταῦτα δ' ὅτι περὶ τοῦ Ἰουδαίων λέλεκται λαοῦ, οὐδεὶς ἂν ἀμφιβάλοι. Νοήσεις δὲ ὅπως ἐκάλυψεν ὄρη ἡ σκιὰ τῆς ἀμπέλου, ἐπιστήσας, ὡς σκιὰν ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, ποτὲ μὲν ἐπὶ τοῦ ὄρους συνετελεῖτο τοῦ ἐν Σηλώμ, ἔνθα τὸ πρότερον ἵδρυτο ἡ σκηνή, ποτὲ δὲ ἐπὶ τοῦ Σιὼν ὄρους καὶ τῆς Ἱερουσαλήμ, καὶ αἱ ἀναδενδράδες δὲ αὐτῆς ἐκάλυψαν τὰς κέδρους τοῦ Θεοῦ. Τίνας δ' ἂν εἴποις τὰς ἀναδενδράδας τῆς ἀμπέλου, ἢ τὰς προφητικὰς ψυχὰς καὶ τοὺς ἐν τῷ προτέρῳ λαῷ εἰς ὕψος ἐπηρμένους, Θεοῦ τε ἀξίως πολιτευσαμένους, οἳ καὶ ἐπὶ τὰς κέδρους τοῦ Θεοῦ διανεπαύοντο, τὰς δυνάμεις δὴ τὰς ἀοράτους καὶ θείας; Μέχρι γὰρ τούτων ἐξετάθησαν αἱ διαπρέψασαι ἐν τῷ προτέρῳ λαῷ ψυχαί, ὡς καὶ Πνεύματος ἁγίου μετέχειν, καὶ τοὺς καρποὺς ἐκτείνειν μέχρι τῆς ἀγγελικῆς δυνάμεως. Τὰ δὲ κλήματα τῆς ἀμπέλου, ἕτερα ὄντα παρὰ τὴν σκιὰν καὶ παρὰ τὰς ἀναδενδράδας, ἐξετάθη ἕως θαλάσσης. Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ, «τὰ κλήματα, τὰς χαίτας αὐτῆς», φησίν, «ἐξέτεινεν ἕως θαλάσσης.» Εἶεν δ' ἂν χαῖται καὶ κόμαι, ὥσπερ ἀναρίθμητοι τρίχες, ἢ καὶ κλήματα πληθύνοντα, κατὰ τὸ τῆς ἀμπέλου παράδειγμα, ὁ πολὺς τοῦ Ἰουδαίων ἔθνους ἀριθμός, ὃς δὴ ἔφθασε μέχρι θαλάσσης, πληρώσας πάντα τὸν τῶν ἀνθρώπων βίον. Διὸ λέλεκται ἐν Ὠσηὲ τῷ προφήτῃ· «Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, ἢ οὐκ ἐκμετρηθήσεται, οὐδὲ

1. Ἡσ. 5, 4.

ἐξαριθμηθήσεται.[1]» Παραφυάδες δὲ ἄλλαι τινὲς παρὰ τὰ κλήματα νεώτεραι καὶ ἀρτιφυεῖς ἕως ποταμοῦ παρετάθησαν, οἱ τῆς Καινῆς Διαθήκης κήρυκες· λέγω δὲ οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ τοῦ Σωτῆρος ἡμῶν· τὴν μὲν φυὴν καὶ τὴν γένεσιν ἐσχηκότες ἐκ τῆς προλεχθείσης ἀμπέλου, καὶ ὥσπερ τινὲς παραφυάδες αὐτῆς γενόμενοι, οὐκέτι δὲ ὁμοίως ταῖς χαίταις καὶ τοῖς κλήμασι ἕως θαλάσσης προελθόντες, ἀλλ' ἕως ποταμοῦ διὰ τὸ μυστήριον τῆς δι' αὐτῶν χορηγουμένης ἐν Χριστῷ παλιγγενεσίας. Ἔνθεν καὶ ὁ Σωτὴρ αὐτὸς ἐν οα΄ ψαλμῷ λέλεκται· «Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως τῶν περάτων τῆς οἰκουμένης.» Ἀρξαμένου γὰρ ἀπὸ τοῦ κατὰ τὸν Ἰορδάνην ποταμοῦ τοῦ βαπτίσματος, τὴν σύμπασαν ἐπλήρωσεν οἰκουμένην. Τέσσαρα δὲ τάγματα τῆς εἰρημένης ἀμπέλου ὁ μετὰ χεῖρας διαγράφει λόγος· σκιὰν μὲν αὐτῆς καλύπτουσαν ὄρη· ἀναδενδράδας δὲ αὐτῆς εἰς ὕψος μετεωριζομένας, ὡς καλύπτειν οὐχ ἁπλῶς κέδρους, ἀλλὰ τὰς κέδρους τοῦ Θεοῦ· καὶ ἐπὶ τούτοις κλήματα ἐκτεινόμενα ἕως θαλάσσης· καὶ μετὰ πάντα παραφυάδας τὰς μέχρι ποταμοῦ διηκούσας. Ὧν τὴν διάνοιαν κατὰ τὴν δοθεῖσαν ἡρμηνεύσαμεν χάριν, σκιὰν μὲν ἀποδόντες τὴν τυπικὴν καὶ σκιώδη λατρείαν, ἥτις ἐν τοῖς αἰσθητοῖς καὶ σωματικοῖς ὄρεσιν ἐτελεῖτο· ἀναδενδράδας δὲ τὰς προφητικὰς ψυχάς, αἵτινες ἐπὶ τὰς κέδρους τοῦ Θεοῦ, τὰς ἀγγελικὰς καὶ θείας δυνάμεις ἐπεστηρίζοντο· κλήματα δὲ ἢ κόμας, ἢ χαίτας τὸ πᾶν Ἰουδαίων πλῆθος ἕως θαλάσσης ἐκτεινόμενον διὰ τὸ ἄστατον καὶ κυμαινόμενον τῶν ἀνθρώπων βίον· καὶ τέλος παραφυάδας, τοὺς ἀποστόλους τοῦ Σωτῆρος ἡμῶν τῷ ποταμῷ συνόντας, περὶ οὗ εἴρηται· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ.[2]» Ἀλλ' ἐπειδὴ τοσούτων ἠξιώθη ἡ δεδηλωμένη ἄμπελος ὑπὸ τοῦ πρότερον ἐπισκοποῦντος αὐτὴν Θεοῦ Λόγου, ἀκολούθως ὁ λόγος ἑξῆς ὡς πρὸς αὐτὸν τὸν τὰ τοσαῦτα δεδωρημένον ἐπαπορεῖ λέγων· «Ἱνατί καθεῖλες τὸν φραγμὸν αὐτῆς;» Ὁ δὲ ἀποκρίνεται λέγων· «Διότι ἔμεινα ἵνα ποιήσῃ σταφυλήν, ἐποίησε δὲ ἀκάνθας·[3]» καὶ πάλιν· «Ἔμεινα ἵνα ποιήσῃ κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν.[4]» Καὶ ἐν τῷ Ἱερεμίᾳ δὲ ὁ αὐτὸς ἐλέγχει τὴν ἄμπελον, λογικὴ γὰρ ἦν, φάσκων· «Ἐγὼ δὲ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. Πῶς ἐστράφη εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία;[5]» Προστίθησι δὲ καὶ διὰ Ἡσαΐου λέγων· «Καθελῶ τὸν φραγμὸν αὐτῆς, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν τοῖχον αὐτῆς, καὶ ἔσται εἰς καταπάτησιν. Καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ μὴ σκαφῇ, οὐδὲ μὴ τμηθῇ. Καὶ ἀναβήσεται εἰς αὐτὸν ὡσεὶ χέρσον ἄκανθα, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν.[6]» Καθαιρεθέντος δὲ τοῦ φραγμοῦ τουτέστι τῆς φυλαττούσης

---

1. Ὠσ. 2, 1. 2. Ψαλμ. 45, 5. 3. Ἡσ. 5, 4. 4. Ἡσ. 5, 7. 5. Ἱερ. 2, 21. 6. Ἡσ. 5, 5.

αὐτοὺς καὶ περιφραττούσης δυνάμεως, εἰκότως πάντες λοιπὸν πολέμιοι ἀόρατοί τε καὶ ἀφανεῖς, θηρῶν ἀγρίων ὄντες ἀνημερώτεροι, ἐλυμήναντο αὐτούς, δηλαδὴ τοὺς ὑπὸ τοῦ λόγου κατηγορουμένους. Καί τις πρῶτος ἀκάθαρτος ὗς, ὁ Ἀσσύριος, εἰσελθὼν ἰσχυρῶς, τὴν δηλωθεῖσαν ἄμπελον διέφθειρεν, ὡς καὶ ἀπαγαγεῖν αἰχμάλωτον τὸ πλῆθος εἰς τοὺς Ἀσσυρίους. Εἶτα δεύτερος πολέμιος, εἰσελθών, τὰ ὑπὸ τοῦ πρώτου καταλειφθέντα κατενεμήσατο, ὁ Ναβουχοδονόσορ, ὁ καὶ τὸ ἱερὸν πυρπολήσας καὶ εἰς ἔδαφος ἀγαγών. Διὸ λέλεκται καὶ κατὰ τὸν Σύμμαχον· «Κατενεμήσατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατεβοσκήσατο αὐτήν.» Ἀντὶ δὲ τοῦ, «καὶ μονιὸς ἄγριος», ὁ Ἀκύλας, «καὶ παντοδαπὴν χώραν», ἡρμήνευσε. Καθ' ἑτέραν δὲ ἑρμηνείαν, «ἐλυμήνατο αὐτήν», δηλαδὴ τὴν ἀποδοθεῖσαν ἄμπελον, πρῶτος ὁ Βαβυλώνιος, ὁ καὶ πρῶτος τὴν Ἱερουσαλὴμ πολιορκίᾳ δῃώσας· ἔπειτα μετ' ἐκεῖνον ὁ Ῥωμαϊκὸς στρατός, μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν ἐπελθών, κατενεμήσατο αὐτήν. Ταῦτα δὲ πάντα προφητεύει Ἀσὰφ κατὰ τοὺς χρόνους γεγονὼς τοῦ Δαυΐδ, πρὸ τῆς οἰκοδομῆς τῆς Ἱερουσαλήμ, θεσπίζων αὐτῇ τὰ συμβησόμενα κατὰ τοὺς δηλωθέντας χρόνους. Διὰ μὲν οὖν τῶν μετὰ χεῖρας ἔοικεν ὁμοῦ καὶ τὴν πρώτην πολιορκίαν τὴν ὑπὸ Βαβυλωνίων γενομένην, καὶ τὴν δευτέραν τὴν ὑπὸ Ῥωμαίων προφητεύειν· διὰ δὲ τοῦ πρὸ τούτου τὰ κατὰ Ἀντίοχον τὸν Ἐπιφανῆ συμβάντα· διὰ δὲ τοῦ ο' καὶ γ' μόνα τὰ τῆς ὑστάτης πολιορκίας τῆς ὑπὸ Ῥωμαίων γενομένης, ὡς ἀποδέδεικται ἐν τοῖς κατὰ τὸν ογ' εἰρημένοις.

Στίχ. ιε'-ιζ'. «Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή, ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ. Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη, ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται.»

Ὡς ἀγαθὸν γεωργὸν ὑπομνήσας τῆς πολλῆς αὐτοῦ περὶ τὴν ἄμπελον ἐπιμελείας, καὶ τῆς μετὰ ταῦτα συμβάσης αὐτῇ ἐρημίας, ἑξῆς καὶ ἀκολούθως ἱκετεύει ἐπιστρέψαι ὡς ἀποστραφέντα, καὶ διὰ τῆς ἀποστροφῆς τοῖς ἐναντίοις πᾶσιν ἐκδεδωκότα τὴν ἄμπελον. Ἐπισκέψαι δὲ αὐτὸν ἱκετεύει, καὶ ἐπιβλέψαι ἄνωθεν ἐξ οὐρανοῦ· μνησθῆναί τε, ὡς ἄρα εἴη αὐτοῦ φυτεία, καὶ τῆς αὐτοῦ δεξιᾶς γεωργία ἡ προλεχθεῖσα ἄμπελος, καὶ μνησθέντα ἐπισκέψασθαι αὐτήν, ὡς ἂν πάλαι μὲν ὑπὸ τῆς αὐτοῦ δεξιᾶς φυτευθεῖσαν, νυνὶ δὲ ἐμπεπυρισμένην πυρὶ καὶ ἀνεσκαμμένην, καὶ ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου αὐτοῦ ἀπολωλυῖαν. Ἀξιοῖ τε καταρτίσασθαι αὐτὴν ἀναλαβόντα καὶ ἀνακτησάμενον δίκην σωτῆρος καὶ ἰατροῦ· καὶ ταῦτα πρᾶξαι διὰ τοῦ Υἱοῦ ὃν ἐκραταίωσεν ἑαυτῷ. Δι' ὧν σαφῶς ὁ λόγος διδάσκει πρῶτον εἶναι τὸν ἐμπρησμὸν ὃν πρῶτον ὑπέμεινεν ὁ τόπος ὑπὸ Βαβυλωνίων. Οὐ γὰρ ἂν μετὰ τὸν δεύτερον ἐμπρησμὸν τὸν ὑπὸ Ῥωμαίων γενόμενον τὴν τοῦ Σωτῆρος θεοφάνειαν γενέσθαι ἠξίου τὴν ἤδη γεγενη-

μένην. Χώραν δὲ ἔχει μετὰ τὰ πρῶτα συμβάντα τῷ τόπῳ ἱκετεύειν καὶ δέεσθαι τὸν Λυτρωτὴν ἐπιστῆναι· οὗ ἐπιστάντος, ἐπεὶ μὴ παρεδέξαντο τὴν πρώτοις αὐτοῖς δι' αὐτοῦ καταγγελθεῖσαν χάριν, εἰκότως τὴν ὑστάτην ὑπέμειναν ἐρημίαν· ἣν αὐτὸς προσετίμησεν αὐτοῖς εἰπών· «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε; Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος·[1]» ὅτε καὶ κατὰ τὸν Ἀπόστολον, «ἔφθασεν εἰς αὐτοὺς ἡ ὀργὴ εἰς τέλος.[2]»

Στίχ. ιη'. «Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ, ζωώσεις ἡμᾶς.»

Μίαν τῶν προλεχθέντων ἁπάντων θεραπείαν διδάσκει τὸ Πνεῦμα τὸ ἅγιον, τὴν εἰς ἀνθρώπους τοῦ Χριστοῦ τοῦ Θεοῦ παρουσίαν. Διόπερ μετὰ τὰ προφητευθέντα περὶ τῆς ἐρημίας τοῦ ἀμπελῶνος καὶ τοῦ ἐπελθόντος αὐτῷ ἐμπρησμοῦ ἱκετεύει τὰ προκείμενα εἰς τὸ προσδοκᾶν λυτρωτὴν τὸν ἄνδρα τῆς δεξιᾶς τοῦ Θεοῦ, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου τὸν ὑπὸ τοῦ Θεοῦ κεκραταιωμένον. Οὗτος δὲ ἦν ὁ ἀγαπητὸς τοῦ Θεοῦ, ὃν εἰδέναι καὶ παρεῖναι δι' εὐχῆς τίθεσθαι παραδίδωσι τοῖς ἐντυγχάνουσιν· ὡς ἄν, γνόντες αὐτὸν οἱ ταῦτα προδιδασκόμενοι καὶ εἰς αὐτὸν πιστεύσαντες, δι' αὐτοῦ τυχεῖν τῆς τῶν κακῶν θεραπείας ἐλπίσειαν. Διὸ ἐκ προσώπου τῶν θεραπείας δεομένων φησί, τό, «Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου, καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ. Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ.» Ἡ δὲ δύναμις τοῦ λόγου τοῦτον ἔχει τὸν νοῦν· Ἤδη ποτὲ ἡ χείρ σου ἡ ἀφανὴς καὶ ἀόρατος ἐπιλαμψάτω ἐπὶ τὸν ὑπηρέτην τῆς σῆς δεξιᾶς ἄνδρα, καὶ ἐπὶ τὸν μέλλοντα χρηματίζειν Υἱὸν ἀνθρώπου· ὃν σὺ σαυτῷ κατεσκεύασας, ἐκραταίωσας ὄργανον τῆς σῆς δυνάμεως, καὶ ὥσπερ ἄγαλμα τῆς σαυτοῦ θεότητος τοῦτον αὐτὸν ἀναστήσας. Τούτου γὰρ φανέντος, εἰδώλοις οὐκέτι λατρεύσομεν· ἀλλ' οὐδὲ τῇ πολυθέῳ πλάνῃ δουλεύσομεν, οὐδὲ ἀναχωρήσομέν σου τοῦ λοιποῦ· δι' αὐτοῦ δὲ ζωωθέντες καὶ τῆς παρὰ σοὶ σωτηρίας τυχόντες, τὸ ὄνομά σου ἐπικαλεσόμεθα, οὐκέτ' ἐξ ἀνθρώπου τινὸς χρηματίζοντες, οὐδ' Ἰσραηλῖται ἀπὸ τοῦ Ἰσραὴλ καλούμενοι, ἀλλ' οὐδὲ ἀπὸ τοῦ Ἰούδα Ἰουδαῖοι· ἀπὸ δὲ τοῦ σοῦ ὀνόματος τοῦ Χριστοῦ Χριστιανοὶ χρηματίσομεν. Διὸ λέλεκται κατὰ τὸν Σύμμαχον· «Ζωώσεις ἡμᾶς, καὶ τῷ ὀνόματί σου κληθησόμεθα.» Θαυμάσαι δὲ ἔστι τίνα τρόπον τούτοις ἐντυγχάνοντες Ἰουδαίων παῖδες, ἐξ ἁπαλῶν τε ὀνύχων ταῦτα καταμελετῶντες, οὐ ζητοῦσι τὸν ἄνδρα τῆς δεξιᾶς τοῦ Θεοῦ τίς ποτε ἦν, οὐδὲ τὸν λεγόμενον Υἱὸν ἀνθρώπου ἐπιγινώσκουσι· διὸ καὶ παραμένουσι τῇ ἑαυτῶν συμφορᾷ. Ὡς εἴπερ ἐπέγνωσαν καὶ μεμαθήκεισαν αὐτόν, ἔγνωσαν ἂν καὶ τὸν ἐν αὐτῷ κατοικήσαντα Θεοῦ Λό-

1. Ματθ. 23, 37. 2. Α' Θεσσ. 2, 16.

γον ὃν ἡ παροῦσα δέησις ἀνεκαλεῖτο. Ἀλλ' ἡμεῖς αὐτὸν εἰδότες προόντα, καὶ ἐκ τοῦ παντὸς ἀνθρώπων ἐπιμελόμενον· «Ἐν» γὰρ «τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω·[1]» ἴσμεν αὐτὸν καὶ εἰς τὰ ἴδια ἐλθόντα, ὅτε καὶ γέγονεν αὐτοῦ ἡ χείρ, τουτέστιν ἡ πρακτικὴ δύναμις ἐπὶ τὸν ἄνδρα τῆς δεξιᾶς αὐτοῦ, τὸν καὶ διὰ τῶν Εὐαγγελίων Υἱὸν ἀνθρώπου χρηματίσαντα· ὃν αὐτὸς ἑαυτῷ συνεστήσατο ἐξ ἁγίου Πνεύματος καταρτίσας· ὃν ἐπιγνόντες ἀναπόστατοι λοιπὸν γενησόμεθα δι' αὐτοῦ ζωούμενοι, τῷ τε ὀνόματι αὐτοῦ χρηματίζοντες. Ἡμεῖς μὲν οὖν οἱ τὸν Υἱὸν τοῦ ἀνθρώπου προσδοκῶντες καὶ τὰς ἐλπίδας εἰς αὐτὸν ἀνηρτημένοι, ταῦτα περὶ ἑαυτῶν φαμεν· περὶ δὲ τῶν ἡμετέρων μελῶν, τὴν λοιπὴν ἱκετηρίαν ἀναπέμπομεν φάσκοντες· «Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα», κοινοποιοῦντες τὸν λόγον ὑπὲρ τῶν μηδέπω ἐπιστρεψάντων, μηδὲ τὴν ἐπιφάνειαν ἐπεγνωκότων αὐτοῦ, καὶ διὰ τοῦτο μηδέπω τῆς παρὰ τῷ Θεῷ σωτηρίας τετυχηκότων.

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΤΩΝ ΛΗΝΩΝ ΤΩ ΑΣΑΦ. Π'.

Στίχ. β'. «Ἀγαλλιᾶσθε τῷ Θεῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.»

Οἱ ἐπιγεγραμμένοι τῶν ληνῶν ψαλμοὶ τρεῖς τὸν ἀριθμὸν τυγχάνουσιν· εἷς μὲν τοῦ Δαυΐδ, ὁ ὄγδοος, εἷς δὲ τοῦ Ἀσάφ, ὁ μετὰ χεῖρας, καὶ τῶν υἱῶν Κορὲ ὁ π' καὶ γ'. Ὁ μὲν οὖν η' σαφῶς τῶν ἐθνῶν τὴν κλῆσιν ἐθέσπιζεν, ἣν τῷ Πνεύματι τῷ θείῳ προθεωροῦντες οἱ τοῦ Θεοῦ προφῆται, ὑπερεξεπλήττοντο· διὸ καὶ ἀποθαυμαστικῶς ἀνεφώνουν τό· «Κύριε ὁ Θεὸς ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ!» Καὶ ὁ γ' δὲ καὶ π' πολλὰ σκηνώματα καὶ πολλὰ θυσιαστήρια καὶ πολλὰς αὐλὰς προεώρα· δηλαδὴ τὰς καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίας τοῦ Θεοῦ, καὶ τὰ ἐν αὐταῖς πολλὰ θυσιαστήρια· ἃ δὴ παρίστη λέγων· «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων!» καὶ αὖθις· «Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου·» καὶ ἑξῆς· «Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων.» Ὁ δὲ μετὰ χεῖρας ἑτέροις μὲν ἀγαλλιᾶν καὶ ἀλαλάζειν καὶ ψάλλειν παρακελεύεται, τοῦ δὲ Ἰουδαίων ἔθνους τὴν ἀποβολὴν καὶ τὴν ταύτης αἰτίαν παρίστησι καὶ σφόδρ' ἀκολούθως ταῖς διὰ τῶν ἔμπροσθεν προφητείαις. Ἐπειδὴ γὰρ ἐν τῷ πρὸ τούτου ἠρώτα λέγων· «Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;» ἐπιλύεται τὴν ἐπαπόρησιν, διὰ τοῦ μετὰ χεῖρας φάσκων· «Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ εἰ ταῖς ὁδοῖς μου ἐπορεύθη· ἐν τῷ μηδενὶ τοὺς ἐχθροὺς

1. Ἰω. 1, 10.

αὐτῶν ἐταπείνωσα·» καὶ ἐπιλέγει· «Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.» Ἐπεὶ τοίνυν τὸ ἀνήκοον καὶ τὸ ἀπειθὲς αὐτῶν παρίστησι, μεταβάλλει τὸν λόγον εἰκότως, καὶ τὴν τῶν ἐθνῶν κλῆσιν εὐαγγελίζεται τὸ Πνεῦμα τὸ ἅγιον, πᾶσιν ἀνθρώποις προσφωνοῦν καὶ λέγον· «Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν.» Λέγει δὲ ταῦτα ἐκ προσώπου τοῦ χοροῦ τοῦ προφητικοῦ. Ὡς γὰρ ἐν τῷ η' ἔλεγε· «Κύριε ὁ Κύριος ἡμῶν», ἰδιοποιουμένων τὸν Θεὸν τῶν ταῦτα λεγόντων, διὰ τὸ πρώτων αὐτῶν γεγονέναι τὸν Θεόν· οὕτω καὶ ἐνταῦθα οἱ αὐτοί, τοὺς ἀπεξενωμένους καὶ ἀλλοτρίους ἀνακαλούμενοι, φασίν· Ὦ οὗτοι, καταλείποντες τοὺς πεπλανημένως νομιζομένους ὑμῖν θεούς, ἥκετε σπεύδοντες πρὸς τὸν ἡμέτερον Θεόν, καὶ τούτῳ ἀγαλλιᾶσθε τῷ πάντοτε ἡμῶν τῶν αὐτῷ ἀνακειμένων βοηθῷ γενομένῳ· Τίς δ' ἦν οὗτος, ἑξῆς παριστῶσι λέγοντες· «Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ·» τῷ γὰρ πάλαι ὀφθέντι τῷ ἡμετέρῳ προπάτορι Θεῷ ἐλθόντες, ἀλαλάξατε, κατὰ τὸ εἰρημένον καὶ ἐν ξε'· «Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ.» Τίς δὲ ἦν ἡ πᾶσα γῆ διασαφεῖ ὁ εἰπών· «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.[1]» Τοῖς οὖν αὐτοῖς καὶ διὰ τῶν μετὰ χεῖρας προσφωνεῖ λέγων ὁ χορὸς τῶν προφητῶν· «Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν, ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ.» Θεὸν δὲ Ἰακὼβ τὸν Σωτῆρα σημαίνει τὸν ἐν ἀνθρώπου σχήματι ὀφθέντα τῷ Ἰακώβ· ὅτε καὶ ἐκάλεσε Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐν ᾧ ὤφθη ὁ Θεός, «Εἶδος Θεοῦ», ἐπειπών· «Εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.» Τούτῳ οὖν, ὡς ἂν αὐτῷ ὄντι τῷ βασιλεῖ ἡμῶν, ἀλαλάζειν προστάττει, νικητήριον ὕμνον ἀναπέμποντας αὐτῷ. Ὅπως δὲ βασιλεὺς ὑπὸ τοῦ Πατρὸς καθίσταται, αὐτὸς διδάσκει λέγων· «Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ.» Οὐ μόνον δὲ ἀλαλάζειν τῷ Θεῷ Ἰακὼβ βούλεται τοὺς κεκλημένους, ἀλλὰ καὶ λαμβάνειν ψαλμὸν καὶ διδόναι τύμπανον, καὶ ψαλτήριον τερπνὸν μετὰ κιθάρας. Κατὰ δὲ τὸν Ἀκύλαν· «Ἄρατε», φησί, «μελῳδίαν, καὶ δότε τύμπανον, κιθάραν εὐπρεπῆ μετὰ νάβλης·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἀναλάβετε ᾠδήν, καὶ δίδοτε τύμπανον, λύραν ἡδεῖαν μετὰ νάβλης.» Οὐκοῦν τὸ μέν τι προστάττει λαμβάνειν, τὸ δὲ διδόναι· λαμβάνειν μέν, κατὰ τὸν Ἀκύλαν, μελῳδίαν, κατὰ δὲ τὸν Σύμμαχον, ᾠδήν· ἀντιδιδόναι δὲ τύμπανον ἢ λύραν ἡδεῖαν μετὰ νάβλης. Δι' ὧν ὁ λόγος προστάττει δέχεσθαι μὲν ἀκοαῖς τὴν τῶν λόγων διδασκαλίαν, διδόναι δὲ τὴν διὰ τοῦ σώματος πρᾶξιν· Ὠδὴ μὲν γὰρ καὶ μελῳδία λόγῳ ἀκοαῖς παραδίδοται· διό φησι· Λάβετε ᾠδὴν καὶ μελῳδίαν, κατὰ τὸν Ἀκύλαν καὶ Σύμμαχον. Ταῦτα δὲ λαμβάνοντες ὑμεῖς,

1. Ψαλμ. 46, 2.

ἀντίδοτε ψαλτήριον τερπνὸν μετὰ κιθάρας, ἢ λύραν ἡδεῖαν μετὰ νάβλης. Τύμπανον δὲ ὄργανόν ἐστιν ἐκ δορᾶς σωματικῆς κατεσκευασμένον, καὶ τὸ ψαλτήριον κιθάρας εἶδος ὧδέ πῃ διὰ χορδῶν κατηρτισμένον, δι' ὧν τὸ σῶμα τὸ ἡμέτερον ἠνίξατο. Βούλεται τοίνυν αὐτοῖς ἔργοις καὶ πράξεσι τὰ διὰ τῶν λόγων παραγγέλματα ἀποπληροῦν· καὶ ταῦτα πράττειν ὁ λόγος τοῖς ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ καθ' ὅλης τῆς οἰκουμένης συγκροτουμένοις προστάττει. Διὸ «Εἰς τὸ τέλος» καὶ «Ὑπὲρ τῶν ληνῶν» προγέγραπται τὰ λελεγμένα. Ληνοὺς γὰρ μηδὲ ἄλλο τι νόμιζε λέγεσθαι ἢ τὰς ἐκκλησίας τοῦ Θεοῦ, ἐν αἷς συγκροτούμενοι καὶ τοὺς ἑαυτῶν καρποὺς κατὰ τὸ αὐτὸ συμβαλλόμενοι, μίαν κρᾶσιν ποιούμεθα εἰς δόξαν καὶ εὐφροσύνην τοῦ Λόγου τοῦ Θεοῦ. Θαυμάσαι δὲ ἔστιν ὅπως ὁ μὲν πρὸ τούτου ψαλμὸς ἐμπυρισμὸν ἐδήλου, καὶ παντελῆ ἐρημίαν καὶ ἀφανισμὸν τῆς ἐξ Αἰγύπτου μετενηνεγμένης ἀμπέλου· ὁ δὲ μετὰ χεῖρας, ὥσπερ ἑτέρας ὑποστάσης ἀμπέλου καὶ ἀμπελῶνος ἑτέρου, μᾶλλον δὲ πλειόνων ἀμπελώνων ληνοὺς ὑφίστησι πλείους, φαιδρά τε εὐαγγελίζεται τοῖς ἐπὶ ταύτας κεκλημένοις. Ἐπὶ μὲν οὖν τοῦ προτέρου λαοῦ ἕνα ἀμπελῶνα καὶ μίαν ληνόν, μίαν τε ἄμπελον εἰσήγαγεν ὁ φήσας· «Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι.[1]» Εἶθ' ἑξῆς· «Καὶ προλήνιον» φησίν, «ὤρυξα ἐν αὐτῷ, καὶ ἐφύτευσα ἄμπελον Σωρήκ.» Καὶ ἐν τῷ πρὸ τούτου μίαν ἄμπελον ἐδήλου λέγων· «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας.» Ἐν δὲ τοῖς «Ὑπὲρ τῶν ληνῶν» πλείους δηλοῖ ληνούς, δηλαδὴ πλειόνων ἀμπελώνων. Εἰ δὲ καὶ τὴν ἄμπελον τὴν καινὴν γνῶναι βουληθείης, τὴν μετὰ τὸν ἀφανισμὸν τῆς προτέρας ἐν ἀνθρώποις φυεῖσαν, μάνθανε παρὰ τοῦ Θεοῦ Λόγου περὶ αὐτοῦ ταῦτα διδάσκοντος· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, ὁ Πατήρ μου ὁ γεωργός. Πᾶν κλῆμα μὴ φέρον καρπὸν ἐν ἐμοί, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα καρπὸν πλείονα φέρῃ. Ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν· μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. Καθὼς τὸ κλῆμα οὐ δύναται φέρειν καρπὸν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ· οὕτω καὶ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. Ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. Ὁ μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, καὶ οὗτος φέρει καρπὸν πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε φέρειν.[2]» Τῆς μὲν οὖν προτέρας ἀμπέλου τὰ τέλη διέγραψεν ὁ πρὸ τούτου ψαλμός· ἡ δὲ ἀληθινὴ ἄμπελος ὁποῖον ἔχει φυτουργὸν καὶ γεωργόν, καὶ ὁποῖα κλήματα, καὶ ὁποίους βότρυς, ἡ σωτήριος παρίστησι διδασκαλία. Ἐκ τῶν ταύτης τοιγαροῦν κλημάτων διαδοθέντων καθ' ὅλης τῆς οἰκουμένης συνέστησαν ἀμπελῶνες· καὶ τούτων οἱ καρποὶ κατὰ τὸ αὐτὸ συναγόμενοι ἐν ταῖς καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίαις πολὺ πλῆθος ἀπειργάσαντο ληνῶν· ὧν ἕνεκα διὰ τοῦ ἁγίου Πνεύματος οἱ «Ἐπιλήνιοι» ψαλμοὶ προφητικῶς ἀνεφωνήθησαν.

1. Ἡσ. 5, 1. 2. Ἰω. 15, 1-5.

Στίχ. δ'. «Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.»

Ἐκάλει μὲν ὁ λόγος ἀρχόμενος ἐπὶ ἀγαλλίασιν· προσέταττε δὲ ἀλαλάζειν, τουτέστιν ὕμνον ἐπινίκιον ἀναπέμπειν τῷ δηλωθέντι Θεῷ Ἰακώβ· εἶτα λόγους διδασκαλικοὺς παραλαμβάνοντας, ἔργοις τούτους ἀποπληροῦν· πληρωτὰς δὲ γενομένους τῶν ἔργων, ἤδη λοιπὸν καὶ εἰς πάντας ἀνθρώπους κηρύττειν καὶ σαλπίζειν, ἐξηχεῖν τε καὶ ἐξάκουστον τοῖς πᾶσι ποιεῖν τὸ Εὐαγγέλιον· ὥσπερ οὖν καὶ ὁ Σωτὴρ παρεκελεύετο λέγων τοῖς αὐτοῦ μαθηταῖς· «Ὃ εἰς τὸ οὖς ἀκούετε, κηρύσσετε ἐπὶ τῶν δωμάτων.[1]» Διὸ λέλεκται τοῖς τὰ πρῶτα κατωρθωκόσι· «Σαλπίσατε.» Πῶς δὲ αὐτοὺς βούλεται σαλπίζειν, ἢ ὡς ἐσάλπιζον πάλαι πρότερον οἱ τὰς εἰκόνας ἐπιτελοῦντες, καὶ τὰ σύμβολα καὶ τοὺς τύπους τῶν ἀληθῶν; Ἐσάλπιζον δὲ ἐκεῖνοι ἐν νεομηνίᾳ καὶ ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς. Καὶ τοῦτ' ἔπραττον κατὰ τὸν ἕβδομον μῆνα, ἐν ᾧ συνερχόμενοι, τὴν ἑορτὴν τῶν Σαλπίγγων ἐπετέλουν, ἅπαξ τοῦ ἐνιαυτοῦ τοῦτο πράττοντες. Λέγει δ' οὖν ἡ γραφὴ τοῦ νόμου· «Τοῦ μηνὸς τοῦ ἑβδόμου, μιᾷ τοῦ μηνός, ἔσται ὑμῖν ἀνάπαυσις, μνημόσυνον σαλπίγγων· κλητὴ ἁγία ἔσται ὑμῖν.[2]» Οὕτως οὖν ὥσπερ ἐν τῇ νεομηνίᾳ τῇ τότε ἐσάλπιζον, βούλεται καὶ νῦν τοὺς κεκλημένους σαλπίζειν. Ἦν δὲ ἡ ἡμέρα ἐκείνη ἡ τῆς ἑορτῆς τῶν Σαλπίγγων, εὔσημος ἡμέρα· λέγει δ' οὖν Μωσῆς περὶ αὐτῆς· «Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. Ἡμέρα σημασίας ἔσται ὑμῖν.[3]» Διὸ καὶ ἐνταῦθα λέλεκται· «Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν.» Ἦν οὖν ἡμέρα εὔσημος καὶ ἑορτὴ οὐδενὸς ἑτέρου ἢ σαλπίγγων· ἔνθεν καὶ Σαλπίγγων ἑορτὴ κέκλητο. Τριῶν δὲ οὐσῶν ἑορτῶν κατὰ τὸν αὐτὸν μῆνα· πρώτης μὲν τῆς τῶν Σαλπίγγων ἐν τῇ νεομηνίᾳ συντελουμένης· ἑτέρας δὲ τῆς τοῦ Ἱλασμοῦ ἐν τῇ δεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς γιγνομένης· καὶ τρίτης τῆς τῶν Σκηνῶν· μόνην τὴν τῶν Σαλπίγγων μιμεῖσθαι κελεύει φάσκων· «Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι·» σαφέστερον δὲ οὕτως ἂν εἶπεν. Ὥσπερ ἐν τῇ νεομηνίᾳ ἐσάλπιζόν ποτε περιτρέχοντες πάντα τόπον εἰς τὸ σημῆναι τὴν ἑορτήν, τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς, οἷς ὁ λόγος προστάττει, «σαλπίσατε». Βούλεται δὲ τοὺς κήρυκας τῶν ἐθνῶν μὴ ταῖς λοιπαῖς προσέχειν Ἰουδαϊκαῖς παρατηρήσεσι, μόνῳ δὲ χρῆσθαι τῷ κηρύγματι, καὶ σαλπίζειν εἰς ἅπαντας ἀνθρώπους τὸν σωτήριον καὶ εὐαγγελικὸν λόγον. Τούτων γὰρ αὐτῶν τὰ σύμβολα καὶ Μωσῆς ἐποίει, καὶ ἦν πρόσταγμα τῷ Ἰσραὴλ ἰδίως τοῦτο νενομοθετημένον, τὸ δεῖν σαλπίζειν, καὶ διὰ τῆς σάλπιγγος σημαίνειν τοῖς πᾶσι τὴν τοῦ καιροῦ ἑορτήν. Τὸ δὲ πρόσταγμα τοῦτο κατὰ κρίσιν ἐγένετο, καὶ κατὰ βούλημα καὶ κρῖμα τοῦ Θεοῦ Ἰακώβ. Αὐτὸς γὰρ τῷ Ἰακὼβ ὀφθεὶς πάλαι Θεὸς ἐν ἀνδρὸς εἴδει καὶ σχήματι, οὗτος ἦν ὁ ταῦτα καὶ διὰ Μωσέως εἰκονικῶς τῷ λαῷ πράττειν διαταξάμενος. Ὅτι δὲ

1. Ματθ. 10, 27. 2. Λευϊτ. 23, 24. 3. Λευϊτ. 23, 7.

τὸ σαλπίζειν ἀντὶ τοῦ βοᾶν καὶ εἰς πάντας καταγγέλλειν λέλεκται, διδάσκει ὁ Σωτὴρ λέγων· «Ὅταν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου.[1]»

Στίχ. ς'. «Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτό, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου, γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσε.»

Τὸ προλεχθὲν περὶ σαλπίγγων πρόσταγμα μαρτύριον, φησίν, ἔθετο ἐν τῷ Ἰωσήφ· κατὰ δὲ τὸν Σύμμαχον, «Μαρτυρίαν διὰ τοῦ Ἰωσὴφ ἔταξεν αὐτό·» τὸ δὲ μαρτύριον ὥσπερ διαμαρτυρόμενος ἐδίδου· καὶ ἦν τοῦτο σημεῖον ἑτέρου πράγματος· ᾐνίττετο γὰρ περί τινων σαλπίγγων, ὧν ἐκ μέρους μὲν οἱ ἀπόστολοι τοῦ Σωτῆρος ἡμῶν, καὶ οἱ τοῦ εὐαγγελικοῦ λόγου κήρυκες ἀπεπλήρουν τὰ ἔργα, εἰς πᾶσαν τὴν γῆν σαλπίζοντες, καὶ πᾶσιν ἔθνεσι κηρύττοντες τὴν τῆς σωτηρίου θεοφανείας ἑορτήν. Τὰ δὲ ἀποτελέσματα τῶν ἀπορρητοτέρων δι' ἀγγέλων ἔσεσθαι διδάσκει ὁ εἰπών· «Σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσονται πρῶτοι·[2]» καὶ πάλιν· «Ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι·[3]» καὶ πάλιν· «Αὐτὸς ὁ Κύριος ἐν κελεύσματι καὶ ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται.[4]» Ταῦτα δὲ καὶ ὁ Σωτὴρ ἐμυσταγώγει τοὺς αὐτοῦ μαθητάς, λέγων· «Καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρον αὐτῶν.[5]» Ἀλλ' ἡ μὲν τῶν νεκρῶν ἀνάστασις ἔσται ποτὲ διὰ σαλπίγγων εὐαγγελικῶν εὐαγγελιζομένων τὴν ἄφιξιν τῆς βασιλείας τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀπόστολοι δὲ ἐντεῦθεν ἤδη κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν σάλπιγξι χρώμενοι, ταῖς τοῦ ἁγίου Πνεύματος μεγαλοφωνίαις πάντας ἀνεκαλοῦντο τοὺς ψυχὰς νενεκρωμένους ἐπὶ τὴν ἐν Θεῷ ζωήν· ὧν τὰ σύμβολα Μωσῆς παραδιδούς, τὴν περὶ σαλπίγγων ἐνομοθέτει ἑορτήν. Διὸ λέλεκται· «Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτό.» Τί δὲ αὐτὸ ἦν τὸ πρόσταγμα; τὸ περὶ τῶν σαλπίγγων· ἀπὸ μιᾶς δὲ φυλῆς τῆς τοῦ Ἰωσὴφ τὸ πᾶν ἐδήλου ἔθνος. Διὰ τί δὲ ἐν τούτοις τὸ πᾶν ἔθνος Ἰωσὴφ ὠνόμασεν; Ἐπειδήπερ προφάσει τοῦ Ἰωσὴφ οἱ πάντες κατεληλύθεισαν εἰς Αἴγυπτον. Πότε δὲ μαρτύριον τὸν περὶ σαλπίγγων νόμον ἔθετο τῷ λαῷ, ἢ κατ' ἐκεῖνον τὸν χρόνον, καθ' ὃν ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὁπηνίκα γλῶσσαν ἣν οὐκ ἔγνω ἤκουσεν ; Ἐπὶ τῆς ἐρήμου γὰρ διατρίβοντες, φωνῆς Θεοῦ κατηξιώθησαν, τὴν Δεκάλογον αὐτοῖς ἐξάκουστον διαταττομένου. Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ τῆς παρ' Αἰγυπτίοις δουλείας τε καὶ κακοπαθείας ἠλευθεροῦντο. Διὸ λέλεκται· «Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ· αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν·» κατὰ δὲ

---

1. Ματθ. 6, 2. 2. Πρβλ. Α' Θεσσ. 4, 15, 16. 3. Α' Κορ. 15, 52. 4. Α' Θεσσ. 4, 15. 5. Ματθ. 24, 30.

τὸν Σύμμαχον· «Παρεῖλον ἀπὸ βασταγμοῦ τὸν ὦμον αὐτοῦ, αἱ χεῖρες αὐτοῦ κοφίνου ἀπηλλάγησαν.» Ὅτε γὰρ ἐδούλευον τῷ Φαραώ, πηλῷ τε καὶ πλινθείᾳ κατειργάζοντο, οἰκοδομοῦντες αὐτῷ τὰς πόλεις, τὸ τηνικαῦτα κοφίνοις μὲν τὰς χεῖρας, βαστάγμασι δὲ τοὺς ὤμους κατεπονοῦντο. Πλὴν ἀλλὰ τούτων ἁπάντων ἐλεύθεροι κατέστησαν τῆς ἐπισκοπῆς αὐτοῖς γενομένης. Διό φησιν· «Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ.» Τίς δὲ ἀπέστησεν, ἀλλ' ἢ ὁ ἐλευθερώσας αὐτοὺς Θεός; Τούτων δὲ αὐτοὺς ἠξίου, ἐπειδήπερ ἐν θλίψει αὐτὸν ἐπεκαλοῦντο· καὶ τοῦτο δὲ ἡ Μωσέως παρίστησι Γραφὴ λέγουσα· «Καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἀνεβόησαν πρὸς Κύριον, καὶ ἀνέβη βοὴ αὐτῶν πρὸς τὸν Θεόν.[1]» Οἷς ἀκολούθως καὶ τὸ παρόν φησι λόγιον· «Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε· ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος, ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.» Ἀντὶ δὲ τοῦ· «Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος», ὁ μὲν Ἀκύλας· «Ἐπακούσω σου ἐν ἀποκρύφῳ βροντῆς·» καὶ ἡ πέμπτη ἔκδοσις ὁμοίως. Εἶτα ἐπιλέγει· «Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας.» Ὃ δὴ καὶ αὐτὸ σαφῶς ἡ Μωσέως παρίστησι Γραφὴ λέγουσα· «Οὐκ ἦν δὲ ὕδωρ πιεῖν τῷ λαῷ· καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωσῆν, καὶ ἔλεγον· Δὸς ἡμῖν ὕδωρ, ἵνα πίωμεν. Ὁ δὲ ἔλεγε· Τί λοιδορεῖσθέ μοι, ἢ τί πειράζετε Κύριον;[2]» Καὶ ἑξῆς· «Εἶπε Μωσῆς πρὸς Κύριον λέγων· Τί ποιήσω τῷ λαῷ τούτῳ; ἔτι μικρόν, καὶ λιθοβολήσουσί με. Εἶθ' ὁ Κύριος πρὸς αὐτόν φησιν· Ὅδε ἐγὼ ἕστηκα πρὸ τοῦ σὲ ἐκεῖ, ἐπὶ τῆς πέτρας ἐν Χωρήβ. Καὶ πατάξω τὴν πέτραν, καὶ ἐξελεύσεται ὕδωρ, καὶ πίεται ὁ λαός. Καὶ ἐποίησεν οὕτως Μωσῆς. Καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πειρασμὸς καὶ Λοιδόρησις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραήλ, καὶ διὰ τοῦ πειράζειν αὐτοὺς Κύριον, λέγοντας· Εἰ ἔστι Κύριος ἐν ἡμῖν, ἢ οὔ;[3]» Ταῦτα πάντα τὸν ἐξ ἐθνῶν λαὸν διδάσκει ἡ μετὰ χεῖρας προφητεία, ὡς ἂν μάθοιο ποίων ἔτυχεν ὁ πρῶτος λαός, καὶ εἰς οἷον ἐλήλυθε τέλος, σωφρονίζοιτό τε ἐκ τοῦ παραδείγματος. Διὸ τοῖς προλεχθεῖσιν ἐπισυνάπτει τὰ ἑξῆς ἀναγκαίως, ἐν οἷς εἴρηται· «Ἄκουσον, λαός μου, καὶ διαμαρτυροῦμαί σοι· Ἰσραήλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται σοι Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ. Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου· πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν· πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.» Τὰ μὲν παρ' ἐμοῦ, φησί, δεδωρημένα τῷ λαῷ τοιαῦτα ἦν, ὁποῖα διεξῆλθεν ὁ λόγος· τὰ δ' ἐξ αὐτῶν εἰς ἐμὲ οὐχ ὅμοια, οὐδὲ ἄξια ὧν ἔτυχον παρ' ἐμοῦ. Ἐγὼ μὲν γὰρ ὁ τῶν τοσούτων αὐτοῖς χορηγὸς ἀγαθῶν, ἓν τοῦτ' αὐτοῖς, τὸ δὴ τῶν νόμων κεφάλαιον, λέγω δὲ τὸ μὴ εἰδωλολατρεῖν,

1. Ἔξ. 2, 23. 2. Ἔξ. 17, 1. 3. Ἔξ. 17, 4. 6.

ἐμὲ δὲ μόνον Θεὸν εἰδέναι, παρεκελευσάμην, αὐτὰ δὴ ταῦτα παραινῶν καὶ λέγων· «Ἄκουσον, λαός μου, καὶ διαμαρτυροῦμαί σοι· Ἰσραήλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου.» Ταῦτα παρῄνουν, ταῦτα παρεκελευόμην, ταῦτα ὁ πᾶς τῆς ἐμῆς νομοθεσίας ἐβούλετο νοῦς. Συνῆπτό τε τοῖς παραγγέλμασιν ἀγαθῶν ἐπαγγελία, δι' ὧν ἔφασκον· «Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό.» Εἰ γὰρ ταῦτα φυλάξετε, ἀκοπιάστως ἕξετε καὶ πεπληρωμένως τὰς τροφάς, εἴτε τὰς τοῦ σώματος, εἴτε καὶ τὰς διὰ θείων μαθημάτων τῇ ψυχῇ χορηγουμένας. Ἐγὼ μὲν οὖν ταῦτα παρῄνουν καὶ ἐπηγγελλόμην· οἱ δὲ οὐκ ἤκουον τῆς ἐμῆς φωνῆς· καὶ ὁ τοσούτων κατηξιωμένος εὐεργεσιῶν Ἰσραὴλ οὐ προσέσχε μοι· ὅθεν εἰκότως «ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· «Οὐχ ὑπήκουσε δὲ ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐκ ἐπείσθη μοι. Ἀφῆκα οὖν αὐτοὺς τῇ ἀρεσκείᾳ τῆς καρδίας αὐτῶν, ὁδεύειν ταῖς βουλαῖς αὐτῶν.» Ἐντεῦθεν ὁ θεῖος Ἀπόστολος διδάσκει περί τινων λέγων· «Διὸ παρέδωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν.[1]» Ἀντὶ δὲ τοῦ· «Οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος», ὁ Ἀκύλας· «Οὐκ ἔσται ἐν σοὶ ἰσχυρὸς ἀλλότριος·» ὁ δὲ Σύμμαχος· «Μὴ ἔστω ἐν σοὶ Θεὸς ξένος», ἡρμήνευσε. Ξένον δὲ καὶ ἀλλότριον Θεὸν καὶ πρόσφατον, τὸν πεπλανημένως παρὰ τοῖς ἔθνεσι νενομισμένον ὠνόμασε, τὴν πολύθεον εἰδωλολατρείαν οὕτω παραπεμπόμενος. Οἷς ἐπιλέγει· «Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου», παριστὰς ἑαυτὸν οὔτε ξένον, οὔτε ἀλλότριον, οὔτε πρόσφατον ὄντα Θεόν. Ἦν γὰρ εἷς καὶ ὁ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, καὶ ὁ πάλαι διαφόρως τοῖς παλαιοῖς χρηματίζων, ὁ δὴ καὶ Θεὸς Ἰακὼβ ἐπικεκλημένος, ὁ καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐπὶ γῆς ὀφθείς. Ἐν γὰρ τῷ κόσμῳ ἦν καὶ πρὸ τῆς θεοφανείας, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. Διόπερ παρακελεύεται λέγων· «Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου.»

Στίχ. ιδ', ιε'. «Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη· ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα, καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον ἂν τὴν χεῖρά μου.»

Ἱκανῶς ἀπολελόγηται, ὅτι μὴ ἀκρίτως μήτε ὡς ἔτυχε μετῆλθε τὸ Ἰουδαίων ἔθνος ἡ ἐκ Θεοῦ ὀργή. Καί μοι δοκεῖ πρὸς τὰς ἀνωτέρω λελεγμένας πεύσεις, ἐν τῷ «Ἵνα τί ὁ Θεός, ἀπώσω εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;[2]» καὶ πάλιν· «Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;[3]» τὴν ἀπόκρισιν πεποιῆσθαι. Ἵνα τί γὰρ τὰ τοιαῦτα πεπόνθασι διδάσκει λέγων· Ὅτι «οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς

1. Ῥωμ. 1, 24. 2. Ψαλμ. 73, 1. 3. Ψαλμ. 79, 13.

μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι·» καί, «Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη· ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμήνευσεν· «Ἐν ὀλιγίστῳ ἂν ἐχθροὺς αὐτῶν ἥττησα, καὶ ἐπὶ τοὺς ἐναντίους αὐτῶν ἀνέστρεψα τὴν χεῖρά μου.» Ταῦτα ἂν ἔπραξα, φησί, κατὰ τῶν ἐχθρῶν τοῦ λαοῦ, εἰ ἔσχον αὐτοὺς ὑπηκόους, καὶ εἰ ταῖς ὁδοῖς μου αἷς διεταξάμην αὐτοῖς ἐπορεύθησαν. Νῦν δὲ ἀνήκοοι καὶ ἀπειθεῖς γενόμενοι, αὐτοὶ ἑαυτοὺς ἐχθροὺς τοῦ Θεοῦ κατέστησαν. Εἶτ' ἐπειδήπερ λαὸν αὐτοῦ ὠνόμασε τοὺς ἀπειθεῖς καὶ ἀνηκόους καθ' ὑπερβολὴν φιλανθρωπίας τὸ Πνεῦμα τὸ ἅγιον, διδάσκει ὅτι οὐδεὶς Θεῷ ἀπειθήσειε λαὸς αὐτοῦ. Διὸ ἐπιλέγει· «Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ·» κατὰ δὲ τὸν Σύμμαχον· «Μισοποιοὶ Κυρίου οἱ ψευσάμενοι αὐτῷ.» Καὶ προστίθησι· «Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.» Εἰ γὰρ καὶ τοιαῦτα τετολμήκασιν, ὅμως τὸν παρόντα αἰῶνα ἕξουσι. Καὶ οὗτός ἐστιν αὐτῶν ὁ καιρός, ἐν ᾧ καὶ μετὰ τοσαῦτα πλημμελήματα «ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ, καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς.» Κατὰ τοῦτο δὲ ἐπλήρου καταξιώσας αὐτοὺς τῆς οἰκείας τροφῆς, οὐ μόνον τῆς σωματικῆς, ἀλλὰ καὶ τῆς ἐπουρανίου καὶ πνευματικῆς, ὁπηνίκα πρώτοις αὐτοῖς ἐπεδήμει ὁ Χριστὸς τοῦ Θεοῦ, τροφὴν αὐτοῖς παρεῖχε τὸν ἐπουράνιον ἄρτον αὐτὸς ἑαυτόν. Οὐ μὴν ἀλλὰ καὶ ἐψώμισεν αὐτοὺς ἐκ πέντε ἄρτων παραδόξως ἐπὶ τῆς ἐρήμου· ὥσπερ πάλαι διὰ Μωσέως τὸ μάννα. Ἔτι δὲ καὶ ἐκ «πέτρας μέλι ἐχόρτασεν αὐτούς·» πέτρα δὲ ἦν αὐτός, χορηγῶν αὐτοῖς τὰ πάσης ἡδονῆς καὶ παντὸς μέλιτος γλυκύτερα μαθήματα, περὶ ὧν ἦν εἰπεῖν· «Ὡς γλυκέα τὰ λόγιά σου τῷ φάρυγγί μου ! ὑπὲρ μέλι τῷ στόματί μου.[1]» Καὶ πάλαι δὲ διὰ Μωσέως ἐκ πέτρας αὐτοῖς παρεῖχε ποτόν. Μέλι δὲ ἐνταῦθα τὸ ἐκ πέτρας οὐδ' ἄλλως ἢ κατὰ διάνοιαν ἐκδεκτέον· ἐπεὶ καὶ αὐτὸς Μωσῆς τὴν αὐτὴν τίθησι μαρτυρίαν, λέγων ἐν μεγάλῃ ᾠδῇ· «Ἐθήλασαν μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας.[2]» Ἅπερ πρὸς μὲν ψιλὴν τὴν λέξιν οὐχ ὑφέστηκεν, ἀλληγορικῶς δὲ κατὰ μόνην τὴν διάνοιαν ἐξακούεται. Αὐτὸς γὰρ ὁ Χριστὸς ἡ πέτρα, ταῦτα πάντα παρέχων αὐτοῖς διὰ τῆς αὐτοῦ διδασκαλίας, οὐ καθ' ὃν χρόνον ἐπεδήμει μόνον, ἀλλὰ καὶ πρὸ τῆς ἐνσάρκου ἐπιδημίας αὐτοῦ· ὡς ἐξ ἅπαντος αὐτοὺς μὲν εἶναι ἀναπολογήτους, δικαίαν δὲ τὴν τοῦ Θεοῦ κρίσιν μετὰ τὰ τοσαῦτα τὴν ἀποβολὴν αὐτῶν ἐργασαμένην. Ἀλλὰ γὰρ ταῦτα ἡμᾶς τοὺς ἐξ ἐθνῶν ἐπὶ τὴν ἔνθεον ἀγαλλίασιν διὰ τῶν πρώτων κεκλημένους ὁ λόγος διδάσκει προφυλαττομένους, μή πη τοῖς ὁμοίοις καὶ αὐτοί ποτε περιπέσοιμεν.

1. Ψαλμ. 118, 103. 2. Δευτ. 32, 18.

## ΨΑΛΜΟΣ ΤΩ ΑΣΑΦ. ΠΑ'.

Στίχ. α'. «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει.»

Ὁ μὲν πρὸ τούτου λόγος κατηγορεῖ τοῦ παντὸς Ἰουδαίων λαοῦ, σαφῶς τοῦ Θεοῦ φάσκοντος· «Οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι. Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῆς καρδίας αὐτῶν·» καὶ πάλιν· «Εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη· ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα·» ὁ δὲ μετὰ χεῖρας ἀκολούθως ἐκείνοις τῶν προέδρων τοῦ λαοῦ κατηγορεῖ· ὡς πρὸς ἄρχοντα γοῦν καὶ κριτὰς ἀποτείνεται λέγων· «Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Κρίνατε πτωχὸν καὶ ταπεινόν, ὀρφανὸν καὶ πένητα δικαιώσατε.» Εἶτα ἐπιλέγει· Ἐγὼ ταῦτα παρεκελευόμην· οἱ δὲ «οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.» Θεοὺς δὲ αὐτοὺς ἀποκαλεῖ, ἤτοι διὰ τὴν τιμὴν ἣν ἀπένεμεν αὐτοῖς ὁ λαός· οὕτω μετὰ πλείστου φόβου καὶ τιμῆς προσιὼν αὐτοῖς ὡσεὶ καὶ αὐτῷ τῷ Θεῷ· ἢ ἐπειδήπερ χώραν Θεοῦ ἐπεῖχον τὸ κρίνειν ἀναδεδεγμένοι, κολάζοντές τε καὶ τιμωρούμενοι τοὺς ἀδικοῦντας κατὰ τὸν παρ' αὐτοῖς νόμον· ἢ διὰ τὸ τετιμῆσθαι αὐτοὺς ὑπὸ τοῦ Θεοῦ τῷ τῆς υἱοθεσίας ὀνόματι, ὡς λέγεσθαι περὶ αὐτῶν· «Υἱοὺς ἐγέννησα καὶ ὕψωσα·» ἢ διὰ τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ γεγονέναι διὰ τὴν ἐν ἀνθρώποις νοερὰν καὶ λογικὴν οὐσίαν. Αὐτίκα γοῦν ἐν αὐτῷ τῷ προκειμένῳ ψαλμῷ προϊών, ὁ λόγος φησὶ πρὸς τοὺς κατηγορουμένους· «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες. Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.» Τοὺς δὴ οὖν τοῦ λαοῦ προεστῶτας, ἱερέας δηλαδὴ καὶ ἀρχιερέας, τούς τε λοιποὺς ἄρχοντας ἀνακρίνων ὁ Θεὸς Λόγος, τὰ μετὰ χεῖρας διεξέρχεται. Διὸ εἴρηται· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει·» κατὰ δὲ τὸν Ἀκύλαν· «Θεὸς ἔστη ἐν συναγωγῇ ἰσχυρῶν, ἐν ἐγκάτῳ Κύριος κρίνει·» κατὰ δὲ τὸν Σύμμαχον· «Ὁ Θεὸς κατέστη ἐν συνόδῳ Θεοῦ, ἐν μέσοις Θεὸς κρίνων.» Κρίνων δὲ οὗτος ὁ Θεός, δηλαδὴ ὁ τοῦ Θεοῦ Λόγος, καὶ διακρίνων τὴν λεγομένην συναγωγὴν τῶν θεῶν, ἐλέγχους προσάγει τοῖς κρινομένοις. Καὶ ἐπεὶ δυνατοὶ δυνατῶς ἐτασθήσονται, εἰκότως τὸ τάγμα τῶν προλελεγμένων θεῶν ἀφορίζει ἰδίως καὶ κρίνει, προδιελθὼν ἐν τῷ πρὸ τούτου λόγῳ τὸν ἔλεγχον τοῦ πλήθους τοῦ λαοῦ. Ἀλλὰ καὶ διακρίνει, κρίνων τοὺς ἀξίους σωτηρίας καὶ τοὺς μὴ τοιούτους. Κρίνει δὲ οὐκ ἐπηρμένως, οὐδὲ τυραννικῶς, ἐν ὕψει τε προκαθεζόμενος, ἀλλὰ συγκαταβαίνων τοῖς κρινομένοις, μέσος αὐτῶν ἵσταται, ὁμοιούμενος αὐτοῖς τῷ σχήματι δι' οὗ ἀνείληφεν ἀνθρώπου. Ἐντεῦθέν τε ἤδη προλαβὼν ἀποτείνεται σωφρονίζων τοὺς μέλλοντας κρίνεσθαι, καὶ προφυλαττόμενος αὐτοὺς πρὸς τὸ μὴ περιπεσεῖν τῇ τῆς κρίσεως τιμωρίᾳ, προκατορθῶ-

σαι δὲ καὶ προφυλάξασθαι διὰ τῶν προσαγομένων αὐτοῖς ἐλέγχων.

Στίχ. β΄, γ΄. Διὸ φάσκει· «Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; Κρίνετε πτωχῷ καὶ ὀρφανῷ.»

Τὰ ὅμοια δὲ τούτοις καὶ διὰ Ἡσαΐου τὸ προφητικὸν Πνεῦμα κέκραγε λέγον· «Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, κρίνατε ὀρφανῷ καὶ δικαιώσατε χήρᾳ· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος. Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ.[1]» Ἀλλὰ ταῦτα μὲν ὁ λόγος προδιαστέλλεται· οἱ δὲ τῇ τῶν θεῶν ἐπηγορίᾳ τιμηθέντες, καὶ τοσαύτης διδασκαλίας ἀξιωθέντες, «οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.» Ταῦτα δὲ καὶ εἰς τὸν καιρὸν τῆς πρώτης τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ἀναφέροιτο ἄν, καθ' ὃν ἐν ταῖς συναγωγαῖς παραβάλλων τοῦ Ἰουδαίων ἔθνους, καὶ μέσος τῶν ἀρχόντων παριών, τὰς πρὸς αὐτοὺς ἐποιεῖτο διαλέξεις, ἐλέγχους τε αὐτοῖς ἐπῆγε, μαρτυρόμενος καὶ διαστελλόμενος τὰ περὶ τῆς μελλούσης αὐτοὺς διαλήψεσθαι κρίσεως. Οὕτως οὖν ὁ Θεὸς ἦν κατ' ἐκεῖνο καιροῦ ἑστὼς ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ τε τοὺς προλεχθέντας κρίνων θεούς· ἀντὶ γὰρ τοῦ, «διακρίνει», ὁ Σύμμαχος καὶ ὁ Ἀκύλας, «κρίνων», ἐκδεδώκασι. Καὶ ὅρα ὅπως θεοὺς ὠνόμασε τοὺς κρινομένους, καὶ θεῶν συναγωγὴν οὐκ ὤκνησεν ἀποκαλέσαι, εἰς δυσώπησιν τῶν ἀρνουμένων τοῦ Σωτῆρος τὴν θεότητα. Εἰ γὰρ τοὺς ἐλεγχομένους καὶ ἐπὶ κακίᾳ διαβαλλομένους οὐκ ὤκνει θεοὺς ὀνομάζειν, τὸν τῶν τοσούτων παραδόξων ἔργων ποιητήν, τὸν τὴν κρίσιν παρὰ τοῦ Πατρὸς εἰληφότα, πῶς οὐ δικαιότατον τῇ τοῦ Θεοῦ σεβασμίῳ τιμῇ σεμνύνειν; Τοῦτό τοι καὶ αὐτὸς ὁ Σωτὴρ δυσωπητικῶς πρὸς αὐτοὺς τοὺς Ἰουδαίων ἄρχοντας προὔτεινεν, αὐταῖς δὲ ταύταις κεχρημένος ταῖς παρούσαις λέξεσιν. Εἰρηκότων γὰρ αὐτῶν· «Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σύ, ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν· ἀνταπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, ὅτι, Ἐγὼ εἶπα· Θεοί ἐστε; Εἰ ἐκείνους εἶπε θεούς, πρὸς οὓς ὁ λόγος ἐγένετο τοῦ Θεοῦ, καὶ οὐ δύναται λυθῆναι ἡ Γραφή, ὃν ὁ Πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, ὅτι βλασφημεῖ, ὅτι εἶπον· Υἱὸς Θεοῦ εἰμι.[2]» Εἰ δὲ λέγοι ὁ Σωτήρ, ὅτι, «Οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ;» μὴ θαυμάσῃς· ἐπεὶ πάντα λόγον Θεοῦ, οὐ μόνον τὸν διὰ Μωσέως, ἀλλὰ καὶ τὸν διὰ τῶν προφητῶν λελεγμένον, ὥσπερ τινὰ βασιλικὸν νόμον ἀποδέχεσθαι διδάσκει· ὥστε καὶ τὰ διὰ τῶν προφητῶν παρηγγελμένα εὐλόγως ἄν τινα εἶναι φάναι νόμους Θεοῦ· καὶ τὸ διὰ τῆς ψαλμῳδίας ὁμοίως. Αὐτὸς οὖν ὁ τοῦ Θεοῦ Λόγος, μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἔστη ἐν συναγωγῇ θεῶν, καὶ μέσος τῶν ἐν ἀνθρώποις ὀνομασθέντων θεῶν γεγονώς, ἔκρινεν αὐτούς, ὁπηνίκα πρὸς αὐτοὺς ἔλεγεν· «Ὁ λόγος ὃν ἐλάλησα πρὸς ὑμᾶς, αὐτὸς ὑμᾶς κρίνει.[3]» Καὶ

1. Ἡσ. 1, 17. 2. Ἰω. 10, 33. 3. Ἰω. 12, 48.

μᾶλλον οὕτω πρέποι ἂν ἐκδέχεσθαι τὴν παροῦσαν Γραφήν, ἢ νομίζειν τὸν ἐπέκεινα τῶν ὅλων Θεόν, αὐτὸν τὸν Πατέρα, ἐν τούτοις εἰσάγεσθαι μεταξὺ θεῶν ἑτέρων ἑστῶτα. Οὔτε γὰρ ἰσοτίμους αὐτῷ τινας εἶναι ὑπονοεῖν θέμις, οὔτε αὐτὸν εἰς τοσοῦτον καταγαγεῖν, ὡς μέσον ἀνθρώπων παρεῖναι καὶ ἑστάναι ὑποτίθεσθαι. Ταῦτα δὲ πάντα ἂν ἁρμόζοι τῷ Χριστῷ τοῦ Θεοῦ· ὃς δὴ φάσκων· «Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;» οὐ πρὸς ἐκείνους μόνους οἷς παρὼν ὡμίλει, ἀλλὰ καὶ πρὸς πάντας εἴποι ἂν ταῦτα, τοὺς τὴν ἐξουσίαν τοῦ κρίνειν ἑτέρους εἰληφότας. Μέμφεται δὲ εἰκότως τοὺς καθυποκρινομένους μὲν τὰ τῶν πλουσίων πρόσωπα, καταπονοῦντας δὲ τοὺς πένητας· δέον τῷ τῆς δικαιοσύνης ζυγῷ δικάζειν, μνημονεύοντας φάσκοντος νόμου· «Οὐ λήψῃ πρόσωπον ἐν κρίσει.[1]» Νυνὶ δὲ πολλάκις καὶ ἡμεῖς ἐπὶ μὲν τῶν πενήτων πταιόντων σμικρά τινα ἀπότομοι γιγνόμεθα κριταί, καὶ ἀπαραίτητοι ἐν ταῖς κατ' αὐτῶν ἀποφάσεσι· πλουσίων δὲ τὰ μέγιστα ἐξαμαρτανόντων, ἔπειτα παραβαλλόντων εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, πρόσωπα λαμβάνομεν· ὥστε καὶ πρὸς ἡμᾶς ἁρμόττει τό· «Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;» Ἐν δὲ τῷ λέγειν, «ἕως πότε», ὑπομιμνήσκει τῆς τοῦ βίου ἀπαλλαγῆς. Πόσον γάρ, φησίν, ἕξετε χρόνον ἐν ᾧ τοιοῦτοι ἔσεσθε; καὶ λοιπὸν διαλήψεται ὑμᾶς ἡ τοῦ Θεοῦ κρίσις.

Στίχ. δ'. Διὸ ἐπιλέγει· «Κρίνατε πτωχὸν καὶ ὀρφανόν, ταπεινὸν καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα, καὶ πτωχὸν ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε.»

Ἐὰν μὲν οὖν τούτων ἀκροώμενοι παιδευώμεθα καὶ τὰ παραγγέλματα φυλάττοιμεν, τῆς ἐκ τῶν λόγων ὠνάμεθα ὠφελείας. Ἐπεὶ καὶ ἡμῖν λεχθήσεται· «Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.» Τί δὲ οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἢ ὅτι ὅσον οὔπω καὶ αὐτοὶ παραστήσονται τῷ βήματι τοῦ Θεοῦ, λόγον δώσοντες περὶ ὧν οὐ δικαίως ἔκριναν; Οἱ δὲ μὴ πρὸ ὀφθαλμῶν θέμενοι τὴν κρίσιν τοῦ Θεοῦ ἐν σκότει διαπορεύονται, τῷ τῆς ἀγνοίας σκότῳ τὰ τῆς ψυχῆς αὐτῶν ὄμματα πληρώσαντες. Διὸ προσήκει, τῷ τοῦ λόγου φέγγει φωτιζομένους, ἢ μὴ κρίνειν, μνημονεύοντας τοῦ εἰρηκότος· «Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε·[2]» ἢ εἰ ἀνάγκη ποτὲ κρίνειν, κατὰ τὸ δικαιότατον τοῦτο ποιεῖν καὶ ἐλέγχειν τοὺς ἁμαρτάνοντας, κἂν δέοι ὑπὲρ ἀληθείας θνήσκειν, πεπεισμένους ἀκριβῶς, ὅτι πάντων ἔσται συντέλεια καὶ μεταβολὴ ἐπὶ τῇ καθολικῇ κρίσει τοῦ Θεοῦ, ἣν ποιήσεται διὰ τοῦ Χριστοῦ αὐτοῦ· ἣν καὶ ὁ παρὼν παρίστησι λόγος ἐπισυνάπτων ἑξῆς τό· «Σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς. Ἐγὼ εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.» Ἔτι πρὸς τοὺς προλεχθέντας θεούς, ἡγουμένους δηλαδὴ καὶ ἄρχοντας τοῦ λαοῦ, ὁ

1. Δευτ. 16, 19. 2. Ματθ. 7, 1.

μέσος αὐτῶν γενόμενος Θεὸς καὶ τὰ παρόντα ἀποτείνεται, διδάσκων, ὡς αὐτὸς μέν, τὴν τοῦ Πατρὸς ἀφθονίαν μιμούμενος, πᾶσιν αὐτοῖς τῆς αὐτοῦ θεότητος οὐκ ἐφθόνησε μεταδοῦναι, ὡς καὶ θεοὺς ἀναγορεῦσαι αὐτοὺς καὶ υἱοὺς Ὑψίστου πάντας ἂν εἰπεῖν, ὅπερ αὐτῷ μόνῳ προσῆν· οἱ δὲ τὴν χάριν ἐνύβρισαν. Νοήσεις δὲ πῶς τιμὴν θεῶν οἱ ὑπὸ τοῦ Θεοῦ τὴν ἀρχὴν εἰληφότες παρὰ τοῖς ἀρχομένοις ἐκτήσαντο, ἐπιστήσας ὅπως εἴρηται τῷ Μωσεῖ· «Ἰδοὺ καθέστηκά σε σήμερον θεὸν τῷ Φαραώ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σοι προφήτης.[1]» Ὥσπερ γὰρ Μωσῆς, ἄνθρωπος ὢν Θεοῦ καὶ παρ' αὐτοῦ τὴν τιμὴν λαβών, θεὸς ἀνηγορεύθη τοῦ Φαραώ· τὸν αὐτὸν τρόπον καὶ πάντες οὓς ἂν τιμήσειεν ὁ Θεός, θεῶν χώραν παρὰ τοῖς ὑποτεταγμένοις εἰλήφασιν. Ἔνθεν καὶ οἱ ἀρχόμενοι προσίασιν αὐτοῖς μετὰ εὐλαβείας καὶ δέους, οὐ διά τινα δορυφορίαν στρατιωτικήν, οὐ διὰ πλοῦτον καὶ δυναστείαν, διὰ δὲ τὴν ὑπὸ Θεοῦ περιθεῖσαν αὐτοῖς τιμήν. Οὕτω γὰρ καὶ Μωσέως ἦν δεδοξασμένον τὸ πρόσωπον· οὕτω καὶ τῶν ἀποστόλων τοῦ Σωτῆρος ἡμῶν, οὕτω καὶ τῶν πάλαι τοῦ Θεοῦ προφητῶν, οὕτω καὶ πάντων τῶν ἀληθῶς τοῦ Θεοῦ δούλων, ἀδόξως μενόντων καὶ πτωχῶν κατὰ τὸν βίον, τετιμημένων δὲ παρὰ τοῖς θεοσεβέσι διὰ τὴν ἐκ Θεοῦ δεδομένην αὐτοῖς χάριν. Ἐγὼ μὲν οὖν, φησί, καὶ ἠθέλησα, καὶ εἶπον· «Θεοί ἐστε·» βουληθεὶς ὑμᾶς ὁμοίως ἐμοὶ τῷ μέσῳ ὑμῶν ἑστῶτι Θεῷ υἱοὺς γενέσθαι τοῦ Ὑψίστου· ὑμεῖς δὲ τὴν χάριν ἠθετήσατε. Ταῖς γοῦν ἀνθρωπίναις κακίαις καὶ ταῖς ὑμετέραις ἁμαρτίαις ἐναποθνήσκετε. «Ψυχὴ» γὰρ «ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται.[2]» Διὸ καὶ «ὑμεῖς ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.» Ὡς γὰρ ἦν ποτε ὁ διάβολος τιμῆς ἠξιωμένος παρὰ τῷ Θεῷ καὶ τῶν ἐν οὐρανοῖς ἀρχοντικῶν ἀγγέλων εἷς· εἶτα μοχθηρᾷ προαιρέσει χρησάμενος ἀποπέπτωκε τῆς αὐτοῦ χώρας, ὡς εἰρῆσθαι περὶ αὐτοῦ· «Πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ Ἑωσφόρος ὁ πρωὶ ἀνατέλλων;[3]» τοιοῦτοί τινες καὶ ὑμεῖς γεγόνατε, οὐκ ἐκ φύσεως ὄντες κακοί, χρησάμενοι δὲ οὐκ ἀγαθῇ τῇ προαιρέσει. Διὸ τὰ μὲν παρ' ἐμοῦ εἰς Θεοῦ τιμὴν ὑμᾶς ἐκάλει· ὑμεῖς δὲ τὸν ἄρχοντα τῆς πτώσεως μιμησάμενοι, «ὡς εἷς τῶν ἀρχόντων καὶ αὐτοὶ πίπτετε. Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.» Σφόδρα ἀκολούθως διὰ τοῦ πρὸ τούτου ψαλμοῦ κατηγορήσας ὁ λόγος τοῦ παντὸς Ἰουδαίων ἔθνους, καὶ διὰ τοῦ μετὰ χεῖρας δὲ ὡσαύτως τῶν ἀρχόντων τοῦ λαοῦ κατηγορίαν πεποιημένος, διαλλαγὴν αἰτεῖ καὶ ἐπιφάνειαν εὔχεται γενέσθαι οὐκέτι τῷ Ἰουδαίων ἔθνει, ἀλλὰ πᾶσι τοῖς ἔθνεσι. Διὸ ἐπιλέγει· «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.» Τίς δέ ἐστιν ὁ κληρονομήσας ἐν πᾶσι τοῖς ἔθνεσι, μὴ ἐρώτα, τὸ δὲ πρᾶγμα ἐξέταζε, καὶ εὑρήσεις οὐδὲ ἄλλον ἢ τὸν Χριστὸν τοῦ Θεοῦ· πρὸς ὃν λέλεκτο

---

1. Ἔξ. 7, 1. 2. Ἰεζ. 18, 4. 3. Ἡσ. 14, 12.

ὑπὸ τοῦ Πατρός· «Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Τοῦτον οὖν διεγείρων τὸν ἐν μέσῳ τῶν θεῶν Θεὸν στάντα καὶ διελέγξαντα τοὺς προλεχθέντας, ἤδη ποτὲ ἐπὶ πέρας ἐπαγαγεῖν τὴν πρὸς αὐτὸν ἐπαγγελίαν ὁ παρὼν ἀξιοῖ λόγος φήσας· «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.» Οἱ μὲν γὰρ προκατηγορηθέντες, φησί, κακοὶ γενόμενοι κριταί, ἐν σκότῳ διεπορεύθησαν· ἐπεὶ δέ σοι πρέπει τὸ δικαίως κρίνειν· μόνῳ γὰρ τὴν κρίσιν ὁ Πατὴρ ἔδωκε τῷ Υἱῷ· ἤδη ποτὲ σὺ αὐτὸς ἀνάστηθι, διὰ τῆς σαυτοῦ ἀναστάσεως τὴν κοινὴν πάντων ἀνθρώπων ἀνάστασιν ποιησόμενος· καὶ κρῖνον τὴν γῆν, πάντας δηλαδὴ τοὺς τὴν γῆν οἰκοῦντας ἀνθρώπους. Πρέπει δέ σοι πάντας ἀνθρώπους κρίνειν, «ἐπειδὴ σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.» Καὶ ὁ μὲν παρὼν ψαλμὸς συναγωγὴν θεῶν ὠνόμασε, καὶ Θεὸν μέσον ἑστῶτα, καὶ θεοὺς διακρίνοντα, πᾶσάν τε τὴν διδασκαλίαν περὶ κρίσεως ἐποιήσατο· ἐπήγαγέ τε ἐπὶ τέλει τό, «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν.»

Ταῦτά τε πάντα τὸ Πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου Ἀσὰφ ἐξενήνεκται. Ἐπεὶ δὲ εὕρομεν καὶ τὸν μθ' ψαλμὸν καὶ αὐτὸν ἐπιγεγραμμένον «Τοῦ Ἀσάφ», καὶ τὰ περὶ κρίσεως διειληφότα ὁμοίως τοῖς προκειμένοις, εἰκότως ἡγησάμεθα ἀκόλουθον εἶναι ἐκεῖνον τούτῳ, ὄντα μὲν ὁμοίως τοῦ Ἀσάφ, τὴν αὐτὴν ὑπόθεσιν εἰσηγούμενον. Εἴρηται γοῦν καὶ ἐν αὐτῷ· «Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν.» Θέα γὰρ ὅπως τὸ μὲν τέλος τοῦ μετὰ χεῖρας φάσκει· «Ἀνάστα, ὁ Θεός, κρῖνον τὴν γῆν·» ἡ δὲ τοῦ μθ' ἀρχή· «Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν.» Καὶ ἐνταῦθα μὲν εἴρηται· «Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν·» ἐν ἐκείνῳ δέ, «ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν·» καὶ πάλιν ἐν μὲν τῷ μθ' λέλεκται· «Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται·» ἐλθὼν δὲ τί ποιήσει, ὁ μετὰ χεῖρας διδάσκει λέγων· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρίνει.» Πῶς δὲ διακρίνει, ὁ μθ' διασαφεῖ φάσκων· «Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται· κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ.» Τούτων τοιγαροῦν ἕνεκα εἰκότως ἕπεσθαι τῷ μετὰ χεῖρας ἡγησάμεθα τὸν μθ'. Κἀκεῖνο δὲ τηρητέον, ὡς ὁμοίως τοῖς ἐνταῦθα συνημμένοις τοῦ Ἀσὰφ ψαλμοῖς τὴν ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους, καὶ ταύτης τὰς αἰτίας περιέχουσι. Καὶ ὁ μθ' τοῦ αὐτοῦ τυγχάνων προφήτου, ἀνατροπὴν τοῦ Μωσέως νόμου εἰσάγει διὰ τῆς τῶν θυσιῶν παραιτήσεως· ὥστε καὶ ἐν ταὐτῷ τὴν ἀκολουθίαν δείκνυσθαι τῆς τῶν ἐμφερομένων διανοίας. Διὰ τί δὲ μετατέθειται ὁ μθ' ἐκ τῆς τῶν προκειμένων συναφείας,

1. Ψαλμ. 2, 7.

προτέτακται δὲ τῆς ἐν τῷ ν' ψαλμῷ ἐξομολογήσεως, ἐν τοῖς εἰς αὐτὸν τεθεωρημένοις ἡμῖν προδιείληπται.

## ΩΔΗ ΨΑΛΜΟΥ ΤΩ ΑΣΑΦ. ΠΒ'.

Στίχ. β'. «Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεός.»

Ὁ μὲν οθ' ψαλμὸς προανεφώνει τὸν ἀφανισμὸν τοῦ ἀμπελῶνος καὶ τὴν πτῶσιν τοῦ Ἰουδαίων ἔθνους, τοῦ τε παρ' αὐτοῖς τετιμημένου τόπου τὸν ἐμπρησμὸν καὶ τὴν ἐρημίαν· οἱ δ' ἑξῆς αὐτῷ δύο τὴν αἰτίαν ἐδίδασκον δι' ἣν πεπόνθασι ταῦτα· ὁ δὲ παρών, συνημμένος ἐκείνοις, ἱκετηρίαν καὶ δέησιν ὑπὲρ τοῦ λαοῦ ποιεῖται. Ἔδει γὰρ μετὰ τὰ σκυθρωπὰ ὥσπερ τινὰ θεραπείαν προσάγειν τοῖς προλεχθεῖσι, μέλλοντας ἐν τούτῳ περιγράφεσθαι τοὺς «Τοῦ Ἀσάφ» ψαλμούς. Διὸ καὶ «Ὠδὴ ψαλμοῦ» ἐπιγέγραπται ὁ παρὼν λόγος, διὰ τὸ τὰ χρηστὰ ὑπερεύχεσθαι τοῦ λαοῦ. Ἔστι δὲ ὁ παρὼν τῶν ἐπιγεγραμμένων «Τοῦ Ἀσάφ» ια', ὧν πρῶτος ἦν ὁ οβ', συμπαραλαμβανομένου τοῖς προκειμένοις τοῦ μ' καὶ θ', διὰ τὸ καὶ αὐτὸν εἶναι τοῦ Ἀσάφ. Γένοιντ' ἂν οἱ πάντες τὸν ἀριθμὸν ιβ'. Λέγει δὲ διὰ τοῦ παρόντος ὁ Προφήτης ἐν τῇ πρὸς τὸν Θεὸν ἱκετηρίᾳ· «Ὁ Θεός, τίς ὁμοιωθήσεταί σοι; Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεός.» Ὁ μὲν γάρ, φησί, τῷ Θεῷ μακροθύμῳ ὄντι καὶ ἀνεξικάκῳ, καὶ διὰ τοῦτο πάντων ἀνεχομένῳ, οὐδεὶς ὅμοιος. Τίς γάρ σοι παραπλησίως τὰς τῶν ἀθέων καὶ ἀσεβῶν ἀνδρῶν δυσφημίας καὶ ὑπερηφανίας οἷός τ' ἂν εἴη φέρειν; Διὸ σοὶ μέν, ὁ Θεός, οὐδεὶς ὁμοιωθήσεται· ἐγὼ δὲ ὡς ἄνθρωπος, ἡττώμενος ὑπὸ τῆς ἐμαυτοῦ ἀσθενείας, τολμῶ δεῖσθαι, καὶ σοὶ τῷ Θεῷ μεθ' ἱκετηρίας λέγειν· «Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεός.» Σιγᾶν δὲ λέγεται ὁ Θεός, ἐπειδὰν ἐπαιρομένων τῶν ἀθέων καὶ δυσσεβῶν ἀνδρῶν, ἀπροσποίητος μένει, μὴ ἐπάγων παραχρῆμα τὴν κατ' αὐτῶν ὀργήν, μηδὲ ταῖς κατ' αὐτῶν τιμωρίαις χρώμενος. Διὸ καὶ τοῖς ἁμαρτάνουσιν ὁ αὐτὸς Ἀσὰφ ἐν τῷ μ' καὶ θ' τὸν Θεὸν εἰσάγει λέγοντα· «Ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος.» Τὰ δὲ αἴτια τῆς σιγῆς τοῦ Θεοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας παιδεύει ὁ Ἀπόστολος γράφων· «Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; [1]» Ἀλλὰ σὺ μέν, φησίν, ὡς Θεὸς πάντων ἀνεχόμενος, πάντας φέρεις πράως, καὶ ἐπὶ τοῖς ἀσεβῆ καὶ ἄθεα ἁμαρτάνουσι, καὶ κατὰ σοῦ τοῦ Θεοῦ βλασφημοῦσι, σιωπᾷς· ἐγὼ δέ, μὴ δυνάμενος ταῦτα ὁρᾶν, δέομαι καὶ ἱκετεύω συγγνώμης τυχεῖν ἐπὶ τὸ μὴ δύνασθαι φέρειν σοι τῷ Θεῷ παραπλησίως· τίς γάρ σοι ὁμοιωθήσεται; Διὸ ὡς ἄνθρωπος,

1. Ῥωμ. 2, 4.

ζῆλον ἔχων τὸν ὑπὲρ τῆς σῆς εὐσεβείας, τολμῶ ἱκετηρίαν σοι προσάγειν· ὥστε παύσασθαι μὲν τῆς ἀφάτου μακροθυμίας καὶ τῆς ἀνεξικάκου σιωπῆς· ἤδη δέ ποτε κινηθῆναι κατὰ τῶν τὰ ἀνήκεστα τετολμηκότων. Διό φημι· «Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς·» ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «Μὴ καθησυχάσῃς», ὁ δὲ Σύμμαχος, «Μὴ ἐρημάσῃς», εἰρήκασιν. Εἶτ' ἐπιλέγει ἑξῆς· «Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν.» Κατὰ δὲ τὸν Ἀκύλαν· «Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ὤχλασαν, καὶ μισοποιοῦντές σε ἦραν κεφαλήν·» κατὰ δὲ τὸν Σύμμαχον· «Ἰδοὺ γὰρ οἱ ἐχθροί σου», φησί, «συνηχοῦσι, καὶ οἱ μισοῦντές σε ἐπαίρουσι κεφαλήν.» Ἠχοῦσι δὲ καὶ ὀχλάζουσιν οἱ ἐχθροὶ τοῦ Θεοῦ, ὅτε οὐκέτι κρύβδην, οὐδὲ πεφεισμένως τολμῶσι παραφθέγγεσθαι τὰς κατὰ τοῦ Θεοῦ βλασφημίας· ἤδη δὲ ἐκ τοῦ προφανοῦς καὶ ἀθρόως οἱ πάντες κατὰ τοῦ Θεοῦ τὰ ἄθεα προφέρονται ῥήματα, ὁποῖα τολμῶσι πράττειν κατὰ τοὺς τῶν διωγμῶν καιρούς. Εἶτα δὲ καὶ ὑψαυχενοῦντες καὶ φρυαττόμενοι τὴν κεφαλὴν ἐπαίρουσιν, ὅτε μάλιστα ἐπιτριβὴν αὐτοῖς ἡ σιωπὴ τοῦ Θεοῦ κατεργάζεται. Τούτων δὲ τὴν κεφαλὴν αἰρόντων, οἱ τοῦ Θεοῦ ἄνθρωποι καταπονούμενοι ταπεινοῦνται· ὡς ἔμπαλιν ταπεινουμένων τῶν ἐχθρῶν τοῦ Θεοῦ αἱ τῶν ἁγίων καὶ θεοφιλῶν ἀνδρῶν κεφαλαὶ ὑψοῦνται. Διὸ εἴρηταί που ἐξ αὐτῶν προσώπου τό· «Καὶ νῦν ὕψωσε κεφαλήν μου ἐπ' ἐχθρούς μου.[1]»

Στίχ. δ', ε'. «Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. Εἶπαν· Δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι.»

Δυσωπεῖ τὸν Θεὸν ὁ Προφήτης ἐν ἁγίῳ Πνεύματι, διὰ τοῦ ὑπομιμνήσκειν, ὡς ἄρα λαὸς αὐτοῦ γεγόνοιο (;) τὰ τοσαῦτα πεπονθώς. Εἶτα καὶ τῶν ἐν τῷ λαῷ διαλαμψάντων πάλαι πρότερον ἁγίων τοῦ Θεοῦ μέμνηται, δεόμενος καὶ ἀντιβολῶν μὴ τῶν ἐν αὐτοῖς ἀσεβῶν καὶ παρανόμων, μόνων δὲ τῶν ἁγίων αὐτοῦ μνησθῆναι, καὶ δι' αὐτοὺς τὸ πᾶν κατελεῆσαι ἔθνος. Ἀκόλουθα δὲ αὐτοῖς ποιοῦντες οἱ ἐχθροὶ τοῦ Θεοῦ, τὸν λαὸν αὐτοῦ πολεμοῦσι, πανουργίᾳ χρώμενοι καὶ δόλῳ, πρὸς τὸ καταβαλεῖν αὐτὸν καὶ ἀποστῆσαι τῆς τοῦ Θεοῦ εὐσεβείας. Διὸ λέλεκται· «Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου.» Μεμελημένως γὰρ καὶ πεφροντισμένως μηχανάς τινας κρυφίους κατὰ τοῦ λαοῦ τοῦ Θεοῦ καττύουσι, κατά τε τῶν ἁγίων αὐτοῦ ἐπιβουλὰς κατασκευάζονται, δι' ἕνα σκοπὸν ὃν ἐν ἑαυτοῖς προθέμενοί φασι· «Δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα τοῦ Ἰσραὴλ ἔτι.» Οἱ μὲν οὖν θεομάχοι οὐ βούλονται ἐν ἀνθρώποις ἔθνος Θεοῦ ὑφεστάναι· ἀλλὰ καὶ τὸ ὄνομα τοῦ Ἰσραὴλ ἐξαλειφθῆναι σπουδάζουσιν. Ὁ δὲ Θεός, ἀεὶ ἔθνος ἑαυτῷ ἐπὶ γῆς καταρτίζων, μετὰ τὴν τοῦ προτέρου λαοῦ

1. Ψαλμ. 26, 6.

πτῶσιν τὴν ἐξ ἐθνῶν συνεστήσατο Ἐκκλησίαν, καὶ τὸ καινὸν καὶ νέον ἔθνος, τὸ καθ' ὅλης τῆς οἰκουμένης ἐκ τῆς τῶν ἐθνῶν ἐκλογῆς ὑποστάν. Διὸ μειζόνως καὶ τὸ ὄνομα τοῦ Ἰσραήλ, καὶ πάντων τῶν θεοφιλῶν ἀνδρῶν ἡ μνήμη ἀνυμνεῖται, τά τε τῆς θεοσεβείας κατορθώματα διαλάμπει.

Στίχ. ς', η', θ'. «Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό· κατὰ σοῦ διαθήκην διέθεντο τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ οἱ Ἰσμαηλῖται, Μωὰβ καὶ οἱ Ἀγαρηνοί, Γεβὰλ καὶ Ἀμμὼν καὶ Ἀμαλήκ, ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον. Καὶ γὰρ καὶ Ἀσσοὺρ συμπαρεγένετο μετ' αὐτῶν, ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. Διάψαλμα.»

Ὥσπερ διεγείρων καὶ παροξύνων τὸν Θεὸν ὁ Προφήτης ἐν τῇ ἱκετηρίᾳ τῇ ὑπὲρ τοῦ λαοῦ φάσκει τό, «κατὰ σοῦ.» Οὐ γὰρ κατὰ τοῦ λαοῦ, φησίν, ἀλλὰ κατὰ σοῦ καὶ κατὰ τῆς σῆς διαθήκης τετολμήκασιν οἱ τοῦ λαοῦ σου πολέμιοι. Εἶθ' ἑξῆς διεξέρχεται τὰ ἐν τῇ τῶν Ἀσσυρίων ἐπιθέσει κατὰ Ἰουδαίων ἔθνους πραχθέντα. Καὶ ταῦτα θεσπίζει προδιελθὼν τὰς αἰτίας, δι' ἃς τοῖς πολεμίοις παρεδόθησαν. Ἐν μὲν γὰρ τῷ πρὸ τούτου ψαλμῷ τοὺς ἄρχοντας ἀπήλεγχε τοῦ λαοῦ φήσας· «Ἕως πότε κρίνετε ἀδικίαν;» καὶ πάλιν· «Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.» Ἐν δὲ τῷ ἀνωτέρω τὸ πᾶν διέβαλλεν ἔθνος εἰπών· «Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου, καὶ Ἰσραὴλ οὐ προσέσχε μοι.[1]» Ἀλλὰ καὶ ἐν τῷ οζ' μακρὸν κατάλογον τῶν παρανομημάτων αὐτῶν διεξῆλθεν. Ἀκολούθως οὖν τὰ συμβεβηκότα αὐτοῖς μακροῖς ὕστερον χρόνοις διὰ τὰς προλεχθείσας αἰτίας προφητεύει. Καὶ ἐκεῖ κατὰ διαφόρους χρόνους πεπολιόρκηνται· πρότερον μὲν ὑπὸ Βαβυλωνίων, δεύτερον δὲ ὑπ' Ἀντιόχου τοῦ τῆς Συρίας βασιλέως, καὶ τὸ πάντων ὕστατον ὑπὸ Ῥωμαίων μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν τόλμαν. Εἰκότως τῇ προγνώσει τοῦ Πνεύματος τὰς τρεῖς ταύτας ὁ αὐτὸς προφήτης προαναφωνεῖ πολιορκίας· ἐν μὲν τῷ ογ' τὴν ὑστάτην σημαίνων, ὡς κατὰ τοὺς οἰκείους τόπους παρεστήκαμεν· ἐν δὲ τῷ οη' τὴν ἐπὶ Ἀντιόχου τοῦ Σύρου, καθὼς ἀποδέδεικται· ἐν δὲ τῷ μετὰ χεῖρας τῆς πρώτης μέμνηται, λέγω δὲ τῆς Ἀσσυρίων, ἣν καὶ ὁ οθ' ἐθέσπισε, τὸν ἐμπρησμὸν τοῦ ἀμπελῶνος καὶ τὴν ἐρημίαν αὐτοῦ σημήνας. Ἔστι δ' οὖν καὶ ἀπὸ τῆς ἱστορίας μαθεῖν, ὅσα κατὰ τὸ αὐτὸ συνῆλθον ἔθνη κατὰ τοῦ Ἰουδαίων λαοῦ ἐν τῇ πρώτῃ τῶν Ἀσσυρίων ἐπιθέσει, ἃ καὶ ἡ μετὰ χεῖρας καταριθμεῖται προφητεία· πρώτους Ἰδουμαίους ὀνομάζουσα, εἶτα Ἰσμαηλίτας καὶ τρίτους Μωαβίτας, καὶ τετάρτους Ἀγαρηνούς, εἶτα Γεβαληνούς, καὶ Ἀμμανίτας, καὶ Ἀμαληκίτας. Καὶ ἐπὶ τούτοις, «Ἀλλόφυλοι», φησί, «μετὰ τῶν κατοικούντων Τύρον.» Ἀντὶ δὲ τοῦ, «ἀλλόφυλοι», Ἀκύλας καὶ Σύμμαχος, «Φιλισταίαν», ἐκδεδώκασιν· ἔθος δὲ καλεῖν τούτῳ τῷ

1. Ψαλμ. 80, 12.

ὀνόματι τοὺς τὴν Γάζαν καὶ τὴν Ἀσκάλωνα καὶ τὴν πάραλον οἰκοῦντας. Καὶ οὗτοι τοίνυν ἐφεξῆς οἱ παραλιῶται ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον ἐπέθεντο, φησί, κατὰ τοῦ λαοῦ σου· καὶ ἐπὶ πᾶσιν ὁ Ἀσσύριος, τὸ δὴ κεφάλαιον τῶν κακῶν, σὺν τούτοις ὁρμώμενος, καὶ τούτοις συμμάχοις χρώμενος, τὴν παράταξιν ἐποιήσατο· ὁμοῦ τε πάντες οἱ προλεχθέντες «ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ.» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «Ἐγένοντο», φησί, «βραχίων τοῖς υἱοῖς Λώτ·» ὁ δὲ Σύμμαχος, «Ἐγένοντο σύμμαχοι τοῖς υἱοῖς Λώτ.» Υἱοὶ δὲ Λὼτ ἦσαν Ἀμμανῖται καὶ Μωαβῖται· δύο γὰρ οὗτοι γεγόνασιν υἱοὶ τοῦ Λώτ, Μωὰβ καὶ Ἀμμών. Ταῦτα δὲ ὅτι μηδὲ ἄλλοτε ἐπληροῦτο ἢ κατὰ τοὺς Ἀσσυρίων χρόνους, σαφῶς ἡ ἱστορία παρίστησι. Τὸ τηνικαῦτα γὰρ πάντα τὰ ἐκ γειτόνων ἔθνη διαφθονούμενα τῇ Ἱερουσαλὴμ καὶ τῷ ἐν αὐτῇ γεγραμμένῳ ναῷ τοῦ Θεοῦ, διψῶντά τε τὴν ἀπώλειαν τοῦ παντὸς Ἰουδαίων ἔθνους, ὁμοῦ οὖν ἐπέθεντο κατ' αὐτῶν τῇ τῶν Βαβυλωνίων δυναστείᾳ συμμαχήσαντα. Τότε μὲν οὖν πολλὰ συνῆκτο κατ' αὐτῶν τὰ τοῖς Ἀσσυρίοις συμμαχοῦντα ἔθνη. Οὔτε δὲ κατὰ Ἀντίοχον, οὔτε κατὰ τὴν ὑστάτην πολιορκίαν, τὰ προκατηριθμημένα ἔθνη φαίνεται συμμαχήσαντα Ῥωμαίοις, ὁπηνίκα τὸν πρὸς Ἰουδαίους συνεστήσαντο πόλεμον.

Στίχ. ι'-ιβ'. «Ποίησον αὐτοῖς ὡς τῇ Μαδιὰν καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβὶμ ἐν τῷ χειμάρρῳ Κισών. Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ, ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμωνᾶ.»

Τοιαῦτα θεσπίζει γενέσθαι τοῖς προλεχθεῖσιν ἔθνεσιν ὁ Προφήτης, ὁποῖα τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ, καὶ τῷ Ἰαβὶμ ἐν τῷ χειμάρρῳ Κισὼν συνέβη ποτέ· οἵτινες ὁμοῦ πάντες ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ, καὶ ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. Ἀλλὰ καὶ τοὺς ἄρχοντας τῶν προλεχθέντων ἐθνῶν τοιαῦτα παθεῖν ἀξιοῖ, ὁποῖα πεπόνθασιν Ὠρὴβ καὶ Ζὴβ καὶ Ζεβεὲ καὶ Σαλμωνᾶς. Τούτων δὲ πάντων τὴν ἱστορίαν εὑρήσεις ἐν τῇ βίβλῳ φερομένην τῶν Κριτῶν· ἔνθα καὶ ὁ Σισάρα καὶ ὁ Ἰαβίς, καὶ οἱ λοιποὶ κατωνομασμένοι, ὁπόσα καὶ τίνα κατὰ τοῦ Ἰσραὴλ ἐμηχανήσαντο, καὶ ὁποῖα πεπόνθασιν, ἡ Γραφὴ παρίστησιν. Ἐφ' ἣν ἀναπέμψωμεν τὸν βουλόμενον τὰ κατ' αὐτοὺς εἰδέναι, διὰ τὸ μακροτέραν εἶναι τὴν περὶ αὐτῶν διήγησιν. Τὰ αὐτὰ σὺν ἐκείνοις καὶ τούτους ἱκετεύει παθεῖν, διότι ὁμοίως ἐκείνοις καὶ οὗτοι εἰρήκασι, «Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ.» Ἔλεγον δὲ ταῦτα καὶ οἱ περὶ τὸν Σισάρα, καὶ Ἰαβίς, οἵ τε λοιποί, οὓς ὁ λόγος κατὰ λέξιν, περὶ τῆς σκηνῆς καὶ τῆς κιβωτοῦ τοῦ Θεοῦ. Τὸ γὰρ ἁγιαστήριον τοῦ Θεοῦ ταῦτα ἦν, μήπω τῆς Ἱερουσαλὴμ συνεστώσης. Ἐπηύξατο δὲ ταῦτα ὁ Προφήτης κατὰ τῶν δεδηλωμένων· εἶτ' οὐκ εἰς μακρὸν ἐπληροῦτο τὰ τῆς εὐχῆς. Αὐτίκα γοῦν παραχρῆμα τῇ κατὰ τῶν Ἰουδαίων πολιορκίᾳ καὶ ἡ Ἀσσυρίων κατελύθη δυναστεία διαρκέσασα χρόνοις· καὶ μέχρι τούτου συστᾶσα μέχρις οὗ

τοιαῦτα τετολμήκασι κατὰ τῆς Ἱερουσαλήμ. Μετ' οὐ πολὺ γοῦν Κῦρος, τῆς Περσῶν βασιλείας κρατήσας, καταλύει τὴν Ἀσσυρίων ἀρχήν. Καὶ τὰ λοιπὰ δὲ κατὰ μέρος ὠνομασμένα ἔθνη τοιαῦτα πέπονθεν, ὁποῖα ὁ λόγος προέφησεν· ὥστ' εἰκότως ἄν τινα φῆσαι, μὴ κατεύχεσθαι τὸν Προφήτην ἐν τούτοις τῶν δηλουμένων, προφητεύειν δὲ αὐτοῖς τὰ ἐσόμενα, κατά τινα συνήθειαν τῆς Γραφῆς προστακτικῷ τρόπῳ ἀντὶ προαγορευτικοῦ κεχρημένον· ὥσθ' ἡμᾶς ἐξακούειν τό, «Ποίησον αὐτοῖς», ἀντὶ τοῦ, «Ποιήσεις ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ.» Ταῦτα δὲ περὶ τοῦ τέλους τῶν Ἀσσυρίων καὶ τῶν σὺν αὐτοῖς καταλεχθέντων ἐθνῶν προφητεύεται. Οὐ μὴν καὶ περὶ τῶν τὴν ὑστάτην πολιορκίαν μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν κατειργασμένων τοιαῦτά τινα ἐφέρετο. Διὸ οὐδὲν Ῥωμαῖοι τοιοῦτον πεπόνθασι μετὰ τὴν κατὰ τοῦ ἔθνους ἐπιχείρησιν.

Στίχ. ιδ'. «Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου.»

Οὐκ ἀκαίρως ὁ Προφήτης, μᾶλλον δὲ τὸ ἐν αὐτῷ ἅγιον Πνεῦμα, ἰδιοποιεῖται τὸν Θεὸν ἐν τῇ προκειμένῃ ἱστορίᾳ φάσκον, «ὁ Θεός μου·» οὐ γάρ, «ὁ Θεὸς ἡμῶν», φησίν, ἀλλ' «ὁ Θεός μου», ὡς ἂν ἑνός που καὶ σπανίου περιλελειμμένου κατὰ τὸν δηλωθέντα καιρὸν τῆς τῶν Ἀσσυρίων πολιορκίας, ἀξίου τοῦ Θεοῦ. Ὡς γὰρ τοῦ λαοῦ παντὸς ἐκπεσόντος, καὶ διὰ τὰς ἁμαρτίας τοῖς πολιορκηταῖς παραδοθέντος, οὐ κοινοποιεῖ τὴν ἐπίκλησιν· ἐξ οἰκείου δὲ μόνου προσώπου ἐπάγει λέγον· «Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν.» Τροχοῦ δὲ φύσις στρεπτὴ καὶ οὐχ ἑστῶσα ἐν ταὐτῷ. Τοιοῦτος δὲ πᾶς ὁ τῶν ἀθέων βίος, καιρῷ μὲν εἰς ὕψος ἐπαιρόμενος, εἶτα στροφὴν ποιούμενος τὴν ἐπὶ τοὐναντίον, τροχῷ παραπλησίως. Πρῶτον τοίνυν, «Θοῦ αὐτοὺς ὡς τροχόν», φησίν· εἶτα, «ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου·» καί, «ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν·» καὶ ἐπὶ τούτοις, «ὡσεὶ φλόξ, ἣ κατακαύσει ὄρη.» Αὐτοὺς γὰρ κατ' αὐτῶν ἐπαναστῆναι, καὶ δι' ἑαυτῶν τὰς τιμωρίας ὧν τετολμήκασιν ὑποσχεῖν διὰ τούτων θεσπίζει εἰπών· «Θοῦ αὐτούς.» Παραθήσεις δὲ τῷ, «ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου», τὸ ἐν ἑτέροις λελεγμένον· «Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως· ἀλλ' ὡς χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.[1]» Τὸ δέ, «ὡσεὶ πῦρ, ὃ διαφλέξει δρυμόν», παρίστησιν αὐτοὺς εἶναι τὸ πῦρ, καὶ αὐτοὺς εἶναι τὸν δρυμόν· ὥστε αὐτοὺς ὑφ' ἑαυτῶν φλεχθήσεσθαι κατὰ τὸ φάσκον λόγιον· «Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε.[2]» Τὸ δέ, «ὡσεὶ φλὸξ ἣ κατακαύσει ὄρη», δείκνυσι τῆς αὐτῶν κακίας τὸ μέγεθος, καὶ ὡς ἡ αὐτῶν φλὸξ τὰ ἐπάρματα αὐτῶν καὶ τὰ ὑψώματα, ὥσπερ τινὰ ὄρη, κατακαύσει. Ἐπιλέγει δὲ τούτοις· «Οὕτω καταδιώξεις αὐτούς.» Καὶ ἐν ἑτέροις δὲ λέλεκται· «Πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος, ἡ

1. Ψαλμ. 1, 4. 2. Ἠσ. 61, 11.

μερὶς τοῦ ποτηρίου αὐτῶν.[1]» Ἐδίδαξε δὲ διὰ τούτων ὁ λόγος, ὅτι ἡ καταιγὶς καὶ ἡ ὀργὴ τοῦ Θεοῦ οὐ πάθη τυγχάνει τοῦ Θεοῦ, ἀλλ' ἡ τοιάδε τις ἐπίσκηψις, δι' ἧς αὐτοὺς καθ' ἑαυτῶν ἐπαναστάντας ἐξ ἑαυτῶν λαβεῖν ὧν ἔδρασαν τὴν τιμωρίαν συνέβαινε. Ταῦτα δὲ πάντα ἱκετεύει, ἢ καὶ μᾶλλον θεσπίζει κατὰ τῶν ἐχθρῶν τοῦ Θεοῦ ἔσεσθαι· ἵνα κἂν οὕτω ποτὲ ὠφεληθεῖεν. Εἰ δὴ ὠφέλεια μεγίστη τυγχάνει τὸ γνῶναι τὸν Θεόν, καὶ ἐπὶ ζήτησιν τοῦ ὀνόματος αὐτοῦ ἐλθεῖν, ὅπερ ἔσεσθαι περὶ αὐτῶν μετὰ τὰ προλεχθέντα διδάσκει λέγων· «Καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε. Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν. Καὶ γνώτωσαν, ὅτι ὄνομά σοι Κύριος· σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.» Τῆς τῶν ἐχθρῶν τοῦ Θεοῦ τελευτῆς δύο τρόπους ἔσεσθαι θεσπίζει· ἕνα μὲν καθ' ὃν χρηστὰς αὐτοῖς ἐλπίδας ἐπιγράφει· εἰ δὴ ἀγαθὸν ἡ γνῶσις τοῦ Θεοῦ, καὶ ἡ τοῦ ὀνόματος αὐτοῦ κατάληψις, καὶ τὸ παιδευθῆναι τοὺς πρότερον μὴ εἰδότας τὸν Θεόν, ὡς ἄρα αὐτὸς εἴη μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν· τοὺς γὰρ ταῦτα ὁμολογοῦντας, λήθην μὲν πεποιῆσθαι τῆς προτέρας ἑαυτῶν πολυθέου πλάνης, εἰκὸς ἀποθέσθαι τε τὴν ματαίαν καὶ ἀπατηλὴν περὶ θεῶν ψευδολογίαν· τὸν δὲ ἕτερον τρόπον, καθ' ὃν αἰσχύνην καὶ ταραχὴν καὶ ἐντροπήν, καὶ ἐπὶ πᾶσι τούτοις ἀπώλειαν προαγορεύει τοῖς τούτων ἀξίοις. Τοῖς μὲν γὰρ ἐκ τῆς θείας ἐπιστροφῆς μεταβάλλουσιν ἐπὶ τὸ κρεῖττον τὴν θείαν γνῶσιν παρέσεσθαι διδάσκει· τοῖς δὲ τῇ ἑαυτῶν ἐγκαταγηρῶσι κακίᾳ τὸν ὄλεθρον καὶ τὴν ἀπώλειαν ἀπειλεῖ. Διὸ περὶ μὲν τῶν χειρόνων λέλεκται· «Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν·» Περὶ δὲ τῶν ἐπὶ τὸ κρεῖττον μεταβληθησομένων τό, «Καὶ γνώτωσαν, ὅτι τὸ ὄνομά σοι Κύριος, σὺ μόνος ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν.» Δύναται δὲ καὶ περὶ τῶν αὐτῶν τὰ πάντα λέγεσθαι, ὡς τῶν ἐχθρῶν τοῦ Θεοῦ, καθ' ὃν πείσονται καιρὸν τὰ προκαταλεχθέντα, ἐντραπησομένων καὶ αἰσχυνθησομένων, καὶ ἀπωλείᾳ παραδοθησομένων, καὶ τότε αὐτῇ πείρᾳ γνωσομένων καὶ ὁμολογησόντων ἕνα εἶναι καὶ μόνον Θεὸν τὸν ὕψιστον καὶ ἐπὶ πᾶσαν τὴν γῆν, τὸν καὶ δικαίᾳ κρίσει μετελθόντα αὐτοὺς τῶν τετολμημένων αὐτοῖς χάριν.

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΤΩΝ ΛΗΝΩΝ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ, ΨΑΛΜΟΣ. ΠΓ'.

Στίχ. β'. «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων.»

Διαλελοιπότων τῶν ἐπιγεγραμμένων ψαλμῶν τοῦ Ἀσάφ, ὧν πρῶτος μὲν ὁ οβ', τελευταῖος ὁ β' καὶ π', ἕπεται ὁ παρὼν πγ', «τοῖς υἱοῖς Κορὲ» ἐπιγεγραμμένος, περὶ ὧν ἐν τοῖς προτεχνολογουμένοις

1. Ψαλμ. 10, 7.

τὰ δόξαντα διειλήφαμεν. Ἐπιτηρῆσαι δὲ ἀναγκαῖον, ὡς οἱ πάντες τοῦ Ἀσὰφ δώδεκα τυγχάνουσι τὸν ἀριθμὸν ψαλμοί· ἰσάριθμοι δὲ τούτοις εἰσὶ καὶ οἱ ἐπιγεγραμμένοι «τῶν υἱῶν Κορέ.» Ἀλλὰ τῶν υἱῶν Κορὲ ὀκτὼ μὲν ἦσαν ἑξῆς συνημμένοι οἱ ἀπὸ τοῦ μα' ψαλμοῦ· οἱ δὲ λείποντες τέσσαρες ἐνταῦθα πρόκεινται, ἀρχόμενοι μὲν ἀπὸ τοῦ πγ', ἐφεξῆς δὲ κείμενοι τῶν ἐπιγεγραμμένων τοῦ Ἀσάφ. Ὡσαύτως δὲ καὶ οἱ τοῦ Ἀσὰφ ια' μέν εἰσι συνημμένοι, οἱ ἀπὸ οβ' καὶ ἐπὶ τὸν πβ'. Ὁ δὲ ιβ' ἑξῆς κατατέτακται τοῖς πρώτοις ὀκτὼ τῶν υἱῶν Κορέ, ὥσπερ ἀντιδόσεως γενομένης διὰ τὰς ἐν ταῖς παρ' ἑκατέροις προφητείας ἐπικοινωνούσας ἀλλήλαις θεωρίαις. Ἦσαν μὲν οὖν οἱ πρῶτοι τῶν υἱῶν Κορὲ ὀκτὼ τὸν ἀριθμόν, οἱ πάντες ἀπὸ τοῦ μα' ἀρχόμενοι, καὶ λήγοντες εἰς τὸν μη'. Περιεῖχον δέ, ὥσπερ ἐν κεφαλαίῳ εἰπεῖν, ἐπὶ τῷ ἐκ περιτομῆς λαῷ κλαυθμὸν καὶ θρῆνον καὶ ὀδυρμόν, Χριστοῦ τε παρουσίαν καὶ κλῆσιν ἐθνῶν. Ἀλλὰ τῶν μὲν εἰρημένων ὀκτὼ τοιαύτη τις ἦν ἡ ὑπόθεσις· τῶν δὲ ἐπὶ τοῦ παρόντος ἐπιγεγραμμένων καὶ αὐτῶν υἱῶν Κορὲ τεσσάρων ὄντων, οἱ μὲν ὕστατοι δύο γένεσιν καὶ θάνατον αὐτοῦ περιειλήφασιν, ὥσπερ ἐπίτηδες ταμιευσαμένου τοῦ Λόγου ἐπὶ τέλει πάντων τὰς περὶ τούτων προρρήσεις ἐκφῆναι. Πολὺς γοῦν ἦν ὁ περὶ τῆς γενέσεως αὐτοῦ λόγος, ἣν ἐν τῷ πς' ψαλμῷ ἐπικεκρυμμένως ᾐνίξατο· καὶ ἐπιπλείων καὶ βαθύτερος ὁ περὶ τοῦ θανάτου αὐτοῦ, ὃν ὑπὲρ ἀνθρώπων ἀνεδέξατο, ὃς ἔνι τῶν πάντων ἐπιγεγραμμένων «υἱῶν Κορὲ» τελευταῖος· λέγω δὲ τῷ πζ' περιείληπται. Οἱ δὲ τούτων ἡγούμενοι δύο ψαλμοί, ὅ τε μετὰ χεῖρας καὶ ὁ ἑξῆς αὐτῷ, τὴν εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν καὶ τὰ ἐπὶ ταύτῃ κατορθώματα θεσπίζουσιν. Ὅ γε μὴν προκείμενος ἐπιγέγραπται, «εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν.» Τριῶν δὲ ὄντων τῶν τὴν τοιαύτην ἐπιγραφὴν ἐχόντων, εἷς μὲν οὗτος τυγχάνει· ὁμοίως δὲ ἐπιγέγραπται καὶ ὁ η', καὶ πάλιν ὁ π'. Ἀλλὰ τούτων μὲν δύο ὠνομάσθησαν ψαλμοί, ὅ τε η' καὶ ὁ παρών. Διὸ χρηστῶν παρόντων ἀπαγγελίας περιέχουσιν. Ὁ δὲ π' ἦν μὲν «Ὑπὲρ τῶν ληνῶν», οὐ μὴν καὶ «ψαλμός», διὰ τὸ σκυθρωπά τινα περιέχειν κατὰ τοῦ Ἰσραήλ. Τρεῖς δὲ ὄντες οἱ «Ὑπὲρ τῶν ληνῶν», τρισὶν ἀνάκεινται προσώποις· ὁ μὲν η' τῷ Δαυΐδ, ὁ δὲ π' τῷ Ἀσάφ, ὁ δὲ μετὰ χεῖρας τοῖς υἱοῖς Κορέ. Καὶ συμφώνως γε οἱ τρεῖς ἐπιγράφονται «εἰς τὸ τέλος», ὡς οἶμαι, διὰ τὰς ἐν αὐτοῖς προφητείας, εἰς τὸ τέλος τῶν καιρῶν, καὶ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ἐπιτελεσθείσας.

Πάλαι μὲν οὖν, ὡς ἂν ἑνὸς ὑπάρχοντος ἀμπελῶνος, περὶ οὗ εἴρητο, «Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραήλ ἐστι·[1]» μία ὥσπερ ληνὸς ἦν ἐν αὐτῷ, ἧς μέμνηται ὁ Ἡσαΐας ἐκ προσώπου τοῦ Κυρίου λέγων· «Καὶ ᾠκοδόμησα πύργον, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ.[2]» Ἐσήμαινε δὲ ἄρα, διὰ μὲν τοῦ πύργου τὸν ἐν Ἱεροσολύμοις

1. Ἡσ. 5, 7. 2. Ἡσ. 5, 2.

νεών, διὰ δὲ τοῦ προληνίου τὸ πρὸς τῷ ναῷ θυσιαστήριον, ὅπερ οὐ ληνόν, ἀλλὰ προλήνιον ὠνόμασεν, εἰκότως· ἐπειδὴ τῶν νοητῶν τὰ σωματικὰ προηγεῖτο, καὶ πρὸ τῆς Καινῆς Διαθήκης ἡ παλαιὰ σύμβολα καὶ εἰκόνας τῶν ἀληθῶν παρὰ Ἰουδαίοις ἐφυλάττετο· διόπερ οὐ ληνός, ἀλλὰ προλήνιον ὠνομάζετο τὸ παρ' ἐκείνοις θυσιαστήριον. Ὡς ἑνὸς δὲ τοῦ ἀμπελῶνος, μία ἦν πάλαι ληνός, καὶ ἑνὸς ναοῦ θυσιαστήριον. Οἱ δὲ ἐν τῷ παρόντι δηλούμενοι τρεῖς ψαλμοὶ οὐ περὶ μιᾶς, ἀλλὰ περὶ πολλῶν μνημονεύουσι ληνῶν, τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην τοῦ Σωτῆρος ἡμῶν ἐκκλησιῶν τοῦτον δηλουμένων τὸν τρόπον. Αὐτίκα διὰ τῶν προκειμένων εἴρηται μὲν ἐν τῇ προγραφῇ «ὑπὲρ τῶν ληνῶν·» ἑξῆς δὲ ἐπιλέγεται· «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων!» μονονουχὶ σαφηνίζοντος τοῦ λόγου τὰς προτεταγμένας ληνούς, τίνες ποτὲ εἶεν. Δηλοῖ γὰρ ταύτας εἶναι τὰ σκηνώματα τοῦ Κυρίου, δηλαδὴ τὰς ἐκκλησίας αὐτοῦ, ἃς προϊὼν λευκότερον πάλιν ὀνομάζει λέγων·

Στίχ. γ'. «Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.»

Καὶ αὖθις προϊών φησι· «Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων.» Καὶ ὅρα εἰ μὴ συμφώνως τῇ προγραφῇ «ὑπὲρ τῶν ληνῶν» περιεχούσῃ πληθυντικῶς τὰ σκηνώματα εἴρηται, καὶ αὐλαὶ καὶ τὰ θυσιαστήρια, σαφῶς τοῦ λόγου οὐκέτι τὸ παλαιὸν ἓν σκήνωμα ἐν Ἱεροσολύμοις, οὐδὲ τὸ ἓν θυσιαστήριον τὸ αὐτόθι ἱδρυμένον, οὐδὲ τὴν αὐτόθι μίαν αὐλήν, ἀλλὰ τὰ καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης θυσιαστήρια καὶ τὰ σκηνώματα καὶ τὰς αὐλὰς δηλοῦντος. Ἄλλοι μὲν οὖν ἄλλα, φησίν, ἀγαπῶσι, καὶ περὶ πολλοῦ ποιοῦνται· ἐμοὶ δέ, ὦ Κύριε, τὰ σὰ σκηνώματα προσφιλῆ καὶ ἀγαπητὰ τυγχάνει, ἐν οἷς κατηξίωσας αὐτὸς ἅμα ἀνθρώποις τὰς διατριβὰς ποιησάμενος κατασκηνῶσαι, φήσας· «Ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.[1]» Οὕτω δέ μοι προσφιλῆ καὶ ἀγαπητὰ τυγχάνει τὰ εἰρημένα, ὥστε δι' ὑπερβολὴν ἐπιθυμίας αὐτῶν ὁμολογεῖν ἐκλείπειν τὴν ψυχήν μου τῷ περὶ αὐτὰς πόθῳ νικωμένην, καὶ τῆς ζωῆς αὐτῆς προτιμᾶν τὰς ἐν ταῖς αὐλαῖς σου διατριβάς. Καὶ οὐ μόνη γε ἡ ψυχή μου ἐκλείπει, ἀλλὰ καὶ ἡ καρδία μου καὶ πρὸς τῇ καρδίᾳ μου καὶ αὐτό μου τὸ σῶμα καὶ ἡ σὰρξ ἣν περιβέβλημαι. Καὶ ταῦτα γὰρ ἐκ τῆς μνήμης τῆς παρὰ σοὶ ζωῆς χαρᾶς πληροῦται καὶ εὐφροσύνης· ὥστ' ἀληθεύοντά με λέγειν· «Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα.» Ζῶν γὰρ ὁ ἡμέτερος Θεός, καὶ μόνος ἰδιόκτητον καὶ φυσικὴν ἐν αὐτῷ κεκτημένος ζωήν, μᾶλλον δὲ αὐτὸς ὢν ἡ πηγὴ πάσης ζωῆς, πᾶσι τοῖς πλησιάζουσι ταύτης μεταδίδωσι. Διόπερ καὶ αὐτὴ ἡ φύσει θνητὴ καὶ φθαρτή μου σὰρξ χαίρει καὶ συγχαίρει, ἅτε δι' αὐτῆς κοινωνήσουσα αἰωνίου ζωῆς, καὶ τῆς τοῦ Θεοῦ χάριτος μεταληψομένη.

1. Ματθ. 18, 20.

Ταῦτα δέ φησιν ὁ Προφήτης διδάσκων, ὁποῖον εἶχε ἔρωτα καὶ πόθον περὶ τὰ ὑπ' αὐτοῦ προφητευόμενα. Διόπερ ὁ Σωτὴρ ἡμῶν ἔλεγε· «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον.[1]» Τὴν σάρκα δέ φησιν ἅμα τῇ καρδίᾳ ἀγαλλιᾶσθαι ἐπὶ Θεὸν ζῶντα, αἰνιττόμενος, ὡς οἶμαι, καὶ τοῦ Σωτῆρος τὴν ἐκ νεκρῶν ἀνάστασιν. Ἐπειδὴ γὰρ οἱ τῶν ἐθνῶν νομιζόμενοι θεοὶ νεκροὶ ἄψυχοι τυγχάνουσι· «Τὰ» γὰρ «εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων·[2]» ταῦτα δὲ ἔσεβον οἱ τότε ἄνθρωποι· ἐγώ, φησίν, οὐ τοιοῦτόν τινα Θεόν, ἀλλὰ ζῶντα Θεὸν προθεωρῶν, τῇ καρδίᾳ εὐφραίνομαι· καὶ αὕτη δέ μου ἡ σὰρξ ἐπὶ τούτῳ τῷ Θεῷ ἠγαλλιάσατο, ὡς ἐπὶ Θεῷ ἀληθῶς ζῶντι καὶ ζωοποιοῦντι τοὺς νεκρούς, ὃς καὶ αὐτήν μου ζωοποιήσει τὴν σάρκα διὰ τῆς ἑαυτοῦ ἀναστάσεως. Διὸ πρὸς τῇ ψυχῇ καὶ ἡ σάρξ μου ἠγαλλιάσατο.

Στίχ. δ'. «Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία αὐτῆς, τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων.»

Καὶ πῶς γὰρ οὐ δίκαιον, φησί, προσφιλῆ καὶ ἀγαπητὰ ὁμολογεῖν εἶναι τὰ σκηνώματά σου, ὦ Κύριε, ὁπότε καταφυγὴ γέγονε παντὶ τῷ οἵῳ τε λέγειν· «Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων·[3]» καὶ πάλιν τῷ φάσκοντι· «Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον; Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν.[4]» Πολλῶν γὰρ τὴν τοῦ θεοφιλοῦς ψυχὴν παγίσι μεταβάλλειν καὶ δικτύοις ὥσπερ θηρεύειν αὐτὴν πειρωμένων, διιπταμένην ὧδε κἀκεῖσε, καὶ πάντῃ περινοστοῦσαν, τῷ μὴ ἔχειν ἀνάπαυσιν ἐν τῷ θνητῷ βίῳ, μόνα τὰ τοῦ Θεοῦ σκηνώματα καταφυγὴ τῇ τοιαύτῃ γέγονε. Διὸ εἴρηται· «Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν», ἀλλὰ «καὶ τρυγὼν νοσσιάν·» ἡ κατὰ τὴν ἐνεστῶσαν ζωὴν σεμνότητα καὶ σωφροσύνην ἀσκοῦσα ψυχὴ (τοιοῦτον γὰρ εἶναι λέγεται τὸ ὄρνεον), ἀποκλαομένη καὶ θρηνοῦσα τὴν ἐν ἀνθρώποις κακίαν, εὗρε καταφυγὴν καὶ αὐτὴ τὰ καθ' ὅλης τῆς οἰκουμένης ἱδρυθέντα διὰ τῆς τοῦ Χριστοῦ σου διδασκαλίας θυσιαστήρια· ἔνθα ὥσπερ ἐν καλιαῖς καὶ νεοττίαις τὰ ἀρτιγενῆ καὶ νεογνὰ τῶν αὐτῆς τέκνων ἀποθήσεται, ἀσφαλῆ καὶ ἀνεπιβούλευτον εὑροῦσα τοῖς ἑαυτῆς νεοττοῖς μονήν· ὥστε εἶναι τὰ θυσιαστήριά σου στρουθίῳ μὲν οἰκίαν, καλιὰν δὲ τρυγόνι. Ταῦτα γὰρ τὰ ὄρνεα, τὸ στρουθίον λέγω καὶ ἡ τρυγών, πάλαι μέν, πρὸ τοῦ συστῆναι τὰ πανταχοῦ γῆς θυσιαστήρια, οὐκ εἶχε καταφυγήν· ἐπλανᾶτο δὲ μακροῖς χρόνοις, ἐν οἷς ἠλαύνετο καὶ ἐδιώκετο πρὸς τῶν θηρευτῶν. Διὸ δὴ ἔλεγον ὁ δίκην στρουθίου ἐλαυνόμενος· «Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς

1. Ματθ. 13, 17. 2. Ψαλμ. 113, 12. 3. Ψαλμ. 123, 7. 4. Ψαλμ. 10, 2, 3.

στρουθίον;» Καὶ ῥυσθέντες γε ἐκ χειρὸς ἐχθρῶν, ὡμολόγουν λέγοντες καὶ αὐτοί· «Ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.» Ἀφανεῖς οὖν καὶ ἀόρατοι οἱ θηρευταὶ ταῖς τὸν οὐράνιον καὶ μετάρσιον βίον μεταδιωκούσαις ψυχαῖς ἐπιβουλεύοντες, δίκτυα καὶ παγίδας ἱστῶντες, θήρατρά τε παντοῖα κατεσκεύαζον εἰς ἐπιβουλὴν αὐτῶν. Καὶ ταῦτά γε παρίστατο διὰ τοῦ προηγουμένου ψαλμοῦ, ἐν ᾧ εἴρητο· «Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν, καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, ἐβουλεύσαντο κατὰ τῶν ὁσίων σου.[1]» Κατὰ τούτους τῶν διωγμῶν καιρούς, καθ' οὓς οἱ ἐχθροὶ τοῦ Θεοῦ τὸν λαὸν αὐτοῦ πολεμοῦντες ἤλαυνον, οἱ τοῦ Θεοῦ ἄνθρωποι δίκην στρουθίων ὧδε κἀκεῖσε περιφεύγοντες, ὕστερόν ποτε εἰρήνης καταξιωθέντες, εὗρον τὰ σκηνώματα τοῦ Θεοῦ, καὶ τὰς αὐλὰς αὐτοῦ, καὶ τὰ θυσιαστήρια καταφυγὴν ἑαυτοῖς καὶ ἀνάπαυσιν. Εἴποις δ' ἂν τοὺς μὲν εὐζώνους καὶ τὸν μονήρη βίον ἐπανῃρημένους εἶναι στρουθίον, τοὺς δὲ παιδοποιίας καὶ τῆς ἄλλης οἰκονομίας πρόνοιαν πεποιημένους, τὴν τρυγόνα, ἣν τῷ Θεῷ φησι προσφέρειν δεῖν τοὺς ἑαυτοὺς νεοττοὺς καὶ ἀνατιθέναι αὐτούς, ὡς ἐν καλιᾷ ἐν τοῖς θυσιαστηρίοις αὐτοῦ.

Στίχ. ε'. «Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, μακάριοι πάντες οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε. Διάψαλμα».

Διὰ τί προσφιλῆ μοι τυγχάνει καὶ ἀγαπητὰ τὰ σκηνώματά σου, καὶ τίνος ἕνεκα ἐκλείπει ἡ ψυχή μου περὶ αὐτά, ἀλλὰ καὶ ἡ καρδία μου καὶ ἡ σάρξ μου ἐπὶ τίνι ἠγαλλιάσατο; Ἐπειδήπερ «εὗρεν ἑαυτῷ στρουθίον οἰκίαν καὶ τρυγὼν νοσσιάν, τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων·» παρ' οἷς θυσιαστηρίοις οἱ μὴ πρὸς βραχὺ διατρίβοντες, ἀλλ' εἰς τὸ διηνεκὲς κατοικοῦντες, καὶ παραμόνως ἐμμένοντες, τρισμακάριοι τυγχάνουσι. Τοῦτο δ' εἰπών, πάντα τὰ παρὰ Μωϋσεῖ νόμιμα περιέγραψεν. Οὐ γὰρ μακαρίους εἶπε τοὺς ἐμπεριτόμους, οὐδὲ τοὺς τὰ Σάββατα φυλάττοντας, οὐδὲ τοὺς τὰς παρὰ Μωϋσεῖ θυσίας καὶ τὰς λοιπὰς τοῦ σωματικοῦ νόμου ἐντολὰς ἐπιτηροῦντας, ἀλλ' οὐδὲ τοὺς ἀπογόνους Ἀβραάμ, οὐδὲ τὸν Ἰσραήλ, οὐδὲ τὸ Ἰουδαίων ἔθνος, ἀλλ' ἁπαξαπλῶς ἅπαντας τοὺς κατοικοῦντας ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Τί γὰρ ἂν γένοιτο ἀληθῶς μακαριώτερον τοῦ βασιλέα μὲν τὸν Θεὸν αὐτοῦ, καὶ τὸν Κύριον τῶν δυνάμεων ἐπιγράφεσθαι, οἰκεῖν δὲ τὸν οἶκον αὐτοῦ διηνεκῶς, ἐξ οὗ πορίζεται ἡ τοῦ Θεοῦ ἀθανασία καὶ ἡ αἰώνιος ζωή; Τοῦτο γοῦν παρίστησιν ὁ λόγος φάσκων· «Εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου.» Πῶς δ' ἂν ἄλλως δύναιτό τις εἰς τοὺς αἰῶνας τῶν αἰώνων τὸν Θεὸν αἰνεῖν ἢ διαιωνίζων καὶ αὐτός, ἀΐδιόν τε καὶ ἀθάνατον κεκτημένος ζωήν;

1. Ψαλμ. 82, 3-4.

Στίχ. ς', ζ'. «Μακάριος ἀνὴρ οὗ ἐστιν ἀντίληψις αὐτοῦ παρὰ σοῦ, ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο, εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν ἔθετο.»

Πληρώσας τὸν εἱρμὸν καὶ τὴν ἀκολουθίαν τῆς διανοίας, μεταβολῇ κέχρηται τοῦ λόγου ἀπὸ διαψάλματος. Διόπερ ἀνωτέρω πληθυντικῶς μακαρίους τοὺς κατοικοῦντας ἐν τῷ οἴκῳ τοῦ Θεοῦ εἰπών, ἐνταῦθα ἕνα τινὰ μακαρίζει κατὰ ἐξαίρετον. Τίνα δὲ τοῦτον ἢ τὸν ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος ἀντιλήψεως τῆς παρὰ τοῦ Θεοῦ ἠξιωμένον, τὸν καὶ ἀναβάσεις ἐσχηκότα Θεοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ; Τοῦτον γὰρ τὸν ἄνδρα πάλιν μακαρίζει· ἀλλ' οὐ τὸν τῶν παρὰ Μωϋσεῖ σωματικῶν ἐντολῶν φύλακα. Τοιοῦτος δέ ἐστι πᾶς ὁ ἀποκλαόμενος ἑαυτὸν ἐν τῷ θνητῷ καὶ ἀνθρωπίνῳ βίῳ, καὶ τὴν ἐπίγειον ταύτην ζωὴν βαρούμενος, ἣν κοιλάδα κλαυθμῶνος ὁ λόγος ὀνομάζει, διὰ τὸ κλαυθμοῦ ἄξια εἶναι τὰ ἐνταῦθα, κλαυθμοῦ τε ἄξια πράττειν τοὺς ἐπὶ γῆς ἀνθρώπους, καὶ διὰ τὸ τοὺς ἁγίους τοῦ Θεοῦ κατὰ τὸν παρόντα βίον ἀποκλαίεσθαι, στενάζοντας καὶ βαρουμένους κατὰ τὸν Ἀπόστολον. Πᾶς οὖν ὁ ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος, τουτέστιν ἐν τῷ θνητῷ βίῳ τῆς παρὰ τοῦ Θεοῦ ἀντιλήψεως τυγχάνων, μακάριος ἀληθῶς ἂν εἴη, ὅτε μάλιστα ἀναβάσεις τοῦ Θεοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ γίνονται. Τῶν γὰρ ἄλλων ἀνθρώπων θνητοῖς λογισμοῖς καθελκομένων εἰς πᾶν εἶδος ἁμαρτίας, ἀλλὰ καὶ δαιμόνων ἐπιβολαῖς, καὶ πονηρῶν πνευμάτων ἐνθυμήσεσι ὑποσκελιζομένων, ὁ μὴ τούτοις ἁλισκόμενος, κατὰ δὲ Θεοῦ χάριν ἀναβάσεις ἀγαθὰς καὶ λογισμοὺς ἐκ Θεοῦ πεμπομένους ἐν τῇ καρδίᾳ αὐτοῦ κτώμενος, οὗτος ἀληθῶς μακάριος, ὁ καὶ διὰ παντὸς κατοικῶν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, καὶ ὥσπερ ἱερεύς τις μόνῃ τῇ λατρείᾳ τοῦ Θεοῦ σχολάζων, καὶ μακάριος οὗτος· ἅτε πρῶτον μὲν ἀντιλήπτορα ἔχων τὸν Θεὸν βοηθοῦντα αὐτῷ, καὶ ἀντιλαμβανόμενον ἐν πάσαις αὐτοῦ ταῖς πράξεσιν· ἔπειτα κεκτημένος ἀναβάσεις Θεοῦ ἐν τῇ καρδίᾳ αὐτοῦ· ἀγαθοὺς δὲ λογισμοὺς σημαίνουσιν αἱ ἀναβάσεις καὶ ἀγαθὰς ἐνθυμήσεις τὰς κατὰ Θεοῦ βουλὴν ἀνιούσας καὶ ἀνατρεχούσας ἐπὶ τὴν μνήμην τοῦ μακαριζομένου. Νοήσεις δὲ τοῦτο παραθεὶς τό· «Ὅταν διώκωσιν ὑμᾶς καὶ ἄγωσιν εἰς συνέδρια, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ὁ λόγος ἐν ἀνοίξει τοῦ στόματος ὑμῶν. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς τὸ λαλοῦν ἐν ὑμῖν.[1]» Ἐν ᾧ γὰρ τὸ Πνεῦμα τοῦ Θεοῦ λαλεῖ, τούτου ἀναβάσεις Θεοῦ ἐν καρδίᾳ αὐτοῦ γίγνονται. Διὸ εἰκότως μακαρίζεται. Οὗτος δὲ αὐτὸς ἐν τῷ χωρίῳ τοῦ κλαυθμῶνος, τουτέστιν ἐν τῷ περιγείῳ τόπῳ τὴν τοῦ Θεοῦ Διαθήκην καὶ τὰ λόγια αὐτοῦ πρεσβεύων «διέθετο.»

Ἀντὶ δὲ τοῦ, «Διέθετο εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος», ὁ Σύμμαχός φησι, «Προοδεύων κοιλάδα ἔκλαιεν.» Κοιλάδα δὲ κλαυ-

1. Ματθ. 10, 19, 20.

θμῶνος ἐν τούτοις τὸν ἀνθρώπινον ἔφαμεν δηλοῦσθαι βίον, ὃν ὁ μακαριζόμενος παροδεύων καὶ παρατρέχων, ὥσπερ τις πάροικος καὶ παρεπίδημος, τὴν ἐπουράνιον ἑαυτοῦ πατρίδα ποθῶν, ἀποκλάεται κλαυθμὸν τὸν μακαριοποιὸν κατὰ τό· «Μακάριοι οἱ κλαίοντες.[1]» Οἷος ἦν ὁ Παῦλος λέγων· «Ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι.[2]» Ἀντὶ δὲ τοῦ, «Εἰς τόπον ὃν ἔθετο», ὁ μὲν Ἀκύλας φησί, «Πηγὴν θήσονται αὐτήν·» ὁ δὲ Σύμμαχος, «Πηγὴ τάξεται.» Τίνα δὲ αὐτήν, φησί, πηγὴν θήσονται, ἢ δηλονότι τὴν κοιλάδα τοῦ κλαυθμῶνος; Ὅλον γοῦν οὕτως ἡρμήνευσεν ὁ Ἀκύλας εἰπών· «Παρερχόμενοι ἐν κοιλάδι τοῦ κλαυθμοῦ, πηγὴν θήσονται αὐτήν.» Δηλοῖ δὲ διὰ τούτων, ὡς ἄρα οἱ πάροικοι καὶ παρεπίδημοι ἐν τῷ βίῳ τούτῳ τὴν τῶν ἀνθρώπων κοιλάδα πηγὴν θήσουσι, ἢ τάξουσι πηγὴν κατὰ τὸν Σύμμαχον, τὴν ἔνθεον διδασκαλίαν τοῦτον ὀνομάσαντες τὸν τρόπον. Πηγὴ γὰρ ζωῆς καὶ ποτὸν ἀθανασίας ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος τῷ τῶν ἀνθρώπων βίῳ καταβέβληται ὑπὸ τῶν τοῦ Θεοῦ ἀνθρώπων διὰ τῆς ζωοποιοῦ καὶ θεοσεβοῦς διδασκαλίας, ἣν αὐτοὶ μετῆλθον, καὶ ἑτέροις καταλελοίπασιν ἐν ταῖς ἑαυτῶν γραφαῖς. Τούτοις δὲ αὐτοῖς, φησίν, εὐλογίας μισθὸν τοῦ κλαυθμοῦ καὶ καρπὸν ἐπάξιον δώσει ὁ νομοθέτης αὐτῶν. Τίσι δὲ τούτοις δώσει τὰς εὐλογίας, ἢ δηλονότι τοῖς ἐν τῇ κοιλάδι ταύτῃ ἀποκλαομένοις καὶ πηγὴν ἐν αὐτῇ θεμένοις; Ἀντὶ δὲ τοῦ, «ὁ νομοθετῶν», ὁ μὲν Ἀκύλας, «πρώϊμος», ὠνόμασεν, ὁ δὲ Σύμμαχος, «ὁ ὑποδείκτης·» ἡ δὲ πέμπτη ἔκδοσις, «ὁ φωτίζων·» ἄλλη δέ τις παρὰ ταῦτα ἔκδοσις ἕκτη, «ὁ διδάσκων·» ὥστε ἐξ ἁπάντων τὸν σωτήριον λόγον ὑπονοεῖν. Αὐτὸς γάρ ἐστιν ὁ νομοθετῶν· αὐτὸς καὶ ὁ φωτίζων καὶ ὁ διδάσκων· αὐτὸς καὶ ὁ πρώϊμος, αὐτὸς καὶ ὁ ὑποδείκτης, καθ' ἑκάστην ἐπίνοιαν τῶν ἐν αὐτῷ δυνάμεων ταύταις χρώμενος ταῖς ἐπωνυμίαις, παρ' οὗ οἱ ἐν τῇ κοιλάδι κλαίοντες, μεταλαβόντες εὐλογίας, πορεύσονται τὴν ἑαυτῶν πορείαν διανύοντες, καὶ δυναμούμενοι ὁσημέραι· ὡς ἀεὶ προκόπτειν ἐπιδιδόναι ἐκ δυνάμεως βραχυτέρας ἐπὶ δύναμιν μείζονα, καὶ ἀπὸ δόξης εἰς δόξαν, ὥς φησιν ὁ θεῖος Ἀπόστολος λέγων, «τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν.[3]» Ὅθεν καὶ ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών· «Ὁδεύσουσιν ἐκ δυνάμεως εἰς δύναμιν.»

Στίχ. θ'. «Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών. Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.»

Εἰπών, «Εὐλογίας δώσει ὁ νομοθετῶν», ἀκολούθως διδάσκει ὅπως δώσει τοῖς ἐν τῇ κοιλάδι τὰς εὐλογίας. Πῶς οὖν, φησί, δώσει, ἀλλ' ἢ καταξιώσας ὀφθῆναι ἐπὶ τῆς γῆς; Σφόδρα δὲ ἀκολούθως θεσπίσας ὁ λόγος ληνοὺς Θεοῦ πλείστας μέλλειν ἔσεσθαι καθ' ὅλης οἰκουμένης καὶ σκηνώματα πλεῖστα καὶ αὐλὰς πλείους, καὶ θυσιαστή-

1. Πρβλ. Ματθ. 5, 5. 2. Β' Κορ. 5, 4. 3. Β' Κορ. 3, 18.

ρια πλεῖστα, ἐπάγει τὴν αἰτίαν, δι' ἣν ἤμελλε ταῦτα πάντα ἐπὶ γῆς συνίστασθαι. Τίς δὲ ἦν ἡ αἰτία διδάσκει λέγων· «Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών·» σαφῶς παρουσίαν εἰς ἀνθρώπους Θεοῦ καὶ φανέρωσιν αὐτοῦ διδάσκων. Θεὸς δὲ θεῶν ὁ τοῦ Θεοῦ Λόγος ὠνόμασται, νοουμένων ἡμῖν θεῶν τῶν μακαρίων καὶ θεοφιλῶν ἀνδρῶν, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο· οἷς καὶ εἴρηται· «Ἐγὼ εἶπον· Θεοί ἐστε·[1]» καί, «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν·[2]» καί, «Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν.[3]» Καὶ γὰρ ἐν τούτοις Θεὸς θεῶν οὐδὲ ἄλλος ἢ μόνος ὁ ἐν ἀρχῇ πρὸς τὸν Θεὸν Λόγος ἀνηγόρευται· ὁ δὴ καὶ θεοὺς αὐτοὺς διὰ τῆς αὐτοῦ χορηγίας καὶ μετοχῆς τοῦ αὐτοῦ Πνεύματος ἀπεργασάμενος. Θεοὺς γὰρ εἶναί φησιν ἐκείνους, πρὸς οὓς ὁ Λόγος τοῦ Θεοῦ ἐγένετο. Ἑξῆς δ' οὖν καὶ ὀνομαστὶ τοῦ Χριστοῦ μνημονεύει, λέγων ἐν εὐχῇ· «Καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου.» Ἀντὶ δὲ τοῦ, «Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών», ὁ Ἀκύλας φησίν, «Ὀφθήσεται ἰσχυρὸς Θεὸς ἐν Σιών.» Τίς δ' ἂν εἴη οὗτος ὁ μέλλων ὁρατὸς καὶ ὀφθαλμοῖς θεατὸς ἔσεσθαι, διδάσκει προϊὼν καὶ λέγων· «Ἐνώτισαι, ὁ Θεὸς Ἰακώβ.» Οὗτος γὰρ ἦν αὐτὸς ἐκεῖνος ὁ τοῦ Θεοῦ Λόγος, ὁ πάλαι καὶ τῷ Ἰακὼβ ἐν ἀνθρώπου σχήματι ὀφθείς, φήσας τε πρὸς αὐτόν· «Οὐκ ἔτι κληθήσεται τὸ ὄνομά σου Ἰακώβ, ἀλλ' Ἰσραὴλ ἔσται τὸ ὄνομά σου· ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατός.[4]» Ἐφ' ᾧ καὶ θεοφιλής, συναισθόμενος τοῦ χρηματίζοντος αὐτοῦ Θεοῦ φησι· «Εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.[5]» Αὐτὸς οὖν ἐκεῖνος ὁ Θεὸς ὁ τῷ Ἰακὼβ ὀφθεὶς αὖθις ὀφθήσεται, φησίν, ἐν Σιών, διαρρήδην τῆς τοῦ Θεοῦ Λόγου εἰς ἀνθρώπους ἐπιφανείας τοῦτον σημαινομένης τὸν τρόπον. Αὐτὸν δὴ οὖν τοῦτον τὸν Θεὸν Ἰακὼβ ἐπικαλούμενος, ἐπισπεῦσαι τὴν παρουσίαν αὐτοῦ ἱκετεύει.

Στίχ. ι'. «Ὑπερασπιστὰ ἡμῶν, ἰδέ, ὁ Θεός.»

Τίνας δέ φησιν ἰδέ, ἀλλ' ἢ τοὺς ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος καταπονουμένους; Ἐπιλέγει δὲ ἑξῆς· «Καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου», εὐχόμενος ἐπιταχῦναι τὴν τοῦ Θεοῦ Λόγου εἰς τὸν Χριστὸν αὐτοῦ, ὃν ἐκ σπέρματος Δαυῒδ ἐνεδύσατο, παρουσίαν. Διὸ καὶ ὁ Ἀκύλας φησί, «Θυρεὲ ἡμῶν, ἴδε, Θεέ, καὶ ἐπίστρεψον πρόσωπον ἠλειμμένου σου·» ὁ δὲ Σύμμαχος, «Ὑπερασπιστὰ ἡμῶν, ἰδέ, ὁ Θεός, καὶ πρόσβλεψον τὸ πρόσωπον τοῦ Χριστοῦ σου.» Ταῦτα δὲ εὔχονται οἱ τὸν πάντα ψαλμὸν λέγοντες· οὗτοι δὲ ἦσαν οἱ τοῦ Θεοῦ προφῆται, οἱ διασωθέντες ἀπὸ τῶν νοητῶν πολεμίων, καὶ μεταβαλόντες ἀπὸ πολέμου εἰς εἰρήνην, τά τε σκηνώματα τοῦ Θεοῦ λοιπὸν τῷ θείῳ Πνεύματι προορῶντες, καὶ τὰς αὐλὰς αὐτοῦ καὶ τὰ θυσιαστήρια ποθοῦντες. Οἳ καὶ παρακαλοῦσι τὸν τοῦ Θεοῦ Λόγον, τὸν

1. Ψαλμ. 81, 6. 2. Ψαλμ. 81, 1. 3. Ψαλμ. 49, 1. 4. Γεν. 32, 28. 5. Γεν. 32, 30.

ἐν τῷ καιρῷ τῶν πολέμων ὑπερασπιστὴν αὐτῶν γενόμενον, ἐπιβλέψαι ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ αὐτοῦ, ἵν', ἐπιφανέντος αὐτοῦ καὶ τὸν ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα Χριστὸν ἀναλαβόντος, λύσις μὲν γένηται προτέρων κακῶν τοῖς πᾶσιν, ἀγαθὰ δὲ διὰ τοῦ Χριστοῦ τὸ τῶν ἀνθρώπων διαδέξηται γένος.

Στίχ. ια'. «Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.»

Τῆς τοῦ Θεοῦ παρουσίας τὴν μίαν, τῆς ἐκ νεκρῶν ἀναστάσεως ἡμέραν, πολὺ κρείττω χιλιάδων καὶ προτιμοτέραν ὁ τὸν παρόντα ψαλμὸν λέγων ἡγεῖται. Αἰνίττεσθαι δὲ ἡγοῦμαι διὰ τῶν χιλιάδων τὸν χρόνον τῆς συστάσεως τῆς Ἱερουσαλήμ. Ἐν ὅλοις γὰρ χιλίοις ἔτεσι συνέστη ὁ ἐν αὐτῇ νεώς· τοσαῦτα γὰρ ἦν τὰ ἀπὸ τῆς Σολομῶντος κατασκευῆς τοῦ ναοῦ μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας, ἃ καὶ αὖθις δηλοῦσθαι ἡγοῦμαι διὰ τοῦ πθ' ψαλμοῦ, ὃς ἐπιγέγραπται μέν, «Προσευχὴ Μωϋσέως», φησὶ καὶ προϊών, «Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡσεὶ ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.» Τῆς οὖν χιλιάδος ἐκείνης ἡ μία ἡμέρα τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Σωτῆρος ἡμῶν προκριτέα καὶ προτιμοτέρα τυγχάνει τῷ ταύτης ἐπιθυμητῇ γενομένῳ. Διὸ εὔχεται ταχῦναι τὴν παρουσίαν αὐτοῦ λέγων· «Ἰδέ, ὁ Θεός, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου, ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας.» Οὐ πάντως δὲ πληθυντικῶς ἀκουστέον τῶν χιλιάδων· παρὰ γὰρ Ἑβραίοις αὕτη ἡ λέξις μίαν χιλιάδα σημαίνει, ὡς παντὶ τῷ ἐπιστήσαντι δῆλον ἔσται. Καὶ ἐπειδήπερ ἡ μία ἡμέρα προτιμοτέρα ἐστὶ τῆς χιλιάδος ἐν ταῖς αὐλαῖς ταῖς καθ' ὅλης τῆς οἰκουμένης, διὰ τῆς θεοφανείας τοῦ προφητευομένου Θεοῦ, ἱδρυθείσαις· διὰ τοῦτο καὶ ἀνωτέρω ἔλεγεν· «Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου.» Καὶ πάλιν ἐπειδήπερ ἀνωτέρω ἔλεγε τό, «Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε·» τούτῳ πιστεύων καὶ ἀκριβῶς πεπεισμένος ἀληθῆ εἶναι τὸν λόγον, διὰ τοῦτό φημι· «Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον·» ἵν' ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ὤν, δύνωμαι εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνεῖν τὸν Θεόν. Μᾶλλον δὲ ἐξελεξάμην ὥσπερ τὴν μίαν ἡμέραν ὑπὲρ τὴν χιλιάδα, οὕτω τὸν οἶκον τοῦ Θεοῦ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας, μᾶλλον ἢ οἰκεῖν ἐν πολλοῖς σκηνώμασι τῶν ἁμαρτωλῶν. Μιμήματα γὰρ τῶν σκηνωμάτων τοῦ Θεοῦ καὶ οἱ ἁμαρτωλοὶ ἑαυτοὺς κατεσκεύασαν· ἀλλὰ τὰ μὲν τοῦ Θεοῦ ἀγαπητὰ τυγχάνει, μίσους δὲ ἄξια τὰ τῶν ἁμαρτωλῶν.

Στίχ. ιβ'. «Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός, χάριν καὶ δόξαν δώσει Κύριος.»

Ἀντὶ τοῦ, «Ὅτι ἔλεον καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος», ὁ Ἀκύλας φησίν, «Ὅτι ἔλεος καὶ θυρεὸς Κύριος ὁ Θεός·» καὶ ἡ πέμπτη ἔκδοσις,

«Ὅτι ἥλιος καὶ σκεπαστὴς Κύριος ὁ Θεός·» καὶ ὁ Σύμμαχος δὲ τούτοις συμφώνως, «Ὅτι ἥλιον» ὠνόμασε. Διὰ τοῦτο γάρ, φησίν, ἐκείνη ἡ μία ἡμέρα κρείσσων ἐστὶ χιλιάδων, ἐπειδήπερ αὐτὸς ὁ Κύριος ὁ τοῦ Θεοῦ Λόγος ἥλιος τυγχάνει τῆς ἡμέρας ἐκείνης. Τοῦτον δὲ καὶ ὁ προφήτης τὸν ἥλιον ᾐνίττετο φήσας· «Τοῖς δὲ φοβουμένοις με ἀνατελεῖ Ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ.[1]» Τὸν αὐτὸν δὲ ἐδήλου καὶ ὁ εἰπών· «Καὶ δύσεται ὁ Ἥλιος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου·[2]» γυμνότερον δὲ ὁ Ἡσαΐας, «Οὐκ ἔσται σοι ὁ ἥλιος εἰς φῶς τῆς ἡμέρας», φησίν, «ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον, καὶ ὁ Θεὸς δόξα σου.[3]» Τοιοῦτος δὲ ἥλιος ὢν ὁ Κύριος, χάριν καὶ δόξαν καὶ ἔτι μεῖζον καὶ κρεῖττον, ἄρρητόν τε καὶ ἀπόρρητον ἀγαθὸν δώσει τοῖς πορευομένοις ἐν ἀκακίᾳ· ἢ κατὰ τὸν Σύμμαχον, «Τοῖς ὁδεύουσιν ἐν τελειότητι.» Διὰ τοῦτο πιστεύων τοῖς εἰρημένοις, καὶ ἀκριβῶς ἐμαυτὸν πείσας ἀληθεῖς εἶναι περὶ τούτων λόγους, τέλος τοῦ παντὸς λόγου φημί· «Κύριε τῶν δυνάμεων, μακάριος ὁ ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ.» Πᾶς γὰρ ὁ ἄλλως παρὰ τοῖς πολλοῖς μακαριζόμενος πεπλανημένως ἂν μακαρίζοιτο. Μόνος δέ, εἰ χρὴ τἀληθῆ φάναι, μακάριος διὰ τὰ προλελεγμένα, ὡς ἂν πάντων τῶν ἀγαθῶν ἔμπλεος, ὅ σοι μόνῳ ἑαυτὸν ἀναρτήσας, καὶ πάσας ἑαυτοῦ τὰς ἐλπίδας ταῖς παρὰ σοὶ ἐπαγγελίαις ἀναθείς. Ἤδη δὲ τρίτον ἐν τῷ παρόντι ψαλμῷ μακαρίσας ὁ λόγος τοὺς ἐμφερομένους ἐν αὐτῷ, οὐδαμῶς τοῦ Ἰουδαίων ἔθνους, οὐδὲ τοῦ Ἰσραὴλ ἐμνημόνευσεν, οὐδὲ τοὺς τὰ Μωϋσέως δι' ἔργων ἀποπληροῦντας ἐμακάρισεν· ἀλλὰ πρῶτον μὲν καθόλου τοὺς κατοικοῦντας ἐν τῷ οἴκῳ τοῦ Θεοῦ· δεύτερον πάντα ἄνδρα οὗ ἐστιν ἀντίληψις αὐτῷ παρὰ Κυρίου· καὶ ἐπὶ τέλει τοῦ παντὸς λόγου ἀορίστως καὶ καθολικῶς πάντα ἄνθρωπον τὸν ἐλπίζοντα ἐπὶ Κύριον. Χρῆν γὰρ ἐπιφανείας Θεοῦ καὶ Χριστοῦ παρουσίας εἰς ἀνθρώπους καταγγελλομένης μὴ Ἰουδαίοις μόνον ἀλλὰ καὶ πᾶσι τοῖς ἀνθρώποις τοὺς παρὰ τῷ Θεῷ μακαρισμοὺς ἀναγγελίζεσθαι.

## ΕΙΣ ΤΕΛΟΣ, ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ ΨΑΛΜΟΣ. ΠΔ'.

Στίχ. β'. «Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ.»

Ἀκολούθως τῷ πρὸ τούτου ψαλμῷ μετὰ τὴν ἐν ἐκείνῳ θεσπισθεῖσαν θεοφάνειαν ἐν τῷ μετὰ χεῖρας κακῶν ἀπαλλαγὴ προφητεύεται, καὶ λύτρωσις μὲν αἰχμαλωσίας, συγχώρησις δὲ καὶ ἄφεσις ἁμαρτημάτων. Εἵπετο γὰρ ταῦτα τῇ τοῦ Θεοῦ εἰς ἀνθρώπους παρουσίᾳ, καὶ τοῖς λοιποῖς τοῖς ἐπὶ τῷ πρὸ τούτου ψαλμῷ δεδηλωμένοις. Ἐπειδὴ γὰρ ἐν ἐκείνῳ σκηνώματα Θεοῦ πλεῖστα καὶ αὐλαὶ καὶ θυσιαστήρια

1. Μαλ. 4, 2. 2. Μιχ. 3, 6. 3. Ἡσ. 60, 19.

ἐπὶ τῆς γῆς ἐθεσπίζετο συστήσεσθαι, καὶ τὸ τούτων αἴτιον Θεὸς ἦν μέλλων ἐπὶ γῆς φαίνεσθαι, καὶ ὀνομαστὶ Χριστὸς ἦν ἐπιβλεπόμενος· ἐλέγετο γοῦν· «Ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών·» καὶ πάλιν· «Ἐπίφανον ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου·» εἰκότως ἐν τῷ προκειμένῳ ψαλμῷ τὰ μέλλοντα ἔσεσθαι καθ' ὅλης τῆς τῶν ἀνθρώπων οἰκουμένης προαναφωνεῖται. Ἃ δὴ καὶ πεπλήρωται ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας, καθ' ἣν εὐδόκησεν ὁ Θεὸς καταξιώσας αὐτὴν τῆς ἐπιβάσεως τοῦ Χριστοῦ αὐτοῦ. Πάλαι μὲν γὰρ εἴρητο τῷ πρωτοπλάστῳ· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ [1]», καί, «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· [2]» καὶ ἄλλος προφητῶν ἔλεγεν· «Ἀρὰ καὶ φόνος καὶ ψεῦδος, καὶ κλοπὴ καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς· καὶ αἵματα ἐφ' αἵμασι μίσγουσιν· [3]» Ὡς δὲ ἐπεδήμει τῇ γῇ ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ τὸ ἀπὸ γῆς σῶμα ἀνελάμβανε· μεταβολὴ προτέρων ἐγίγνετο κακῶν, καὶ τὸ πᾶν τῆς γῆς στοιχεῖον ἀντὶ τῆς προτέρας ἀρᾶς εὐλογίας Θεοῦ μετελάμβανεν, ἐκκλησίαι τε καὶ οἶκοι τῷ Θεῷ προσευκτήριοι καθ' ὅλης τῆς οἰκουμένης συνίσταντο. Διὸ νῦν μὲν λέλεκται· «Εὐδόκησας, Κύριε, τὴν γῆν σου· [4]» ἐν ἑτέροις δέ, «Κύριος ἐβασίλευσεν, ἀγαλλιάσεται ἡ γῆ [5]», καὶ πάλιν· «Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. [6]» Εἰκότως οὖν καὶ αὐτοῦ λέλεκται τοῦ Κυρίου ἡ γῆ, κατὰ τό, «Εὐδόκησας, Κύριε, τὴν γῆν σου.» Οὐ μόνον γὰρ κτίσμα αὐτοῦ καὶ ποίημα, ἀλλὰ καὶ κτῆμα γέγονε διὰ τὰ λελεγμένα.

Πῶς δὲ εἴρηται τό, «Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ», νοήσεις ἐκ τῆς σωτηρίου φωνῆς, δι' ἧς τὴν φήσασαν τοῦ Ἡσαΐου προφητείαν, «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν [7]», ἀναγνοὺς ἐπήγαγε, «Σήμερον πεπλήρωται ἡ προφητεία αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν», διδάσκων εἰς ἑαυτὸν πληροῦσθαι τὸ λόγιον. Ὅτι δὴ αὐτὸς ἦν ὁ Σωτὴρ καὶ λυτρωτὴς τῶν ἀνθρωπίνων ψυχῶν, ἃς ἀπὸ τῆς πικρᾶς δουλείας τῆς πολυθέου πλάνης καὶ τῆς δαιμονικῆς ἐνεργείας ἠλευθέρου, λύσας αὐτῶν τὰς σειρὰς τῶν ἁμαρτιῶν. Ὃ δὴ καὶ αὐτὸ παρίσταται διὰ τοῦ προκειμένου ψαλμοῦ φάσκοντος·

Στίχ. γ'. «Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.»

Ἀνομίας δὲ ἀφιεμένας καὶ καλυπτομένας οἶδε καὶ ἀλλαχοῦ ὁ φάσκων λόγος· «Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐκαλύφθησαν αἱ ἁμαρτίαι· [8]» Σημαίνει δὲ διὰ τούτων τὸ Πνεῦμα τὴν ὑπὸ τοῦ Σωτῆρος δεδωρημένην ἄφεσιν τῶν προτέρων ἁμαρτημάτων τοῖς ἀπὸ τῆς νοητῆς τῶν ψυχῶν αἰχμαλωσίας λελυτρωμένοις· οἷς, εἰ μετὰ τὴν ἄφεσιν πάλιν ἁμάρτοιεν, οὐκέτι δευτέραν ἄφεσιν, ἀλλ' ἐπικάλυψιν

1. Γεν. 3, 19. 2. Γεν. 3, 17. 3. Ὠσ. 4, 2. 4. Ψαλμ. 84, 2. 5. Ψαλμ. 96, 1. 6. Ψαλμ. 95, 1. 7. Ἡσ. 61, 1. Λουκ. 4, 18. 8. Ψαλμ. 31, 1.

ἁμαρτιῶν παρέχει. Διὰ γὰρ δευτέρων κατορθωμάτων καλύπτειν τὰ προημαρτημένα συνεχώρησε. Ταῦτα δὲ πάντα τῇ τῶν ἀνθρώπων γῇ, καὶ δηλαδὴ τοῖς κατοικοῦσιν αὐτήν, διὰ τῆς τοῦ Σωτῆρος ἐπιδημίας ὁ τῶν ὅλων Θεὸς ἐδωρήσατο, καταπαύσας τὴν ὀργὴν καὶ τὸν θυμόν, ὧν ἄξιοι τὸ πρὶν ἐτύγχανον οἱ τὴν γῆν οἰκοῦντες, ἅτε δὴ ἐχθροὶ ὄντες αὐτοῦ διὰ τὰς τῶν ἀσεβειῶν αὐτῶν ὑπερβολάς· ἀλλὰ Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος δὲ αὐτοῖς τὰ παραπτώματα. Διὸ λέλεκται·

Στίχ. δ-ζ'. «Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου, ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν, καὶ ἀπόστρεψον τὸν θυμόν σου ἀφ' ἡμῶν. Μὴ εἰς τὸν αἰῶνα ὀργισθήσῃ ἡμῖν; ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; Ὁ Θεός, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς, καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί.»

Τὰ μὲν πρότερα προεφητεύετο περὶ τῶν γενησομένων καθ' ὅλης τῆς γῆς, ἃ δὴ καὶ τέλους ἔτυχε διὰ τῆς παρουσίας τοῦ Σωτῆρος ἡμῶν κατὰ τὴν ἀποδοθεῖσαν ἑρμηνείαν· τὰ δὲ προκείμενα εὐχὴν περιέχει ὑπὲρ τοῦ ἐκ περιτομῆς λαοῦ. Ἐπειδὴ γὰρ ὁ προφήτης προεώρα τῷ θείῳ Πνεύματι τὴν εἰς τὸν Χριστὸν ἀπείθειαν τοῦ Ἰουδαίων ἔθνους, καὶ τὴν καταληψομένην αὐτοὺς ὀργὴν τῶν τολμηθησομένων αὐτοῖς ἕνεκεν, εἰκότως τὴν προκειμένην εὐχὴν ὑπὲρ αὐτῶν ἀναπέμπει· ὡς μηκέτι δοκεῖν ἐναντιολογίαν περιέχειν τὸν ψαλμόν, ἀνωτέρω μὲν τὰ χρηστότερα θεσπίσαντα πάσῃ τῇ γῇ, ἐν δὲ τοῖς προκειμένοις, ὡς μηδενὸς ἀγαθοῦ πεπραγμένου τὴν εὐχὴν διεξιόντα. Τὰ τοίνυν πρῶτα περὶ τῶν διὰ τοῦ Σωτῆρος ἡμῶν παρασχεθεισῶν τῷ τῶν ἀνθρώπων βίῳ εὐεργεσιῶν προεφητεύετο· τὰ δὲ δεύτερα ὁ προφήτης ὑπὲρ τῶν ὁμοεθνῶν εὔχεται, ἱκετεύων παύσασθαι μὲν τὴν κατ' αὐτῶν ὀργήν, καταξιωθῆναι δὲ καὶ αὐτοὺς τῆς τοῦ Θεοῦ ἐπιστροφῆς καὶ τῆς ἐπὶ τῷ Χριστῷ τοῦ Θεοῦ εὐφροσύνης.

Στίχ. η'. «Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.»

Ἔτι καὶ ταῦτα ὁ Προφήτης εὔχεται, ἱκετεύων καταξιωθῆναι καὶ αὐτὸς ὀφθαλμοῖς παραλαβεῖν τὰ μέλλοντα ἔσεσθαι διὰ τοῦ ἐλέους τοῦ Θεοῦ, ἃ δὴ ἐν τοῖς ἀνωτέρω προεφητεύετο. Παρακαλεῖ δὲ καὶ τῆς τοῦ Χριστοῦ εἰς ἀνθρώπους ἐπιλάμψεως τυχεῖν, διὰ τοῦ φάσκειν· «Καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.» Σαφῶς δὲ τὸ σωτήριον αὐτὸν εἶναι τὸν Χριστὸν ἐδίδαξεν ὁ Συμεὼν ἐν τοῖς Εὐαγγελίοις· λαβὼν γοῦν μετὰ χεῖρας ἔτι νήπιον ὄντα τὸν Ἰησοῦν, εἶπε· «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸν λόγον σου ἐν εἰρήνῃ. Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ Σωτήριόν σου.[1]» Τοῦτο οὖν αὐτὸ καὶ ὁ Προφήτης ἰδεῖν εὔχεται· διό φησιν ὁ Σωτήρ· «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον.[2]»

1. Λουκ. 2, 29-30. 2. Ματθ. 13, 17.

Στίχ. θ'. «Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός, ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπὶ τοὺς ὁσίους αὐτοῦ, καὶ ἐπὶ τοὺς ἐπιστρέφοντας καρδίαν.»

Εὐξάμενος ὁ Προφήτης, τῇ σιωπῇ ἑαυτὸν παραδίδωσι, πιστεύσας ἐπακουσθήσεσθαι. Εἶτα προσδοκήσας ἀποκρίσεως τυχεῖν φησιν αὐτὸς πρὸς αὐτόν· Τὰ μὲν τῆς εὐχῆς μοι τοιαῦτα γέγονε· καιρὸς δὲ λοιπὸν ἐπακοῦσαι τοῦ ἁγίου Πνεύματος, καὶ μαθεῖν παρ' αὐτοῦ τί μέλλοι θεσπίζειν περὶ τῆς εἰρήνης τοῦ λαοῦ αὐτοῦ, καὶ περὶ τῶν μελλόντων διὰ τοῦ Χριστοῦ αὐτοῦ ἐπιστρέφειν. Εἶτα βραχύ τι ἐφησυχάσας, πληροῦται τοῦ Πνεύματος τοῦ θείου, καὶ προφητεύει ἑξῆς ὧδέ πως λέγων·

Στίχ. ι'. «Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.»

Παρίστησι δὲ διὰ τούτων, ὅσον οὐδέπω μέλλειν ἐπιστήσεσθαι ἀνθρώποις τὸ σωτήριον τοῦ Θεοῦ, περὶ οὗ ἀνωτέρω ηὔξατο εἰπών· «Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῴης ἡμῖν.» Αὐτὸ δὴ οὖν τοῦτό φησι τὸ Σωτήριον ἔγγιστα τυγχάνειν, καὶ πλησίον ἤδη καὶ ἐγγὺς τῶν φοβουμένων αὐτὸν εἶναι, αἴτιον ὑπάρχον τοῦ κατασκηνῶσαι δόξαν καὶ σκηνώματα συστῆσαι ἐν τῇ γῇ ἡμῶν. Ἔθος δὲ τῇ θείᾳ Γραφῇ τὸν Χριστὸν τοῦ Θεοῦ σωτήριον ὀνομάζειν, πολλάκις διὰ πολλῶν ἀπεδείξαμεν. Ὃ δὴ καὶ νῦν θεσπίζων ὁ λόγος, παρίστη διδάσκων ἀντὶ τῆς προτέρας ἀτιμίας τῆς κατὰ τὴν εἰδωλολατρείαν ὑποστάσης ἐν τῇ γῇ δόξαν ἐν αὐτῇ κατασκηνώσειν, καὶ σκηνώματα πανταχοῦ γῆς ἱδρυθήσεσθαι δόξης τῆς τῷ Θεῷ διὰ τῆς εὐαγγελικῆς διδασκαλίας ἀνατεθησομένης. Εἶτα τούτοις ἑξῆς τὸν τρόπον, καθ' ὃν ἔμελλεν ἀποπληρωθήσεσθαι τὰ ἐπηγγελμένα, διασαφεῖ λέγων·

Στίχ. ια'. «Ἔλεος καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν.»

Δύο δὴ διὰ τούτων συζυγίας φησὶν ἀλλήλαις συνηντηκέναι, ὧν ἡ πρώτη ἐλέους ἦν καὶ ἀληθείας, ἡ δὲ δευτέρα δικαιοσύνης καὶ εἰρήνης. Συνήντησαν ἀλλήλαις, φησί, καὶ φιλικοὺς ἀσπασμοὺς ἀποδεδώκασι· κατεφίλησάν τε ὁμοῦ τὴν δικαιοσύνην καὶ τὴν εἰρήνην ἡ ἀλήθεια καὶ τὸ ἔλεος. Πόθεν δὲ ἀφικόμεναι ἀλλήλαις συνήντησαν, πάλιν ὑποβὰς διδάσκει λέγων·

Στίχ. ιβ' «Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν.»

Ὡς ἐκ μακροῦ τοιγαροῦν διαστήματος συντυχοῦσαι ἀλλήλαις, περιεπτύξαντο καὶ κατεφίλησαν· ἄνωθεν μὲν ἐξ οὐρανοῦ διακύψασα ἐπὶ τὴν γῆν ἡ δικαιοσύνη, κάτωθεν δὲ ἀπὸ τῆς γῆς ἀνατείλασα ἡ ἀλήθεια. Τούτοις ἀκολούθως ἑξῆς παραθησόμεθα καὶ συνάψομεν τὰ πρῶτα τοῦ ψαλμοῦ, ἐν οἷς ἐλέγετο· «Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἀφῆκας τὴν ἀνομίαν τοῦ λαοῦ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.» Ταῦτα γὰρ πάντα μέλλειν ἔσεσθαι προεφητεύετο, τοῦ σωτηρίου τοῦ Θεοῦ ἐπὶ γῆς

ὀφθέντος. Ἐπεὶ σὺν τῷ Σωτηρίῳ ἀλήθεια ἐκ τῆς γῆς ἀνατείλασα, ταύτῃ τε συναντήσασα ἡ ἐκ τοῦ οὐρανοῦ διακύψασα δικαιοσύνη, εἰς πάντας ἀνθρώπους ἐξ ἴσου καὶ κατὰ τὸ δικαιότατον τὴν τοῦ Θεοῦ χάριν ἐξήπλωσε.

Σαφῶς δὲ διὰ τούτων ἡ θεοφάνεια τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρίσταται· δι' οὗ μόνου ἡ ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν· ἐπειδήπερ αὐτὸς ἦν ἡ ἀλήθεια, ὅ τε τῆς εὐαγγελικῆς αὐτοῦ διδασκαλίας λόγος οὐκ ἔθ' ὡς τὸ παλαιὸν ἐν τύποις καὶ διὰ συμβόλων παραδέδοτο, ἀλλὰ δι' αὐτῆς ἀληθείας. Διὸ εἴρηται· «Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.[1]» Καὶ πᾶσαι δὲ αὐτοῦ αἱ πράξεις ἀλήθεια ἦσαν, ἥ τε γένεσις αὐτοῦ καὶ τὸ πάθος καὶ τὰ λοιπά, ἃ δὴ κατὰ δόκησιν καὶ φαντασίαν ὑπέλαβον γεγονέναι οἱ ἄθεοι αἱρεσιῶται. Εἰ δὲ καὶ πᾶς ἄνθρωπος ψεύστης, μόνος ἂν αὐτὸς εἰκότως, ἀλήθεια ὤν, ἀπὸ τῆς γῆς ἀνέτειλε, ξένον τι χρῆμα τῆς γῆς, καὶ οἷον οὐδεπώποτε προηνέγκατο ἀγαθόν, ἀποδούσης· ἐφ' ὃν καὶ ἡ ἐξ οὐρανοῦ διακύψασα δικαιοσύνη ἀνεπαύσατο. Τίς δ' ἂν εἴη ἡ δικαιοσύνη ἡ ἀναπαυσαμένη ἐπὶ τὴν ἀλήθειαν ἀλλ' ἢ αὐτὸς ὁ Θεὸς Λόγος, περὶ οὗ εἴρηται, «Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις;[2]» Οὗτος γάρ, ἐξ οὐρανῶν καταβάς, ἐπανεπαύσατο τῇ ἀπὸ τῆς γῆς ἀνατειλάσῃ ἀληθείᾳ, ἡνώθη τε αὐτῇ, καὶ ὡς φίλη περιπλοκὰς ἔδωκε φιλικάς. Συνῆν δὲ τῇ μὲν ἀπὸ τῆς γῆς ἀνατειλάσῃ ἀληθείᾳ τὸ ἔλεος προτρέχον αὐτῆς· διὰ γὰρ τὸ τοῦ Θεοῦ ἔλεος ἡ πᾶσα τῆς ἀληθείας γέγονεν οἰκονομία· τῇ δὲ ἐξ οὐρανῶν κατελθούσῃ δικαιοσύνῃ εἵπετο ἡ εἰρήνη, ὅπως οἱ ἐπὶ γῆς οἰκοῦντες ἄνθρωποι μὴ μόνον ἐλέου Θεοῦ καὶ ἀληθείας ἀπολαύσωσιν, ἀλλὰ καὶ τῆς ἐξ οὐρανῶν δικαιοσύνης, ἅμα καὶ τῆς ταύτης φίλης εἰρήνης. Πάλαι μὲν γὰρ οἰκητήριον ἐτύγχανε τῆς δικαιοσύνης καὶ τῆς εἰρήνης οὐρανός· νῦν δὲ καὶ ἡ γῆ, ὅτε ἐπὶ τῆς γῆς ὑπέστη τὸ ἔλεος τοῦ Θεοῦ. Τοῦτο γὰρ ἦν καὶ τῶν ἑξῆς αἴτιον· διὰ γὰρ τὸ ἔλεος τοῦ Θεοῦ καὶ τὰ λοιπὰ πάντα ἐπηκολούθησε· μετὰ γὰρ τὸ ἔλεος ἡ ἀλήθεια, ἔπειτα ἡ δικαιοσύνη, καὶ ἐπὶ πᾶσιν ἡ εἰρήνη. Γέγραπται δὲ σαφῶς περὶ τοῦ Σωτῆρος ἡμῶν, «Ὅτι αὐτός ἐστιν ἡ εἰρήνη ἡμῶν, ποιήσας τὰ ἀμφότερα ἕν·[3]» καί, «Εἰρηνοποιήσας δι' αὐτοῦ τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς·[4]» καὶ πάλιν· «Ἐλθὼν εὐηγγελίσατο εἰρήνην τοῖς μακρὰν καὶ τοῖς ἐγγύς.[5]» Εἰκότως οὖν διὰ ταῦτα ἐν τῷ ψαλμῷ εἴρηται τό, «Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ, τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν.» Πολλὴ γὰρ καὶ μεγάλη δόξα ἐν τῇ ἡμετέρᾳ γῇ, λέγω δὲ τῇ τῶν ἀνθρώπων οἰκουμένῃ, διὰ τῆς τῶν προφητευομένων ἐκβάσεως συνέστη. Καὶ πῶς γὰρ οὐκ ἤμελλε κατασκηνοῦν δόξα ἐν τῇ γῇ ἡμῶν, ὅτε καὶ

1. Ἰω. 1, 17. 2. Α΄ Κορ. 1, 30. 3. Ἐφ. 2, 14. 4. Κολ. 1, 20. 5. Ἐφ. 2, 17.

τὸ σωτήριον τοῦ αὐτοῦ, αὐτὸς ὁ Χριστὸς αὐτοῦ, καὶ ἡ ἐξ οὐρανοῦ δικαιοσύνη, ταύτης ἐπιβῆναι κατηξίωσε; Ταῦτα δὲ πάντα ἐπακούσας τοῦ Θεοῦ προορίσαντος καὶ προλαλήσαντος ἐπὶ τὸν λαὸν αὐτοῦ, θεσπίζει μετὰ τὴν εὐχήν, εἰπών· «Ἀκούσομαι τί λαλήσει Κύριος ὁ Θεός·» διὸ ἐπήγαγεν ἑξῆς· «Ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ.» Αὕτη δὲ ἡ εἰρήνη γέγονε τῷ λαῷ, ὅτε τὸ ἔλεος καὶ ἡ ἀλήθεια συνήντησαν, ἥ τε δικαιοσύνη καὶ ἡ εἰρήνη κατεφίλησαν. Ὧν οὕτως ἐχόντων, καὶ τὰ τῆς εὐχῆς ἀποδέδοται τοῦ Προφήτου, καὶ τὰ πρὸ τῆς εὐχῆς εἰρημένα. Καὶ γὰρ εὐδόκησε Κύριος τὴν γῆν αὐτοῦ, καταξιώσας αὐτὴν ἐλέους καὶ ἀληθείας καὶ τῶν λοιπῶν· ἀλλὰ καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν τῶν ἀνθρωπίνων ψυχῶν, λύσας μὲν πάντα πόλεμον, χαρισάμενος δὲ τὴν εἰρήνην, καὶ διαρρήξας τοὺς δεσμούς, καὶ τοὺς κλοιοὺς τοὺς ἀπὸ τῆς ἁμαρτίας ἐγγενομένους. Διὸ καὶ συνῆπται τῷ, «Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ», τό, «Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου», καὶ τό, «Ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.» Ἡ γὰρ ἐπιστροφὴ τῆς αἰχμαλωσίας οὐκ ἄλλως ἀπετελέσθη ἢ δι' ἀφέσεως τῶν ἁμαρτιῶν. Ὅτι δὲ καὶ ταῦτα διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας τέλους ἔτυχεν, αὐτὸς ἐδίδαξεν ἐν τοῖς Εὐαγγελίοις, ὅτε, λαβὼν τὴν βίβλον τοῦ Ἡσαΐου, καὶ ἀναγνοὺς τό, «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν[1]», καὶ τὰ ἑξῆς, ἐπήνεγκεν εἰπών· «Σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.» Εἰ δ' οὖν ἐννοήσειέ τις, εἴποι ἂν τὸ γένος τῶν ἀνθρώπων πάλαι πρότερον αἰχμαλωσίαν ὑπὸ τῶν ἀοράτων πολεμίων, τῶν ἀληθῶς ἐχθρῶν τοῦ Θεοῦ, καθελκυσθὲν εἰς εἰδωλολατρείας, καὶ πάσας πράξεις αἰσχρὰς καὶ ἀθεμίτους, οὐκ ἂν ὀκνήσει δεινὴν ταύτην φάναι ψυχῶν αἰχμαλωσίαν, ἧς ἀπαλλάξας καὶ ἐλευθέρους καταστησάμενος ἡμᾶς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ἄφεσίν τε διὰ λουτροῦ παλιγγενεσίας παλαιῶν πλημμελημάτων καὶ λύσιν προτέρων ἀσεβημάτων παρασχών, αἴτιος ἡμῖν κατέστη τῆς ἐν τῷ ψαλμῷ εὐχαριστίας, ὡς δύνασθαι καὶ ἡμᾶς λέγειν· «Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἀφῆκας τὰς ἀνομίας τοῦ λαοῦ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν.»

Στίχ. ιγ'. «Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς.»

Πάλαι μέν, ὅτε ὑπὸ κατάραν ἦν ἡ γῆ, ἀκάνθας καὶ τριβόλους ἔφυε, κατὰ τὸ εἰρημένον· «Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι·[2]» νῦν δ' ὅτε τοιαῦτα ἀγαθὰ εἰς αὐτὴν ἐλήλυθεν, ἀκολούθως καὶ αὐτὴ τὸν προσήκοντα καρπὸν ἀποδιδόναι λέγεται, ἅτε δὴ τυχοῦσα τῆς παρὰ τοῦ Κυρίου χρηστότητος. Καρπὸς δὲ ἐπάξιος Θεοῦ οὐκ ἄκανθαι καὶ τρίβολοι, ἀλλὰ

1. Ἡσ. 61, 1. Λουκ. 4, 18. 2. Γεν. 3, 17-18.

πάντως που ταῦτα δι' ὧν καταξιοῦται εὐλογίας τῆς παρὰ τοῦ Θεοῦ. Γῆ δὲ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετόν, φέρουσά τε βοτάνην εὔθετον ἐκείνοις, δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας τῆς παρὰ τοῦ Θεοῦ. Εἰκότως οὖν τὰ καινὰ ᾄσματα ᾄδειν προστάττεται ἡ γῆ, ὡς ἂν τοιούτων ἀρτίως δεδηλωμένων κατηξιωμένη, τοῦ ἁγίου Πνεύματος ἐπιφωνοῦντος αὐτῇ καὶ λέγοντος· «Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινόν·[1]» καί, «Κύριος ἐβασίλευσεν, ἀγαλλιάσεται ἡ γῆ[2]», καὶ ὅσα τούτοις ὅμοια τυγχάνει. «Δικαιοσύνη ἐναντίον αὐτοῦ προπορεύσεται, καὶ θήσει εἰς ὁδὸν τὰ διαβήματα αὐτοῦ.» Τούτου τὴν διάνοιαν σαφέστερον ἐκδεδώκασιν οἱ λοιποὶ ἑρμηνευταί, καὶ μάλιστα ὁ Σύμμαχος εἰπών· «Δικαιοσύνη ἑκάστου προελεύσεται αὐτόν, καὶ θήσει εἰς ὁδὸν τοὺς πόδας αὐτοῦ.» Μετὰ γὰρ τὰ τῇ γῇ κεχαρισμένα ἀγαθὰ ἕκαστος τῶν τὴν γῆν κατοικούντων, ὡς ἂν τῆς ἐξ οὐρανῶν διακυψάσης δικαιοσύνης μετασχών, καὶ αὐτὸς ἰδίαν κτησάμενος δικαιοσύνην, ἕξει αὐτὴν προάγουσαν αὐτὸν εἰς τὴν ἄνω φέρουσαν ὁδόν, καὶ τὰ διαβήματα αὐτῆς κατατάττουσαν· ὅπως ὁδεύσας τὴν εἰς οὐρανοὺς φέρουσαν, ἐπιστηριζόμενός τε καὶ χειραγωγούμενος ὑπὸ τῆς προαγούσης αὐτὸν δικαιοσύνης αὐτοῦ, τύχοι τῶν ἐπουρανίων ἐπαγγελιῶν, ἃς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐκήρυττε πᾶσιν ἀνθρώποις λέγων· «Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν·[3]» καί, «Μακάριοι οἱ τοιοίδε, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[4]»

## ΠΡΟΣΕΥΧΗ ΤΩ ΔΑΥΙΔ. ΠΕ'.

Στίχ. α'. «Κλῖνον, Κύριε, τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ.»

Τεσσάρων ὄντων ἐφεξῆς ψαλμῶν τῶν ἐπιγεγραμμένων «υἱῶν Κορὲ» κατὰ τοὺς παρόντας τόπους, πρώτου μὲν τοῦ πγ', ἔπειτα τοῦ πδ', καὶ τρίτου τοῦ πς', καὶ τελευταίου τοῦ πζ', πῶς ἡ προσευχὴ τοῦ Δαυῒδ ἀκαίρως, ὡς ἂν εἴποι τις, παρεμβέβληται μέση, εὐλόγως ἄν τις ἐξετάσειεν. Ἡγοῦμαι τοίνυν οὐκ ἀλόγως, ἀλλ' εὐκαιρότατα ταῖς περὶ τοῦ Χριστοῦ προφητείαις παραμεμίχθαι τὴν προκειμένην εὐχήν. Ἐπειδὴ γὰρ ἀγαθῶν ἐπαγγελίας καὶ ἀφέσεις ἁμαρτημάτων, Θεοῦ τε εἰς ἀνθρώπους παρουσίαν καὶ Χριστοῦ ἄφιξιν λυτρωτοῦ καὶ Σωτῆρος ἀνθρώπων, οἱ πρῶτοι τῶν ἐπιγεγραμμένων «υἱῶν Κορὲ» προεφήτευον, ὅ τε πγ' καὶ πδ'. Ἀλλὰ καὶ οἱ ἑξῆς ἐπιλεγόμενοι τῶν «υἱῶν Κορέ», καὶ αὐτοὶ ἐθνῶν κλῆσιν εὐηγγελίζοντο, καὶ Χριστοῦ γένεσιν, καὶ τὸν ὑπὲρ ἀνθρώπων αὐτοῦ θάνατον· ἀναγκαίως ἡγοῦμαι τῆς περὶ τούτων προφητείας μέσην παρεμβεβλῆσθαι τὴν προσευχὴν τοῦ Δαυῒδ, δι' ἧς ἱκετεύει τυχεῖν καὶ αὐτὸς τῶν διὰ τοῦ Σωτῆρος

1. Ψαλμ. 95, 1. 2. Ψαλμ. 96, 1. 3. Ματθ. 3, 2. 4. Ματθ. 5, 3, 10.

πᾶσιν ἀνθρώποις προξενουμένων ἀγαθῶν· ὡς ἄν, καὶ αὐτὸς γενόμενος κοινωνὸς τῶν προφητευομένων, τύχοι μὲν ἀφέσεως ἁμαρτιῶν, ἀπολαύσοι δὲ τῆς σωτηρίου μεγαλοδωρεᾶς τῆς πᾶσι τοῖς ἔθνεσι εὐαγγελιζομένης. Μνημονεύει γοῦν ἐν τῇ αὐτοῦ προσευχῇ ὁ Δαυῒδ τῆς εἰς τὰ ἔθνη χυθείσης τοῦ Θεοῦ χάριτος, ἀποθαυμάζων καὶ ἐκπληττόμενος τὴν χάριν, δι᾿ ὧν φησιν· «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου.» Ἐπεὶ τοίνυν καὶ αὐτὸς ηὔχετο τοῦ ἴσων ἀγαθῶν τυχεῖν, εἰκότως τὴν ἑαυτοῦ προσευχὴν μέσην τῶν εὐαγγελικῶν ψαλμῶν παρεμβάλλει. Ταῦτα μὲν οὖν εἰς τὴν λεχθεῖσαν πρότασιν εἰρήσθω. Χρὴ δὲ μὴ ἀγνοεῖν, ὅτι καὶ ἄλλοι πλείους εἰσὶ «Προσευχῆς» ἐπιγεγραμμένοι ψαλμοί· ἀλλ᾿ οὗτος μετὰ προσθήκης, «τοῦ Δαυῒδ», εἴρηται· ἕτερος δὲ ἐπιγέγραπται, «Προσευχὴ τοῦ Μωϋσῆ ἀνθρώπου τοῦ Θεοῦ·[1]» καὶ ἄλλος, «Προσευχὴ τοῦ πτωχοῦ, ὅταν ἀκηδιάσῃ καὶ ἐναντίον τοῦ Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ.[2]» Ἀλλ᾿ ὡς ἐπαναβεβηκότες τὰς ἐν τῇ Παλαιᾷ Γραφῇ προσευχάς, οἱ τοῦ Σωτῆρος ἡμῶν ἀπόστολοι προσελθόντες ἠξίουν αὐτὸν διδάξαι αὐτοὺς προσεύχεσθαι· ὁ δὲ διδάσκει, μόνοις αὐτοῖς καὶ τοῖς ὁμοίοις κατάλληλον παραδιδοὺς προσευχήν. Διό φησι πρὸς αὐτούς· «Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου[3]», καὶ τὰ ἑξῆς. Ἕκαστος οὖν ἑαυτὸν δοκιμαζέτω, εἴτε ἄξιός ἐστιν, ὡς ἤδη υἱὸς Θεοῦ γεγονώς, τὸν ἐν τοῖς οὐρανοῖς ἐπικαλεῖσθαι Πατέρα, καὶ λέγειν τό, «Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς», καὶ τὰ ἑξῆς. Εἰ μὴ τοσοῦτος εἴη, ἀναλέγεσθαι ἑαυτῷ σπουδαζέτω τὴν ἁρμόζουσαν τῇ αὐτοῦ καταστάσει προσευχὴν ἀπό τε τῆς βίβλου τῶν Ψαλμῶν καὶ ἀπὸ τῶν προφητικῶν φωνῶν. Ἡ μέντοι παροῦσα προσευχὴ τοῦ Δαυῒδ οὖσα τυγχάνει· οὕτως γὰρ ἡρμήνευσεν ὅ τε Ἀκύλας καὶ ὁ Σύμμαχος, ἀντὶ τοῦ, «τῷ Δαυῒδ», «τοῦ Δαυῒδ», εἰρηκότες. Δοκεῖ δὲ ὁ Δαυῒδ τῷ θείῳ Πνεύματι μὴ ἠγνοηκέναι τὸν περὶ τῶν πτωχῶν ὑπὸ τοῦ Σωτῆρος ἡμῶν εἰρημένον μακαρισμόν· διὸ πτωχὸν ἑαυτὸν καὶ πένητα ὑπάρχειν ὁμολογεῖ, καὶ ταῦτα βασιλεὺς ὢν καὶ πλούτῳ πολλῷ περιρρεόμενος. Ἀλλ᾿ ἐπειδὴ τῷ πνεύματι τοιοῦτος ἦν, κατὰ τό, «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι[4]», εἰκότως ἐν τῇ προσευχῇ, ὡς ἀρετὰς ἑαυτοῦ καὶ τὰ κατορθώματα προβάλλεται τὴν πτωχείαν καὶ πενίαν. Καὶ ἄλλως δὲ ἐρεῖς, ὅτι, ὥσπερ Μωϋσῆς, φωνῆς ἀκούσας Θεοῦ, ἰσχνόφωνον ἑαυτὸν εἶναι ὡμολόγει, κατὰ παράθεσιν τῆς θείας φωνῆς τοῦτο φήσας· οὕτω καὶ ὁ Δαυῒδ, εἰ καὶ μέγας ἦν καὶ πλούσιος καὶ σοφὸς ἀνθρώποις συγκρινόμενος, ἀλλ᾿ ἀνατείνας πρὸς τὸν Θεὸν τοὺς ὀφθαλμούς, ὁρᾷ ἑαυτὸν τὸ μηδὲν ὄντα· καὶ ἐπεὶ μήπω ἦν δυνατὸς πατέρα τὸν Θεὸν ὀνομάζειν, Κύριον αὐτὸν καλεῖ, δούλου χώραν ἑαυτὸν ἐπέχειν σημαίνων. Εἴθ᾿ ὡς αὐτὸς μένων κάτω

---

1. Ψαλμ. 89, 1. 2. Ψαλμ. 101, 1. 3. Ματθ. 6, 9. 4. Ματθ. 5, 3.

που καὶ ἐν βυθῷ, τοῦ δὲ Θεοῦ ὄντος ἐν ὕψει, κλῖναι τὸν Θεὸν ἱκετεύει τὸ οὖς ἑαυτοῦ· ἅτε μὴ τοσοῦτον βοᾶν δυνάμενος διὰ τὴν οἰκείαν ἀσθένειαν, ὡς ἀναπέμπειν εἰς ὕψος καὶ τείνειν πρὸς τὸν Θεὸν τὴν ἑαυτοῦ φωνήν. Διὸ δεῖται κλῖναι ἑαυτοῦ τὸ οὖς τὸν Θεόν, καὶ τῇ ἑαυτοῦ ταπεινότητι συγκαταβῆναι τὴν θείαν ἀκοήν.

Στίχ. β'. «Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι· σῶσον τὸν δοῦλόν σου, ὁ Θεός, τὸν ἐλπίζοντα ἐπὶ σέ.»

Ἐν οἷς ἦν, ἐν τούτοις φυλαχθῆναι ἀξιοῖ ὑπὸ τοῦ Θεοῦ, ὡς ἂν μὴ συληθείη αὐτοῦ ἡ ψυχὴ ὧν ἐκέκτητο ἀρετῶν· ἃς ἐδήλωσε πρῶτον εἰπών, «Ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ·» δεύτερον, «Ὅτι ὅσιός εἰμι·» διὸ καὶ ἀλλαχοῦ φάσκει· «Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας.[1]» Ἐπεὶ δὲ συνήδει ἑαυτῷ μηδέπω ὄντι υἱῷ, εἰκότως δοῦλον ἑαυτὸν ὁμολογεῖ καί φησι· «Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός, τὸν ἐλπίζοντα ἐπὶ σέ.» Δοῦλος δὲ Θεοῦ ἐστιν ὁ μὴ δουλεύων ἁμαρτίᾳ, μηδέ τινι πάθει ὑποκείμενος, μόνῳ δὲ Θεοῦ Λόγῳ ὑποτεταγμένος, καὶ ὁ ἐπὶ μηδένα ἕτερον ἐλπίζων ἢ ἐπὶ μόνον τὸν Θεόν. «Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σέ, Κύριε, τὴν ψυχήν μου ἦρα.» Εἰ καὶ ὅσιός εἰμι, φησίν, εἰ καὶ πτωχὸς καὶ πένης τῷ πνεύματι· ἀλλ' οὔπω θαρσῶν ἐμαυτῷ τὴν εὐχὴν ἀναπέμπω. Δέομαι δὲ καὶ ἱκετεύω ἐλέου τοῦ παρὰ σοῦ τυχεῖν, καὶ αὕτη μού ἐστιν ἡ διηνεκὴς προσευχή. Ἀντὶ γοῦν τοῦ, «ὅλην τὴν ἡμέραν», ὁ Σύμμαχος ἐξέδωκεν, «Ὅτι πρὸς σὲ βοῶν καθ' ἑκάστην ἡμέραν.» Οὐ γὰρ πρὸς μίαν ἡμέραν δεῖ τῇ προσευχῇ σχολάζειν, ἀλλὰ διὰ πάσης τῆς ἑαυτῶν ζωῆς. Καὶ ἐπειδήπερ ἐπ' οὐδενὶ τῶν ἀνθρωπίνων πραγμάτων ἔχαιρε μέγα, ἠξίου διὰ τῆς προσευχῆς παρασχεθῆναι αὐτῷ ὑπὸ τοῦ Θεοῦ· τοῦτο δὲ ἦν τὸ εὐφροσύνης τῆς παρ' αὐτῷ τῷ Θεῷ καταξιωθῆναι τὴν ἑαυτοῦ ψυχήν· τὸ μὲν γὰρ σῶμα ἑαυτοῦ καὶ τὴν σάρκα τοῖς σωματικοῖς χαίρειν ἠπίστατο. Διὸ ταῦτα μὲν παραιτεῖται· μόνην δὲ τὴν παρὰ τοῦ Θεοῦ εὐφροσύνην αἰτεῖ τῆς κατὰ ψυχὴν τρυφῆς μεταποιούμενος. Εἰδὼς δέ, ὅτι οὐ πάντων ἐστὶ δύνασθαι ταύτης τυχεῖν ἀλλ' ἢ τῶν μακρυνόντων μὲν ἑαυτοὺς τοῦ θνητοῦ βίου καὶ τῶν σωματικῶν ἐπιθυμιῶν, μόνῳ δὲ αὐτῷ τῷ Θεῷ τῇ διανοίᾳ καὶ τοῖς λογισμοῖς πλησιαζόντων, εἰκότως ἐπιλέγει, «Ὅτι πρὸς σέ, Κύριε, τὴν ψυχήν μου ἦρα. Ὅτι σύ, Κύριε, χρηστὸς καὶ ἐπιεικὴς καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε.» Ἀντὶ τοῦ, «καὶ ἐπιεικής», ὁ μὲν Ἀκύλας καὶ Θεοδοτίων, «καὶ ἱλαστής», εἰρήκασιν· ὁ δὲ Σύμμαχος, «καὶ ἀφίων.» Καὶ ταῦτα δὲ χρησίμως ἐλέχθη τῷ Δαυΐδ, θεραπεύοντι τὸ νομισθὲν φορτικὸν ῥῆμα· τοιοῦτον δὲ ἦν τὸ «πρὸς σὲ τὴν ψυχήν μου ἦρα·» καὶ πάλιν ἀνωτέρω τό, «Ὅτι ὅσιός εἰμι.» Καὶ ταῦτα γάρ μοι, φησίν, οὐκ ἐξ ἐμῆς δυνάμεως ἐπορίσθη, ἀλλ' ἐκ τῆς σῆς χάριτος. Σὺ γάρ με ἐπὶ ταῦτα ἤγαγες, χρηστὸς ὢν καὶ

1. Ψαλμ. 35, 12.

ἀφίων ἁμαρτίας, οὐ μόνον ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἐπικαλουμένοις σε· πολυέλεος γὰρ τυγχάνεις. Κοινοποιήσας δὲ τὸν λόγον διὰ τοῦ, «καὶ πᾶσιν τοῖς ἐπικαλουμένοις σε», προτρέπει πᾶσιν ἡμῖν ἐπὶ τῷ τὰ ἴσα αὐτῷ προσεύχεσθαί τε καὶ ἐλπίζειν. «Ἐνώτισαι, Κύριε, τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου πρὸς σὲ ἐκέκραξα, ὅτι ἐπήκουσάς μου.» Καὶ ἐντεῦθεν παρίσταται, ὅτι προσευχὴ τυγχάνει ὁ ψαλμός, ὡς καὶ διὰ τῆς προγραφῆς. Ἐπεὶ δὲ κατὰ παρῳχηκότα χρόνον εἴρηται τό, «ἐκέκραξα», καὶ τό, «ἐπήκουσας», σημειώσῃ, ὅτι ὁ Ἀκύλας φησίν, «Ἐπικαλέσομαί σε, ὅτι εἰσακούσεις μου·» ὥστε εἶναι τὰ τῆς προσευχῆς ἀναπεμπόμενα εἰς μέλλοντα χρόνον αἰτοῦντα παρὰ τοῦ Θεοῦ βοήθειαν· ἵν', εἴποτε καιρὸς γένοιτο περιστατικός, καὶ εἴποτε θλῖψις ἐπέλθοι, ἐπικαλούμενος τὸν Κύριον ἐν ταῖς θλίψεσιν, ἐπήκοον αὐτὸν σχοίη. Καλὸν δὲ πρὸ θλίψεως καὶ πρὸ τῶν σκυθρωπῶν καιρῶν μὴ ὑπτιοῦσθαι ἐν ταῖς ἐπιθυμίαις, μηδὲ ἀπορρᾳθυμεῖν τῶν πρὸς τὸν Κύριον εὐχῶν, ἀλλὰ προπαρασκευάζεσθαι εἰς τὸν μέλλοντα χρόνον.

Στίχ. η'-ι'. «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ὅτι μέγας σύ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος.»

Καὶ πᾶσαι μὲν ὠφέλιμοι καὶ ἀναγκαῖαι αἱ τῶν ἁγίων τοῦ Θεοῦ προσευχαί· νομίζω καὶ μὴ πάσας γεγράφθαι, ἀλλ' ἢ μόνας ἐκείνας ἐν αἷς προσευχόμενοι ἐκ θείου Πνεύματος ἐκινήθησαν, ὡς καὶ προφητικὰς ἀφεῖναι φωνάς. Ἡγοῦμαι δ' οὖν καὶ τὸν Δαυῒδ προσευχὰς πολλὰς ἀναπέμψαι τῷ Θεῷ, ὧν οὐδεμία γραφῇ ἠξιώθη, ἀλλ' αἱ μετέχουσαι προγνωστικῆς καὶ προφητικῆς δυνάμεως. Διόπερ καὶ ἡ παροῦσα προσευχὴ τῇ βίβλῳ τῶν Ψαλμῶν παρελήφθη, καὶ μέσῃ τῶν περὶ τοῦ Χριστοῦ προφητειῶν παρεμβέβληται, ὡς ἀνακεκραμένη προφητικοῖς λόγοις, καὶ κλῆσιν ἐθνῶν περιέχουσα. Ἄντικρυς γοῦν κλῆσις τῶν ἐθνῶν καὶ διὰ τούτων θεσπίζεται. Ἐπειδὴ γὰρ τὰ πολλὰ περὶ ἑαυτοῦ μόνου ηὔξατο, «Ἐπάκουσόν μου», εἰπών, καί, «Φύλαξον τὴν ψυχήν μου», καί, «Σῶσον τὸν δοῦλόν σου, ὁ Θεός μου», καὶ τό, «Ἐλέησόν με», καί, «Εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου·» ἐπεὶ τοίνυν τὰ τοσαῦτα περὶ ἑαυτοῦ ηὔξατο, ὁ πλούσιος καὶ μεγαλόδωρος Θεὸς δείκνυσιν αὐτῷ, ὅτι μὴ αὐτῷ μόνῳ τὰ τῆς προσευχῆς αἰτουμένῳ παρέξει, ἁπλωθήσεται δὲ ἡ θεία χάρις καὶ εἰς πάντα τὰ ἔθνη, ὡς καὶ αὐτῶν μελλόντων ἀπολαύειν τούτων, ὧν ὁ Δαυῒδ τυχεῖν ἠξίου. Ὅθεν τῷ Πνεύματι τῷ ἁγίῳ φωτισθεὶς καὶ τὸ μέλλον θεασάμενος, ὑπερεκπλήττεται τῆς τοῦ Θεοῦ χάριτος τὴν μεγαλοδωρίαν, καί φησι τὰ προλεγόμενα. Θεοὺς δὲ ἐνταῦθα λέγεσθαι ὁ μέν τις ἡγήσεται τοὺς ἐν ἀνθρώποις δικαίους καὶ θεοφιλεῖς ἄνδρας, διὰ τὸ λέγον· «Ἐγὼ εἶπον, Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες·[1]»

1. Ψαλμ. 81, 6.

ὁ δὲ τὰς κατ' οὐρανὸν θείας δυνάμεις, διὰ τὸ φάσκειν τὸν Ἀπόστολον· «Καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοί, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ γῆς (ὥσπερ εἰσὶ θεοὶ πολλοί, καὶ κύριοι πολλοί)· ἡμῖν εἷς Θεὸς ὁ Πατήρ.[1]» Ἐπεὶ τοίνυν οὔτε ἀγγέλων τις, οὔτε προφητῶν τὴν τῶν ἐθνῶν κλῆσιν ἐποιήσατο, εἰκότως εἰς πρόσωπον ἡγοῦμαι τοῦ Χριστοῦ λέγεσθαι τό, «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε.» Ἄλλος δέ τις φήσει, διὰ τὸ ψευδῶς μὲν καὶ πεπλανημένως παρὰ τοῖς πολλοῖς τῶν ἀνθρώπων νομίζεσθαι εἶναι θεούς, καὶ παρὰ πᾶσι τοῖς ἔθνεσιν ἄλλον ἀλλαχοῦ θεοποιεῖσθαι, μόνον δὲ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν καθ' ὅλης τῆς οἰκουμένης Θεὸν ἀνηγορεῦσθαι, ἐξ ἁπάντων τε τῶν ἐθνῶν λαοὺς ἑαυτῷ περιπεποιῆσθαι· τούτου χάριν προφητικῶς εἰς πρόσωπον αὐτοῦ τὰς προκειμένας ἀναφωνεῖσθαι θεολογίας. Εἶτ' ἐπειδήπερ πολλοὶ προφῆται πρὸ τοῦ Σωτῆρος ἡμῶν παραδόξων ἔργων γεγόνασι ποιηταί, οὐδεὶς δὲ πώποτε τοιαῦτα πράξας ἀναγέγραπται, ὁποῖα ἐν τοῖς Εὐαγγελίοις τοῦ Σωτῆρος ἡμῶν ἐμφέρεται, καὶ ὁποῖα δέδεικται διὰ τῆς τῶν ἐθνῶν ἁπάντων ἐπιστροφῆς· διὰ τοῦτο λέγεσθαι καὶ τό, «Οὐκ ἔστι κατὰ τὰ ἔργα σου.» Καὶ ποῖα ἔργα διδάσκει λέγων ἑξῆς· «Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου.» Ἐὰν δὲ ἐπιφέρηται τό, «Σὺ εἶ Θεὸς μόνος», καὶ τοῦτο ἐφαρμόσεις τῷ Σωτῆρι, παραθεὶς τό, «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε·» ὥσπερ γὰρ ἐπὶ συγκρίσει τῶν ἀποδοθέντων θεῶν οὐκ ἔστιν ὅμοιός σοι, οὕτως ἐν παραθέσει τῶν αὐτῶν σὺ εἶ Θεὸς μόνος. Ἐπειδήπερ μόνος ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐν ἀρχῇ ἦν, καὶ Θεοῦ Λόγος ἦν, καὶ πρὸς τὸν Θεὸν ἦν, καὶ Θεὸς ἦν· διόπερ οὐκ ἔστιν ὅμοιος αὐτῷ ἐν θεοῖς, καὶ μόνος αὐτὸς ὡς ἐν θεοῖς εἴη ἂν Θεός, οὐδενὸς τῶν λεγομένων πολλῶν θεῶν ἐν τῇ αὐτοῦ παραθέσει δυναμένου χρηματίζειν Θεοῦ. Ἄλλος δὲ διὰ τὸ ἐπιφέρεσθαι πᾶσι τούτοις τό, ὅτι «Σὺ εἶ Θεὸς μόνος», εἴποι ἂν πρὸς τὸν Πατέρα καὶ Θεὸν τῶν ὅλων τὰ προκείμενα πάντα διὰ τῆς εὐχῆς ἀναπέμπεσθαι· τῇ γὰρ αὐτοῦ δωρεᾷ καὶ χάριτι ἡ κλῆσις τῶν ἐθνῶν διὰ τοῦ Υἱοῦ αὐτοῦ γέγονε· καὶ αὐτὸς ἦν ὁ τῶν ὅλων κτίστης καὶ δημιουργὸς καὶ ποιητὴς διὰ τοῦ Υἱοῦ τὰ πάντα συστησάμενος, τά τε ἐν οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς· καὶ αὐτὸς ἦν ὁ τὰ πάντα θαυματουργήσας διὰ τοῦ Υἱοῦ, τά τε κατὰ τὴν Παλαιὰν Διαθήκην ἱστορούμενα, καὶ τὰ ἐν τῇ Καινῇ ἀναγεγραμμένα· διὸ λέγεσθαι, «Οὐκ ἔστι κατὰ τὰ ἔργα σου·» καί, «Μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ Θεὸς μόνος.» Τὸ δέ, «μόνος», εἴρηται καὶ ὑπὸ τοῦ Σωτῆρος ἡμῶν πρὸς τὸν Πατέρα ἐν τῷ, «Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν.[2]» Ἐπεὶ δὲ τῆς τοῦ Πατρὸς θεότητος κοινωνὸς ὑπάρχει ὁ Υἱός, τῆς αὐτῆς μέτοχος ὢν βασιλείας, ἅτε μονογενὴς Υἱὸς ὢν καὶ Θεοῦ Λόγος, καὶ Θεοῦ σοφία, εἰκότως ἂν καταλέγοιτο καὶ αὐτὸς τῇ παρούσῃ θεολογίᾳ διδασκούσῃ, ὅτι οὐκ ἔστιν ὅμοιος

1. Α' Κορ. 8, 5-6. 2. Ἰω. 17, 3.

τῷ ἐπὶ πάντων Θεῷ ἐν τοῖς πολλοῖς ὀνομαζομένοις θεοῖς· ἐν ἑνὶ γὰρ μόνῳ τῷ μονογενεῖ αὐτοῦ Λόγῳ ἡ τοῦ Πατρὸς ὁμοιότης σῴζεται. Διὸ καὶ εἰκὼν χρηματίζει Θεοῦ, καί, «Θεὸς ἦν Λόγος[1]», ὡς ἐν αὐτῷ μὲν σῴζεσθαι μόνῳ τὴν τοῦ Πατρὸς ὁμοίωσιν, οὐκέτι δὲ καὶ ἐν τοῖς πολλοῖς θεοῖς.

Στίχ. ια΄. «Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι τῇ ἀληθείᾳ σου, εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.»

Εἰς τὸ μὴ ἀποσφαλῆναι τῆς ἀληθείας Θεοῦ, ποδηγοῦ δεόμεθα· διόπερ ὁ μὲν Ἀκύλας, «Φώτισόν με», φησί, «Κύριε, τῇ ὁδῷ σου, περιπατήσω ἐν ἀληθείᾳ σου·» ὁ δὲ Σύμμαχος, «Ὑπόδειξόν μοι Κύριε, τὴν ὁδόν σου, ἵνα ὁδεύσω τῇ ἀληθείᾳ σου.» Καὶ πάλιν ἀντὶ τοῦ, «Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου», ὁ μὲν Ἀκύλας φησί· «Μονάχωσον τὴν καρδίαν μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου·» ὁ δὲ Σύμμαχος, «Ἕνωσον τὴν καρδίαν μου εἰς φόβον τοῦ ὀνόματός σου».

Στίχ. ιβ΄. «Ἐξομολογήσομαί σοι, Κύριε, ὁ Θεός μου, ἐν ὅλῃ τῇ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.»

Πολλὰ χρηστὰ ἐν τοῖς ἔμπροσθεν εἰρηκώς, ἀναγκαίως ἀναφέρει τῇ μνήμῃ τὴν περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτεν ἐξομολόγησιν, ὡς ἂν μὴ δοκοίη διὰ τῆς παρασχεθείσης αὐτῷ συγχωρήσεως καὶ τῶν μετὰ ταῦτα ὑπαρχθέντων αὐτῷ, χαυνοῦσθαι, καὶ ῥαθυμότερον ἀναστρέφειν. Ἐπιστρέφει τοίνυν αὐτὸς ἑαυτόν, καὶ μνήμην ποιεῖται τῆς αὐτοῦ ἁμαρτίας, ἵνα μείζων γένηται ἡ πρὸς τὸν Θεὸν εὐχαριστία· διό φησιν· «Ἐξομολογήσομαί σοι·» καὶ ἐπάγει· «Ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου.» Ἡ γὰρ πρὸς θάνατον ἁμαρτία τοιαύτη τυγχάνει, εἰς τὸν κατώτατον ᾅδην κατασπῶσα. Πολλῶν γὰρ οὐσῶν ἁμαρτιῶν, ἐοίκασιν αἱ μὲν τοῦ ᾅδου εἰς τὰ ἐπιπόλαια φέρειν, αἱ δὲ εἰς τὰ κατώτατα, καί, ὡς ἂν εἴποι τις, εἰς αὐτὸν τὸν πυθμένα, περὶ οὗ εἴρηται· «Ὁδοὶ ἀνδρὸς αἱ δοκοῦσαι ὀρθαὶ εἶναι, τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου.[2]» Ἀλλ' ἐκεῖθεν, φησίν, ἐρρύσω με,

Στίχ. ιγ΄ «ἐπειδὴ γέγονε τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ.»

Εὐξάμενος γὰρ μεγάλου τυχεῖν ἐλέους ἐν τῷ ν΄ ψαλμῷ, ἐν ᾧ εἴρηκεν, «Ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου», ἐν τούτοις ὁμολογεῖται τετυχηκέναι τῆς εὐχῆς· διὸ καὶ ἐξομολογεῖται οὐχ ἁπλῶς, ἀλλ' ἐν ὅλῃ αὐτοῦ τῇ καρδίᾳ.

Στίχ. ιδ, ιε΄. «Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησε τὴν ψυχήν μου, καὶ οὐ προέθετό σε ἐνώπιον αὐτῶν. Καὶ σύ, Κύριε ὁ Θεός, οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός.»

Μεταβαλὼν ἀπὸ τῆς προσευχῆς εἰς τὴν ἐξομολόγησιν, καὶ ὁμο-

---

1. Ἰω. 1, 1. 2. Παρμ. 16, 25.

λογήσας τῷ Θεῷ τὴν χάριν, ὅτι ἐρρύσατο τὴν ψυχὴν αὐτοῦ ἐξ ᾅδου κατωτάτου, ἀπολογεῖται τὴν αἰτίαν ἐξαγορεύων δι' ἣν ἥμαρτε, καί φησιν, ὅτι ἐξ ἐπιβουλῆς πολλῶν ἀοράτων ἐχθρῶν τοῦτο πέπονθε, φθονησάντων αὐτοῦ τῇ κατὰ Θεὸν προκοπῇ. Διό φησιν· «Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ.» Οἱ δὲ λοιποὶ πάντες ἑρμηνευταί, «ὑπερήφανοι», εἰρήκασι, τὰς ἀοράτους καὶ ὑπερηφάνους δυνάμεις αἰνιξάμενοι. Ὁποίαν δὲ βίαν πέπονθεν ἡ τοῦ Δαυῒδ ψυχὴ οὐχ ὑπὸ μιᾶς δυνάμεως, ἀλλ' ὑπὸ πλειόνων, διδάσκει λέγων· «Καὶ συναγωγὴ κραταιῶν·» ἢ ὡς ὁ Ἀκύλας, «Καὶ συναγωγὴ κατισχυρευομένων·» ἢ ὡς Σύμμαχος, «Καὶ συναγωγὴ ἀνυποστάτων ἐζήτησε τὴν ψυχήν μου.» Ἀλλ' ἡ μὲν τῶν ἐχθρῶν συναγωγὴ ἐζήτησε τὴν ψυχήν μου, μὴ θεμένων πρὸ ὀφθαλμῶν τὸν Θεόν, σὺ δέ, Κύριε, φησίν, ὅπερ ἐκεῖνοι μὴ προσεδόκησαν, συνεχώρησας καὶ ἐδωρήσω, ῥυσάμενός μου τὴν ψυχὴν ἐξ ᾅδου κατωτάτου· καὶ τοῦτ' ἔπραξας, ὡς οἰκτίρμων καὶ ἐλεήμων καὶ μακρόθυμος καὶ πολυέλεος, καὶ ἐν πᾶσι τούτοις ἀληθινὸς ὑπάρχων.

Στίχ. ιϛ'. «Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου.»

Ὁρῶν με, φησίν, ἐλέησόν με. Δείκνυσι δὲ ἑαυτοῦ ὁ Δαυῒδ τὴν ταπείνωσιν καὶ τῆς ψυχῆς τὴν κάκωσιν, ἣν παρίστη καὶ ἀρχόμενος τῆς προσευχῆς ἐν οἷς ἔλεγε· «Πτωχὸς καὶ πένης ἐγώ εἰμι.» Ἀντὶ δὲ τοῦ, «Δὸς τὸ κράτος τῷ παιδί σου», σαφέστερον ὁ Σύμμαχος ἡρμήνευσεν εἰπών, «Δὸς ἰσχὺν παρὰ σοῦ τῷ δούλῳ σου.» Ἵνα γὰρ μὴ ἐξασθενήσας ὀλισθήσω, μετὰ τῶν ἄλλων ὧν παρέσχου, δυναμωθῆναι ἀξιῶ, πρὸς τὸ μὴ αὖθις καταπαλαισθῆναι ὑπὸ τῆς συναγωγῆς τῶν κραταιῶν. Οὕτω δέ με ἰσχυροποιήσας σώσεις, ὡς ἂν σου δοῦλον γενόμενον, υἱὸν δὲ τῆς παιδίσκης σου, ἤτοι τῆς Ἐκκλησίας σου, ἢ καὶ τῆς ἐν τῇ κατὰ Θεὸν παιδείᾳ θρεψαμένης αὐτὸν μητρός.

Στίχ. ιζ'. «Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.»

Ὥσπερ τῷ Κάϊν σημεῖον ἔθετο ὁ Θεὸς τῆς πονηρίας αὐτοῦ δηλωτικόν, ὅπερ σημεῖον οἱ θεωροῦντες εἴργοντο τοῦ ἀνελεῖν αὐτόν[1], διὰ τὸ κρῖναι τὸν Θεὸν στένειν καὶ τρέμειν αὐτὸν ἐπὶ γῆς· οὕτω καὶ τοῖς τελείοις αὐτοῦ σημεῖον εἰς ἀγαθὸν δίδωσιν, ὅπερ ὁρῶντες, οἱ μὲν φίλοι χαίρουσιν, οἱ δὲ ἐχθροὶ καὶ οἱ μισοῦντες αἰσχύνονται, γνώρισμα λαβόντες διὰ τοῦ σημείου, ὅτι βεβοήθηται καὶ παρακέκληται ἐπὶ τῷ συμβεβηκότι. Καὶ τάχα ἐπὶ μὲν τοῦ Κάϊν αἱ ἐχθραὶ δυνάμεις, ὁρῶσαι τὸ ἐπιτεθὲν αὐτῷ σημεῖον ὑπὸ τοῦ Θεοῦ, ἐπέχαιρον αὐτῷ, ἅτε ἐπιχαιρεσίκακοι οὖσαι· οἱ δὲ τοῦ Θεοῦ ἄγγελοι ἐπέστενον αὐτῷ διὰ τοῦ σημείου τὴν ἐπηρτημένην αὐτῷ ἐκ Θεοῦ ὀργὴν ἐπιγινώσκον-

1. Γεν. 4, 15.

τες. Ἐπὶ δὲ τῆς θεοφιλοῦς ψυχῆς τοὐναντίον, αἱ μὲν ἐχθραὶ δυνάμεις καταισχύνονται τὸ ἀγαθὸν σημεῖον ἐπικείμενον ὁρῶσαι αὐτῇ· οἱ δὲ θεῖοι καὶ ἀγαθοὶ ἄγγελοι χαίρουσι καὶ συνευφραίνονται αὐτῇ. Τοῦτο καὶ ὁ Σωτὴρ ἡμῶν ἐδίδαξεν εἰπών, χαρὰν γίγνεσθαι ἐν τοῖς οὐρανοῖς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.[1]

## ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ, ΨΑΛΜΟΣ ᾨΔΗΣ. ΠϚ΄.

Στίχ. α΄-δ΄. «Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις· ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με.»

Ἀντὶ τοῦ, «Τοῖς υἱοῖς Κορέ», ὁ Ἀκύλας καὶ Σύμμαχος, «Τῶν υἱῶν Κορέ», ἐκδεδώκασιν, ὡς ὑπ' αὐτῶν πεποιημένου, ἢ διὰ τούτων εἰρημένου τοῦ ψαλμοῦ καὶ λεχθέντος, οὐ μόνον διὰ ψαλτηρίου, ἀλλὰ καὶ μετ' ᾠδῆς. Ζητῶν δὲ παρ' ἐμαυτῷ, τίνι λόγῳ μὴ πάντες ἦσαν ἐφ' ἑνὶ συνημμένοι οἱ ἐπιγεγραμμένοι «Τῶν υἱῶν Κορέ», ἀλλ' οὕτω μὲν ἰδίως πρῶτοι οἱ ἀπὸ τοῦ μα΄· καὶ πάλιν ἰδίως ἀφωρισμένοι δύο ὁ πγ΄, ὁ δ΄ καὶ π΄· καὶ πάλιν ἕτεροι δύο, ὁ μετὰ χεῖρας καὶ ὁ ἑξῆς αὐτῷ· μέσος δὲ παρεμβέβληται τούτων ὁ πε΄ ἐπιγεγραμμένος «Προσευχὴ τοῦ Δαυΐδ·» τὰ μὲν ἐμοὶ παραστάντα εἰς τὴν τῶν τελευταίων θεωρίαν διὰ τῶν εἰρημένων ἤδη πρότερον δεδήλωται. Εἴποι δ' ἄν τις καὶ ἄλλως, ὅτι πάντες οἱ ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν φερόμενοι λόγοι, ὑπὸ διαφόρων ἀνδρῶν προφητικῷ Πνεύματι λελαλημένοι, ἰδιάζοντες ἦσαν, ὡς ἂν μήτε ὑφ' ἕνα καιρὸν λεχθέντες, μήτε ὑπὸ τῶν αὐτῶν προφητευθέντες. Αὐτίκα γοῦν ἐπιγέγραπταί τις Μωϋσέως, καὶ ἕτεροι τοῦ Ἀσάφ, καὶ τοῦ Δαυΐδ πάλιν ἕτεροι, καὶ ὁ Σολομῶντος ἄλλος, καὶ πάλιν Αἰθὰν τοῦ Ἐσδραΐτου· καὶ ἕτεροι δὲ πλεῖστοι ὅσοι παρὰ τούτους φέρονται ἀνεπίγραφοι, οὐ δυναμένων ἡμῶν εἰδέναι τίνος ἄρ' εἶεν. Διαφόρως οὖν εἰρημένων τὸ παλαιὸν σποράδην ὑπῆρχε παρὰ τοῖς περὶ ταῦτα σπουδαίοις πεφυλαγμένον. Εἶθ' ὕστερον συναχθῆναι τοὺς ρν΄ ὑπὸ μίαν βίβλον. Μήποτ' οὖν ὁ συναγαγών, εἴτ' Ἔσδρας οὗτος ἦν, ὥς φασιν Ἑβραίων παῖδες, εἴτε τις ἕτερος παρὰ τοῦτον, τοὺς πρώτους εἰς αὐτὸν ἐχομένους πρώτους ἐν τῇ βίβλῳ κατέταττεν. Οὐκ ἀθρόως γὰρ τοὺς πάντας ὑφ' ἕνα καιρὸν εὑρών, ἐξ ἀνάγκης τοὺς πρὸς χεῖρα παρεμπίπτοντας συνῆπτε τοῖς προειληφόσι. Διόπερ καὶ τοὺς πρώτους η΄ Τῶν υἱῶν Κορὲ εἰκὸς τότε κατατάξαι, ὅτε καὶ ἀθρόως ὁμοῦ πάντες εὕρηνται· μετ' ἐκείνους δὲ συνάψαι τοὺς μετὰ ταῦτα εἰς αὐτὸν ἐλθόντας. Εἶτα πολλῶν ἐν τῷ μεταξὺ εὑρημένων, καὶ εἰς τὴν βίβλον τῶν Ψαλμῶν ἀναληφθέντων μετὰ τὸν πβ΄ ψαλμόν, εὑρῆσθαι πάλιν ἄλλους δύο Τῶν υἱῶν Κορέ, οὓς καὶ

1. Λουκ. 15, 7.

ἀκολούθως συνάψας ἐν τῷ τρίτῳ καὶ π' καὶ τῷ πδ' κατέταξεν. Εἶτα μεταξὺ τοῦ χρόνου τῆς τοῦ Δαυῒδ Προσευχῆς εὑρεθείσης, ἐνθεῖναι καὶ ταύτην μετὰ τὸν πδ'. Καὶ πάλιν μετὰ τὴν Προσευχὴν τοῦ Δαυῒδ, ἐν πε' τόπῳ καταλεχθεῖσαν, εὑρεθῆναι ἑτέρους δύο Τῶν υἱῶν Κορέ, τὸν μετὰ χεῖρας καὶ τὸν ἐφεξῆς αὐτῷ· ἐξ ἀνάγκης τε καὶ αὐτοὺς συναχθῆναι τῇ Προσευχῇ τοῦ Δαυῒδ. Τὸν αὐτὸν δὲ λόγον ὑπάρχειν ὁ αὐτὸς εἴποι ἂν καὶ ἐπὶ τῆς τῶν λοιπῶν ψαλμῶν συνθέσεως.

Πιστώσεται δὲ τὸ λελεγμένον ἀπὸ προφητικῶν ἀποδείξεων· ἐπεὶ γὰρ ἐν ταῖς προφητικαῖς βίβλοις πολλάκις ἐστὶν εὑρεῖν τὰ τῷ χρόνῳ προλεχθέντα δεύτερα κείμενα τῇ τάξει, καὶ τὰ προφητευθέντα ὕστερα προτεταγμένα τῶν προαγόντων τοῖς χρόνοις. Ὁ γοῦν Ἱερεμίας προφητεύειν μὲν ἄρχεται ἐπὶ Ἰωσίου, παρατείνει δὲ μέχρι Σεδεκίου καὶ τῆς αἰχμαλωσίας· Σεδεκίας δ' ἦν τέταρτος ἀπὸ Ἰωσίου βασιλεύς. Μετὰ γὰρ Ἰωσίαν δεύτερος Ἰωακεὶμ υἱὸς αὐτοῦ διαδέχεται τὴν ἀρχήν· μεθ' ὃν τρίτος Ἰεχωνίας υἱὸς Ἰωακείμ· μεθ' ὃν τέταρτος Σεδεκίας ἀδελφὸς Ἰωακείμ· καθ' οὓς ἅπαντας τοῦ Ἱερεμίου προφητεύσαντος, ἡ ἐπώνυμος αὐτοῦ γραφὴ ἄρχεται μὲν ἀπὸ Ἰωσίου· εἶτα προϊοῦσα μέμνηται Ἰεχωνίου τοῦ τρίτου ἀπὸ Ἰωσίου· εἶτα προφητεύει τὰ ἐπὶ Σεδεκίου, ὃς ἦν τέταρτος ἀπὸ Ἰωσίου· οἷς ἑξῆς τίθησι τὰ ἐν τῷ τετάρτῳ ἐπὶ Ἰωακεὶμ προφητευθέντα, ὃς ἦν δεύτερος μετὰ Ἰωσίαν. Εἶθ' ἑξῆς ἐπάγει τὰ ἐν ἀρχῇ τοῦ αὐτοῦ Ἰωακείμ· εἶτα τὰ ἐπὶ Σεδεκίου, καὶ πάλιν τὰ ἐπὶ Ἰωακείμ. Εἶτα μέμνηται τῆς αἰχμαλωσίας τῆς εἰς Βαβυλῶνα, καὶ ὡς μετὰ Σεδεκίαν κατέστη ἡγούμενος τῶν ἀπολειφθέντων Γοδολίας, καὶ ὡς Ἰσμαὴλ ἀναιρεῖ τὸν Γοδολίαν, μεθ' ὃν Ἰωανᾶν υἱὸς Καριὲ ἡγεῖται. Καὶ μετὰ τούτους ἅπαντας ἑξῆς ἐπάγει τὰς ἐν τῷ δ' ἔτει Ἰωακεὶμ λεχθείσας προφητείας, καὶ πάλιν τὰς ἐν ἀρχῇ βασιλείας Σεδεκίου εἰρημένας. Εὕροις δ' ἂν καὶ παρὰ τῷ Ἐζεκιὴλ τὰ παραπλήσια. Ἐπεὶ καὶ ἐν τῇ τούτου γραφῇ οὐχ ἑξῆς τοῖς χρόνοις σύγκεινται αἱ προφητεῖαι· ἀλλ' εἰσὶν αἱ μὲν κατὰ τὸ κζ' ἔτος τῆς αἰχμαλωσίας προτεταγμέναι τῷ ια' τῆς αἰχμαλωσίας εἰρημένῳ· μετὰ γὰρ τὰς ἐν τῷ κζ' ἔτει φέρονται αἱ λεχθεῖσαι ἐν τῷ ια' τῆς αἰχμαλωσίας ἔτει· καὶ πάλιν μετὰ τὰς ἐν τῷ ια' ἄλλαι φέρονται ἐν τῷ ι' ἔτει εἰρημέναι, καὶ ἑξῆς αἱ ἐν τῷ κε' ἔτει. Καὶ τούτων ἁπάντων εἴποι ἄν τις τὴν αἰτίαν οὐκ ἄλλην εἶναι τῆς ἀποδεδομένης. Σποράδην γάρ, ὡς εἰκός, τῶν κατὰ χρόνους καὶ καθ' ἕκαστον βασιλέα μερικῶς προπεφητευμένων, τὸ παλαιὸν παρὰ τοῖς σπουδαίοις σῳζομένων, ἤτοι τὸν Ἔσδραν, ἤ καί τινας ἑτέρους, ὑπὸ μίαν περιγραφὴν συνάγοντας τὰ ἑκάστῳ τῶν προφητῶν κατὰ χρόνους διαφόρους λεχθέντα, τοὺς πρώτους εὑρισκομένους λόγους κατατάσσειν πρώτους· εἶθ' ἑξῆς συνάπτειν τοὺς μετὰ ταῦτα εὑρισκομένους, εἰ καὶ προῆγον τῷ χρόνῳ. Τὸν δ' αὐτὸν εἶναι λόγον καὶ ἐπὶ τῆς τάξεως τῶν Ψαλμῶν, καθόλου μὲν ἁπάντων, ἰδίως δὲ καὶ τῶν μετὰ χεῖρας ἡμῖν ἐξεταζομένων· εἰ μὴ ἄρα τις βαθύτερος νοῦς λανθάνων ἡμᾶς ἑτέρους

τινὰς λογισμοὺς παραστήσει τῆς τῶν ἐζητημένων αἰτίας. Τά γε μὴν ἡμῖν ὑποπεσόντα εἴς τε τὴν τάξιν Τῶν υἱῶν Κορέ, καὶ περὶ τῆς Προσευχῆς τοῦ Δαυῒδ τῆς πρὸ τοῦ μετὰ χεῖρας ψαλμοῦ κειμένης, καὶ μέσης Τῶν υἱῶν Κορὲ παρεμβεβλημένης, πρόκειται τοῖς ἐθέλουσιν ἐντυγχάνειν τοῖς εἰρημένοις ἡμῖν ἔμπροσθεν. Ταῦτα μὲν οὖν ἡμῖν ὧδέ πη προγεγυμνάσθω.

Ἐπεὶ δὲ ἀορίστως ὁ λόγος ἐν τῷ ψαλμῷ φησιν· «Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις·» εἰκότως ἄν τις ζητήσειε, τίνος αὐτοῦ. Προχείρως μὲν οὖν εἴποι τις ἂν νοεῖσθαι τοῦ Θεοῦ· ἐπειδὴ ἑξῆς ἐπιλέγεται, «ἡ πόλις τοῦ Θεοῦ.» Ἐγὼ δέ, ἐπιστήσας τῇ ἀκολουθίᾳ τοῦ ψαλμοῦ, καὶ εὑρὼν ἑξῆς εἰρημένον τό· «Μὴ τῇ Σιὼν ἐρεῖ· Ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτήν·» ἀνθ' οὗ ὁ Ἀκύλας πεποίηκε· «Καὶ τῇ Σιὼν λεχθήσεται· Ἀνὴρ καὶ ἀνὴρ ἐτέχθη ἐν αὐτῇ, καὶ αὐτὸς ἑδράσει αὐτήν·» Ὁ δὲ Σύμμαχος· «Περὶ δὲ Σιὼν λεχθήσεται· Καθ' ἕκαστον ἄνθρωπον αὐτὸς ἐτέχθη ἐκεῖ· αὐτὸς δὲ ἥδρασεν αὐτήν·» ἡγοῦμαι σφόδρα ἀκολούθως εἰρῆσθαι τό· «Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι», καὶ μὴ προκεῖσθαι τό, «τοῦ Θεοῦ·» ἵν', ἐπιζητήσαντες τίνος αὐτοῦ, εὕρωμεν ἀπὸ τῶν ἑξῆς τὸν λεγόμενον τεθεμελιωκέναι τὴν Σιὼν ἄνδρα, τὸν καὶ γεννηθέντα ἐκεῖ· «Ἄνθρωπος», γάρ φησιν, «ἐτέχθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτήν·» ἢ «καὶ αὐτὸς ἥδρασεν αὐτήν.» Λεγομένου τοιγαροῦν τοῦ· «Οἱ θεμέλιοι αὐτοῦ», προσυπακούσωμεν ἡμεῖς τὸ τοῦ ἀνδρὸς τοῦ θεμελιώσαντος αὐτήν· δῆλον δ' ὅτι τὴν τοῦ Θεοῦ πόλιν. Πόλιν δὲ τοῦ Θεοῦ νομίζειν τὴν κατὰ Παλαιστίνην τὸ πάλαι συνεστῶσαν Ἰουδαίων μητρόπολιν οὐ μόνον ταπεινόν, ἀλλὰ καὶ δυσσεβές. Τὸ γὰρ περὶ τῆς νῦν ὑπὸ ἀλλοφύλων ἐθνῶν οἰκουμένης ἐν τῇ Ἰουδαίᾳ πόλεως λέγεσθαι νομίζειν τό· «Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών», τὰς νῦν ἐρήμους καὶ ἠφανισμένας· καὶ τό· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ·[1]» καὶ πάλιν ἀλλαχοῦ· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ·[2]» καὶ πάλιν· «Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ·[3]» καὶ ταῦτα πάντα νομίζειν λέγεσθαι περὶ πόλεως ἣν ἄνδρες οἰκοῦσι νῦν Ἕλληνες καὶ ἀλλόφυλοι καὶ εἰδωλολάτραι, σφόδρα μοι δοκεῖ ταπεινῆς εἶναι, καὶ μικροπρεποῦς διανοίας. Εἰ δέ τις νοήσειεν ὅπως εἰώθασιν αἱ θεῖαι καὶ προφητικαὶ φωναὶ πόλιν Θεοῦ καλεῖν τὸ θεοσεβὲς πολίτευμα, ὄψεται τίνα τρόπον καθ' ὅλης τῆς οἰκουμένης τὴν θεοφιλῆ ταύτην καὶ θεοσεβῆ πολιτείαν τε καὶ πόλιν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῦ Θεοῦ, ἐθεμελίωσέ τε καὶ ἥδρασε. Διὸ καὶ ποικίλως κηρύττεται ὑπὸ τῶν προφητῶν ἐν οἷς λέγεται περὶ αὐτοῦ, καὶ τό· «Οὗτος οἰκοδομήσει τὴν πόλιν μου.» Τὴν γὰρ τοῦ Θεοῦ πόλιν, δηλαδὴ τὴν κατὰ Θεὸν πολι-

---

1. Ψαλμ. 86, 3. 2. Ψαλμ. 45, 5. 3. Ψαλμ. 47, 2.

τείαν καὶ τὸ θεοσεβὲς πολίτευμα καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης μόνος αὐτὸς γεννηθεὶς ἐν αὐτῇ ἱδρύσατο, καὶ κατεπήξατο διὰ τῆς ἐν παντὶ τόπῳ καὶ πάσῃ χώρᾳ καὶ πόλει συνεστώσης αὐτοῦ καθολικῆς Ἐκκλησίας· περὶ ἧς πεπεῖσθαι προσήκει λέγεσθαι τό· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ», καὶ τό· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ [1]», καὶ ὅσα ἄλλα τοιαῦτα ἐν ταῖς θείαις φέρεται Γραφαῖς.

Τῆς οὖν μεγίστης ταύτης καὶ θεοπρεποῦς πόλεως, λέγω δὲ τῆς τοῦ Θεοῦ Ἐκκλησίας, καὶ τοῦ κατ' αὐτὴν ἐμφαινομένου θεοσεβοῦς πολιτεύματος, οἱ θεμέλιοι τυγχάνουσιν ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. Ἑρμηνεύει δὲ τὸν λόγον ὁ Ἀπόστολος φάσκων· «Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ.[2]» Καὶ ἄλλως δὲ οἱ θεμέλιοι αὐτοῦ οὐκ ἐνταῦθα κάτω καὶ παρ' ἡμᾶς τυγχάνουσιν, ἀλλ' ἄνω που καὶ ἐν τοῖς καλουμένοις ἁγίοις ὄρεσι. Διὸ λέλεκται· «Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.» Εἶεν δ' ἂν ταῦτα τὰ ὄρη οἱ οὐρανοὶ τῶν οὐρανῶν, ἔνθα τὸ μέγα πολίτευμα τῆς ἐπουρανίου Σιών, καὶ τῆς ἀληθῶς μεγάλης τοῦ Θεοῦ πόλεως συνέστηκεν. Οὐκ ἐμὸς δὲ οὗτος ὁ λόγος, ἀλλὰ καὶ αὐτὸς τοῦ φήσαντος Ἀποστόλου· «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ ἡμῶν [3]», καί· «Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων πανηγύρει, καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς.[4]» Ταύτης οὖν τῆς μεγάλης πόλεως τοῦ Θεοῦ εἰκὼν μὲν εἴη ἂν ἡ ἐπὶ γῆς Ἐκκλησία τοῦ Θεοῦ· τὰ δὲ στηρίγματα αὐτῆς καὶ θεμέλιοι, οἱ ἐν τοῖς ἀποδεδομένοις ἡμῖν ἁγίοις ὄρεσιν ὑφεστήκασιν· αἱ δὲ εἴσοδοι καὶ αἱ πρῶται στοιχειώσεις αὐτῆς ἐκείνης τῆς οὐρανοπόλεως ἐνταῦθα τυγχάνουσι παρ' ἡμῖν. Ὥσπερ εἰσόδους καὶ εἰσαγωγὰς τοῦ θεοσεβοῦς πολιτεύματος πύλας ὠνόμασε Σιὼν ὁ λόγος φάσκων· «Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.» Σκηνώματα δὲ Ἰακὼβ αἱ Ἰουδαϊκαὶ παραδόσεις, καὶ αἱ κατὰ Μωϋσέως σωματικαὶ θρησκεῖαι ἐνταῦθά μοι δοκοῦσι λέγεσθαι· ὧν προτιμότεραι τυγχάνουσι παρὰ τῷ Θεῷ αἱ πύλαι τῆς Σιών, τουτέστιν αἱ εἴσοδοι καὶ εἰσαγωγαὶ τῆς ἐπουρανίου βασιλείας ἐπὶ τῆς Ἐκκλησίας ἱδρυμέναι. Ἐν μόνῃ γὰρ ταύτῃ κηρύσσεται ἡ τῶν οὐρανῶν βασιλεία, καὶ τοῦ σωτηρίου γε Εὐαγγελίου ὁ πᾶς σκοπὸς ἐκεῖσε βλέπει. Ἐπεὶ καὶ αἱ σωτήριοι ἐπαγγελίαι, καὶ τὸ εὐαγγελικὸν κήρυγμα, καὶ ἡ πᾶσα ἐλπὶς τοῦ κατὰ Χριστὸν πολιτεύματος, τὴν βασιλείαν τῶν οὐρανῶν ὁρᾷ. Γέγραπται γοῦν, ὅτι ἐκήρυξεν ὁ Σωτὴρ λέγων· «Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν.[5]» Ἐμακάριζέ τε τοὺς ἀξίους τῶν οἰκείων μακαρισμῶν, ἐπαγγελλόμενος αὐτοῖς βασιλείαν οὐρανῶν· ἀλλὰ καὶ

1. Ψαλμ. 45, 5. 2. Ἐφ. 2, 20. 3. Γαλ. 4, 26. 4. Ἑβρ. 12, 22, 23.
5. Ματθ. 10, 7.

ἐδίδασκεν εὔχεσθαι τοὺς αὐτοῦ μαθητὰς καὶ τὴν τῶν οὐρανῶν βασιλείαν ἐξαιτεῖσθαι φάσκοντας ἐν τῇ προσευχῇ· «Γενηθήτω τὸ θέλημά σου, ἐλθέτω ἡ βασιλεία σου.[1]» Εἰκότως τοίνυν πάντα τὰ τοιαῦτα πύλαι τῆς τῶν οὐρανῶν βασιλείας ὠνομάσθησαν, εἴσοδοί τινες καὶ εἰσαγωγαὶ τυγχάνουσαι τῆς ἐκεῖσε πορείας. Ἀγαπᾷ τοίνυν ταύτας τὰς πύλας τῆς ἐπουρανίου Σιὼν ὑπὲρ τὰς νομικὰς καὶ Ἰουδαϊκὰς συναγωγάς, ἅσπερ ὠνόμασε σκηνώματα Ἰακώβ. Οὐδὲν γοῦν παρ' ἐκείνοις περὶ τῆς ἐπουρανίου πόλεως τοῦ Θεοῦ μνημονεύεται, οὐδέ τις αὐτοῖς σκοπὸς περὶ βασιλείας οὐρανῶν ἔνεστι, κάτω δὲ δι' ὅλου νενευκότες τὰς ἐλπίδας ἐπὶ γῆς ἔχουσι, καὶ τὰς ἐπαγγελίας ἐνταῦθά που προσδοκῶσι· διὸ προτιμότεραι παρὰ τῷ Θεῷ τυγχάνουσι τῶν σκηνωμάτων Ἰακὼβ αἱ προδηλωθεῖσαι ἡμῖν πύλαι τῆς ἐπουρανίου Σιών· ἧς οἱ θεμέλιοι οὐκ ἐνταῦθα κάτω που ἐπὶ γῆς, ἀλλ' ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις ὑπάρχουσι, τοῖς προτεθεωρημένοις.

«Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. Καὶ ἰδοὺ ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ.» Ἀντὶ τοῦ· «Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος», ὁ μὲν Ἀκύλας φησίν· «Ἀναμνήσω ὁρμήματος καὶ Βαβυλῶνος·» ὁ δὲ Σύμμαχος· «Ἀναμνήσω ὑπερηφανίαν καὶ Βαβυλῶνα.» Ἡγοῦμαι δὲ διὰ Βαβυλῶνος καὶ Τύρου καὶ Ῥαάβ, διά τε τῶν ἀλλοφύλων καὶ τοῦ λαοῦ τῶν Αἰθιόπων, τὴν κλῆσιν τῶν ἐθνῶν αἰνίττεσθαι, τῶν μεταθεμένων καὶ μεταβεβλημένων ἀπὸ τῆς προτέρας ἀγωγῆς, καταξιωθέντων τε ἀναγεννήσεως τῆς ἐν τῇ πόλει τοῦ Θεοῦ· οὓς ὁ Λόγος ἀναμιμνήσκειν βούλεται τοῦ προτέρου ἑαυτῶν γένους. Τῷ γὰρ φάσκειν ἀλλοφύλους, καὶ Τύρον καὶ λαοὺς Αἰθιόπων γεγενῆσθαι ἐκεῖ, τί ἕτερον ἢ τῶν ἀλλοφύλων ἐθνῶν τὴν ἐν τῇ πόλει τοῦ Θεοῦ ἀναγέννησιν; Καὶ ὁ Ἀκύλας δέ φησι· «Φιλιστιαία καὶ Τύρος μετὰ Αἰθιοπίας, οὗτος ἐτέχθη ἐκεῖ·» ὁμοίως δὲ καὶ ὁ Σύμμαχος ἐξέδωκεν εἰπών· «Ἰδοὺ Φιλιστιαῖοι καὶ Τύρος μετὰ Αἰθιοπίας, οὗτος ἐτέχθη ἐκεῖ.» Ἐκεῖ δέ, ποῦ φησι τετέχθαι τοὺς ἀλλοφύλους, ἀλλ' ἢ ἐν τῇ πόλει τοῦ Θεοῦ, ἢ ἐν ταῖς πύλαις αὐτῆς ταῖς νενοημέναις; Τοῦτο γὰρ ἡ ἀκολουθία τῆς συμφράσεως ὑποβάλλει νοεῖν. Προειπὼν γάρ· «Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ», ἐπιλέγει συνάπτων ἑξῆς, ὡς ἄρα οἵδε καὶ οἵδε ἀλλόφυλοι ἐγενήθησαν ἐκεῖ, καὶ ὁ λαὸς Αἰθιόπων ἐτέχθη ἐκεῖ· δηλονότι ἐν τῇ προειρημένῃ πόλει τοῦ Θεοῦ, ἢ ἐν ταῖς ταύτης τεθεωρημέναις πύλαις. Ἃ δὴ καὶ ἔργοις ἐπιτελεσθέντα τὴν τῶν λόγων ἀλήθειαν πιστοῦται τῆς σωτηρίου χάριτος, καὶ Βαβυλωνίους καὶ Τυρίους, καὶ πάντας τοὺς ἀλλογενεῖς καὶ ἀλλοτρίους τοῦ γένους τοῦ Ἰσραηλιτικοῦ, καὶ διὰ λουτροῦ παλιγγενεσίας, καὶ τῶν τῆς Καινῆς Διαθήκης μυστηρίων ἀναγεννώσης ἐν τῇ δηλωθείσῃ πόλει τοῦ Θεοῦ.

1. Ματθ. 6, 10.

Στίχ. ε΄, ς΄. «Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.» Αἱ τῶν λοιπῶν ἑρμηνευτῶν ἐκδόσεις λευκότερον τὴν τῶν προκειμένων διάνοιαν παρέστησαν. Ὁ μὲν γὰρ Σύμμαχος τοῦτον ἐξέδωκε τὸν τρόπον· «Περί τε Σιὼν λεχθήσεται καθ' ἕκαστον· Ἄνθρωπος οὗτος ἐτέχθη ἐκεῖ· αὐτὸς ἥδρασεν αὐτὴν ὁ Ὕψιστος. Κύριος ἀριθμήσει γράφων λαούς· οὗτος ἐτέχθη ἐκεῖ.» Καὶ ὁ Θεοδοτίων φησί· «Καὶ τῇ Σιὼν ῥηθήσεται· Ἀνὴρ καὶ ἀνὴρ ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτήν, καὶ ἡτοίμασεν αὐτὴν ὁ Ὕψιστος. Κύριος διηγήσεται ἐν γραφῇ λαῶν· Οὗτος ἐγεννήθη ἐν αὐτῇ.» Καὶ πρόσχες τίνα τρόπον ἐν τούτοις οἷσπερ εἴρηται περὶ τῶν ἀλλοφύλων, τό· «Ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων, οὗτοι ἐγενήθησαν ἐκεῖ.» Οὕτω καὶ ἐνταῦθα, «Λεχθήσεται», φησίν· «Ἀνὴρ καὶ ἀνὴρ ἐτέχθη ἐκεῖ·» καὶ πάλιν ἑξῆς· «Κύριος γράφων λαούς, Οὗτος ἐτέχθη ἐκεῖ.» Πρότερον μὲν γὰρ εἴρητο περὶ τοῦ λαοῦ τῶν ἀλλοφύλων· δεύτερον δὲ περὶ τοῦ ἀνδρὸς τοῦ λεγομένου τετέχθαι ἐκεῖ, καὶ τρίτον περὶ αὐτοῦ τοῦ Κυρίου. Ὁ γὰρ Κύριος, φησίν, αὐτὸς ὁ θεσπίζων ταῦτα καὶ γράφων λαούς, οὗτος ἐτέχθη ἐκεῖ.

Σαφῶς δὲ ὁ Λόγος τὸν μὲν ἄνδρα τὸν τεχθέντα ἐκεῖ, τουτέστιν ἐν τῇ τοῦ Θεοῦ πόλει, τὸν ἄνθρωπον τοῦ Σωτῆρος ἡμῶν ᾐνίξατο· τὸν δὲ Κύριον καὶ αὐτὸν τετέχθαι ἐκεῖ φάσκων, παρίστησι τὴν ἐν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ Λόγου κατοίκησιν. Ὥσπερ γὰρ ἡ Σιών, πόλις οὖσα τοῦ Θεοῦ, χώρα τυγχάνει τοῦ τεχθέντος ἐν αὐτῇ ἀνδρός, οὕτω καὶ αὐτὸς ὁ ἀνὴρ χώρα γίνεται καὶ δοχεῖον τοῦ ἐν αὐτῷ γεννηθέντος Θεοῦ Λόγου, ὡς ἐν ἱερῷ ἁγίῳ καὶ ναῷ, μᾶλλον δὲ ὡς ἐν ἀγάλματι καὶ δοχείῳ τῆς αὐτοῦ θεότητος ἐν αὐτῷ κατῳκηκότος. Καὶ ταῦτα δὲ ἀναγκαίως ὁ Λόγος ἐδίδαξεν εἰς τὸ γνωσθῆναι πῶς ἀλλόφυλοι καὶ Τύρος καὶ λαὸς Αἰθιόπων ἐγενήθησαν ἐν τῇ τοῦ Θεοῦ πόλει, καὶ γεγόνασιν υἱοὶ Θεοῦ διὰ τῆς παρ' αὐτῷ ἀναγεννήσεως. Ὅπως γὰρ καὶ κατὰ τίνα τρόπον ἡ τοσαύτη εἰς οὐρανοὺς ἐξεχύθη χάρις, παρέστησεν εἰπὼν τὰ κατὰ τὸν ἄνδρα τὸν γεννηθέντα ἐκεῖ, καὶ τὸν ἐν τῷ ἀνδρὶ πάλιν γεννηθέντα Κύριον. Οἷς ἅπασιν ἐπιλέγει τό,

Στίχ. ζ΄. «Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί·» ἀνθ' οὗ ὁ μὲν Ἀκύλας φησί, «Καὶ ᾄδοντες ὡς χοροὶ πᾶσαι πηγαὶ ἐν σοί·» ὁ δὲ Σύμμαχος, «Καὶ αἰνέσουσιν ὡς ἐν αὐλοῖς πᾶσαι αἱ πηγαὶ ἐν σοί.» Οἶμαι δὲ σημαίνεσθαι καὶ διὰ τούτων τὴν τῶν πιστῶν ἁπάντων, τῶν δὴ τῆς ἁγίας τοῦ Θεοῦ πόλεως καταξιωθησομένων, ἐπισυναγωγήν, καὶ τὴν εἰς ἕνα χορὸν ἀποκατάστασιν. Τῷ γὰρ λέγεσθαι, «ἐν σοί», τὸν τόπον πάλιν σημαίνειν ὑπολαμβάνω τῆς τοῦ Θεοῦ πόλεως· ἧς οἱ μὲν θεμέλιοι ἦσαν ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, αἱ δὲ πύλαι καὶ αἱ εἴσοδοι κάτω που καὶ παρ' ἡμῖν· ἐν μέσῃ δὲ αὐτῇ πάντες ὡς ἐν χορείᾳ καὶ ἁρμονίᾳ θείᾳ μετ' εὐφροσύνης συναγόμενοι κατοικήσειν προφητεύονται. Ὅρα δὲ τίνα τρόπον ὁ παρὼν ψαλμός, Θεοῦ γένεσιν θεσπίζων κατὰ τὴν ἀνά-

γνωσιν τῆς τῶν Ἑβδομήκοντα ἑρμηνείας, ἐπέκρυψε τὸ μυστήριον. Τὸ γάρ, «Κύριος ἀριθμήσει γράφων λαούς· Οὗτος ἐτέχθη ἐκεῖ», κατὰ Σύμμαχον· ἢ κατὰ Ἀκύλαν, «Κύριος διηγήσεται ἐν τῷ γράφειν λαούς· Οὗτος ἐτέχθη ἐκεῖ·» ἢ κατὰ τὸν Θεοδοτίωνα, «Κύριος διηγήσεται ἐν γραφῇ λαῶν· Οὗτος ἐγεννήθη ἐκεῖ», οὐ τοῦτον ἡρμήνευται παρὰ τοῖς Ἑβδομήκοντα τὸν τρόπον· ἀλλ' εἴρηται, «Κύριος διηγήσεται ἐν γραφῇ λαῶν καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ·» ἐπικρυψάντων, ὡς οἶμαι, τὴν διάνοιαν τῶν τὴν ἑρμηνείαν πεποιημένων, διὰ τὸ ἔθνεσιν ἀλλοφύλοις μέλλειν ἐκδίδοσθαι τὴν Γραφὴν κατὰ τοὺς Πτολεμαίου χρόνους, οὔπω τοῦ Σωτῆρος ἡμῶν ἐπιλάμψαντος τῷ βίῳ. Καὶ ὁ πᾶς δὲ ψαλμὸς σφόδρα αἰνιγματώδης καὶ σκοτεινῶς εἰρημένος τυγχάνει, «θεμελίους αὐτοῦ» λέγων σεσιωπημένως, τίνος δ' αὐτοῦ μὴ διασαφῶν· καὶ πάλιν ὄρη ἅγια ὀνομάζων, καὶ πύλας Σιὼν προτιμωμένας ὑπὸ τοῦ Κυρίου τῶν σκηνωμάτων Ἰακώβ, καὶ πόλιν Θεοῦ δεδοξασμένως λαλουμένην· καὶ ἐπὶ πᾶν, ἐν τῇ πόλει, οὐ τὸν Ἰσραήλ, οὐδὲ τὸ Ἰουδαίων ἔθνος, ἀλλὰ Ῥαὰβ τήν ποτε πόρνην καὶ Βαβυλῶνα, Τυρίους τε καὶ Αἰθίοπας καὶ ἀλλοφύλους. Τούτους γὰρ πάντας τεχθήσεσθαι ἐν τῇ πόλει τοῦ Θεοῦ διὰ ποίαν αἰτίαν οὐκ ἂν ἔχοι τις ἄλλην εἰπεῖν ἢ διὰ τὴν γένεσιν τοῦ ἐν αὐτῇ τεχθέντος ἀνδρός, καὶ τοῦ Κυρίου τεχθέντος ἐκεῖ, δηλαδὴ ἐν αὐτῷ τῷ προλεχθέντι ἀνδρί· ἐφ' οἷς πᾶσαν εὐφροσύνην κοινὴν καὶ χορείας, ᾠδάς τε καὶ αἴνους καὶ πηγὰς θείων καὶ ἱερῶν λόγων ἐπὶ τέλει τοῦ ψαλμοῦ θεσπίζει. Ἐπὰν δὲ λέγῃ ἐν γραφῇ λαῶν ταῦτα πάντα ἔσεσθαι, σημαίνειν ἡγοῦμαι τὸν καιρὸν τῆς ἀπογραφῆς τῶν ἐθνῶν, ἥτις ἐπληροῦτο ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσεως· τότε γὰρ «ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην·[1]» ὅτε Κυρήνιος ἐπιστὰς τῇ Ἰουδαίᾳ τὰς ἀπογραφὰς ἐποιεῖτο. Ἐπισημαίνεται γοῦν ὁ εὐαγγελιστὴς λέγων· «Αὕτη ἡ ἀπογραφὴ πρώτη·[2]» ὥστε καὶ τὸν καιρὸν αὐτὸν ἀκριβῶς διὰ τοῦ παρόντος ψαλμοῦ δηλοῦσθαι. Μήποτε δὲ καὶ διὰ τοῦτο ἀφώρισται ὁ ψαλμός, καὶ μακρὰν ἀπεσχοίνισται τῶν λοιπῶν τῶν ἐπιγεγραμμένων υἱῶν Κορέ, ἐπειδὴ κρύπτεσθαι ὁ λόγος τὰ δηλούμενα ἐν αὐτῷ μυστήρια περὶ τῆς τοῦ Κυρίου γενέσεως ἐβούλετο· ὥστε καὶ ταύτην ἑτέραν εἶναι αἰτίαν τῶν ἐζητημένων ἡμῖν κατὰ τὴν ἀρχὴν τῶν προκειμένων. Τὸ αὐτὸ δ' ἂν εἴποις καὶ ἐπὶ τοῦ πζ' ἑξῆς τούτῳ ἐπιλεγομένου, ἐπιγεγραμμένου τε καὶ αὐτοῦ τῶν υἱῶν Κορέ· ἐπεὶ καὶ αὐτὸς τὸν θάνατον τοῦ Σωτῆρος ἡμῶν προφητεύει ἀκολούθως τῷ μετὰ χεῖρας τὴν γένεσιν αὐτοῦ περιέχοντι.

---

1. Λουκ. 2, 1. 2. Λουκ. 2, 2.

## ΩΔΗ ΨΑΛΜΟΥ ΤΟΙΣ ΥΙΟΙΣ ΚΟΡΕ, ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΥΠΕΡ ΜΑΕΛΕΘ, ΤΟΥ ΑΠΟΚΡΙΘΗΝΑΙ, ΣΥΝΕΣΕΩΣ ΑΙΜΑΝ ΤΩ ΕΣΔΡΑΪΤΗ. ΠΖ'.

Στίχ. β'. «Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σοῦ.»

Καὶ ὁ παρὼν ψαλμὸς Τῶν υἱῶν Κορέ, ὡς καὶ ὁ πρὸ αὐτοῦ, τυγχάνει. Ἀλλ' ὁ μὲν πρὸ αὐτοῦ, Χριστοῦ γένεσιν ᾐνίττετο φάσκων· «Καὶ τῇ Σιὼν λεχθήσεται· Ἀνὴρ καὶ ἀνὴρ ἐτέχθη ἐν αὐτῇ, καὶ αὐτὸς ἑδράσει αὐτήν», ὡς ὁ Ἀκύλας ἡρμήνευσε· καὶ τὸν καιρόν γε σημαίνει τῆς γενέσεως τοῦ εἰρημένου ἀνδρός, προϊὼν ἑξῆς· ἔφασκε γοῦν· «Ἐν τῷ γράφειν λαούς, οὗτος ἐτέχθη ἐκεῖ.» Τούτου δὲ τὴν διάνοιαν σαφέστερον ἀποδέδωκεν ἡ πέμπτη ἔκδοσις, ἐν ᾗ εἴρηται· «Ἐν ἀπογραφῇ λαῶν, οὗτος γεννηθήσεται ἐκεῖ.» Σαφέστατα γὰρ τῆς ἀπογραφῆς ἐμνημόνευσε, καθ' ἣν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐγεννήθη, ὥσπερ οὖν δηλοῖ λέγων ὁ εὐαγγελιστής· «Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύσαντος τῆς Συρίας Κυρηνίου.[1]» Ἀλλ' ἐκεῖνος μὲν τὴν γένεσιν ἐσήμανεν αὐτοῦ, ὁ δὲ μετὰ χεῖρας τὸν θάνατον. Τὸ δέ, «ὑπὲρ Μαελέθ», «διὰ χοροῦ», ἡρμήνευσεν ὁ Σύμμαχος· ὁ δὲ Ἀκύλας, «ἐπὶ χορείας.» Καί μοι δοκεῖ τὸν Χριστοῦ λαὸν αἰνίττεσθαι καὶ τὴν ἐκκλησιαστικὴν χορείαν, ἐν ᾗ τοῦ Σωτῆρος ἡμῶν ὁ θάνατος ἀνυμνεῖται. Ἐπεὶ δὲ καὶ ἡ γένεσις αὐτοῦ διὰ τῆς χορείας ταύτης ᾄδεται, εἰκότως καὶ ὁ πρὸ τούτου ψαλμὸς τὴν γένεσιν αὐτοῦ θεσπίσας ἐπήγαγε λέγων· «Καὶ ᾄδοντες ὡς χοροὶ πᾶσαι πηγαὶ ἐν σοί», τοὺς ἐν τῇ Ἐκκλησίᾳ Χριστοῦ χοροὺς ᾄδοντας αὐτοῦ καὶ ἀνυμνοῦντας τὰ μυστήρια δηλώσας. Τὸν δὲ λεγόμενον Αἰμὰν τὸν Ἐσδραΐτην φασὶν εἶναι ἕνα τῶν υἱῶν Ζαρὰ τοῦ υἱοῦ Ἰούδα, κεκλῆσθαί τε αὐτὸν παρ' Ἑβραίοις πατρωνυμικῶς Ζαραΐτην· εἶναι δὲ πέντε τοὺς πάντας· μαρτυρεῖν δὲ τῷ λόγῳ τὴν πρώτην τῶν Παραλειπομένων, τοῦτον περιέχουσαν τὸν τρόπον· «Υἱοὶ Ἰούδα Φαρὲς καὶ Ζαρά· καὶ υἱοὶ Ζαρά, Ζαμβρί, καὶ Αἰθὰμ καὶ Αἰμὰν καὶ Χαλχὰλ καὶ Δαρδά· πάντες πέντε.[2]» Τούτους ἔλεγεν ὁ Ἑβραῖος ἐν Αἰγύπτῳ προφητεῦσαι, πρὸ Μωϋσέως γενομένους, αὐτῶν τε εἶναι τοὺς ψαλμοὺς τοὺς εἰς ὄνομα αὐτῶν προγεγραμμένους· οἷον τὸν μετὰ χεῖρας, καὶ τὸν ἑξῆς αὐτῷ, καὶ αὐτὸν ἐπιγεγραμμένον, «Αἰθὰμ τῷ Ἐσδραΐτῃ·» ἀλλὰ καὶ περὶ αὐτῶν λελέχθαι ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν· «Καὶ ἐσοφίσατο Σολομὼν ὑπὲρ Αἰθὰν τὸν Ἐσδραΐτην, καὶ Αἰμάν, καὶ τὸν Χαλχὰλ καὶ τὸν Δαρδάν.[3]» Ταῦτα μὲν οὖν εἰς τὴν ἱστορίαν εἰρήσθω. Εἰ δέ τι συμβάλλονται τῇ τοῦ ψαλμοῦ θεωρίᾳ αἱ τούτων τῶν ὀνομάτων ἑρμηνεῖαι, καὶ αὐτὸς ἐπιστήσεις. Ὕστατος δὲ ὢν ὁ παρὼν τῶν ἐπιγεγραμ-

1. Λουκ. 2, 2. 2. Α' Παρλ. 2, 6. 3. Γ' Βασ. 5, 11.

μένων Υἱῶν Κορέ, τὴν κάθοδον τὴν εἰς τὸν ᾅδην τοῦ Σωτῆρος ἡμῶν περιείληφεν, ὥσπερ ἐξεπίτηδες ταμιευσαμένου τοῦ λόγου τὸ μυστήριον τοῦ θανάτου ἐπὶ τέλει τοῦ παντὸς παραδοῦναι. Καί μοι δοκοῦσιν οἱ δ' οὗτοι Τῶν υἱῶν Κορέ, λέγω δὲ ὁ τρίτος καὶ π', καὶ ὁ δ' καὶ π', ὅ τε πς' καὶ ὁ πζ' ἔχειν τινὰ πρὸς ἀλλήλους ἀκολουθίαν. Ὁ μὲν γὰρ πγ' σαφῶς Θεοῦ παρουσίαν εἰς ἀνθρώπους καὶ Χριστοῦ προφητείαν ὀνομαστὶ περιεῖχεν· ὁ δὲ ἑξῆς αὐτῷ ᾗ τάχος ἐπιστῆναι τὰ τεθεσπισμένα ηὔχετο· ὁ δὲ πρὸ τοῦ μετὰ χεῖρας ἤδη τὴν ἔνσαρκον αὐτοῦ γένεσιν ᾐνίττετο· τούτοις δὲ πᾶσιν ἀκολούθως ὁ προκείμενος τὸν θάνατον, ὃν ὑπὲρ ἀνθρώπων ἀνεδέξατο, προαναφωνεῖ·

«Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου.»

Στίχ. γ'. «Εἰσελθέτω ἐναντίον σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.»

Ἐν τῷ κα' ψαλμῷ καὶ αὐτῷ εἰς τὸν Χριστὸν ἀναφερομένῳ, καὶ τὸ πάθος αὐτοῦ σαφῶς προφητεύοντι, ὅπερ διὰ τῆς ἀρχῆς παρίστησιν ὁ λόγος φάσκων· «Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;[1]» ὃ καὶ μεμαρτύρηται κατὰ λέξιν ἐπὶ τοῦ πάθους ὁ Σωτὴρ ἡμῶν εἰρηκώς, μετὰ τὴν ἀρχὴν ἑξῆς ἐπιλέγεται· «Ὁ Θεός μου, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.» Καὶ ὁ παρὼν δὲ ψαλμός φησιν· «Ἡμέρας ἐκέκραξα, καὶ ἐν νυκτὶ ἐναντίον σου.» Καί μοι δοκεῖ τὸ λόγιον τὸν βίον τῆς ἐνανθρωπήσεως τοῦ Σωτῆρος ἡμῶν ὑπογράφειν διὰ πάσης οὐ μόνον ἡμέρας ἀλλὰ καὶ νυκτὸς ἀνακειμένου τῷ Θεῷ. Ἔχει δὲ καὶ ἐν τοῖς Εὐαγγελίοις ὅπως ταῖς εὐχαῖς διὰ παντὸς ἐσχόλαζεν. Ἐπὶ δὲ τοῦ παρόντος δέεται τοῦ Πατρὸς καὶ ἀξιοῖ κλῖναι τὸ οὖς πρὸς τὴν δέησιν αὐτοῦ· τουτέστιν ἐπινεῦσαι τοῖς αἰτήμασιν αὐτοῦ. Καὶ τοῦτ' εὔχεται, ὡς ἂν μέλλων ὑπὲρ ἁπάντων τῶν ἐθνῶν, αὐτὸς ἑαυτὸν τῷ Πατρὶ προσφέρειν θυσίαν. Πολλὰ δὲ περὶ τοῦ ἰδίου θανάτου μέλλων ἑξῆς διεξιέναι, ὁρῶν τε τὴν μετὰ θάνατον διαδεξομένην αὐτὸν σωτηρίαν, εἰκότως τὴν ἀπαρχὴν τοῦ ψαλμοῦ τῇ αὐτοῦ σωτηρίᾳ προλαβὼν ἀνατίθησι· διό φησι, «Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου.»

Στίχ. δ', ε'. «Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε, προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον.»

Σαφῶς διὰ τούτων τὴν εἰς τὸν ᾅδην κάθοδον αὐτοῦ παρίστησι, καὶ τὰ κακὰ ὧν πεπληρῶσθαι ἑαυτοῦ ἔφασκε τὴν ψυχήν. Κακὰ δὲ ἤτοι τὰς περιστάσεις ὀνομάζει, κοινότερον ἐξακουομένου τοῦ τῶν κακῶν ὀνόματος, ἢ καὶ τὴν τῶν ἀνθρώπων κακίαν, ἧς πεπληρῶσθαι τὴν ψυχὴν αὐτοῦ ἔλεγεν· ἀλλὰ καὶ τὰς ἁμαρτίας τὰς ἡμετέρας, ἃς εἰς ἑαυτὸν ἀνείληφε, δι' ἃς καὶ γέγονεν ὑπὲρ ἡμῶν κατάρα κατὰ τὸν Ἀπόστολον, ὃς ἔφη· «Κύριος ὑπὲρ ἡμῶν ἀπέθανε, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· ὅτι

1. Ψαλμ. 21, 2.

γέγραπται· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.[1]» Διὸ καὶ κατὰ τὸν ψαλμόν, ἐπλήσθη κακῶν ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ζωὴ αὐτοῦ τῷ ᾅδῃ ἤγγισεν· ὃ δὴ καὶ αὐτὸ σαφῶς τὴν εἰς τὸν θάνατον κάθοδον αὐτοῦ δηλοῖ. Διόπερ ὁ μὲν Ἀκύλας ἐξέδωκεν εἰπών, «Καὶ ἡ ζωή μου εἰς ᾅδην κατήντηκεν·» ὁ δὲ Σύμμαχος, «Καὶ ἡ ζωή μου ᾅδη ἥψατο.» Ὥσπερ δὲ εἴρηται ἀλλαχοῦ τό, «Μετὰ ἀνόμων ἐλογίσθη·» Οὕτω καὶ ἐνταῦθα, «Προσελογίσθην», φησί, «μετὰ τῶν καταβαινόντων εἰς λάκκον·» ἀνθ' οὗ ἐξέδωκεν ὁ Σύμμαχος, «Ἐλογίσθην μετὰ τῶν καταγομένων εἰς λάκκον.» Οἱ μὲν γὰρ πάντες ἄνθρωποι καθέλκονται καὶ κατάγονται εἰς τὸ χωρίον τοῦ θανάτου, τὸ νῦν λάκκῳ παραβαλλόμενον· καὶ καταβαίνουσιν ἐκεῖ διὰ τὰς ἑαυτῶν ἁμαρτίας, τῆς αὐτόθι χώρας ἄξιοι εἶναι κριθέντες. Κἀγὼ δὲ ἐν τούτοις ἐλογίσθην, οὐκ ὢν ἄξιος, ἀλλ' ὑπήκοος γενόμενος τῷ Πατρὶ μέχρι θανάτου. Ἐνθάδε μὲν οὖν «ἡ ζωή μου», φησί, «τῷ ᾅδῃ ἤγγικε·» καί, «Προσελογίσθην», φησί, «μετὰ τῶν καταβαινόντων εἰς λάκκον·» ἐν ἑτέρῳ δὲ ψαλμῷ, τούτων αὐτῶν μνημονεύων, τὴν ἐκεῖθεν ἄνοδον σημαίνει φάσκων· «Κύριε, ἀνήγαγες ἐξ ᾅδου τὴν ψυχήν μου, ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον·[2]» Καὶ πάλιν ἀλλαχοῦ· «Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι· καὶ εἰσήκουσε τῆς δεήσεώς μου, καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας. Καὶ ἔστησε ἐπὶ πέτραν τοὺς πόδας μου·[3]» καὶ ἐν τῷ ιε' ψαλμῷ εἴρηται· «Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς τὸν ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.[4]»

Στίχ. ς'. «Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς ἐλεύθερος· ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπεώσθησαν.»

Οἱ ἀληθῶς ἀβοήθητοι ὑπὸ τοῦ θανάτου κυριευόμενοι, κατάγονται καὶ ἀπάγονται ὑπ' αὐτοῦ. Μόνος δὲ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἑαυτὸν ἐκένωσε καὶ ἑαυτὸν ἐταπείνωσε μέχρι θανάτου· καὶ ὥσπερ γέγονεν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, οὕτως ἐγενήθη ὡς εἷς τῶν ἀβοηθήτων ἀνθρώπων. Ἀλλ' ἐπεὶ μὴ ἀληθῶς εἷς ἦν τῶν πολλῶν, μόνος ἐν νεκροῖς ἦν ἐλεύθερος, ἀδούλωτος τῷ θανάτῳ μείνας. Ἀντὶ δὲ τοῦ, «Ἐν νεκροῖς ἐλεύθερος», ὁ Ἀκύλας, «Ἐν τεθνηκόσιν ἐλεύθερος», ἐξέδωκεν· ὁ δὲ Σύμμαχος, «Ἐντὸς νεκρῶν ἀφεὶς ἐλεύθερος.» Ἀναγνώσῃ δὲ καὶ μετὰ ὑποδιαστολῆς, ἰδίως μὲν ἀφορίσας τό, «Ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς·» εἶτα ὑποστίξας εἰς τό, «ἐν νεκροῖς», ἀποφατικῶς ἐπάξεις τό, «ἐλεύθερος·» τῆς διανοίας τοῦτο δηλούσης, ὅτι Ἐγὼ ὁ ἐλεύθερος καὶ μόνος ἀληθῶς ἁπάντων Κύριος γέγονα ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νεκροῖς· ἀλλ' οὐκ ἀληθῶς ἀβοήθητος, ἀλλ' ὡς ἀβοήθητος. Ταῦτα δὲ ὅτι μηδενὶ ἑτέρῳ λέγειν ἁρμόζει ἢ τῷ ἁψαμένῳ μὲν τοῦ θανάτου, καὶ εἰς ᾅδην καταβεβηκότι, μὴ κατα-

1. Γαλ. 3, 13. Δευτ. 21, 23. 2. Ψαλμ. 29, 4. 3. Ψαλμ. 39, 2-3.
4. Ψαλμ. 15, 10.

δουλωθέντι δὲ αὐτῷ, παντὶ οἶμαι φανερὸν τυγχάνειν· ὡς μὴ δύνασθαι ἐφ' ἕτερον ἄνθρωπον ἐφαρμόζειν τὰ ἐν τῷ ψαλμῷ λεγόμενα ἢ ἐπὶ μόνον τὸν ἡμέτερον Σωτῆρα. Ὥσπερ δὲ γέγονεν ὡσεὶ ἄνθρωπος ἀβοήθητος, οὕτω καὶ «ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι.» Διὰ δὲ τούτων καὶ ἡ ταφὴ αὐτοῦ σημαίνεται, ἧς καὶ ὁ θεῖος Ἀπόστολος μνημονεύει γράφων Κορινθίοις, λέγων· «Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον· ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς Γραφάς, καὶ ὅτι ἐτάφη.[1]» Καὶ Ἡσαΐας δὲ τῆς ταφῆς αὐτοῦ μέμνηται λέγων· «Ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ ἦρται ἐκ μέσου.[2]» Ἀντὶ δὲ τοῦ, «Ὡσεὶ τραυματίαι», ὁ μὲν Ἀκύλας φησίν, «Ὅμοιος ἀνῃρημένοις·» ὁ δὲ Σύμμαχος, «Ὡσεὶ τετρωμένοι·» καὶ σαφές τινα τρόπον καὶ τοῦτο ἐπληροῦτο, ὁπηνίκα ὁ στρατιώτης λόγχῃ ἔτρωσεν αὐτοῦ τὴν πλευράν. Ἀλλ' ὅτι μὲν τραυματίας γέγονε καὶ ἐν τάφῳ, σαφῶς παρίσταται· πλὴν εἰ λέγοι γεγονέναι ὡσεὶ τραυματίας, καὶ ὅμοιος τοῖς καθεύδουσιν ἐν τάφῳ, ἀλλ' οὐ μέχρι τούτου ἵσταται· ὅλον δὲ συνάψας, ὄψει τὴν διάνοιαν τοῦ λόγου. «Γέγονα» γάρ φησιν, «ὡσεὶ τραυματίαι, ὧν οὐκ ἐμνήσθης ἔτι.» Οἱ μὲν γὰρ λοιποί, μετὰ τὸν θάνατον ἐν τοῖς τάφοις γενόμενοι, ἀπελείφθησαν, καὶ ἀπέμειναν γῆ καὶ κόνις, μηκέτι μετὰ τὸν θάνατον μνημονεύσαντος αὐτῶν τοῦ Θεοῦ· ἐγὼ δὲ ἐγενήθην ὡς εἷς τῶν τοιούτων, μὴ ὢν ὅμοιος αὐτοῖς· ἐμοῦ γὰρ μετὰ τὴν τρῶσιν καὶ μετὰ τὸν θάνατον καὶ μετὰ τὴν ἐν τῷ τάφῳ κατάθεσιν ἐμνήσθης, ζωῆς μετὰ ταῦτά με καὶ σωτηρίας τῆς παρὰ σοὶ καταξιώσας. Διὸ καὶ ἀρχόμενος καὶ εὐχαριστήριον ἀνέπεμπεν ὕμνον, λέγων· «Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.» Καὶ τὰ μὲν κατ' ἐμὲ τοιαῦτα ἦν. Ὅμως δ' οὖν γέγονα ὅμοιος τοῖς πολλοῖς τοῖς ἐν τάφῳ γενομένοις, καὶ μηκέτι τῆς σῆς κατηξιωμένοις μνήμης, διὰ τὸ ἀπὸ τῆς σῆς χειρὸς ἀπεῶσθαι. Ἀντὶ γὰρ τοῦ, «Ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπεώσθησαν», ὁ μὲν Ἀκύλας ἐξέδωκεν, «Ὧν οὐκ ἐμνήσθης αὐτῶν ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπετμήθησαν·» ὁ δὲ Σύμμαχός φησιν, «Ὧν οὐ μνημονεύσεις ἔτι, οἵτινες ὑπὸ τῆς χειρός σου ἐξεκόπησαν.»

Στίχ. ζ'. «Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου.»

Ἀντὶ τοῦ, «Ἔθεντό με», ὁ μὲν Ἀκύλας, «Ἔθου με», ὁ δὲ Σύμμαχος, «Ἔταξάς με», ἐκδεδώκασι. Δι' ὧν παρίστησιν, ὅτι νεύματι τοῦ Πατρὸς καὶ βουλῇ, οὐχ ἁπλῶς εἰς τὸν θάνατον, οὐδὲ εἰς τὸν ᾅδην καὶ τὸν καλούμενον λάκκον κατελήλυθεν, ἀλλὰ καὶ εἰς τὰ βαθύτατα καὶ τὰ κατώτατα καὶ τὰ ἔσχατα, ὡς ἂν εἴποι τις, τῶν ἐκεῖ χωρίων. Παρίστησι δὲ τοῦτο καὶ αὐτὸς ἐν τοῖς Εὐαγγελίοις φάσκων· «Δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου ποιῆσαι ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς

---

1. Α' Κορ. 15, 3-4. 2. Ἡσ. 53, 8.

ἡμέρας καὶ τρεῖς νύκτας.[1]» Ἀντὶ δὲ τοῦ, «ἐν σκοτεινοῖς, καὶ ἐν σκιᾷ θανάτου», ὁ Ἀκύλας, «ἐν σκοτεινοῖς», φησί, «καὶ ἐν βυθοῖς·» ὁ δὲ Σύμμαχος, «ἐν σκοτεινοῖς ἐσκεπασμένον·» ἡ δὲ πέμπτη ἔκδοσις, «ἐν σκοτεινοῖς, ἐν καταδύτοις.» Τοῦτο δέ μοι παρατετήρηται ἀναγκαίως, ὡς ἂν μή τις ὑπολάβῃ μὴ ἐν θανάτῳ αὐτὸν γεγονέναι, διὰ τὸ λέγεσθαι παρὰ τοῖς Ἑβδομήκοντα, «ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.» Δέδεικται γάρ, ὅτι ἐν ἐσκοτισμένοις καὶ βυθοῖς καὶ καταδύτοις αὐτοῦ τοῦ θανάτου γέγονε· διόπερ οὔτε τὸ Ἑβραϊκόν, οὔτε οἱ λοιποὶ ἑρμηνευταί, «σκιὰν θανάτου», ἡρμήνευσαν. Τὸν γὰρ παρόντα βίον καὶ τὴν ἐνεστῶσαν ζωήν, πολλάκις ὁ λόγος σκιὰν θανάτου εἴωθεν ἀποκαλεῖν. Ἐνταῦθα δὲ ὁ Σωτήρ, ἐν αὐτῷ τῷ θανάτῳ γεγονώς, πᾶσαν αὐτοῦ τὴν οἰκονομίαν διαγράφει. «Ἐπ' ἐμὲ ἐστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. Διάψαλμα. Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην, καὶ οὐκ ἐξεπορευόμην.» Ἐπειδὴ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε, κατὰ τὸν Ἀπόστολον, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· δι' ὃ γέγραπται· «Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου[2]», καὶ ἐπειδὴ τὸν μὴ γνόντα ἁμαρτίαν ὁ Θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησε[3], κατὰ τὸν αὐτόν, εἰκότως τὴν ἡμῖν τοῖς πρότερον ἀσεβέσι καὶ ἁμαρτωλοῖς ἐπικειμένην ὀργὴν τοῦ Θεοῦ, καὶ τὸν θυμὸν αὐτοῦ τὸν καθ' ἡμῶν εἰς ἑαυτὸν ἐπισπασάμενος, δι' ὑπερβάλλουσάν τε φιλανθρωπίαν ἀναδεξάμενος τὴν ὑπὲρ ἡμῶν τιμωρίαν τε καὶ κόλασιν, τὰς προκειμένας προφέρεται φωνάς· ἅτε δὴ γενόμενος Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Διό φησιν ὁ προφήτης περὶ αὐτοῦ· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν.[4]» Τοῦτο τοίνυν καὶ αὐτὸς παρίστησι διὰ τοῦ ψαλμοῦ φάσκων· «Ἐπ' ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ.» Ἀνθ' οὗ φησιν ὁ Σύμμαχος, «Ἐμοὶ ἐπέβρισεν ὁ θυμός σου, καὶ ταῖς καταιγίσιν ἐκάκωσάς με.» Οἷα γάρ τις φιλόστοργος πατὴρ ἐν ὥρᾳ χειμῶνος ἢ πολέμου, γνησίων υἱῶν προασπίζων, τοὺς μὲν ἐκάλυπτεν ἀποκρύπτων καὶ σκέπων ὑπὸ τὰς ἰδίας ἀγκάλας· ἑαυτὸν δὲ ἀντὶ πάντων ταῖς καταιγίσι καὶ τοῖς βέλεσι παρεῖχε, τῆς τῶν παίδων σωτηρίας τὸν αὐτοῦ θάνατον ἀντικαταλλαττόμενος, καὶ τὸν κατ' ἐκείνων θυμὸν εἰς ἑαυτὸν ἀποστρέφων. Δι' ὃ γέγονε κατάρα, ἡ εὐλογία τοῦ Θεοῦ αὐτὸς ὤν· καὶ γέγονεν ἁμαρτία, δικαιοσύνη τυγχάνων, καὶ τὸν κατ' ἀνθρώπων ἐπιβρίσαντα θυμὸν τοῦ Θεοῦ εἰς ἑαυτὸν περισπάσας, τὸν μὲν ἐξ ἑαυτοῦ διεσκέδασεν, ὡς μηδὲν μήτ' αὐτόν, μήθ' ἑτέρους ἀδικῆσαι· τὸν δ' οἷα Πατέρα ἵλεων τῷ τῶν ἀνθρώπων κατεστήσατο γένει. Ὅπως δὲ πάντες οἱ

1. Ματθ. 12, 40. 2. Δευτ. 21, 23. Γαλ. 3, 13. 3. Β' Κορ. 5, 21. 4. Ἠσ. 53, 3-5.

μαθηταὶ καταλελοίπασιν αὐτὸν παρὰ τὸν καιρὸν τοῦ πάθους, οἱ δὲ καὶ ἠρνήσαντο, οὐδὲν δεῖ λέγειν, τῶν τεσσάρων εὐαγγελιστῶν συμφώνως τὰ αὐτὰ διδασκόντων. Αὐτὰ δὴ οὖν ταῦτα προλέγει προφητεύων τὸ μέλλον διὰ τῶν προκειμένων φωνῶν, ἃς ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Μακρὰν ἐποίησας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ· ἔταξάς με βδελυκτὸν αὐτοῖς, φρουρούμενον καὶ μὴ προερχόμενον.» Τότε γοῦν αὐτὸν καὶ ἠρνήσαντο οἱ μαθηταί, ἡνίκα ἐφρουρεῖτο ἐν τῇ οἰκίᾳ Καϊάφα τοῦ ἀρχιερέως. «Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.» Σαφέστερον καὶ ταῦτα ὁ Σύμμαχος ἐξέδωκεν εἰπών· «Ὁ ὀφθαλμός μου ἐξέρρευσεν ἀπὸ τῆς κακώσεως· ἐπεκαλεσάμην σε καθ' ἑκάστην ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.» Ἀπεκλᾴετο γὰρ ἀεὶ τὰς τῶν ἀνθρώπων ταλαιπωρίας, καὶ τοὺς ὀφθαλμοὺς ἑαυτοῦ κατεπόνει, δάκρυσι πενθῶν τὴν ἀπώλειαν τῶν μὴ καταδεξαμένων αὐτόν. Καὶ ὡς τὴν Ἱερουσαλὴμ ἀπεκλαύσατο, οὕτως εἰκὸς ἦν καὶ τοῦ προδεδωκότος αὐτὸν ἀποστόλου τὴν ἀπόπτωσιν καὶ τοῦ παντὸς Ἰουδαίων ἔθνους τὴν ἀποβολήν, καὶ τῶν λοιπῶν τῶν ἀπολλυμένων τὸν ὄλεθρον, οἷα φιλάνθρωπον καὶ παναγάθου Πατρὸς υἱὸν ἀποκλαύσασθαι· δι' οὗ καὶ τὰς χεῖρας ἐξήπλου καὶ φωνὰς ἀνέπεμπε, βοῶν ἐν ταῖς πρὸς τὸν Πατέρα προσευχαῖς, στεναγμοῖς ἀλαλήτοις ὑπερεντυγχάνων τῷ Πατρί. Καὶ ἄλλως δὲ ὀφθαλμὸν αὐτοῦ ἢ ὀφθαλμοὺς ἀσθενήσαντας οὐκ ἂν ἁμάρτοις εἶναι εἰπὼν τοὺς ἀποστόλους, εἰ δὴ σῶμα αὐτοῦ πᾶς ὁ λαὸς αὐτοῦ τυγχάνει, ὡς ἐδίδαξεν ὁ εἰπών· «Ὑμεῖς δὲ πάντες σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους·[1]» χεῖρας δὲ αὐτοῦ, τὰς πράξεις ἃς ἐνήργει εἰς δόξαν τοῦ Πατρός, διεπετάννυεν, ἐξαπλῶν αὐτὰς τῷ μόνῳ θεάσασθαι αὐτὰς δυναμένῳ· ἀλλὰ καὶ ἐν ταῖς συνεχέσιν εὐχαῖς ἔν τε τῷ πάθει τὰς χεῖρας διεπέτασεν ὑπὲρ τοῦ κόσμου, οὗ περιῄρει τὴν ἁμαρτίαν, τὸν Πατέρα ἱλασκόμενος.

Τίνα δὲ ἦν ἅπερ τὰς χεῖρας ἐξαπλῶν πρὸς τὸν Πατέρα προσηύχετο, καὶ κατ' ἐκείνην τὴν δηλουμένην ἡμέραν αὐτῷ πρὸς τὸν Πατέρα αὐτοῦ βεβοημένα, προϊὼν διδάσκει ἐν τούτοις· «Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι; Διάψαλμα. Μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειαν ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;» Ἀντὶ τοῦ, «Μὴ ἐν νεκροῖς ποιήσεις θαυμάσια;» φησὶν ὁ Σύμμαχος, «Ἆρα νεκροῖς ποιήσεις τεράστια;» Καὶ δι' ὅλων τῶν ἑξῆς, ἐν οἷς λέγεται, «Μὴ διηγήσεταί τις ἐν τάφῳ;» καὶ πάλιν, «Μὴ γνωσθήσεται ἐν τῷ σκότει;» ὁ Σύμμαχος, «Ἦ διηγήσεται, ἢ γνωσθήσεται;» ἐξέδωκεν. Οὐ γὰρ ἀπογινώσκων τὰ λεγόμενα, ταύτας προέφερε τὰς φωνάς, κατ' ἐκείνην τὴν

1. Α' Κορ. 12, 27.

ἡμέραν δηλαδὴ τὴν τοῦ πάθους· τῷ Πατρὶ δὲ μόνῳ δύναται εἶναι ταῦτα πεπεισμένος, τὰς αἰτίας τῆς εἰς θάνατον αὐτοῦ ἐδίδασκε καθόδου λέγων· «Ἆρα νεκροῖς ποιήσεις τεράστια;» Ἢ τάδε, ἢ τάδε ποιήσεις; Οὐ γὰρ ἂν ἄλλως ἠθέλησας, ὦ Πάτερ, μέχρι τούτου με προελθεῖν, καὶ ἐν θανάτῳ γενέσθαι, καὶ ἐν τῷ λάκκῳ τῷ κατωτάτῳ, εἰ μὴ πάντως που καὶ ἐν τοῖς νεκροῖς θαυμάσια παρέχειν ἐβουλήθης, ἵν' ἅπερ μὴ δύνανται ἰατροί, ταῦτα ἡ σὴ δύναμις κατεργάσηται· τουτέστιν, ὅπως οἱ ἐν θανάτῳ γενόμενοι, ἀναστάντες, ἐξομολογήσονταί σοι. Οὐ γὰρ ἰατρῶν ἦν ταῦτα δύνασθαι ἐνεργεῖν, ἀλλὰ τῆς σῆς ἐνθέου μεγαλουργίας. Ἆρ' οὖν διὰ ταῦτα ὑπελθεῖν με τὸν θάνατον ἐβουλήθης, ἵν' ἐν μὲν τοῖς τάφοις τὸ ἔλεός σου διηγηθῇ, ἐν δὲ τῇ ἀπωλείᾳ ἡ ἀλήθειά σου γνωσθῇ· ἐν δὲ τῷ σκότει τὰ θαυμάσιά σου κηρυχθῇ, ἔν τε τῇ ἐπιλελησμένῃ γῇ ἡ δικαιοσύνη σου μνημονευθῇ. Εἰ δέ τις τὸν νοῦν ἐπιστήσειε τοῖς καθ' ἡμᾶς ἀμφὶ τὸ μνῆμα, καὶ τὸ μαρτύριον τοῦ Σωτῆρος ἡμῶν ἐπιτελεσθεῖσι θαυμασίοις, ἀληθῶς εἴσεται ὅπως πεπλήρωται ἔργοις τὰ τεθεσπισμένα. Θέα δὲ διὰ τούτων ὅπως τὴν ἐν τῷ θανάτῳ χώραν διαφόρως ἑρμηνεύει. Πρῶτον μὲν νεκροὺς σαφῶς ἀποκαλῶν, δεύτερον τοὺς ἐν τάφῳ, τρίτον τοὺς ἐν ἀπωλείᾳ, τέταρτον τοὺς ἐν σκότῳ, πέμπτον τοὺς ἐν τῇ ἐπιλελησμένῃ γῇ. Ταῦτα γὰρ πάντα περὶ τῶν αὐτῶν διεξέρχεται, οἷς ἤμελλεν ὁ φιλάνθρωπος καὶ ἀγαθὸς Θεὸς δεικνύναι τε καὶ παρέχειν θαυμάσια· τὸ ἔλεος αὐτοῦ δηλαδὴ καὶ τὴν ἀλήθειαν καὶ τὴν δικαιοσύνην τοῦ Θεοῦ διηγήσονται. Ἔστι δὲ ἐπιγνῶναι ὅπως πάντα ταῦτα, λέγω δὲ τὰ θαυμάσια τοῦ Θεοῦ καὶ τὸ ἔλεος αὐτοῦ, καὶ ἡ ἀλήθεια αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ ἔφθασεν ἐπὶ τοὺς πάλαι νεκρούς, καὶ ἐν τάφοις, καὶ ἐν ἀπωλείᾳ, καὶ ἐν σκότῳ, καὶ ἐν γῇ ἐπιλελησμένῃ, εἰ νοήσομεν ὅσων ἀγαθῶν αἴτιος γέγονεν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν τοῖς πάλαι ἐν τῷ θανάτῳ γεγενημένοις, δι' οὓς καὶ ἐν ἐκείνοις κατεληλύθει τοῖς τόποις, ἵνα μὴ μόνον ζώντων, ἀλλὰ καὶ νεκρῶν κυριεύσῃ. Τὰ γὰρ αἴτια τῆς μέχρι τοῦ θανάτου καθόδου αὐτοῦ διὰ τῶν προκειμένων τηλαυγῶς παρέστησεν· ἅπερ ἐπληροῦτο κατὰ τοὺς εὐαγγελιστάς, ὅτε πολλὰ σώματα κεκοιμημένων ἁγίων ἠγέρθησαν, καὶ σὺν αὐτῷ τῷ Σωτῆρι εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν τοῦ Θεοῦ, δηλαδὴ τὴν ἐπουράνιον.

Στίχ. ιδ'. «Καὶ ἐγὼ πρὸς σὲ κέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.»

Ὥσπερ ἐν τῷ κα' ψαλμῷ σαφῶς ἐκ προσώπου τοῦ Σωτῆρος ἡμῶν εἰρημένῳ κατὰ τὴν προγραφὴν λέλεκτο, «Ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς», τοῦ λόγου τὴν ἀνάστασιν τοῦ Σωτῆρος ἡμῶν αἰνιττομένου κατὰ τὴν ἑωθινὴν ὥραν γεγενημένην· οὕτω καὶ νῦν ταὐτὸν σημαίνεσθαι ἡγοῦμαι διὰ τούτου, «Πρωῒ ἡ προσευχή μου προφθάσει σε», δηλοῦντος τοῦ λόγου, ὅτι μὴ ἄλλῳ καιρῷ τὰ τῆς προσευχῆς τοῦ Σωτῆρος εἰς ἔργα ἐχώρει ἢ κατὰ τὴν ἕω καὶ τὸ πρωΐ, ὅτε καὶ

τὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως γεγενῆσθαι μεμαρτύρηται. Δι᾽ ὃ οὔτε ἑσπέρας, οὔτε μεσημβρίας, οὔτε ἄλλῳ τινὶ καιρῷ, ἀλλὰ «τῷ πρωΐ», φησίν, «ἡ προσευχή μου προφθάσει σε. Ἱνατί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;» Καὶ ἐν τῷ κα᾽ ἔλεγε τό, «Ὁ Θεός, ὁ Θεός μου, πρόσχες μοι, ἱνατί ἐγκατέλιπές με;» λέγει δὲ ἐν τούτοις, «ἵνα τί», ἐρωτηματικῶς πυνθανόμενος δι᾽ ἣν αἰτίαν ἐγκαταλέλειπται ὑπὸ τοῦ Πατρός, καὶ ἱνατί ἀπώσατο αὐτοῦ τὴν ψυχήν· ὡς ἂν καὶ ἡμεῖς, εἴ ποτε διαποροῖμεν δι᾽ ἣν αἰτίαν ὁ Θεὸς τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλὰ παρέδωκεν αὐτὸν θελήσας ὑποχείριον ἀνθρώποις γενέσθαι· τοῦτο γὰρ ἦν τὸ καταλιπεῖν αὐτὸν καὶ ἀπώσασθαι· μανθάνοιμεν, ὅτι τοῦτο ὑπὲρ ἡμῶν γέγονεν, ὡς ἐδίδαξεν ὁ Ἀπόστολος εἰπών· «Ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων[1]», ἵνα γένηται ἀμνὸς Θεοῦ καὶ πρόβατον ἱερουργούμενον ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας. Διόπερ ἔλεγε καὶ ὁ προφήτης· «Καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. Καὶ οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται. Καὶ αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν.[2]» Ἐπιφέρει δὲ λέγων ἐν κα᾽· «Ὁ Θεός, κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτός, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί·[3]» καὶ ἐν τοῖς προκειμένοις· «Ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ.» Ὅμοια δὲ ἡγοῦμαι εἶναι ταῦτα τοῖς ἐν τῷ Εὐαγγελίῳ ἔργῳ τετελειωμένοις, ἔνθα διαστὰς τῶν μαθητῶν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων· «Πάτερ, εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ᾽ ἐμοῦ. Πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ᾽ ὡς σύ·[4]» καὶ πάλιν· «Πάτερ, εἰ οὐ δύναται τοῦτο παρελθεῖν, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου.[5]»

Στίχ. ις᾽-ιθ᾽. «Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἐκύκλωσάν με ὡς ὕδωρ ὅλην τὴν ἡμέραν, περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.»

Καὶ ταῦτα ὁ Σύμμαχος σαφέστερόν πως ἐξέδωκεν εἰπών· «Πτωχὸς ὢν καὶ ἐκλείπων ἀπὸ νεότητος, ἀνέλαβον τὸν φόβον σου. Πρὸς τούτοις δι᾽ ἐμοῦ παρώδευσαν αἱ ὀργαί σου, αἱ ἐκπλήξεις σου κατεσιώπησάν με. Περιῆλθόν με ὡς ὕδατα, πᾶσαν τὴν ἡμέραν περιεκύκλωσάν με.» Καὶ ὁ Ἀκύλας, «Ἐπ᾽ ἐμέ», φησί, «παρῆλθον αἱ ὀργαί σου.» Ὅπως δὲ πτωχὸς ἦν καὶ ἐν κόποις ἐκ νεότητος, διδάσκει αὐτὸς ἐν τοῖς Εὐαγγελίοις περὶ ἑαυτοῦ λέγων· «Μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ.[6]» Καὶ ὁ Ἀπόστολός φησιν· «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα

1. Ῥωμ. 8, 32. 2. Ἡσ. 53, 3-5. 3. Ψαλμ. 21, 3. 4. Ματθ. 26, 39. 5. Ματθ. 26, 42. 6. Ματθ. 11, 29.

Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν·[1]» ὥστε εἶναι σαφὲς πῶς εἴρηται παρὰ τοῖς Ἑβδομήκοντα τό, «Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου.» Ἀλλ' ἐν μὲν τῇ νεότητι αὐτοῦ, καὶ ἄλλως ὑπὸ τὸν νομιζόμενον πατέρα τὸν Ἰωσήφ, καὶ τὴν κατὰ σάρκα μητέρα τρεφόμενος, πτωχὸς ἦν ἐν πτωχοῖς· καὶ τὸν ἄλλον δὲ αὐτοῦ βίον πλούσιος ὤν, δι' ἡμᾶς ἐπτώχευσεν, ὅπως ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. Ὅτε δὲ λοιπὸν παραδοξοποιῶν καὶ Θεοῦ δυνάμεις ἀποτελῶν, ὑψώθη τε καὶ διὰ τοῦ πάθους ὑψωθεὶς ἐταπεινώθη. Δι' ὃ ἔλεγεν· «Ὥσπερ Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου·[2]» καὶ πάλιν· «Ὅταν ὑψώσητε τὸν Υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε, ὅτι ἐγώ εἰμι·[3]» καὶ ἐν τῷ προκειμένῳ· «Ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.» Τὸ δέ, «Δι' ἐμοῦ παρώδευσαν αἱ ὀργαί σου», κατὰ τὸν Σύμμαχον, ἢ κατὰ τὸν Ἀκύλαν· «Ἐπ' ἐμὲ παρῆλθον αἱ ὀργαί σου», ἢ κατὰ τοὺς Ἑβδομήκοντα, «Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου», σαφῶς παρίστησιν, ὅτι οὐκ εἰς αὐτὸν ἐπέσκηψαν, ἀλλὰ δι' αὐτοῦ παρῆλθον· καὶ ὅτι μὴ ἔστησαν, ἀλλὰ διῆλθον. Τὸ δέ, «ἐξετάραξάν με», κατὰ τοὺς Ἑβδομήκοντα, ὅμοιόν ἐστι τῷ εἰρημένῳ ἐν τοῖς Εὐαγγελίοις· «Νῦν ἡ ψυχή μου τετάρακται[4]», καί, «Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου·[5]» καὶ τὰ λοιπὰ δὲ κατὰ τὴν ἱστορίαν ἐπληροῦτο, ὅτε καταλιπόντες αὐτὸν οἱ ἀπόστολοι ᾤχοντο· ὁ δὲ Πέτρος καὶ τρίτον αὐτὸν ἠρνήσατο. Καὶ ἄλλως δὲ τὰ προκείμενα ἅπαντα ἔφασκεν, ἰδιοποιούμενος τὰ ἑτέρων κακά· λέγω δὲ τοῦ προδότου Ἰούδα τὴν ἀπώλειαν, καὶ τοῦ παντὸς Ἰουδαίων ἔθνους τὴν ἀπόπτωσιν· ἐφ' οἷς δι' ὑπερβολὴν εὐσπλαγχνίας καὶ φιλανθρωπίας, ὡς ἐφ' υἱοῖς πονηροῖς, διὰ τὰς αὐτῶν κακίας ἀπολλυμένοις, ταῦτα εἰς ἑαυτοῦ πρόσωπον ἀναλαμβάνων, ἀπωδύρετο. Νοήσεις δὲ τοῦτο ἐπιστήσας τῷ λέγοντι προφήτῃ· «Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται.[6]» Διὸ ὑπὲρ αὐτῶν ὀδυνώμενος ἐβόα λέγων· «Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.» Ἑώρα γὰρ τὴν οὐκ εἰς μακρὸν ἐπελευσομένην αὐτοῖς ὀργήν, ἥτις αὐτῶν ἀθρόως τὰ σεμνὰ πάντα ἐξηφάνισεν· ὡς τὰ μὲν Ἅγια τῶν ἁγίων, καὶ τὸ θυσιαστήριον ἐκ βάθρων ἀπολέσθαι, βασιλέας δὲ αὐτῶν, τοὺς ἐκ προγόνων διαδοχῆς εἰς ἐκεῖνο καιροῦ διαρκέσαντας, καταλυθῆναι, τήν τε αὐτονομίαν καθ' ἣν ἐξ αἰῶνος μακροῦ ἐπολιτεύοντο, καὶ τὴν κατὰ νόμους λατρείαν αὐτῇ ἱερωσύνῃ καὶ τοῖς λοιποῖς ἡγεμόσι τε αὐτῶν καὶ ἄρχουσιν ἀποσβεσθῆναι· ὡς μηδὲ ἴχνος αὐτῶν εἰσέτι νῦν περιλείπεσθαι. Ἃ δὴ πάντα πεπόνθασιν ὑπὸ τῆς ὀργῆς τοῦ Θεοῦ, τῆς οὐκ εἰς μακρὸν μετὰ τὸ πάθος αὐτοῦ τὸ πᾶν αὐτῶν ἔθνος καταλαβούσης διὰ τὰ τετολμημένα αὐτοῖς κατ' αὐτοῦ· ἃ δὴ ἐδήλου λέγων· «Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου·» ὡσεὶ ἔλεγε, «Δι' ἐμέ·» ἢ κατὰ τὸν

1. Φιλιπ. 2, 7. 2. Ἰω. 3, 14. 3. Ἰω. 8, 28. 4. Ἰω. 12, 27. 5. Ματθ. 26, 38. 6. Ἡσ. 53, 5.

Σύμμαχον, «Δι' ἐμοῦ·» ἐπεὶ καὶ κατὰ τὸν ἀληθῆ λόγον δι' αὐτὸν ταῦτα πάντα πεπόνθασιν. Ἀλλὰ καὶ προορῶν αὐτῶν τὸν ὄλεθρον ἔλεγεν· «Οἱ φοβερισμοί σου ἐξετάραξάν με.» Εἰ γὰρ καὶ τὰ μάλιστα διὰ τὴν ἀναισθησίαν οὐκ ἐτάραττον ἐκείνους οἱ διὰ τῶν προφητῶν ἀπειλούμενοι κατ' αὐτῶν φοβερισμοὶ τοῦ Θεοῦ, ἀλλ' ἐμέ, φησίν, ὁρῶντα τῶν φοβερῶν σου λόγων τὰς ἐκβάσεις, ἐξετάρασσον οἱ φοβερισμοί σου. Οὕτως οὖν διὰ τὰς ἐκείνων δυσσεβείας παρακαλῶν τὸν Πατέρα ὑπὲρ αὐτῶν, καὶ τὴν ψυχὴν ὑπεραλγῶν καὶ δι' αὐτοὺς ταραττόμενος, περίλυπος ἦν μέχρι θανάτου· ἐπειδὴ τὰ τῆς ὀργῆς τοῦ Θεοῦ σφοδρῶς ἐπέκειτο κατ' αὐτῶν, ὡς μηδὲ τυγχάνειν τῶν εὐχῶν, ὧν ἀνέπεμπεν ὑπὲρ αὐτῶν· δι' ὧν παρακαλῶν καὶ δεόμενος ἐν τοῖς Εὐαγγελίοις προσέπιπτεν πρηνής τε κατὰ προσώπου κείμενος ἐβόα, «Πάτερ», λέγων, «εἰ δυνατόν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ·[1]» εἶθ' ὁρῶν ἀνανεύουσαν τὴν βουλὴν τοῦ Πατρός, ἐπέφερε· «Πλὴν ἀλλ' οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.[2]» Καὶ δεύτερον ἀπελθών, ἐπὶ πρόσωπον πίπτει, καὶ προσεύχεται λέγων· «Πάτερ, εἰ οὐ δύναται τοῦτο παρελθεῖν, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου·[3]» καὶ τρίτον δὲ πορευθεὶς τὸν αὐτὸν λόγον προὔφερε. Διὸ δὴ ταῦτα σημαίνων καὶ διὰ τῶν προκειμένων ἔλεγεν· «Ἱνατί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ;» καὶ τό, «Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.» Ὁρῶν δὲ μακρὰν ἐκπίπτοντας τῆς τοῦ Θεοῦ σωτηρίας τοὺς ὑπὲρ ὧν τὰς εὐχὰς ἐποιεῖτο φιλτάτους ὄντας αὐτοῦ καὶ ἀγαπητοὺς διὰ τοὺς πατέρας, ἔλεγεν· «Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.» Δηλοῖ δὲ τοὺς ἐν τῷ ἔθνει γνωστοὺς ὄντας αὐτοῦ πρότερον καὶ φίλους· ἐπεὶ καὶ μέρος ἦσαν αὐτοῦ καὶ κληρονομία· ἀλλ' ἐμακρύνθησαν ἀληθῶς ἀπ' αὐτοῦ διὰ τῆς ἑαυτῶν ἀπιστίας· καὶ πάλαι ὄντες φίλοι, ἐχθροὺς ἑαυτοὺς κατέστησαν· καὶ γνωστοὶ τυγχάνοντες αὐτοῦ, ἐλθόντα αὐτὸν οὐκ ἐπέγνωσαν, οὐδὲ παρεδέξαντο. Ὧν ἕνεκα πάντων καὶ ἀπὸ τοῦ Θεοῦ ἐμακρύνθησαν δι' αἰτίαν τῆς ἑαυτῶν ταλαιπωρίας. Οὕτω δ' οὖν καὶ ἐκπεπτώκασι τοῦ Θεοῦ κατὰ τὸ φάσκον λόγιον, «Ὅτι οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.[4]» Καὶ εἰς τοῦτο καταλήγουσιν οἱ ἐπιγεγραμμένοι τῶν «υἱῶν Κορὲ» ψαλμοί.

## ΣΥΝΕΣΕΩΣ ΑΙΘΑΝ ΤΩ ΕΣΔΡΑΙΤΗ. ΠΗ'.

Στίχ. β'. «Τὰ ἐλέη τοῦ Κυρίου εἰς τὸν αἰῶνα ᾄσομαι. Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.»

Ἐπειδὴ προϊὼν ἑξῆς μέλλει λέγειν· «Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυῒδ ἐν τῇ ἀληθείᾳ σου;» προθερα-

1. Ματθ. 26, 39. 2. Ματθ. 26, 39. 3. Ματθ. 26, 42. 4. Ψαλμ. 72, 27.

πεύει τὸ μέλλον ῥηθήσεσθαι διὰ τῶν προκειμένων, δυνάμει τοῦτο λέγων· Εἰ καὶ τὰ ἀνθρώπινα πράγματα τὴν ἐμὴν ψυχὴν εἰς ἀμηχανίαν ἐμβαλόντα ταράττει, ἴλιγγόν τέ μοι καὶ ἀπορίαν ἐμποιεῖ, τῶν σῶν, ὦ Κύριε, κριμάτων, ὡς μέλλειν μικρὸν ὕστερον ἀποτολμᾶν καὶ ἀπορεῖν, ὑπὲρ ὧν σὺ μὲν ὁ ἀψευδὴς Θεὸς πρὸς τὸν Δαυῒδ ἐπαγγελιῶν πεποίησαι· τἀναντία δὲ συμβέβηκε ταῖς σαῖς ὑποσχέσεσι· διὸ καὶ μέλλω λέγειν· «Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε;» ἀλλ' ὅμως πεπεισμένος, ὅτι μὴ διαψεύσεταί σου ἡ ἐπαγγελία, οὐδὲ διαπεσεῖται ἡ τοῦ σοῦ λόγου ἀλήθεια, προλαβὼν τοὺς μέλλοντας ἐξ ἀνθρωπίνης ἀσθενείας ῥηθήσεσθαί μοι λόγους, τὴν ἐμαυτοῦ πίστιν καὶ τὸ εὐσεβὲς τῆς ἐμαυτοῦ γνώμης προασφαλίζομαι· διό φημι· «Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.» Οὐ γὰρ νῦν μόνον, ὅτε ταῦτα λαλῶ καὶ φθέγγομαι, τὰ ἐλέη τοῦ Κυρίου ᾄσομαι, ἀλλὰ καὶ ἐν τοῖς σκυθρωποτέροις καιροῖς, καὶ ἐν αὐτοῖς ἐκείνοις δι' οὓς μέλλω λέγειν· «Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε;» Καὶ τότε γὰρ καὶ εἰς τὸν μετὰ ταῦτα χρόνον, καὶ διὰ παντὸς τοῦ αἰῶνος οὐ παύσομαι ἀνυμνῶν τὰ ἐλέη σου, Κύριε, ἀκριβῶς εἰδώς, ὅτι, ἅπαξ ἐπαγγειλάμενος τὰς ἐν τῷ ψαλμῷ προφητείας, οὐ διαψεύσεις, ἅτε Θεὸς ὢν ἀληθής. Διόπερ οὐ μόνον τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, ἀλλὰ καὶ τὴν ἀλήθειάν σου καθ' ἑκάστην γενεὰν ἀπαγγελῶ. Εἰ γὰρ καὶ τὰ μάλιστα τοιαῦτά τινα μεταξὺ γενήσεται, ὡς δοκεῖ, ἐναντία ταῖς σαῖς πρὸς τὸν Δαυῒδ ἐπαγγελίαις συμβαίνειν, ἀλλὰ καὶ οὕτως ἐγὼ πεπίστευκα, καὶ ἀληθῶς ἐμαυτὸν πέπεικα, ὅτι τῶν λόγων σου, ὦ Κύριε, ἡ ἀλήθεια οὐδέποτε διαπεσεῖται. Διόπερ τὸν πάντα μου χρόνον τῆς ζωῆς οὐ παύσομαι ἐν τῷ στόματί μου τὴν ἀλήθειάν σου ἀπαγγέλλων. Ἀλλὰ καὶ παραδιδοὺς τῇ ἐμαυτῇ γραφῇ ταύτην καταλείψω τοῖς μεταγενεστέροις, εἰς τὸ καὶ αὐτοὺς διδάσκεσθαί τε καὶ μανθάνειν ὁμοίως ἐμοὶ καθ' ἑκάστην γενεὰν τὴν ἀλήθειάν σου διὰ στόματος φέρειν, καὶ πεπεῖσθαι μηδέποτε δύνασθαι διαπίπτειν τὰς σὰς ἐπαγγελίας. Ὁ δὲ πᾶς λόγος τὴν ἐκ σπέρματος Δαυῒδ γένεσιν τοῦ Χριστοῦ καὶ τὴν βασιλείαν αὐτοῦ θεσπίζει. Ἐπειδὴ γὰρ διὰ τῶν ἔμπροσθεν ἡ εἰς ἀνθρώπους γένεσις αὐτοῦ προεφητεύετο κατὰ τὰ ἐν τῷ πʹ καὶ ϛʹ ψαλμῷ παραστάντα· ἐχρῆν δὲ πρὸς τῇ γενέσει μαθεῖν καὶ πόθεν προελεύσεται· διδάσκει τοῦτο ἀναγκαίως ἡ παροῦσα Γραφή, τὴν πρὸς τὸν Δαυῒδ ἐπαγγελίαν τοῦ Θεοῦ περὶ τοῦ ἐκ σπέρματος αὐτοῦ τὸν Χριστὸν προελεύσεσθαι περιέχουσα· ὥστε ἔχειν ἀκολουθίαν καὶ τοῦτον πρὸς τοὺς πρὸ αὐτοῦ κατατεταγμένους ψαλμούς. «Συνέσεως» δὲ ἐπιγέγραπται αὐτὸς μόνον, οὔτε δὲ ψαλμός, οὔτε ὕμνος. Εἴη δ' ἂν ᾠδὴ προφητικὴ συνέσεως τῆς κατὰ Θεὸν δεομένη. Δι' ὃ λέλεκται· «Εἰς τὸν αἰῶνα ᾄσομαι», καί, «εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου.» Ἀπὸ μὲν γὰρ τοῦ· «Εἰς τὸν αἰῶνα ᾄσομαι», ᾠδὴν αὐτὴν εἰκότως ἄν τις εἴποι· ἀπὸ δὲ τοῦ· «Ἀπαγγελῶ τὴν ἀλήθειάν σου εἰς γενεὰν καὶ γενεάν», καὶ ἀπὸ τῶν ἑξῆς ἐπιλεγομένων, προφητείαν.

Λέλεκται δὲ Αἰθὰν τοῦ Ἐσδραΐτου περὶ οὗ τὰ παραστάντα ἐν τοῖς προτεχνολογουμένοις τῶν ψαλμῶν διειλήφαμεν.

Στίχ. γ′. «Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.»

Ἀντὶ τοῦ· «Ὅτι εἶπας», ὁ μὲν Ἀκύλας ἡρμήνευσεν· «Ὅτι εἶπα·» ὁ δὲ Σύμμαχος· «Ὅτι εἶπον·» καὶ ὁ Θεοδοτίων ὁμοίως· «Ὅτι εἶπον·» καὶ ἡ πέμπτη ἔκδοσις· «Ὅτι εἶπα·» ὡς ἐκ προσώπου τοῦ Προφήτου λεγομένου τοῦ λόγου. Οὗτος δὲ ἦν Αἰθὰν ὁ Ἐσδραΐτης, ὡς ἡ προγραφὴ παρίστησι. Τοιαύτην δέ τινα διάνοιαν ὑποβάλοι ἂν ὁ Προφήτης· Φθάσας ἤδη πρότερον εἶπον· ὅτι «Τὰ ἐλέη τοῦ Κυρίου εἰς τὸν αἰῶνα ᾄσομαι.» Τοῦτο δὲ πῶς ποτ' ἂν γένοιτο ἢ τοῦ πρώτου ἐλέους τοῦ Θεοῦ ἐξ ἀρχῆς καὶ ἀπὸ πρώτης κοσμογονίας καταβληθέντος εἰς ἀνθρώπους, ἐπίδοσιν κατὰ χρόνους λαμβάνοντος, καὶ δίκην οἰκοδομῆς αὔξοντος; Αὔξει γὰρ ὁσημέραι τὸ ἔλεος τοῦ Θεοῦ εἰς ἀνθρώπους, καὶ δίκην οἰκοδομῆς προκόπτει καὶ οἰκοδομεῖται κατὰ γενεὰν καὶ γενεάν. Ἐπειδὴ τοίνυν εἶπον καὶ διεβεβαιωσάμην, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος τοῦ Θεοῦ οἰκοδομηθήσεται, καὶ διὰ τοῦτο τὰ ἐλέη αὐτοῦ εἰς τὸν αἰῶνα ᾄσομαι, οὐ προσήκει ἀγνοεῖν, ὅτι τοῦ λόγου ἡ ἀλήθεια ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται. Τὰ γὰρ περίγεια πράγματα καὶ ἡ ἐν ἀνθρώποις κακία δόξειεν ἂν μὴ πάνυ τι ἐμφαίνειν τὸ ἀκριβὲς τοῦ λόγου, τῷ πολλὴν ἀνωμαλίαν εἶναι δοκεῖν κατὰ τὸν ἀνθρώπινον βίον. Ἀλλ' ἐπειδήπερ αἱ ἐπαγγελίαι τοῦ Θεοῦ, αἱ πρὸς τὸν Δαυῒδ γεγενημέναι, θεῖαι καὶ οὐράνιοι τυγχάνουσι, καὶ οὐχ, ὡς ἂν ὑπολάβοιεν Ἰουδαίων παῖδες, γεώδεις καὶ σωματικαί· εἰκότως διὰ τοῦτο προδιαστέλλεται ὁ Προφήτης, ὅτι μὴ ἐπὶ τῆς γῆς, ἀλλ' ἐν τοῖς οὐρανοῖς ἡ ἀλήθεια τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ ἑτοιμασθήσεται. Διόπερ ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσεν εἰπών· «Ἐν τοῖς οὐρανοῖς ἑδρασθήσεται ἡ ἀλήθειά σου».

Στίχ. δ′-ς′. «Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου· ὤμοσα Δαυῒδ τῷ δούλῳ μου· Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Διάψαλμα. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν Ἐκκλησίᾳ ἁγίων.»

Σαφῶς ταῦτα ἐκ προσώπου τοῦ Θεοῦ εἴρηται· διόπερ δοκεῖ μοι παρὰ τοῖς Ἑβδομήκοντα ἀνωτέρω εἰρῆσθαι τό· «Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου·» οἷς ἐπισυνῆπτε τό· «Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου·» ἵνα καθ' ὑπερβατὸν εἴη οὕτως ἔχων ὁ νοῦς τῶν προκειμένων· Ἐπειδὴ σὺ αὐτός, ὦ Κύριε, ἐν ταῖς περὶ τοῦ Δαυῒδ ἐπαγγελίαις εἶπας· Εἰς τὸν αἰῶνα τὸ ἔλεός μου τὸ πρὸς τὸν Δαυῒδ, ἢ καὶ τὸ εἰς πάντας ἀνθρώπους οἰκοδομηθήσεται· καὶ προσέθηκας λέγων· «Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου», ἤτοι ἐπιλέκτῳ μου, καί· «Ὤμοσα Δαυῒδ τῷ δούλῳ μου», καὶ τὰ τούτοις ἀκόλουθα· πέπεισμαι,

ὅτι οὔποτε διαψευσθήσονταί σου αἱ ἐπαγγελίαι, μένουσι δὲ ἀληθεῖς καὶ ἀδιάπτωτοι· ἀλλ' οὐχ ὥστε ἐπὶ τῆς γῆς συνίστασθαι αὐτάς· οὐδὲ γὰρ ἐπίγειοι καὶ αἰσθηταί, οὐδὲ ὠνηταὶ καὶ ὀλιγοχρόνιοι τυγχάνουσιν, οἷός ἐστιν ὁ τῶν ἀνθρώπων βίος, ἀλλ' ἀθάνατοι καὶ αἰώνιοι καὶ τῇ σῇ θεότητι πρέπουσαι. Διόπερ οὐκ ἐπὶ τῆς γῆς, ἀλλ' ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθεια τῶν σῶν πρὸς τὸν Δαυῒδ ἐπαγγελιῶν. Ἀντὶ δὲ τοῦ· «Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου», οἱ λοιποὶ πάντες ἑρμηνευταί· «Τῷ ἐπιλέκτῳ μου», εἰρήκασι. Καὶ μᾶλλον ἁρμόζει τῇ διανοίᾳ ἡ τοιαύτη ἔκδοσις· οὐδὲ γὰρ περὶ πολλῶν ἐστιν ὁ λόγος, ἀλλὰ περὶ μόνου τοῦ Δαυῒδ· αὐτῷ γάρ, φησί, καὶ ὤμοσα, ἅτε δούλῳ μου ὄντι καὶ ἐπιλέκτῳ μου. Οὐ γὰρ ἤρκει ἁπλῶς διαθέσθαι αὐτῷ διαθήκην, ὥσπερ διεθέμην τῷ Νῶε, καὶ μετὰ ταῦτα τῷ Ἀβραάμ, καὶ πάλιν μετ' ἐκεῖνον τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ τῆς ἐρήμου διὰ Μωσέως· ἐκείνοις γὰρ δίχα ὁρκωμοσίας· τῷ δ' ἐπιλέκτῳ μου καὶ τῷ ἐμῷ θεράποντι καὶ δούλῳ Δαυῒδ διεθέμην μετὰ ὅρκου παραλήψεως· ὤμοσα γὰρ αὐτῷ περὶ τοῦ δεῖν τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα ἑτοιμάσειν καὶ τὸν θρόνον αὐτοῦ οἰκοδομήσειν, καὶ οὐκ εἰς μίαν γενεάν, ἀλλ' εἰς γενεὰν καὶ γενεάν. Περὶ δὲ τοῦ ὀμνύναι τὸν Θεόν, ὁ ἱερὸς Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους φησίν· «Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν.[1]» Κατ' ἐπίτασιν γὰρ μείζονος διαβεβαιώσεως καὶ ὅρκος παρείληπται τῷ Θεῷ. Κατὰ τίνος δὲ ὁ ὅρκος ἑξῆς προϊὼν διδάσκει λέγων· «Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου.» Ἔνθα καὶ ἐπιστήσεις, τίς ποτε ἄρα οὗτος ἦν ὁ ἅγιος τοῦ Θεοῦ, καθ' οὗ ὄμνυσιν ὡς κατὰ Υἱοῦ μονογενοῦς, εἰς τὸ ἐξ ἅπαντος τὰ τῆς ἐπαγγελίας κρατυνθῆναι. Τὸν μὲν οὖν ἅγιον ὡμολόγουν καὶ οἱ δαίμονες ἐν τοῖς Εὐαγγελίοις, ὅτε μὴ φέροντες αὐτοῦ τὴν ἔνθεον δύναμιν κολαστικὴν οὖσαν αὐτῶν καὶ ἀπελαστικήν, ἐβόων λέγοντες· «Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.[2]» Κατὰ τούτου τοίνυν ὀμνὺς ὁ Θεός, οἷα πατὴρ κατὰ μονογενοῦς καὶ ἀγαπητοῦ υἱοῦ, τῷ Δαυῒδ τὴν ἐπαγγελίαν ἐποιεῖτο· Ὃ δὴ καὶ διδάσκει λέγων· «Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαυῒδ ψεύσομαι.» Ζητῶν δὲ παρ' ἐμαυτῷ τὴν αἰτίαν, δι' ἣν οὐδενὶ μὲν ἄλλῳ τῶν ἁγίων, μόνῳ δὲ τῷ Δαυῒδ δι' ὅρκου πεποίηται τὴν περὶ τοῦ σπέρματος αὐτοῦ ἐπαγγελίαν ὁ Θεός, δοκῶ μοι ταύτην εὑρηκέναι, καταλαβὼν καὶ αὐτὸν τὸν Δαυῒδ ὅρκῳ κεχρημένον πρὸ τῆς πρὸς αὐτὸν ἐπαγγελίας τοῦ Θεοῦ. Ὀμωμοκέναι δὲ αὐτὸν διδάσκει τὸ θεῖον Πνεῦμα ἐν ρλα' λέγον· «Μνήσθητι, Κύριε, τοῦ Δαυῒδ, καὶ πάσης τῆς πραΰτητος αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου· εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμόν, ἕως οὗ εὕρω τόπον τῷ

1. Ἑβρ. 6, 18. 2. Λουκ. 4, 34.

Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.» Τοιαῦτα εὐξαμένῳ καὶ ἐπαγγειλαμένῳ τῷ Δαυΐδ, καὶ ἐπὶ τοιούτοις ὀμωμοκότι, τὴν ἴσην ἀμοιβὴν ἀντιδιδοὺς ὁ Θεὸς αὐτῷ, ἀντομνύει καὶ αὐτός, καὶ ἀντεπαγγέλλεται ἓν ἀνθ' ἑνὸς διδούς, καὶ ὅρκῳ τὸν ὅρκον ἀμειβόμενος. Διόπερ ἐν αὐτῷ τῷ ρλα', ἐν ᾧ λέγεται ὀμωμοκέναι ὁ Δαυΐδ, συνῆπται ἑξῆς ἡ τοῦ ἁγίου Πνεύματος μαρτυρία, ὧδέ πῃ λέγουσα· «Ὤμοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτόν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου». Οὐκοῦν πρῶτος ὤμοσεν ὁ Δαυΐδ, εἶτα ἀμειβόμενος αὐτὸν ὁ Θεός, ἀντωμοσίαν πρὸς αὐτὸν ἐποιήσατο· καὶ πρῶτος ὁ Δαυΐδ, εὐσεβεῖ λογισμῷ κινηθείς, ἐπηγγείλατό τι τῷ Θεῷ· εἶτα πάλιν ὁ Θεός, ὥσπερ ἀντιδιδοὺς αὐτῷ χάριν ἀντὶ χάριτος, καὶ αὐτὸς ἀντεπηγγείλατο ταῖς τοῦ Σωτῆρος ἡμῶν ἀκολούθως φωναῖς, δι' ὧν φησιν· «Ὧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.[1] Μέτρον καλόν, σεσαλευμένον, πεπιεσμένον, ὑπερεκχυνόμενον, δώσουσιν εἰς τὸν κόλπον ὑμῶν.[2]» Ὧ μέτρῳ τοίνυν καὶ ὁ Δαυΐδ ἐμέτρησεν, ἐπ' ἀγαθῷ καὶ θεοσεβεῖ λογισμῷ πρέπουσαν ἐπαγγελίαν μεθ' ὅρκου ποιησάμενος, ἀντεμετρήθη αὐτῷ, καὶ δίδονται αὐτῷ ἀμοιβαί, αἱ ἐπαγγελίαι μεθ' ὁρκωμοσίας Θεοῦ.

Τί δὲ βούλεται ἡ τοῦ Δαυΐδ μεθ' ὅρκου ἐπαγγελία, θεωρῆσαι καιρός. Ὁρῶν τὰ καθ' ὅλης τῆς οἰκουμένης ἔθνη τῇ δαιμονικῇ καὶ πολυθέῳ πλάνῃ δεδουλωμένα, καὶ πανταχοῦ γῆς ναοὺς καὶ τεμένη καὶ ἱερὰ τοῖς πονηροῖς δαίμοσιν ἀνεγηγερμένα, ἔν τε πόλεσι καὶ χώραις καὶ κώμαις, ἐν ὄρεσί τε καὶ βουνοῖς τὴν πονηρὰν καὶ ἀντικειμένην δύναμιν παρὰ πᾶσιν ἀνθρώποις τιμωμένην· Θεοῦ δὲ τοῦ πάντων ποιητοῦ τε καὶ δημιουργοῦ μηδαμοῦ μνήμην παρά τισι γιγνομένην· δηχθεὶς τὴν ψυχὴν ἐπὶ τῷ πράγματι, καὶ ζῆλον ἀγαθὸν ζηλώσας, κατὰ τὸν εἰπόντα· «Ζῆλον ἐζήλωσα τῷ Κυρίῳ[3]», εὐχὴν ηὔξατο, καὶ ἐπαγγελίαν ἐπηγγείλατο, καὶ ταύτην ὅρκῳ κατεδήσατο ἦ μὴν τῷ παμβασιλεῖ Θεῷ πρῶτος νεὼν ἐπὶ γῆς καὶ ἱερὸν ἅγιον οἰκοδομήσειν, ἔνθα τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὴν κιβωτὸν τῆς Διαθήκης τὴν ὑπὸ Μωϋσέως κατὰ τὴν ἔρημον ἐκ προστάγματος Θεοῦ κατασκευασθεῖσαν ἀποθέμενος ἀναπαύσειν. Περιήγετο γοῦν ὧδε κἀκεῖσε μέχρι τῶν τοῦ Δαυΐδ χρόνων τόπου μετακομιζομένη, ποτὲ μὲν ἐν Γαλγάλοις, ποτὲ δὲ ἐν Μανασῆφα, ποτὲ δὲ ἐν Σηλώ, καὶ ἄλλοτε παρ' ἀλλοφύλοις, κἀκεῖθεν εἰς Βεσαμύς, ἔνθεν εἰς Καρειαθιρείμ· εἶτα εἰς οἶκον Ἀμιναδάβ· κἀκεῖθεν εἰς οἶκον Ἀβεδδαρά· ἔνθεν εἰς Σιὼν τὴν πόλιν ὁ Δαυΐδ μετεστήσατο. Ὁ δὴ συνιδὼν γινόμενον, διενοήθη οἶκον ἱερὸν ἐγεῖραι καὶ ναὸν οἰκοδομῆσαι, ἐνταῦθά τε τὴν κιβωτὸν ἱδρῦσαι τοῦ Θεοῦ. Καὶ περὶ τούτου ὤμοσε Δαυΐδ τῷ Κυρίῳ, καὶ ηὔξατο τῷ Θεῷ Ἰακὼβ λέγων· «Εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου

1. Ματθ. 7, 2. 2. Λουκ. 6, 38. 3. Γ' Βασ. 19, 10, 14.

καὶ τοῖς βλεφάροις μου νυσταγμόν, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.[1]» Ταῦτα δὲ αὐτοῦ διανοηθέντος, τὴν μὲν προαίρεσιν τῆς εὐσεβείας ἀποδέχεται ὁ Θεός· οὐ μὴν ἐπιτρέπει τὸν οἶκον γενέσθαι· μὴ γὰρ δεῖσθαι Θεὸν ὄντα οἴκου αἰσθητοῦ, μηδ' ἐξ ἀψύχων λίθων οἰκοδομῆς συστησομένου· ἀλλ' εἰ ἄρα ἐχρῆν Θεὸν οἰκεῖν ἐπὶ γῆς, ἐκ σπέρματος αὐτοῦ, τοῦ Δαυῒδ προελεύσεσθαι τὸν ὑποδεξόμενον αὐτοῦ τὴν θεότητα, ὃς καὶ οἰκοδομήσει τῷ Θεῷ ἐπάξιον ἱερὸν οἶκον καὶ ναὸν ἅγιον, οὗ τὸν θρόνον εἰς τὸν σύμπαντα διαρκέσειν αἰῶνα. Ἐδήλου δὲ ἄρα τὸν Χριστὸν αὐτοῦ τὸν ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα γενησόμενον, καὶ τὴν δι' αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης συστησομένην Ἐκκλησίαν. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, ἡ τῶν Βασιλειῶν γραφὴ τοῦτον διδάσκει τὸν τρόπον· «Καὶ ἐγένετο ὅτε ἐκάθισε Δαυῒδ ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ Κύριος κατεκληρονόμησεν αὐτὸν κύκλῳ ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτῷ· καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ναθὰν τὸν ποφήτην· Ἰδοὺ δὴ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ κάθηται ἐν μέσῳ τῆς σκηνῆς·» ἤ, «ἐν μέσῳ δέρρεως», ὡς ἡ Ἑβραϊκὴ λέξις σημαίνει. «Καὶ εἶπε Ναθὰν πρὸς τὸν βασιλέα· Πάντα ὅσα ἂν ἐν τῇ καρδίᾳ σου βάδιζε καὶ ποίει, ὅτι Κύριος μετὰ σοῦ. Καὶ ἐγένετο τῇ νυκτὶ ἐκείνῃ, καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ναθὰν λέγων· Πορεύου πρὸς τὸν δοῦλόν μου Δαυῒδ, καὶ εἰπέ· Τάδε λέγει Κύριος· Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με· ὅτι οὐ κατῴκησα ἐν οἴκῳ ἀφ' ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης· καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι καὶ ἐν σκηνῇ ἐν πᾶσιν οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ· εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν τοῦ Ἰσραήλ, ᾧ ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μου Ἰσραὴλ λέγων· Τί οὐκ ᾠκοδομήκατέ μοι οἶκον κέδρινον; Καὶ νῦν τάδε ἐρεῖς τῷ δούλῳ μου Δαυῒδ· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἔλαβόν σε ἐκ τῆς μάνδρας ἀπὸ ὄπισθεν τῶν προβάτων, τοῦ εἶναί σε εἰς ἡγούμενον ἐπὶ τὸν Ἰσραήλ, καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐπορεύου· καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου· καὶ ἐποίησά σε ὀνομαστὸν κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς. Καὶ θήσομαι τόπον τῷ λαῷ μου Ἰσραήλ, καὶ καταφυτεύσω αὐτὸν καὶ κατασκηνώσει καθ' ἑαυτόν· καὶ οὐ μεριμνήσει οὐκέτι, καὶ οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν καθὼς ἀπ' ἀρχῆς ἀπὸ τῶν ἡμερῶν, ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ· καὶ ἀναπαύσω σε ἀπὸ πάντων τῶν ἐχθρῶν σου. Καὶ ἀπαγγελεῖ σοι Κύριος, ὅτι οἶκον οἰκοδομήσεις αὐτῷ. Καὶ ἔσται, ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σέ, ὃ ἔσται ἐν τῇ κοιλίᾳ σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν σου. Αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα.

1. Ψαλμ. 131, 3-5.

Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. Καὶ ἐὰν ἔλθῃ ἀδικία αὐτοῦ, καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν, καὶ ἐν ἁφαῖς υἱῶν ἀνθρώπων. Τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ, καθὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα ἐκ προσώπου μου. Καὶ πιστωθήσεται ὁ οἶκος αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ ἕως αἰῶνος ἐνώπιόν μου· καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα κατὰ πάντας τοὺς λόγους τούτους, καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύτην. Οὕτως ἐλάλησε Ναθὰν πρὸς τὸν Δαυΐδ.[1]» Ταῦτα δὴ πάντα παρεθέμην, παραστῆσαι βουλόμενος, ὡς, πρώτου ἐπηγγειλαμένου τοῦ Δαυΐδ οἶκον κατασκευάζειν τῇ κιβωτῷ τοῦ Θεοῦ, ἀποδεξάμενος αὐτὸν τῆς εὐσεβείας ὁ Θεός, ἀντεπαγγέλλεται τὸ σπέρμα αὐτοῦ ἀναστήσειν, καὶ διὰ τούτου κατασκευάζειν ἑαυτῷ οἶκον· καὶ ὡς τοῦ Δαυΐδ πρώτου ὀμωμοκότος μὴ πρότερον ἄλλο τι ποιήσειν τοῦ τόπον εὑρεῖν τῷ Θεῷ, ἀμοιβαίως καὶ ὁ Θεὸς ἀντόμνυσι διὰ τῆς ἐπαγγελίας, ἀνθρωπινώτερον συγκαταβαίνων τῷ λόγῳ· ἐπειδὴ καὶ ἄλλα μυρία ἐν τῇ θείᾳ Γραφῇ ἀνθρωποπαθῶς περὶ τοῦ Θεοῦ λέλεκται κατά τινα νοουμένην θεωρίαν. Ὧν οὕτως ἀποδεδειγμένων, καιρὸς ἤδη καὶ τὴν ἐν τῷ ψαλμῷ λέξιν ἐπιθεωρῆσαι.

Τί τοίνυν βούλεται ἡ ἐπαγγελία τοῦ Θεοῦ; Δύο ταῦτα προαγορεύει· πρῶτον μὲν τὸ σπέρμα τοῦ Δαυΐδ ἕως τοῦ αἰῶνος φυλάξειν· δεύτερον δὲ τὸν θρόνον αὐτοῦ οἰκοδομήσειν εἰς γενεὰν καὶ γενεάν. Εἶτ' ἐπειδήπερ ἤμελλε ταῦτα μὴ ἐπὶ γῆς αἰσθητῶς συνίστασθαι, μηδὲ ἐν τῇ κατὰ ἄνθρωπον βασιλείᾳ, εἰς οὐρανοὺς ἐξῆς ἀναπέμπει τῶν ἐπαγγελιῶν τὰ ἀποτελέσματα. Δι' ὃ ὥσπερ ἀνωτέρω ἔφησεν· «Ἐν τῷ οὐρανῷ ἑτοιμασθήσεται ἡ ἀλήθειά σου», οὕτω καὶ νῦν μετὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ ἐπιφέρει τό· «Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.» Οὐ γὰρ οἱ ἐπὶ γῆς ἄνθρωποι, φησί, δυνήσονται συνιέναι, ὁποῖον νοῦν ἔχουσιν, ὦ Κύριε, αἱ ἐπαγγελίαι, οὐδ' ὁποῖα τὰ ἀποτελέσματα τῶν προφητικῶν τυγχάνει λόγων· ἀλλ' οἱ οὐρανοὶ αὐτοὶ δηλαδή, καὶ αἱ κατ' οὐρανὸν θεῖαι δυνάμεις· διόπερ τοῖς οὐρανοῖς ἁρμόζει τὰ θαυμάσιά σου τὰ ἐμφερόμενα ταῖς ἐπαγγελίαις διηγεῖσθαι καὶ διερμηνεύειν. Ὥσπερ πάλιν τὴν ἀλήθειάν σου, τὴν ἐν ταῖς πρὸς τὸν Δαυΐδ ἐπαγγελίαις δεδοξασμένην, οὐκ ἄλλων ἦν νοεῖν καὶ διηγεῖσθαι ἀλλ' ἢ μόνων τῶν οὐρανῶν καὶ τῶν ἐν οὐρανοῖς ἀγγέλων· οὗτοι γὰρ καὶ τὴν ἀλήθειάν σου καὶ τὰ θαυμάσιά σου ἐν Ἐκκλησίᾳ ἁγίων ἐξομολογήσονται. Εἰ γάρ ποτε γένοιτο Ἐκκλησία τις τοιαύτη ἐπὶ γῆς, ὡς ἁγίων Ἐκκλησίαν αὐτὴν χρηματίζειν, παρὰ τούτοις οἱ οὐρανοί, εἴτε δυνάμεις θεῖαι, εἴτε καὶ οὐράνιοι ἄνδρες, τὰ θαυμάσιά σου καὶ τὴν ἀλήθειάν σου, τὴν ἐμφερομένην ἐν ταῖς προκειμέναις ἐπαγγελίαις, ἐξομολογήσονται. Εἰ δέ ἐστι καὶ ἐν αὐτοῖς τοῖς οὐρανοῖς Ἐκκλησία τις πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς, κυριώ-

1. Β' Βασ. 7, 1-17.

τερον καὶ ἀληθέστερον λεχθείη ἂν ἐκείνη Ἐκκλησία ἁγίων εἶναι Ἐκκλησία, ἐν ᾗ οἱ οὐρανοὶ τὴν ἀλήθειαν τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ καὶ τὰ θαυμάσια τὰ ἐν αὐταῖς ἀποκείμενα διηγήσονται. Θαυμάσια δὲ τίνα ἦν ἀλλ' ἢ τὸ ἐκλεκτὸν τοῦ Θεοῦ χρηματίσαι τὸν Δαυΐδ, καὶ τὸ ἐξ αὐτοῦ γενέσθαι σπέρμα θρόνον αἰώνιον καθέξον, καὶ τὸ διαθήκην αἰώνιον διατίθεσθαι πρὸς αὐτὸν τὸν Θεόν, ἢ συνθήκην πρὸς αὐτὸν γενέσθαι; οὕτω γὰρ ὁ Ἀκύλας καὶ Σύμμαχος ἡρμήνευσαν, «συνθήκην» ἀντὶ διαθήκης εἰρηκότες. Θαυμάσιον ἦν καὶ τὸ ὀμνύναι τὸν Θεὸν ἀνθρώπῳ καὶ τὸ φάσκειν πρὸς τὸν αὐτόν· «Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου», κατὰ τὸν Σύμμαχον· «Καὶ οἰκοδομήσω εἰς ἑκάστην γενεὰν τὸν θρόνον σου», κατὰ τὸν αὐτόν. Τὸ δὲ μεῖζον ἁπάντων θαῦμα τοῦτο ἦν, τὸ τοιαῦτα ἐπαγγελλόμενον τὸν Θεὸν ὅρκῳ ταῦτα ἐπισφραγίσασθαι· καὶ τὸ πάντων θαυμασιώτερον τὸ μετὰ τὸν θεῖον ὅρκον δοκεῖν μὴ τέλος εἰληφέναι τοὺς τοῦ Θεοῦ λόγους, τἀναντία δὲ τῇ ὁρκωμοσίᾳ συμβῆναι. Ἐπιφέρει γοῦν ἑξῆς, ἐναντία ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις δηλῶν συμβεβηκέναι· δι' ἃ καὶ μάλιστα ἐκπλήττεται καὶ θαυμάζει ὁ Προφήτης· ἀποδυσπετεῖ γοῦν ἑξῆς λέγων· «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυΐδ ἐν τῇ ἀληθείᾳ σου;» Ἀλλ' ἀποθεραπεύει τὴν ἑαυτοῦ ἀμηχανίαν, ἀνωτέρω μὲν εἰρηκώς· «Ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου», ἐν δὲ τοῖς μετὰ χεῖρας· «Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν Ἐκκλησίᾳ ἁγίων. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;» Ἀντὶ τοῦ· «ἐν νεφέλαις», ὁ Σύμμαχος φησί· «Τίς γὰρ ἐν αἰθέρι;» Σφόδρα δὲ ἀκολούθως ἐπήγαγε τὰ προκείμενα τοῖς προλεχθεῖσι· τὴν γὰρ ἀλήθειάν σου, φησί, καὶ τὰ θαυμάσιά σου, εἰ καὶ μὴ ἄνθρωποι συνεῖναι δύνανται· δι' ὃ μέλλω λέγειν μικρὸν ὕστερον· «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυΐδ;» Ἀλλ' οὐρανοὶ διηγήσονται καὶ Ἐκκλησία ἁγίων μαρτυρήσει, ὅτι μηδὲν ὧν ὤμοσας τῷ Δαυΐδ, διαπεσεῖται, οὐδὲ ψεύσονταί σου αἱ ἐπαγγελίαι· ἀδύνατον γάρ ἐστι τὸ σὲ ψεύσασθαι. Τίς γάρ σοι ἐξισωθήσεται ἐν ἀληθείᾳ, ἢ τίς ὁμοιωθήσεται ἐν τῷ λέγειν καὶ πιστοῦσθαί σου τὰς ἐπαγγελίας; Οὐδὲ γὰρ ἀντιστῆναί σου τῇ βουλῇ δύναταί τις, ὡς ἀνατρέπειν τὰ ἅπαξ ὑπὸ σοῦ ὡρισμένα, μήτιγε τὰ μεθ' ὅρκου ἐπηγγελμένα· ὥστε εἰ μὴ καὶ ἡμῖν ἔγνωσταί πω ἡ τῶν ἐπαγγελιῶν σου ἀλήθεια, ἀλλ' ἐκεῖνο ἀκριβῶς ἴσμεν, «ὅτι δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.» Πάντ' οὖν ὅσα καὶ βεβούλησαι δύνασαι, καὶ τῶν λόγων σου τῶν περὶ τοῦ Δαυΐδ προρρηθέντων ἡ ἀλήθεια ἀμφὶ σὲ εἱλεῖται· ὡς πᾶσι μὲν τοῖς περὶ σὲ οὖσι καὶ τὴν σὴν θεότητα δορυφοροῦσι γινώσκεσθαι, ἀγνοεῖσθαι δὲ τοῖς μακρὰν ἀφεστηκόσιν ἀπὸ σοῦ.

Δοκεῖ δέ μοι διὰ τούτων ὁ Προφήτης, ἁγίῳ Πνεύματι θεοφορηθείς, καὶ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς φωτὶ νοερῷ καταυγασθείς, τὴν

δόξαν ἑωρακέναι τοῦ Μονογενοῦς τοῦ Θεοῦ ἐν μέσῳ τῆς Ἐκκλησίας τῶν ἁγίων ἑστῶτος, καὶ δορυφορουμένου ὑπὸ τῶν ἁγίων τῶν ἐν βασιλείᾳ αὐτοῦ. Μνημονεύσας γοῦν τῶν οὐρανῶν, καὶ τῷ θείῳ Πνεύματι ἐνατενίσας τῇ τῶν ἁγίων Ἐκκλησίᾳ, ἔοικεν ἑωρακέναι μέσον τὸν Υἱὸν τοῦ Θεοῦ· εἶτα μετὰ τὴν ἐκείνου κατανόησιν ἐπιστρέφειν τοὺς ὀφθαλμοὺς ἐπὶ τῶν πέριξ ἁγίων ἀγγέλων καὶ ἀρχαγγέλων, πνευμάτων τε θείων καὶ δυνάμεων χορόν· καὶ θαυμάζειν τὴν τούτων θειότητα· ὑπερεκπλήττεσθαι δὲ τὸν ἐπέκεινα πάντων, καὶ ὑπὲρ πάντας τὸν Μονογενῆ τοῦ Θεοῦ· εἶτ' ἐκ τοῦ θαύματος ἀναπεφωνηκέναι τό· «Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;» ἢ κατὰ τὸν Σύμμαχον· «Τίς γὰρ ἐν αἰθέρι ἀντιπαραθήσει τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;» Ταῦτα δὲ περὶ μὲν τοῦ Μονογενοῦς τοῦ Θεοῦ λεγόμενα σῴζοι ἂν εὐσεβῆ τὴν διάνοιαν, οὐ μὲν περὶ τοῦ Πατρὸς καὶ Θεοῦ τῶν ὅλων· ἀνοίκειος γὰρ καὶ ἀσεβὴς ἡ παράθεσις. Τὸ γὰρ υἱοῖς Θεοῦ παραβάλλειν τὸ πάντων αἴτιον, καὶ τὸ συγκρίνειν ἑτέροις τολμᾶν τὸν ἐπέκεινα τῶν ὅλων Θεόν, πάντων ἂν γένοιτο ἀνοσιώτατον. Ἀκίνδυνος δ' ἂν εἴη ὁ λόγος υἱοῖς Θεοῦ συγκρίνων Υἱὸν Θεοῦ μονογενῆ, καὶ τὸ πρὸς πάντας ἀσύγκριτον αὐτοῦ καὶ ἀπαράθετον, καθ' ὑπερβολήν τε ὑπερέχον σημαίνειν διὰ τοῦ· «Τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ;» ἀντὶ τοῦ, οὐδείς. Εἰ γὰρ καὶ πολλοὶ ἅγιοι καὶ μυριάδες ἀγγέλων, καὶ Ἐκκλησία πρωτοτόκων, ἀρχαί τε καὶ ἐξουσίαι καὶ θρόνοι καὶ κυριότητες, πνεύματά τε ἅγια, καὶ δυνάμεις θεῖαι ἐν ταῖς κατ' οὐρανὸν στρατιαῖς πολιτεύονται, τὴν ἐπουράνιον συμπληροῦντες Ἐκκλησίαν· ἀλλὰ τίς, φησίν, ἐν τῷ αἰθέρι τῷ ἐπέκεινα τοῦ στερεώματος ἰσωθήσεται τῷ Κυρίῳ; Εἰ δὲ πολλοὶ υἱοὶ Θεοῦ καὶ θεοὶ κατὰ τό· «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν [1]», καί· «Θεὸς θεῶν Κύριος ἐλάλησε [2]», καί· «Ἐγὼ εἶπον· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες· [3]» ἀλλὰ «Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;» Μυρίων γὰρ ὄντων υἱῶν, οὐδείς, φησί, τούτῳ ὁμοιωθήσεται, οὐδὲ ἐξισωθήσεται, ἐκλεκτῷ ὄντι καὶ μονογενεῖ καὶ πρωτοτόκῳ πάσης κτίσεως, Λόγῳ τε σοφίᾳ καὶ δυνάμει καὶ σοφίᾳ Θεοῦ. Καί μοι δοκεῖ τὴν τούτων γνῶσιν διὰ τῶν ἀνωτέρω σημαίνειν, ἐν οἷς ἔφη· «Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου.» Ἓν γὰρ τῶν θαυμασίων καὶ τοῦτο ἦν, ὅπερ ἤμελλεν ἑξῆς ἐπιλέγειν περὶ τοῦ Μονογενοῦς τοῦ Θεοῦ· ἀναγκαίως δέ· ἐπειδὴ ἤμελλε τὸν ἐκ σπέρματος Δαυῒδ γενησόμενον διὰ τῆς προφητείας σημαίνειν, τὴν θεότητα τοῦ κατοικήσαντος ἐν αὐτῷ προθεωρεῖ· ὡς ἂν ὁμοῦ μάθοιμεν, τίς ἡ μέλλουσα κατοικεῖν ἐν αὐτῷ δύναμις, καὶ ὡς ὁ μὲν υἱὸς ἦν Δαυῒδ, ὁ δὲ ἐν αὐτῷ κατοικήσων Υἱὸς τοῦ Θεοῦ.

Στίχ. η'. «Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερὸς ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ.»

Τὸν μὴ ἔχοντα σύγκρισιν, μηδὲ παράθεσιν, μηδὲ ὁμοίωσιν πρὸς

1. Ψαλμ. 81, 1. 2. Ψαλμ. 49, 1. 3. Ψαλμ. 81, 6.

τινα τῶν ὠνομασμένων υἱῶν Θεοῦ, ὁποῖός τίς ἐστι παρίστησι λέγων· «Οὗτός ἐστιν ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν τῇ βουλῇ τῶν ἁγίων.» Βουλὴν δὲ ἁγίων προσεῖπε τὴν ἀνωτέρω λεχθεῖσαν Ἐκκλησίαν ἁγίων· καὶ ἐῴκει τὴν Ἐκκλησίαν τῶν πρωτοτόκων τῶν ἀπογεγραμμένων ἐν οὐρανοῖς βουλὴν ὠνομακέναι, ἀναλόγως τοῖς κατὰ τόπον βουλευτηρίοις. Ἐν ταύτῃ δὲ τῇ βουλῇ τῶν ἁγίων ἐνδοξαζόμενός ἐστιν ὁ μὴ ἔχων σύγκρισιν, μηδὲ ὁμοίωσιν πρὸς τοὺς ὀνομαζομένους υἱοὺς Θεοῦ· καὶ οὐ μόνον ἐνδοξαζόμενός ἐστιν ἐν τῇ βουλῇ τῶν ἁγίων, ἀλλὰ καὶ φοβερὸς ὑπάρχει ἐπὶ πάντας τοὺς περικύκλῳ αὐτοῦ. Τίνες δ' ἂν εἶεν οἱ περικύκλῳ αὐτοῦ ἀλλ' ἢ οἱ υἱοὶ τοῦ Θεοῦ, καὶ αὐτοὶ θεοὶ χρηματίζοντες, δι' οὓς εἴρηται, «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν;[1]» Καὶ γὰρ τό, «Ἐν βουλῇ ἁγίων», καὶ τό, «Ἐν Ἐκκλησίᾳ πρωτοτόκων», καὶ τό, «Ἐν συναγωγῇ θεῶν», ἓν καὶ ταυτὸν εἶναί μοι δοκεῖ. Τούτων τοιγαροῦν ἐν μέσῳ ἑστὼς καὶ ὑπὸ τούτων δορυφορούμενος ὁ Υἱὸς τοῦ Θεοῦ, ἐνδοξαζόμενος εἴρηται καὶ μέγας καὶ φοβερός. Ὅ γε μὴν Σύμμαχος τὰ προκείμενα τοῦτον ἐξέδωκε τὸν τρόπον· «Θεὲ ἀήττητε ἐν ὁμιλίᾳ ἁγίων πολλῇ, καὶ ἐπίφοβος ἐν πᾶσι τοῖς περὶ σεαυτόν·» ὁ δὲ Ἀκύλας φησί· «Ἰσχυρὸς κατισχυρευόμενος ἐν ἀπορρήτῳ ἁγίων, πλῆθος, πλῆθος, καὶ ἐπίφοβος ἐπὶ πάντας κύκλῳ αὐτοῦ.» Ἡ δὲ τοῦ λόγου διάνοια τὴν ἀκολουθίαν παρίστησιν. Ἐπειδὴ γὰρ δυνατὸς εἶ, Κύριε, φησίν, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου, εἰκότως μέγας εἶ, καὶ φοβερὸς εἶ, καὶ ἐνδοξαζόμενος εἶ ἐν βουλῇ ἁγίων, καὶ ἐν τοῖς τὴν σὴν θεότητα περιπολοῦσιν, οἵ, τῶν σῶν ἐπαγγελιῶν τὴν ἀλήθειαν συνορῶντες, τὰς πρεπούσας εὐχαριστίας μετὰ θαυμασμοῦ τῆς σῆς θεότητος ἀναπέμπουσι. Διὸ μικρῷ πρόσθεν ἔλεγον· «Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, καὶ τὴν ἀλήθειάν σου ἐν Ἐκκλησίᾳ ἁγίων.»

Στίχ. θ'-ια'. «Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.»

Καὶ ἐν τούτοις οὐδὲν ἀφίησι τῶν γενητῶν εἶναι ὅμοιον τῷ θεολογουμένῳ Υἱῷ τοῦ Θεοῦ· αὐτὸν γὰρ εἶναι τὸν δυνατόν, καὶ τὸν τῶν δυνατῶν Θεόν, καὶ αὐτῶν τῶν δυνάμεων Κύριον, ὡς μηδένα αὐτῷ ἀντιλέγειν δύνασθαι, μηδὲ τῇ αὐτοῦ βουλῇ ἀνθίστασθαι· δι' ὃ λέγειν αὐτὸν καὶ ποιεῖν, ἅτε μόνον δυνατόν, τὰ πάντα· τὸ γάρ, «Τίς ὅμοιός σοι;» καὶ ἐνταῦθα οὐκ ἐπὶ τοῦ σπανίου, ἀλλ' ἐπὶ τοῦ μηδενὸς παρείληπται. Οὐδένα γοῦν ὅμοιον εἶναί φησι τῷ κυριολογουμένῳ, ἀντιπαραβάλλων αὐτῷ τοὺς ἀνωτέρω εἰρημένους υἱοὺς Θεοῦ. Τῆς γὰρ αὐτῆς ἔχεται διανοίας τὰ παρόντα καὶ τὰ πρότερα, ἐν οἷς εἴρητο· «Ὅτι

1. Ψαλμ. 81, 1.

τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;» καὶ νῦν δ' οὖν, «Τίς ὅμοιός σοι;» φησίν, ὅτι δυνατὸς εἶ, καὶ ἡ ἀλήθεια τῶν λόγων σου, αἵ τε ἐπαγγελίαι σου περὶ σὲ καὶ παρὰ σοὶ τυγχάνουσι. Παρὰ σοὶ γάρ ἐστι, καὶ παρὰ τοῖς κυκλοῦσί σε, ἡ ἀλήθειά σου· εἰ γάρ τινές σου πλησίον καὶ κύκλῳ περιεστῶτες εἶεν, οὗτοι αὐτοὶ τὴν ἀλήθειάν σου γινώσκουσιν. Ἡμεῖς δὲ οἱ ἐπὶ γῆς, ἔτι μακράν σου τυγχάνοντες, τὰς μεγαλουργίας σου ἀπὸ τῶν κατὰ θάλασσαν ἐνεργουμένων ὑπὸ τῆς σῆς προνοίας θεωροῦντες, ὁμολογοῦμεν, ὅτι δυνατὸς εἶ, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. Τῆς τε γὰρ θαλάσσης καὶ τοῦ τοσούτου τῶν ὑδάτων κύτους σὺ μόνος δεσπόζεις, καὶ τὸν σάλον τῶν κυμάτων αὐτῆς σὺ μόνος καταπραΰνεις, περιθεὶς αὐτῇ κλεῖθρα καὶ πύλας, καὶ ὅρια αὐτῇ πηξάμενος, ὡς ἂν μὴ ὑπερβᾶσα κατακλύσειε τὴν τῶν ἀνθρώπων οἰκουμένην. Ὃ δὴ καὶ αὐτὸ ἕν τι τυγχάνει μέγιστον τῆς σῆς δυνάμεως δεῖγμα. Ὡς γὰρ δεσπότῃ δουλεύουσα ἡ τοσαύτη τῶν ὑδάτων κίνησις, κυρτουμένη εἰς ὕψος καὶ ἐπαιρομένη πτήσσει, καὶ εἰς ἑαυτὴν καταράσσεται, εἴσω τῶν οἰκείων ὅρων ἀποκεκλεισμένη. Ὥσπερ δὲ τὰ κύματα καὶ τὰς ἀπειλὰς τῆς θαλάσσης ἐχαλίνωσας τῷ σῷ προστάγματι, καὶ τὰ ὑψώματα αὐτῆς, τάς τε ὁρμὰς καὶ τοὺς θυμοὺς κατεπράϋνας· οὕτω δὲ καὶ ἐπὶ τῶν ἀοράτων δυνάμεων, εἴ τινές ποτε εἶεν ἐχθραὶ καὶ ἐναντίαι τῇ βουλῇ τῆς σῆς προνοίας, καὶ ταύτας, ἅτε μόνος καὶ ὑπὲρ πάντας ὢν δυνατώτατος, διεσκόρπισας, τόν τε τούτων ἄρχοντα καὶ τύραννον καὶ ἀλαζόνα τινὰ ὄντα καὶ ὑπερήφανον, ἄρχοντα τοῦ αἰῶνος τούτου, σὺ τῇ σαυτοῦ δυνάμει ἐταπείνωσας, καὶ τραυματίαν εἰργάσω, πατάξας αὐτὸν τῇ ῥομφαίᾳ τῇ μεγάλῃ καὶ τῇ φοβερᾷ, ἀκολούθως τῇ φασκούσῃ προφητείᾳ· «Ἐπάξει Κύριος τὴν ῥομφαίαν τὴν μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα, ὄφιν τὸν σκολιόν, φεύγοντα· καὶ ἀνελεῖ τὸν δράκοντα τὸν ἐν τῇ θαλάσσῃ.[1]» Καὶ ἐπειδήπερ ἄλλος προφήτης τὸν τραυματίαν τοῦτον δράκοντα ἐπὶ τῆς θαλάσσης ποιεῖσθαι τὰς διατριβὰς ἐδίδαξε, φήσας· «Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος. Ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός. Δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ·[2]» ἐπίστησον μήποτε ταύτην αὐτὴν ᾐνίξατο τὴν θάλασσαν καὶ ὁ παρὼν λόγος φήσας· «Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις·» τούτοις γοῦν συνῆψε τό, «Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον· ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου.» Τὸ γὰρ χωρίον τῶν ἀντικειμένων δυνάμεων, τῶν τε δαιμόνων καὶ τῶν πνευμάτων πονηρῶν, θάλασσαν ἔοικεν ἀποκαλεῖν. Διὸ καὶ ἐπήγαγε τῷ περὶ τῆς θαλάσσης λόγῳ τὰ περὶ τοῦ τραυματίου καὶ τὰ περὶ τῶν ἐχθρῶν τοῦ Θεοῦ, ἄντικρυς τὰς ἀντικειμένας δυνάμεις καὶ τὸν τούτων ἄρχοντα σημήνας.

1. Ἡσ. 27, 1. 2. Ψαλμ. 103, 25, 26.

Καὶ ἐν ἑτέρῳ δὲ εἴρηται ψαλμῷ· «Σὺ συνέθλασας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι·[1]» καὶ ἐν τῷ Ἰώβ· «Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ, περιθήσεις δὲ φορβαίαν περὶ τὴν ῥῖνα αὐτοῦ, ψελλίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ. Λαλήσει δέ σοι δεήσει καὶ ἱκετηρίᾳ μαλακῶς, λήψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον.[2]» Καὶ ἑξῆς ἐπάγει· «Αὐτὸς δέ ἐστι βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασι.[3]» Κατὰ τὸ αὐτὸ εἴρηται περὶ τοῦ αὐτοῦ δράκοντος ἐκ προσώπου τοῦ Κυρίου πρὸς τὸν Ἰώβ· «Οὐ δέδοικας, ὅτι ἡτοίμασταί μοι τὰ χοῦν;[4]» καὶ διὰ τῶν προκειμένων ἀναγκαίως τούτων ἐμνημόνευσε τὸ θεῖον Πνεῦμα, διδάσκον τοῦ Μονογενοῦς τοῦ Θεοῦ τὴν μέχρι τῆς δηλωθείσης θαλάσσης κάθοδον. Προθεολογήσας γοῦν αὐτόν, καὶ τὴν πρώτην αὐτοῦ διατριβὴν τὴν ἐν τοῖς ἁγίοις εἰπών, τίς τέ ἐστι, καὶ μεθ' ὁποίων καὶ ἐν ποίοις πρόεισιν, ἑξῆς καὶ παρίστησιν, ὅτι δὴ αὐτὸς ἐκεῖνος καὶ τῆς δηλωθείσης ἡμῖν θαλάσσης κρατήσει, καὶ τὸν ἐν αὐτῇ τραυματίαν ταπεινώσει, καὶ ἐν τῷ βραχίονι τοῦ κράτους αὐτοῦ πάντας τοὺς ἐχθροὺς αὐτοῦ διασκορπίσει. Λέγει δὲ ταῦτα ἀναγκαίως· προειπὼν γάρ, «Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου», παρίστησιν αὐτοῖς ἔργοις πῶς ὑπάρχει δυνατὸς ὁ Κύριος εἰς πίστωσιν τῆς ἀληθείας αὐτοῦ, ὑπὲρ τοῦ τὰς ἐπαγγελίας πρὸς τὸν Δαυΐδ γεγενημένας ἀληθεῖς ἀποδεῖξαι.

Στίχ. ιβ΄, ιγ΄. «Σοί εἰσιν οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας, τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται.»

Ἡ διάνοια τῶν προκειμένων τοιαύτη τίς ἐστι· Πεποίησαι μέν, ὦ Κύριε, πρὸς τὸν Δαυΐδ ἐπαγγελίας περὶ τοῦ σπέρματος αὐτοῦ καὶ τοῦ εἰς αἰῶνα διαρκέσαντος θρόνου αὐτοῦ· καὶ ταύτας ὤμοσας τῷ Δαυΐδ ἐπιτελέσειν. Ὁρῶμεν δὲ ἡμεῖς οἱ ἄνθρωποι μὴ πληρουμένας αὐτάς, ὅσον ἐπὶ τοῖς αἰσθητοῖς καὶ ὁρωμένοις· διό φαμεν, «Ποῦ εἰσι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε;» πλὴν ἀλλὰ πεπείσμεθά σε ἐξ ἅπαντος ἀληθεύειν, ὅτι «δυνατὸς εἶ, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου.» Καὶ μάρτυρές γε τῆς ἀληθείας σου πάντες οἱ περὶ σέ· αἱ γοῦν οὐράνιοι δυνάμεις «ἐξομολογήσονται τὰ θαυμάσιά σου, καὶ τὴν ἀλήθειάν σου ἐν Ἐκκλησίᾳ ὁσίων.» Καὶ εἰκότως αἱ οὐράνιοι δυνάμεις τὴν ἀλήθειάν σου ἐξομολογήσονται, ἐπειδὴ ἐν τῷ οὐρανῷ ἑτοιμασθήσεται ἡ ἀλήθειά σου· ὡς μηκέτι δεῖν τὰς ἐπαγγελίας σου, τὰς πρὸς τὸν Δαυΐδ, ἐπιγείους εἶναι καὶ σωματικὰς νομίζειν· ἐν γὰρ τῷ οὐρανῷ ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Ταῦτα δὲ καὶ αὐτὸς ἐκ τοῦ ἁγίου Πνεύματος μεμαθηκώς φημι· «Τὰ ἐλέη σου εἰς τὸν αἰῶνα ᾄσομαι. Εἰς γενεὰν

1. Ψαλμ. 73, 14. 2. Ἰὼβ 40, 25-28. 3. Ἰὼβ 41, 25. 4. Ἰὼβ 41, 1-2.

καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου.» Ἀληθεύειν δέ σε Θεὸν ὄντα καὶ Κύριον τῶν ὅλων πεπεῖσθαι χρή, διὰ τὸ μηδένα εἶναι ὅμοιον τῇ σῇ δυνάμει· καὶ γὰρ καὶ τῶν ἀσωμάτων καὶ θείων δυνάμεων Κύριος εἶ, καὶ δυνατὸς εἶ μόνος καὶ ὑπὲρ πάντας, ὡς τὴν ἀλήθειάν σου πιστοῦσθαι. Εἰ δὲ καὶ ἔστι τις ἐν τοῖς οὖσιν ὑπερήφανος, ὁ καλούμενος διάβολος ἀντικείμενος ἀεί, καὶ πολεμῶν τῇ σῇ ἀληθείᾳ, ἀλλὰ σὺ τοῦτον ἐταπείνωσας· εἴτε τινές εἰσιν ὑπὲρ τοῦτον ἐχθραὶ καὶ ἀντικείμεναι δυνάμεις, ἀλλὰ καὶ ταύτας διεσκόρπισας. Πάντοτε σὺ κρατεῖς, καὶ τῆς τῶν ὅλων οὐσίας σὺ δεσπόζεις, ἐπεὶ καὶ ποιητὴς τῶν ὅλων τυγχάνεις. Αὕτη γὰρ ἡ θάλασσα καὶ τὸ τοσοῦτον τῆς ὑγρᾶς οὐσίας στοιχεῖον ἔργον ὑπάρχει σόν, καὶ σὲ κύριον ἐπιγράφεται. Εἰ δὲ καὶ οὐρανοί τινες ἀνώτεροι τοῦ στερεώματος νοοῦνται, θείων πνευμάτων καὶ δυνάμεων ἁγίων, τῶν τε τὴν σὴν θεότητα περιπολούντων ἀγγέλων καὶ ἀρχαγγέλων οἰκητήρια, καὶ οὗτοι σοί εἰσιν πᾶσι τοῖς οἰκοῦσιν αὐτοῖς. Καὶ ἄλλο δὲ στοιχεῖον οὐ μικρὸν ἡ ξηρὰ οὐσία, καὶ ἡ τοῖς οὐρανοῖς ὑποκειμένη γῆ, σή ἐστι καὶ αὕτη. Ὅτε τοίνυν τὰ σύμπαντα τοῖς σοῖς νεύμασι δουλεύει, καὶ σὺ πάντων κρατεῖς, κύριος ὢν ἁπάντων καὶ βασιλεὺς καὶ Θεός, τίς ἀντιστήσεταί σοι; Ἢ τί τὸ ἐμποδὼν ἔσται τοῦ μὴ πιστώσασθαι τὰς σὰς πρὸς τὸν ἐκλεκτόν σου Δαυῒδ ἐπαγγελίας, ἃς μεθ' ὅρκου πρὸς αὐτὸν ἐποιήσω;

Σφόδρα τοίνυν καὶ ἀκολούθως τοῖς ἔμπροσθεν εἰρημένοις διὰ τῶν προκειμένων ἐπήγαγε τό, «Σοί εἰσιν οἱ οὐρανοί, καὶ σή ἐστιν ἡ γῆ· τὴν οἰκουμένην καὶ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας.» Οὐ γὰρ μόνον τὸν οὐρανόν, φησί, καὶ τὰς ἐν αὐτῷ δυνάμεις, ἀλλὰ καὶ τὴν γῆν σὺ ἐθεμελίωσας· συμφώνως τῇ ἐν Παροιμίαις λεγούσῃ φωνῇ· «Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει.[1]» Κατ' ἐξαίρετον δὲ ἐνταῦθα τὸ οἰκούμενον μέρος τῆς γῆς οἰκουμένην ὠνόμασεν, ἀποδιαστείλας τῆς ἐρήμου καὶ τῆς οἰκητοῦ. Ἀλλὰ καὶ τὸ πλήρωμα τῆς οἰκουμένης προσέθηκεν, οὕτω σημήνας τὸ τῶν ἀνθρώπων γένος, τῶν τὴν οἰκουμένην πληρούντων. Πλήρωμα δὲ καὶ ἄλλως τῆς οἰκουμένης οὐκ ἂν ἁμάρτοις λέγων τὴν τοῦ Σωτῆρος Ἐκκλησίαν, ἣν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἐθεμελίωσεν ἐπὶ τὴν πέτραν. Διὸ καὶ ἐν ἑτέροις εἴρηται· «Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.[2]» Πῶς δὲ ἐθεμελίωσε τὴν οἰκουμένην, ἐπιλέγει ἑξῆς, «Τὸν βορρᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας αὐτά·» ἡ δὲ πέμπτη ἔκδοσις, «Βορρᾶν καὶ νότον σὺ ἔκτισας.» Δοκεῖ δέ μοι διὰ τῶν δύο πλευρῶν τε καὶ ἄκρων τῆς οἰκουμένης τὸν σύμπαντα κόσμον δηλοῦν, ὃν ἐπλήρωσεν ἡ τοῦ Σωτῆρος ἡμῶν δύναμις. Θέα δὲ τίνα τρόπον διὰ τούτων παρίσταται πρόσωπον τοῦ σύμπαντος κόσμου τὸ ἀνατολικὸν μέρος· ἀριστερὸν δὲ

1. Παρμ. 3, 19. 2. Ψαλμ. 92, 1.

τὸ βόρειον, δεξιὸν δὲ τὸ μεσημβρινὸν καὶ νότιον. Ἐν τῷ γὰρ φάναι, «Τὸν βορρᾶν καὶ τὰ δεξιὰ σὺ ἔκτισας», τὸ βόρειον πλευρὸν ἀριστερὸν εἶναι ἐδίδαξεν· εἴ γε δεξιὸν τὸ νότιον. Εἰ δὴ οὖν ἑστῶτες ἔχοιμεν ἐν δεξιᾷ μὲν ἑαυτῶν τὸν νότον, ἐν δὲ τοῖς ἀριστεροῖς τὸν βορρᾶν, ἀντιπρόσωπον σχήσομεν τὴν ἀνατολήν, κατὰ νώτου δὲ τὴν δύσιν· ὥστε κατά τινα φυσικὴν θεωρίαν εἰρῆσθαι ταῦτα, τὴν θέσιν τοῦ παντὸς κόσμου παριστῶντα. Ἃ καὶ αὐτὰ ἀναγκαῖον ἐπισημήνασθαι εἰς παράστασιν τοῦ μηδὲν τὴν τούτων γνῶσιν παραλελοιπέναι τὴν τῶν θείων Γραφῶν διδασκαλίαν. Τὰ πάντα γάρ, φησί, σὺ ἔκτισας, τά τε δεξιὰ τοῦ κόσμου μέρη, καὶ τὰ ἀριστερά. Ἀλλὰ τὰ μὲν δεξιὰ ὀνομαστὶ προσεῖπεν, ἐφυλάξατο δὲ χρήσασθαι τῷ τοῦ ἀριστεροῦ ὀνόματι· Διὸ λέλεκται κατὰ τὸν Σύμμαχον, «Εἰς βορρᾶν καὶ δεξιὰν σὺ ἔκτισας·» καὶ κατὰ τὸν Ἀκύλαν, «Βορρᾶν καὶ δεξιὰν σὺ ἔκτισας.» Ἡ δὲ πέμπτη ἔκδοσις σαφέστερον ἡρμήνευσε τίνα τὰ δεξιὰ φήσασα, «Βορρᾶν καὶ νότον σὺ ἔκτισας.» Τὸ δ' ἀριστερὸν πάντη σεσιώπηται παρὰ τοῖς πᾶσι, διὰ τὸ νομίζεσθαι σκαιὸν εἶναι καὶ ἐναντίον τῷ δεξιῷ· οὐδὲν δὲ ἐν τῷ παντὶ σκαιόν, οὐδὲ τῷ καλῷ ἐναντίον. Πάντα μὲν οὖν, φησί, σὺ ἔκτισας. Ὄρη δὲ δύο, τὸ Θαβὼρ καὶ τὸ Ἑρμὼν ἐξαίρετόν τι κέκληται παρὰ πάντα· τῷ γὰρ ὀνόματί σου ταῦτα ἀγαλλιάσονται. Κατὰ δὲ τὸν Ἀκύλαν, «Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου αἰνέσουσι·» κατὰ δὲ τὸν Σύμμαχον, «Θαβὼρ καὶ τὸ Ἑρμὼν τὸ ὄνομά σου εὐφημήσουσι.» Τούτων δὲ τῶν ὀρέων μέμνηται διαφόρως ἡ τῆς Παλαιᾶς Διαθήκης ἱστορία· καὶ οἶμαί γε ἐν τούτοις τοῖς ὄρεσι τὰς παραδόξους τοῦ Σωτῆρος ἡμῶν γεγονέναι μεταμορφώσεις, καὶ τὰς πλείους διατριβάς, ὅτε σὺν ἀνθρώποις ἐπολιτεύετο. Εἰ δὲ καὶ τῶν ὀνομάτων ἡ ἑρμηνεία συμβάλλεταί τι ἡμῶν εἰς τὴν τῶν προκειμένων διάνοιαν, καὶ αὐτὸς ἐπιστήσεις.

Στίχ. ιδ', ιε'. «Σὸς ὁ βραχίων μετὰ δυναστείας· κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος καὶ ἀλήθεια προπορεύσεται πρὸ προσώπου σου.»

Καὶ ταῦτα εἰς τὴν τοῦ Μονογενοῦς τοῦ Θεοῦ δοξολογίαν παρείληπται, ἅπερ σαφέστερον ὁ Ἀκύλας ἡρμήνευσε, τοῦτον ἀποδοὺς τὸν τρόπον· «Σὸς ὁ βραχίων μετὰ δυναστείας· ἀήττητος ἡ χείρ σου, ὑψηλὴ ἡ δεξιά σου· δικαιοσύνη καὶ κρῖμα βάσις τοῦ θρόνου σου.» Καὶ ταύτας δὲ ἀναγκαίως τὰς θεοπρεπεῖς ἀρετὰς ἐν τῇ θεολογίᾳ παρείληφε διὰ τὰς τοῦ Θεοῦ πρὸς τὸν Δαυῒδ ἐπαγγελίας. Οὐδὲν γάρ, φησίν, ἀντιστήσεται σοῦ τῇ βουλῇ· μετὰ γὰρ τοῦ θέλειν καὶ τὸ δύνασθαί σοι οἷα Θεῷ καὶ δεσπότῃ τῶν ὅλων πάρεστι. Καὶ γὰρ βραχίων σοί ἐστι μέγας καὶ δυναστεία καὶ ἀρχὴ τῶν πάντων, κεκραταιωμένη τε χεὶρ καὶ ὑψηλοτάτη δεξιά, ὅ τε θρόνος τῆς σῆς βασιλείας, ὥσπερ οἱ τῶν ἐπὶ γῆς βασιλευόντων θρόνοι ἐξ ὕλης τιμίας πεποίηνται, καὶ αὐτὸς οὗτος ἐκ τῶν πρεπόντων σοι τῷ Θεῷ κατεσκεύασται. Ἀρεταὶ

γοῦν θεοπρεπεῖς, δικαιοσύνη καὶ κρῖμα, τὸν σὸν κατακοσμοῦσι θρόνον. Διόπερ τοσούτων αὐτῶν παρὰ σοὶ τῷ Θεῷ δυνάμεων, ὁμαλῶς καὶ ἀκωλύτως ἡ ἀλήθεια τῶν σῶν ἐπαγγελιῶν προτρέχει, μηδενὸς παραποδίζειν δυναμένου τὰς σὰς ἀποφάσεις, ἃς ὤμοσας τῷ Δαυῒδ ἐλέῳ καὶ χάριτι τὰς ἐκτεθείσας ἐπαγγελίας πρὸς αὐτὸν πεποιημένος. Ἀντὶ δὲ τοῦ, «Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σου», κατὰ τὸν Ἀκύλαν, «Δικαιοσύνη καὶ κρῖμα τὸ ἕδρανον τοῦ θρόνου αὐτοῦ», εἴρηται· ὁ δὲ Σύμμαχος «τὴν βάσιν» αὐτὴν εἶναί φησι τὴν δικαιοσύνην καὶ τὸ κρῖμα. Τῆς γε μὴν δικαιοσύνης καὶ τοῦ κρίματος μετὰ δικαιοσύνης ἐκφερομένου, προτρέχει ἔλεος καὶ ἡ ἀλήθεια. Τῷ γοῦν ἐλέῳ τὴν δικαιοσύνην ἀνακιρνάς, πρᾳοτέρας ποιεῖται τὰς κατὰ τῶν ἡμαρτηκότων ἀπειλάς· ἄλλως γὰρ ἄκρατον αὐτοῦ τὴν δικαιοσύνην οὐκ ἄν τις ἀνθρώπων ὑπομείνειεν.

Στίχ. ιϛ', ιθ'. «Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν, καὶ ἐν τῇ δικαιοσύνῃ σου ὑψωθήσονται. Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ, καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν. Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις ἡμῶν καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν.»

Νοήσεις τε καὶ ἄλλως τὸν ἀλαλαγμὸν ἀπὸ τῶν κατὰ τοὺς καιροὺς τῶν πολέμων ἀλαλαζόντων στρατιωτῶν καὶ φόβον ἐμποιούντων τοῖς ἐχθροῖς διὰ τῆς μείζονος βοῆς καὶ τῆς κατὰ ταύτην συμφωνίας. Ὁ δὲ θεῖος Ἀπόστολος τὰς ἐν ἁγίῳ Πνεύματι εὐχάς, τὰς μὴ διὰ γεγωνοῦ βοῆς, ἀλλὰ ἐν δυνάμει Πνεύματος ἀναπεμπομένας, τοιαύτας εἶναι διδάσκει λέγων· «Αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις.[1]» Οὕτω δὲ μέγας τίς ἐστι καὶ σπάνιος ὁ πολλάκις ὑπὸ τῶν Θείων Γραφῶν ὀνομαζόμενος ἀλαλαγμός, ὡς μακαρίζεσθαι τὸν ἐπιστήμονα τούτου, ὁμοίως τοῖς μακαριζομένοις ἐπὶ τοῖς ἄλλοις κατὰ Θεὸν κατορθώμασι. Διὸ ἐνταῦθα λέλεκται· «Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.» Ἐν ἑτέροις δὲ ὁ θεῖος λόγος θυσίαν εἶναι τὸν τοιοῦτον ἀλαλαγμὸν διδάσκει λέγων· «Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν ἀλαλαγμοῦ.[2]» Δοκεῖ δὴ οὖν μοι ἐνταῦθα τὸ θεῖον Πνεῦμα σαφῶς μακαρίζειν τὸν Χριστοῦ λαόν· οὗτος γάρ, γνῶσιν ἀνειληφὼς τῆς κατὰ τῶν πολεμίων τοῦ Σωτῆρος ἡμῶν νίκης, ἀλαλάζει κατὰ τῶν ἐχθρῶν, ὑπὲρ τοῦ οἰκείου βασιλέως τὸν ἀλαλαγμὸν ποιούμενος. Ἀλλὰ καὶ τὴν θυσίαν τὴν ἄναιμον λογικὴν μόνος οὗτος ὁ λαὸς δι' ἀλαλαγμοῦ εἴωθε προσφέρειν τῷ Θεῷ, διὰ τοῦ σύμφωνον ἀναπέμπειν τῷ Θεῷ εὐχαριστίαν ἐν ταῖς πενυματικαῖς ἱερουργίαις καὶ ταῖς κατὰ τὴν Καινὴν Διαθήκην ἐπιτελουμέναις ἡμῖν λατρείαις, ταῖς τε ἀναίμοις καὶ ἀΰλοις καὶ πνευματικαῖς θυσίαις. Ἀντὶ δὲ τοῦ, «Ὁ γινώσκων ἀλαλαγμόν», «Ὁ γινώσκων σημασίαν», ὁ Σύμμαχος ἡρ-

---

1. Ῥωμ. 8, 26. 2. Ψαλμ. 26, 6.

μήνευσε. Διὰ τί δὲ μακάριός ἐστιν οὗτος ὁ Χριστοῦ λαὸς ὁ τὸν εἰρημένον ἀλαλαγμὸν ἐπιστάμενος, ἀλλ' ἢ ἐπειδήπερ τὴν θεότητα τοῦ Σωτῆρος ἐπιγινώσκων, ἥτις ὠνόμασται πρόσωπον αὐτοῦ, τῷ φωτὶ τοῦ προσώπου αὐτοῦ καταυγαζόμενος, τὴν ἑαυτοῦ ποιεῖται πορείαν λέγων, «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε·[1]» καί, «Ἐν τῷ φωτί σου ὀψόμεθα τὸ φῶς;[2]» Καὶ διὰ τοῦτο γοῦν μακάριός ἐστιν οὗτος ὁ λαός. Καὶ τρίτον ἐπεὶ μὴ ἀρκούμενος τῷ διὰ τῆς γνώσεως τοῦ Χριστοῦ φωτίζεσθαι, ἔτι καὶ τῷ ὀνόματι αὐτοῦ σεμνυνόμενος, καὶ Χριστιανὸς ἐξ αὐτοῦ καλούμενος, χαίρει καὶ ἀγαλλιᾷ ὅλην τὴν ἡμέραν, μᾶλλον δὲ πᾶσαν ἡμέραν· οὕτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσε· καὶ διὰ τοῦτο γοῦν ἐστι μακάριος. Καὶ τέταρτον ἐπειδὴ εἰς μέγεθος καὶ ὕψος ἐπιδοὺς τῇ τοῦ Θεοῦ δικαιοσύνῃ ὑψοῦται, δίκαιον εἶναι κρίναντος τοῦ Θεοῦ εἰς ὕψος ἄγειν καὶ ἐπὶ μέγα δόξης τὸν ἐπιστήμονα τοῦ εἰρημένου ἀλαλαγμοῦ λαόν, καὶ τὸν ὑπὸ τοῦ προσώπου τοῦ Σωτῆρος φωτιζόμενον, καὶ τὸν ἐν ὀνόματι αὐτοῦ ἀγαλλόμενον, καὶ τὸν ἐγκαυχώμενον, ἀλλ' οὐκ ἐπὶ τοῖς ἰδίοις κατορθώμασιν.

Ἀναγκαίως δὲ καὶ τοῦ δηλωθέντος μνήμην ὁ λόγος ἐποιήσατο, θεσπίζων τὸ κατόρθωμα τῆς εἰς ἀνθρώπους τοῦ Χριστοῦ παρουσίας. Μέλλων γοῦν τὴν γένεσιν διδάσκειν τοῦ ἐκ σπέρματος Δαυῒδ προελευσομένου, καὶ τὴν καταστροφὴν τῶν παρὰ Ἰουδαίων σεμνῶν προαγορεύειν, δι' ἣν καὶ ἀπορῶν ἐπιλέγει, «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε;» ἀναγκαίως περὶ μὲν τοῦ ἐπαληθεύσειν ἐξ ἅπαντος τὰς πρὸς τὸν Δαυῒδ τοῦ Θεοῦ ἐπαγγελίας τὰς προειρημένας ἐποιήσατο διδασκαλίας. Ἐπεὶ δὲ ἐχρῆν προμαθεῖν ἡμᾶς καὶ ποίῳ λαῷ ἡ χάρις τῆς τοῦ Σωτῆρος εὐεργεσίας ἐταμιεύετο, ἀκολούθως ἐμνημόνευσεν οὐ τοῦ Ἰσραήλ, οὐδὲ τοῦ Ἰουδαίων ἔθνους, ἀλλὰ τοῦ λαοῦ τοῦ γινώσκοντος ἀλαλαγμόν· καὶ τοῦτον εἰκότως τὸν λαὸν ἐμακάρισε, πλεῖστα αὐτῷ ἀγαθὰ ἐπαγγειλάμενος. Διὰ γὰρ τὸ εἰδέναι ἀλαλαγμόν, πρῶτον μὲν ἐν τῷ φωτὶ τοῦ προσώπου τοῦ Θεοῦ πορεύσονται, ἔπειτα ἐν τῷ ὀνόματι αὐτοῦ ἀγαλλιάσονται καθ' ἑκάστην ἡμέραν· καὶ τρίτον ἐν τῇ δικαιοσύνῃ αὐτοῦ ὑψωθήσονται· καὶ τέταρτον καύχημα τῆς δυνάμεως αὐτῶν ἔσται αὐτὸς ὁ Κύριος. Ἐπειδὴ γὰρ κραταιὸς καὶ δυνατὸς τυγχάνει ὁ λαὸς οὗτος, ἅτε ἐπὶ τὴν πέτραν ᾠκοδομημένος, ὡς μήτε πύλας ᾅδου κατισχύειν αὐτοῦ· εἰκότως καυχήσεται, ἀλλ' οὐκ ἐπὶ τῇ οἰκείᾳ δυνάμει, ἀλλ' ἐπὶ τῷ τεθεμελιωκότι αὐτὸν ἐπὶ τὴν πέτραν Κυρίῳ. Διὰ δὲ ταῦτα πάντα «μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.» Καὶ ἡμῶν δὲ αὐτῶν τῶν ταῦτα θεσπιζόντων διὰ τοῦ Πνεύματος προφητῶν τὸ κέρας ὑψωθήσεται. Ποῖον δὲ κέρας ἢ τὸ μέλλον ἐκ σπέρματος Δαυῒδ κατὰ τὴν σήν, ὦ Κύριε, ἐπαγγελίαν προελεύσεσθαι; Καὶ τοῦτο γὰρ τὸ κέρας ἡμῶν, ἐν ᾧ τοὺς ἐχθροὺς ἡμῶν κερα-

1. Ψαλμ. 4, 7. 2. Ψαλμ. 35, 10.

τιοῦμεν, ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται, σοῦ τοῦ Ἁγίου Ἰσραήλ, τοῦ βασιλέως ἡμῶν, ἀντιλαμβανομένου τῆς τούτου τοῦ κέρως γενέσεως. Εἶεν δ' ἂν αὗται φωναὶ προφητικαὶ ἐξ οἰκείου προσώπου τὰ προκείμενα ἀναφωνοῦσαι, κέρας τε αὐτῶν ὁμολογοῦσαι εἶναι τὸν κατὰ σάρκα φανησόμενον Χριστὸν τοῦ Θεοῦ.

Στίχ. κα΄-κε΄. «Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου, καὶ εἶπας· Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν· ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. Εὗρον Δαυῒδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ κακώσει αὐτόν. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ, καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.»

Ἅπαξ διὰ τῶν ἔμπροσθεν μνημονεύσας ὁ λόγος τοῦ κέρως ἐν οἷς ἔφη· «Ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν», ἀναγκαίως προϊὼν διδάσκει τί ποτε ἦν τοῦτο τὸ κέρας, καὶ πόθεν ἥξει, καὶ πῶς ὑψωθήσεται. Διό φησιν· «Ὅτι τοῦ Κυρίου ἐστὶν ἡ ἀντίληψις», ἡ τοῦ κέρως δηλονότι. Κυρίου δὲ ποίου, ἢ τοῦ Ἁγίου Ἰσραὴλ τοῦ βασιλέως ἡμῶν; Αὐτὸς γὰρ ὁ Κύριος καὶ ὁ Ἅγιος τοῦ Ἰσραὴλ βασιλεύς, ὁ τοῦ Θεοῦ Λόγος, ἀντίληψις ἔσται τοῦ κέρως ἡμῶν καθ' ἃς πεποίηται ἐπαγγελίας, ὁπηνίκα λαλεῖ διὰ τῶν προφητῶν περὶ τοῦ μέλλοντος ἐκ σπέρματος Δαυῒδ προελεύσεσθαι. Ὅτε γάρ, φησίν, ἐλάλησας ἐν ὁράσει τοῖς ἁγίοις σου, τά τε προκείμενα ἐπηγγείλω σύ, ὦ Θεός, διὰ τῶν σεαυτοῦ υἱῶν τῶν προφητῶν, οἷς τὰς ὁράσεις τῶν μελλόντων ἀπεκάλυπτες· δι' αὐτῶν γὰρ καὶ ποιούμενος τὰς ἐπαγγελίας τὰς πρὸς τὸν Δαυῒδ, τούτοις ἐχρήσω τοῖς λόγοις· «Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν· ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.» Ἀνθ' ὧν ὁ Σύμμαχος τοῦτον ἡρμήνευσε τὸν τρόπον· «Ἐπέθηκα ἀντίληψιν ἀνδρῶν, ὕψωσα ἐπίλεκτον ἀπὸ τοῦ λαοῦ μου. Εὗρον Δαυῒδ τὸν δοῦλόν μου», καὶ τὰ ἑξῆς τοῖς Ἑβδομήκοντα παραπλησίως· ὧν ἡ διάνοια τοῦτον ἔχει τὸν τρόπον· Πολλὰ ζητήσας ἐν ἀνθρώποις ἄξιον εὑρεῖν ἐμαυτοῦ, μόλις ποτὲ εὗρον τὸν δοῦλόν μου Δαυῒδ, τὸν δι' ὑπερβολὴν εὐσεβείας οἶκον ἐπὶ γῆς εὐκτήριον ἐμοὶ δείμασθαι μόνον τῶν ἐξ αἰῶνος διανενοημένον. Διόπερ ἀμοιβὴν αὐτῷ τῆς ἀγαθῆς καὶ εὐσεβοῦς προαιρέσεως δωρούμενος, ἀνθ' οὗ διανενόηται οἴκου, αὐτὸς ἐμαυτῷ νεὼν πανάγιον ἐκ σπέρματος αὐτοῦ κατασκευάσω. Νεὼς γὰρ ἦν ὁ ἐκ σπέρματος Δαυῒδ γεγονὼς ἄνθρωπος τοῦ κατασκηνώσαντος ἐν αὐτῷ Θεοῦ Λόγου. Ὃ δὴ καὶ αὐτὸς ὁ Σωτὴρ ἐδίδασκε περὶ τοῦ ἰδίου σώματος λέγων· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.[1]» Καὶ σφόδρα γε καταλλήλως τῇ τοῦ Δαυῒδ ἐπαγγελίᾳ καὶ ὁ Θεὸς τὴν πρὸς αὐτὸν ἀμοιβὴν ἐποιήσατο. Ἐπειδὴ τοίνυν, φησίν, ἐπιτήδειον

1. Ἰω. 2, 19.

εὗρον καὶ ἄξιον τῶν ἐμῶν ἐπαγγελιῶν τὸν Δαυΐδ, διὰ τοῦτο κατηξίωσα αὐτὸν τῆς ἐμῆς βοηθείας, ἐκλεκτὸν αὐτὸν ἀποφήνας, καὶ ὑπὲρ πάντα τὸν λαὸν ἀνυψώσας. Καὶ ἔτι πρὸς τούτοις ἐπειδὴ πολλὰ ζητήσας, μόνον αὐτὸν εὗρον ἄξιον τῶν ἐμῶν ἐπαγγελιῶν, καὶ εὑρὼν κατηξίωσα χρίσεως τοῦ ἁγίου μου ἐλαίου, δι' οὗ καὶ Χριστὸν αὐτὸν ἀπειργασάμην, καὶ ταῦτα αὐτῷ δωρήσασθαι ἐπαγγέλλομαι· «Ἡ δεξιά μου βεβαίως συνέσται αὐτῷ, καὶ ὁ βραχίων μου στερεώσει αὐτόν. Οὐκ ἐξαπατήσει αὐτὸν ἐχθρός, οὐδὲ υἱὸς ἀδικίας κακώσει αὐτόν. Ἀλλὰ καὶ συγκόψω ἀπὸ ἔμπροσθεν αὐτοῦ τοὺς μισοῦντας αὐτόν, καὶ τοὺς κακοποιοῦντας αὐτὸν πατάξω· ἡ δὲ βεβαίωσις καὶ ἡ χάρις μου συνέσται αὐτῷ.» Καὶ ταῦτα μὲν αὐτῷ πάντα ἔσται κατὰ τὴν τοῦ Συμμάχου ἑρμηνείαν· κατὰ δὲ τοὺς Ἑβδομήκοντα· «Ἡ χείρ μου», φησί, «συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ κακώσει αὐτόν. Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ, καὶ τοὺς μισοῦντας αὐτὸν τροπώσομαι. Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ· καὶ τέλος μετὰ ταῦτα πάντα, ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.»

Τοῦτο δὲ τὸ κέρας αὐτοῦ τὸ μέλλον ἐξ αὐτοῦ προελεύσεσθαι, καὶ ὁ νεὼς ὁ ἐκ σπέρματος αὐτοῦ μέλλων μοι κατασκευάζεσθαι· ὅπερ κέρας αὐτοῦ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται· καταξιωθήσεται γὰρ τοῦ ἐμοῦ ὀνόματος καὶ τῆς ἐμῆς προσηγορίας. Χρηματίσει γοῦν καὶ αὐτὸ τοῖς ἐμοῖς χρηματισμοῖς, καὶ διὰ τῶν ἐμῶν προσηγοριῶν παρὰ τοῖς πᾶσιν ὑψωθήσεται. Διὸ καὶ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο, «Καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν.» Ἀλλ' ὁ μὲν τῶν προφητῶν χορὸς πρὸς τὸν Θεὸν ἀνεφώνει πρότερον λέγων, «Καὶ ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν·» αὐτὸς δὲ νῦν ὁ Θεὸς τὰς ἐπαγγελίας περὶ τοῦ Δαυΐδ ποιούμενος, ἐπισφράγισμα πάντων προστίθησι καὶ τό, «Ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ», τὸν ἐξ αὐτοῦ προελευσόμενον Χριστὸν δηλώσας, κέρας οὐ μόνον καὶ προφητῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ Δαυΐδ ὠνομασμένον· περὶ οὗ ἑξῆς ἐπιλέγει· «Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ, Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου· κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ Διαθήκη μου πιστὴ αὐτῷ.» Εἴ τις ἀκριβῶς ἐπιστήσειε τῇ τῶν λεγομένων διανοίᾳ, εὕροι ἂν ταῦτα οὐ περὶ τοῦ Δαυΐδ, ἀλλὰ περὶ τοῦ προελευσομένου ἐξ αὐτοῦ κέρως προφητευόμενα. Εἰπὼν γὰρ ὁ λόγος, «Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ», ἐπισυνάπτει περὶ τοῦ κέρως, καὶ λέγει· «Θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ», δῆλον δ' ὅτι τοῦ κέρως, καὶ τὰ ἑξῆς· καὶ ἁρμόζει γε ἐντεῦθεν πάντα ἐπὶ τὸν Χριστὸν τὸν ἐκ σπέρματος Δαυΐδ γενησόμενον ἀναφέρεσθαι. Εἰ γοῦν τις μὴ τοῦτον ἐκλάβοι τὸν τρόπον, ἀλλ' ἐπὶ

τὸν Δαυῒδ ἀνάγοι τὰ προκείμενα, ἀσύστατος εἴη ἂν αὐτῷ ὁ λόγος. Πῶς γὰρ τοῦ Δαυῒδ ἐν θαλάσσῃ ἔταξεν ὁ Θεὸς τὴν χεῖρα καὶ ἐν ποταμοῖς τὴν δεξιάν, ὁ βουλόμενος ἑρμηνευέτω. Οὐδὲ γὰρ ἐκράτησεν ὁ Δαυῒδ τῆς παράλου χώρας. Ἢ πῶς περὶ τοῦ Δαυῒδ λέγοιτ' ἂν τό, «Αὐτὸς ἐπικαλέσεταί με· Πατήρ μου εἶ σύ· κἀγὼ πρωτότοκον θήσομαι αὐτόν;» Ἀντὶ τίνος γὰρ μᾶλλον τοῦ Ἀβραάμ, ἢ τοῦ Ἰσαάκ, ἢ τοῦ Ἰσραήλ, ἢ αὐτοῦ Μωσέως, ἢ τοῦ Ἠλία, ἢ τῶν ἄλλων δικαίων τε καὶ προφητῶν, πρωτότοκος τοῦ Θεοῦ νομισθείη ἂν ὁ Δαυῒδ; Πῶς δὲ ἀληθεύσει περὶ αὐτοῦ φάσκων ὁ Θεός, «Θήσομαι αὐτὸν ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς;» Πότ' οὖν ὁ Δαυῒδ παρὰ Πέρσαις φέρε, ἢ Σκύθαις, ἢ Ἰνδοῖς, ἢ Αἰθίοψιν, ἢ Μαύροις, ἢ Σπανοῖς, ἢ Βρετανοῖς, ἢ παρὰ τοῖς λοιποῖς τῶν ἐθνῶν βασιλεῦσιν ὑψώθη; Εἰ δὲ ἐκλάβοις ταῦτα ἐπὶ τὸν ἐκ σπέρματος αὐτοῦ γεγονότα, βεβαιότατα καὶ κυριώτατα εὕροις ἂν ἐφαρμόζοντα αὐτῷ τὰ λεγόμενα.

Μαρτυρεῖ δὲ τῇ τῆς προφητείας ἐκβάσει καὶ τὸ Εὐαγγέλιον, ἐν ᾧ κατὰ τὸν Λουκᾶν Ζαχαρίας ὁ τοῦ Ἰωάννου πατὴρ προφητικῇ δυνάμει καὶ αὐτὸς κέρας αὐτὸν ὠνόμασε. Λέγει δ' οὖν ὁ εὐαγγελιστής· «Καὶ Ζαχαρίας ἐπλήσθη Πνεύματος ἁγίου, καὶ προεφήτευσε λέγων· Εὐλογητὸς ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τοῦ λαοῦ αὐτοῦ. Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαυῒδ τοῦ παιδὸς αὐτοῦ. Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων ἀπ' αἰῶνος προφητῶν αὐτοῦ.[1]» Κέρας δὲ κυρίως ὠνόμασται ὁ Χριστὸς τοῦ Θεοῦ. Διὸ καὶ μονόκερως εἴρηται κατὰ τὴν φάσκουσαν Γραφήν· «Καὶ ἠγαπημένος ὡς υἱὸς μονοκερώτων·[2]» ἐπείπερ δι' αὐτοῦ πᾶσα ἡ ἀντικειμένη καὶ ἐχθρὰ τοῦ Θεοῦ δύναμις ἐνετράπη κερατισθεῖσα καὶ κεραϊσθεῖσα. Μόνος γοῦν ὡς ἀληθῶς τῶν γενομένων τοῦ Δαυῒδ διαδόχων Ἰησοῦς Χριστὸς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ἐκ σπέρματος αὐτοῦ προελθὼν τῷ κέρατι τῆς ἐν αὐτῷ θεότητος, πᾶσαν τὴν δαιμονικὴν καὶ εἰδωλικὴν ἀνατρέψας καθεῖλε πλάνην. Διὸ καὶ κέρας εἰκότως καὶ μονόκερως ἐν τοῖς ἱεροῖς ὠνόμασται λόγοις. Αὐτοῦ δέ, καὶ οὐδὲ ἄλλου, ἡ χεὶρ καὶ ἡ δεξιὰ κατεκυρίευσε τῆς οἰκουμένης πάσης, ἐν ποταμοῖς καὶ θαλάσσαις· ἐπεὶ καὶ τὰς νήσους τῶν ἐθνῶν ἐπλήρωσεν ἡ διδασκαλία αὐτοῦ καὶ πανταχοῦ γῆς Κύριον αὐτὸν καὶ Θεὸν καὶ βασιλέα, πᾶν γένος ἀνθρώπων ἀναγορεύει. Ὅμοιον δέ ἐστι τὸ ἐνταῦθα φάσκον, «Θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ», τῷ ἐν οα' ψαλμῷ αὖθις περὶ αὐτοῦ λέγοντι· «Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως τῶν περάτων τῆς οἰκουμένης.» Ἀρξάμενος οὖν ὁ Σωτὴρ ἀπὸ τοῦ βαπτίσματος τοῦ κατὰ τὸν Ἰορδάνην ποταμοῦ τὴν βασιλείαν τοῦ Θεοῦ κηρύττειν, τὴν πᾶσαν ἐπλήρωσεν οἰκουμένην. Καὶ ἐν Ζαχαρίᾳ δὲ τῷ προφήτῃ λέλεκται· «Χαῖρε καὶ εὐφραίνου, θύγατερ

1. Λουκ. 1, 67, 70. 2. Ψαλμ. 28, 6.

Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμῶν δι' ἐκβολὰς γῆς.[1]» Ἀνθ' οὗ τὸ Ἑβραϊκὸν περιέχει, «Καὶ ἀπὸ ποταμῶν ἕως τῶν περάτων τῆς γῆς.» Εἴποι δ' ἄν τις ἀπορρητότερον καὶ ἄλλως διὰ τούτων, τὴν μὲν δεξιὰν αὐτοῦ ἐν ποταμοῖς λέγεσθαι, διὰ τὸ πάντας τοὺς ἐκ δεξιῶν αὐτοῦ διὰ λουτροῦ παλιγγενεσίας καθαίρεσθαι, καὶ τῆς ἐνθέου ἀναγεννήσεως διὰ τῆς τοῦ ἁγίου Πνεύματος ἐπιρροῆς καταξιοῦσθαι· δεξιοὺς αὐτοῦ νοεῖν ἐδιδάχθημεν ἐκείνους, οἷς ἐπηγγείλατο φήσας· «Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. Ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν[2]», καὶ τὰ ἑξῆς. Τούτους γάρ, οὓς πρόβατα ἑαυτοῦ ὠνόμασε, τοῖς δεξιοῖς στήσειν ἐπηγγείλατο· διόπερ κατὰ βαθύτερον λόγον καὶ ἀπορρητότερον, ἡ δεξιὰ αὐτοῦ λέλεκται ἐν ποταμοῖς ἔσεσθαι. Ποταμοὶ δὲ αὐτοῦ εἴρηνται καὶ οἱ λαοὶ αὐτοῦ κατὰ τό, «Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό·[3]» Καὶ πάλιν· «Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὴν αὐτῶν· ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν.[4]» Καὶ ἐπὶ τούτους γὰρ τοὺς ἑαυτοῦ ποταμοὺς τὴν δεξιὰν αὐτοῦ θήσειν ἐπαγγέλλεται.

Τὴν δὲ ἑτέραν αὐτοῦ χεῖρα, ἣν καταλέλοιπεν ἡμῖν νοεῖν ἀριστερὰν οὖσαν, θήσειν ἐν θαλάσσῃ φησὶν ἐν τοῖς ἁλμυροῖς τοῦ βίου κύμασιν· ἔνθα καὶ ὁ δράκων τὰς ἑαυτοῦ ποιεῖται διατριβάς, κατὰ τό, «Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· δράκων οὗτος ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.[5]» Ἐπὶ τούτων γὰρ τῶν δρακόντων καὶ τῆς οὕτω νοηθείσης θαλάσσης, οὐχ ἡ δεξιά, ἀλλ' ἡ ἑτέρα παρὰ τὴν δεξιὰν ἐπιτεθήσεται χείρ, κολάζουσα καὶ τιμωροῦσα τοὺς ἐχθρούς, καὶ ταπεινοῦσα αὐτούς. Αὐτὸς δὲ οὗτος ὁ δηλούμενος (δῆλον δ' ὅτι κέρας Δαυΐδ), ὁ ἐκ σπέρματος αὐτοῦ γενηθησόμενος, πατέρα ἐπικαλέσεται τὸν Θεόν, ἅτε κατηξιωμένος τῆς ἐν αὐτῷ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ κατοικήσεως, συναφείας τε καὶ ἑνώσεως τῆς πρὸς αὐτόν. Διὸ καὶ αὐτὸς ὁ Θεὸς Λόγος, ὁ Πρωτότοκος πάσης κτίσεως, προεπαγγειλάμενος καὶ εἰπών, «Ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ», τῆς οἰκείας ὀνομασίας καὶ τοῦ οἰκείου ἀξιώματος μεταδοὺς τῷ ἐκ σπέρματος Δαυΐδ προελευσομένῳ, πρωτότοκον αὐτὸν θήσεται, ὅπως καὶ αὐτὸς ὁ κατὰ σάρκα ἐκ σπέρματος Δαυΐδ γεννηθεὶς χρηματίσῃ Υἱὸς Θεοῦ, καὶ ὀνομασθείη Πρωτότοκος διὰ τὴν συνάφειαν τὴν πρὸς τὸν Μονογενῆ τοῦ Θεοῦ. Ταῦτα γὰρ ἦν, δι' ὧν ὑψωθήσεσθαι αὐτὸν ἐπηγγείλατο, εἰπών· «Ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ.» Τὸ γὰρ ἴδιον ὄνομα ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς τῷ κατὰ σάρκα υἱῷ Δαυΐδ ἐπιτέθεικε, Πρωτότοκον καὶ Θεοῦ Υἱὸν καὶ αὐτὸν ἀναγορεύσας. Τοῦτον

1. Ζαχ. 9, 9. 2. Ματθ. 25, 34 ἑξ. 3. Ψαλμ. 97, 8. 4. Ψαλμ. 92, 3. 5. Ψαλμ. 103, 25.

δὲ καὶ ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς θήσεσθαι ἐπηγγείλατο· ἢ κατὰ τὸν Σύμμαχον, «Ἀνώτατον τῶν βασιλέων τῆς γῆς.» Πάντων γὰρ τῶν μελλόντων αὐτὸν καταπολεμεῖν ἀνώτερος καὶ κρείττων γεγένηται· θραύων μὲν τὰς κατὰ τῆς Ἐκκλησίας αὐτοῦ ἐπαναστάσεις καὶ τοὺς διωγμούς, δοξάζων δὲ καὶ ἰσχυροποιῶν τὸν τῆς διδασκαλίας αὐτοῦ λόγον. Ἀλλὰ καὶ εἰς τὸν αἰῶνα φυλάξειν αὐτῷ φησι τὸ ἔλεος αὐτοῦ, καὶ τὴν Διαθήκην αὐτοῦ πιστοποιήσειν αὐτῷ· πάντως που τὴν Καινὴν Διαθήκην, ἣν πᾶσι τοῖς καθ' ὅλης τῆς οἰκουμένης ἔθνεσιν ἐκήρυξεν, ἀντὶ τῆς παρὰ Μωσεῖ διαθήκης τὸ Εὐαγγέλιον παρασχών, ὅπερ πιστώσεσθαι καὶ βεβαιώσειν ἐπηγγείλατο.

Στίχ. λ'-λε'. «Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσι, καὶ τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν. Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ, οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. Οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου, καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω.»

Τὰ μὲν εἰρημένα περὶ τοῦ κέρως διὰ τῶν ἔμπροσθεν πεπλήρωται. Ἐδείκνυτο δὲ κέρας οὐκ ἀλλότριον τοῦ ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα γεννηθέντος Χριστοῦ. Τούτου δ' οὖν, ἀκολούθως μετὰ τὰ περὶ αὐτοῦ τεθεσπισμένα, τὴν διαδοχὴν διὰ τῶν προκειμένων, ὁποία τίς ἐστι, παρίστησι φάσκων· Οὐχ ἁπλῶς εἰς ἕνα μόνον τὸν παρόντα αἰῶνα, ἀλλὰ καὶ εἰς τὸν μετέπειτα αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα δηλωθέντος κέρως θήσομαι· καὶ τὸν θρόνον αὐτοῦ οὐ πρὸς ὀλίγας ἡμέρας, οὐδὲ εἰς ἐτῶν περιόδους βραχείας φυλάξω, ἀλλὰ ταῖς ἡμέραις τοῦ οὐρανοῦ συμπαρεκτείνεσθαι ποιήσω. Καὶ ὁ Σύμμαχος δὲ οὕτως ἡρμήνευσεν εἰπών· «Καὶ ποιήσω διηνεκὲς τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ἐφ' ὅσον αἱ ἡμέραι τοῦ οὐρανοῦ.» Σπέρμα δὲ τοῦ Χριστοῦ τί χρὴ νοεῖν ἢ τὰς καθ' ὅλης τῆς οἰκουμένης συνεστώσας ἐξ αὐτοῦ Ἐκκλησίας, καὶ τοὺς ἐν πᾶσι τοῖς ἔθνεσιν ἀναγεννηθέντας αὐτῷ λαούς; θρόνος δὲ αὐτοῦ τυγχάνει ὁ κατὰ τὴν Ἐκκλησίαν αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης διὰ τῶν ἐξ αὐτοῦ κατὰ διαδοχὴν προέδρων ἱδρυμένος· ὅντινα θρόνον διαμένειν φησὶν ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ· οὐχ ὁμοίως τῷ Ἰουδαίων βασιλικῷ θρόνῳ, ὃς ἐπ' ὀλίγῳ διαρκέσας, ἀπεσβέσθη, ἐγγύς που φυλαχθεὶς τετρακοσίοις μόνοις ἔτεσι, τοῖς ἀπὸ τοῦ Δαυῒδ καὶ ἐπὶ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν. Οὗτος δὲ ὁ παρὼν θρόνος, ὁ διὰ τῶν προκειμένων θεσπιζόμενος τῶν τῆς Ἐκκλησίας προέδρων, διαμενεῖ καὶ φυλαχθήσεται ὁμοίως ταῖς ἡμέραις τοῦ οὐρανοῦ. Εἰ δὲ συμβαίη ποτὲ πλημμελεῖν τὸν λαὸν καὶ τοὺς υἱοὺς τοῦ προφητευομένου, λέγω δὲ τοὺς διαδόχους αὐτοῦ, πειραθήσεσθαι μὲν αὐτοὺς ἐπιστροφῆς τῆς διὰ τῶν διωγμῶν φησι, μὴ μὴν ἐκπεσεῖσθαί ποτε τῶν θρόνων, μηδὲ στερηθήσεσθαι τοῦ ἐλέους τοῦ Θεοῦ. Ἐὰν

γὰρ τάδε καὶ τάδε πράξωσιν οἱ υἱοὶ αὐτοῦ, δῆλον δ' ὅτι τοῦ Χριστοῦ, τάδε ἔσεσθαι αὐτοῖς φησιν· «Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν», δηλαδὴ τῶν υἱῶν, «καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ.» Καὶ πρόσχες, ὅτι μὴ εἴρηται, «ἀπ' αὐτῶν», ἀλλ', «ἀπ' αὐτοῦ», δῆλον ὅτι τοῦ προφητευομένου, καίτοι τῶν ἀνωτέρω πληθυντικῶς εἰρημένων, κατὰ τό, «Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν.» Τίνων δὲ αὐτῶν, ἢ δηλονότι τῶν τοῦ κέρως υἱῶν; Ἐν δὲ τῷ, «τὸ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτοῦ», περὶ ἑνὸς λέλεκται, ἤτοι τοῦ θρόνου ἢ τοῦ κέρως τοῦ προφητευομένου. Καὶ ἐπιλέγει ἑξῆς· «Οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου», δῆλον ὅτι τὴν νέαν καὶ καινήν, περὶ ἧς ἀνωτέρω ἔφησε τό, «Καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.» Καὶ πάλιν ἐπισφραγίζεται τοῦ λόγου τὴν ἀλήθειαν εἰπών· «Οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου, οὐδὲ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω·» ἀλλὰ πιστὰ καὶ ἀληθῆ, φησί, ποιήσω τὰ ἐπηγγελμένα, ἐπιθεὶς τοῖς λόγοις ἔργα δι' αὐτῶν τῶν ἀποτελεσμάτων.

Καὶ τὰ μὲν τῶν πρὸς τὸν Δαυῒδ ἐπαγγελιῶν τῶν περὶ τοῦ κέρως καὶ τοῦ θρόνου αὐτοῦ, περί τε τῶν ἐξ αὐτοῦ γενησομένων καὶ τῆς Καινῆς Διαθήκης αὐτοῦ τοσαῦτα. Ἐπεὶ δὲ ἐχρῆν τὰς τοιαύτας ἐπαγγελίας μὴ ἁπλῷ τινι καὶ ψιλῷ λόγῳ προενηνοχέναι νομίζειν, αὖθις ἐπαναλαμβάνει καὶ ἐπιδευτεροῖ τὸν λόγον, ὅρκῳ ἐπισφραγιζόμενος τὰ εἰρημένα εἰς βεβαίωσιν τῶν ἐπηγγελμένων. Διό φησιν· «Ἅπαξ ὤμοσα ἐν τῷ Ἁγίῳ μου, εἰ τῷ Δαυῒδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. Διάψαλμα.» Ἀψευδὴς μέν ἐστιν ὁ Θεός, καὶ ἀνωμότῳ χρώμενος τῇ ἐπαγγελίᾳ· ἐπεὶ δὲ ἐχρῆν ὡς πρὸς ἀνθρώπους διαλεγόμενον ἀνθρωπίνῃ χρήσασθαι συμπεριφορᾷ κατὰ τοὺς ἐν ἀνθρώποις εὐορκοῦντας, καὶ Θεοῦ μαρτυρίᾳ χρωμένους εἰς πίστωσιν τῶν οἰκείων λόγων· καὶ αὐτός φησιν ὀμωμοκέναι καὶ μὴ διαψεύσασθαι τοὺς ὅρκους, «Ἵνα διὰ δύο», φησὶν ὁ θεῖος Ἀπόστολος, «πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν.[1]» Εἴρηται δὲ καὶ ἄλλη αἰτία, δι' ἣν ὀμνὺς ὁ Θεὸς εἰσῆκται, κατὰ ἀμοιβὴν τῆς τοῦ Δαυῒδ μεθ' ὅρκου ἐπαγγελίας. Ὀμνύει δὲ ὁ Θεὸς κατὰ τοῦ Ἁγίου αὐτοῦ, ὡς ἂν καὶ πατὴρ εὐορκῶν κατὰ σωτηρίας υἱοῦ γνησίου καὶ ἀγαπητοῦ· τὸν αὐτὸν τρόπον κἀγώ, φησίν, «ὤμοσα ἐν τῷ Ἁγίῳ μου», τουτέστι κατὰ τοῦ Ἁγίου μου, «εἰ τῷ Δαυῒδ ψεύσομαι.» Τί δὲ περιεῖχεν ὁ ὅρκος; «Τὸ σπέρμα αὐτοῦ», φησίν, «εἰς τὸν αἰῶνα μένει.» Τοῦτο πρῶτον, καὶ αὕτη μὲν πρώτη ἐπαγγελία ἡ περὶ τοῦ σπέρματος· περὶ οὗ καὶ ἀνωτέρω ἐλέγετο· «Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ·» ἐδήλου

1. Ἑβρ. 6, 18.

δὲ τοῦ Χριστοῦ τὴν διαδοχήν. Δευτέρα δὲ ἐπαγγελία περὶ τοῦ θρόνου τοῦ προλεχθέντος· διὸ καὶ ἐπιλέγει· «Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.» Τὸ μὲν οὖν σπέρμα, τουτέστι τὸν τοῦ Χριστοῦ κατασπαρέντα λόγον, ἢ τὸν λαὸν αὐτοῦ καὶ τὴν Ἐκκλησίαν, οὔποτε διαφθαρήσεσθαί φησιν, οὐδὲ διαλείψειν· τὸν δὲ θρόνον αὐτοῦ διαμένειν εἰς τὸν αἰῶνα· ἢ κατὰ τὸν Σύμμαχον, «Ὡς ἡ μήνη ἑδραία αἰωνίως μενεῖ·» οὕτως ἔσται καὶ ὁ ἐκκλησιαστικὸς τοῦ Χριστοῦ θρόνος. Μήποτε δὲ προειπὼν ὁ λόγος, «Ἅπαξ ὤμοσα ἐν τῷ Ἁγίῳ μου», καὶ ἐπισυνάψας ἑξῆς, «Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει», τοῦ Ἁγίου αὐτοῦ τὸ σπέρμα κρατήσειν εἰς αἰῶνα θεσπίζει; ὡς εἶναι σπέρμα τοῦ Ἁγίου τοῦ Θεοῦ, δηλαδὴ τοῦ Μονογενοῦς τοῦ Θεοῦ, ἣν ἔσπειρεν ἐπὶ γῆς διδασκαλίαν, αὐτὸς γενόμενος αὐτῆς σπορεύς, κατὰ τὴν λεχθεῖσαν ὑπ' αὐτοῦ παραβολήν, δι' ἧς εἴρηται· «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι [1]», καὶ τὰ ἑξῆς. Καὶ ταῦτα μέν, φησίν, οὕτως ἔσται καὶ γενήσεται καὶ πιστωθήσεται. Ὁ γὰρ τούτων μάρτυς πιστός ἐστιν ὁ ἐν οὐρανῷ κατοικῶν Θεός. Συνίστησι δὲ τοῦ λόγου τὴν ἀλήθειαν τὸ διὰ τῶν ἔργων ἀποτέλεσμα· ὀφθαλμοῖς γὰρ ὁρῶμεν κέρως Δαυῒδ, τουτέστι τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ σπέρμα καὶ τὴν διαδοχήν· ἀλλὰ καὶ τοῦ Ἁγίου τοῦ Θεοῦ τοῦ μονογενοῦς αὐτοῦ Λόγου τὸ καταβληθὲν ἐπὶ γῆς οὐράνιον σπέρμα τῆς εὐαγγελικῆς διδασκαλίας διαιωνίζον· οὐ μὴν ἀλλὰ καὶ καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης, ἐν πᾶσιν ἔθνεσι, πόλεσί τε καὶ κώμαις καὶ χώραις ὁρῶμεν τὸν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ ἱδρυμένον θρόνον πληροῦντα τὸν σύμπαντα κόσμον. Εἰ δέ τις μὴ οὕτως, ἀλλὰ Ἰουδαϊκῶς ἐκλάβοι τὸν θρόνον, τὴν σωματικὴν βασιλείαν τοῦ Δαυῒδ λέγεσθαι νομίζων, ψευδεῖς ἐλεγχθήσονται αἱ προφητεῖαι. Μετὰ γὰρ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τοῦ Ἰουδαίων ἔθνους, οὐδεὶς εἰς τὸν θρόνον ἐκαθέσθη Δαυῒδ· ἐξ ἐκείνου δὲ καὶ εἰς δεῦρο, ἐγγύς που ἔτη τυγχάνει χίλια, ἐξ οὗ, καθαιρεθείσης τῆς βασιλείας αὐτοῦ, καὶ τῆς διαδοχῆς αὐτοῦ παυσαμένης, λέλυτο τοῦ Δαυῒδ ὁ θρόνος. Διὸ δὴ τὰ ἑξῆς τοῦ ψαλμοῦ αὐτὰ ταῦτα ἀποδύρεται, σαφῶς τοῦ σωματικοῦ θρόνου τὴν καταστροφὴν σημαίνοντα, καὶ τἀναντία παριστῶντα συμβεβηκέναι ταῖς ἐπαγγελίαις, ὅσον ἐπὶ τῷ αἰσθητῷ θρόνῳ καὶ τῇ σωματικῇ διαδοχῇ τῆς τοῦ Δαυῒδ βασιλείας· ἃ δὴ καὶ αὐτὰ ἐχρῆν μὴ ἀποσιωπηθῆναι, ἀναγκαίως δὲ ἐν τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ παραληφθῆναι· ὡς ἂν μάθοιμεν, ὅτι, τοῦ καιροῦ τῶν προφητευομένων ἐπιστάντος, τῶν μὲν αἰσθητῶν παρὰ Ἰουδαίων νομιζομένων παντελῶς ἔσται λύσις, ἑτέρων δὲ θεοπρεπῶς νοουμένων ἀποτελεσμάτων τῆς τοῦ Θεοῦ ἐπαγγελίας συμπλήρωσις.

Στίχ. λθ'-μς'. «Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας

1. Λουκ. 8, 5.

εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ· καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, ἔθου τὰ ὀχυρώματα αὐτοῦ δειλίαν. Διήρπαζον αὐτὸν πάντες οἱ παραπορευόμενοι ὁδόν· ἐγενήθη ὄνειδος τοῖς γείτοσιν αὐτοῦ. Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν, εὔφρανας πάντας τοὺς ἐχθροὺς αὐτοῦ. Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. Κατέλυσας ἀπὸ καθαρισμοῦ αὐτόν, τὸν θρόνον αὐτοῦ εἰς γῆν κατέρραξας· ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ, κατέχεας αὐτῷ αἰσχύνην· Διάψαλμα.»

Ἀποδέδεικται ταῦτα τῇ σωματικωτέρᾳ τοῦ Δαυῒδ διαδοχῇ καὶ τῇ σωματικῇ αὐτοῦ βασιλείᾳ, ἥτις καθῃρέθη κατὰ τοὺς χρόνους τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τοῦ Ἰουδαίων λαοῦ. Ἐξ ἐκείνου γὰρ καὶ ὁ Χριστός, τουτέστιν ὁ αἰσθητὸς βασιλεύς, ὁ ἀπὸ γένους Δαυῒδ διαλέλοιπε, καὶ ὁ θρόνος τῆς βασιλείας αὐτοῦ κατερράγη, καὶ τὰ λοιπὰ πάντα τὰ προπεφητευμένα πεπλήρωται· ἐφ' οἷς ἐκ προσώπου τοῦ Ἰουδαίων ἔθνους ἀπολοφύρεται ὁ λόγος, ὡς ἕτερα μὲν τοῦ Θεοῦ ἐπαγγειλαμένου, ἑτέρων δὲ ἀποβάντων. Προσήκει δὲ ἡμᾶς ἐπιστῆσαι τὸν νοῦν, ὡς, τοῦ Θεοῦ ἀψευδοῦς ὄντος, ἀνάγκη πᾶσα ἐπαληθεύεσθαι τοὺς αὐτοῦ λόγους· εἰ δὲ μὴ ἀληθεύοιντο ἐπὶ τῆς αἰσθητῆς τοῦ Δαυῒδ βασιλείας, ὥρα ἕτερον τρόπον νοεῖν τὰ ἐπηγγελμένα. Τίς οὖν ὁ τρόπος, αὐτὸ τὸ θεῖον ἐδίδαξε Πνεῦμα διὰ τῶν ἔμπροσθεν, ἐν οἷς εἴρητο· «Ἐν οὐρανῷ ἑτοιμασθήσεται ἡ ἀλήθειά σου·» καὶ πάλιν· «Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ γὰρ καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων·» καὶ πάλιν· «Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου·» καὶ αὖθις· «Ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.» Ταῦτα γὰρ πάντα παραστατικὰ τυγχάνει τοῦ μὴ διαψεύσασθαι τὰς τοῦ Θεοῦ ἐπαγγελίας, πληροῦσθαι δὲ αὐτάς, καθ' οὓς οἶδε λόγους. «Ἐν γὰρ τῷ οὐρανῷ», φησίν, «ἑτοιμασθήσεται ἡ ἀλήθειά σου·» σαφῶς δηλῶν ἐπουρανίους εἶναι καὶ θείας τὰς τοῦ Θεοῦ ἐπαγγελίας. Καὶ παρέστηκε τῶν λόγων τὰ ἀποτελέσματα διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαυῒδ πεπληρωμένα· τούτου γὰρ ἡ βασιλεία καὶ θρόνος οὐκ ἀνθρώπινος ἦν, οὐδὲ ἐκ τοῦ κόσμου τούτου. Διὸ ἔλεγεν ἐπὶ τοῦ Πιλάτου· «Ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου.[1]» Ἐρωτηθείς τε ὑπ' αὐτοῦ εἰ βασιλεὺς εἴη, ἀπεκρίνατο, «Εἰς τοῦτο καὶ γεγέννημαι.» Οὐκοῦν εἰ γεγέννηται, μενεῖ εἰς τοῦτο. Καὶ μαρτυρεῖ τῷ λόγῳ ὁ τὴν γένεσιν αὐτοῦ τῇ Παρθένῳ εὐαγγελισάμενος ἄγγελος ὁ Γαβριὴλ εἰπὼν πρὸς αὐτήν· «Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρί, καὶ τέξῃ, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ υἱὸς Ὑψίστου κληθήσεται. Καὶ δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαυῒδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει εἰς τὸν αἰῶνα, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.[2]» Γεγέννηται τοίνυν εἰς τοῦτο, ἀλλ' οὐχ ἦν ἡ

1. Ἰω. 18, 36. 2. Λουκ. 1, 31-33.

βασιλεία αὐτοῦ ἐκ τοῦ κόσμου τούτου· ἡ μὲν γὰρ τοῦ κόσμου τούτου βασιλεία οὐχ οἵα τέ ἐστι διαρκεῖν εἰς τὸν αἰῶνα, οὐδ' ἐστὶν ἀτελεύτητος, οὐδ' εἰς τὸ ἄπειρον ἐκτεινομένη· ἡ δὲ τῷ σπέρματι Δαυῒδ ἐπηγγελμένη βασιλεία αἰώνιός τις ἦν καὶ ἀθάνατος· «Καὶ ὁ θρόνος», γάρ φησιν, «ἔσται αὐτοῦ ὡς ἥλιος ἐνώπιόν μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.»

Τοιαῦτα δὲ τυγχάνει τὰ καὶ τῇ Παρθένῳ ἐπηγγελμένα περὶ τοῦ ἐξ αὐτῆς γεννηθησομένου. Χρηματίζων γοῦν αὐτῇ ὁ ἄγγελος ἐπηγγείλατο λέγων· «Καὶ δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαυῒδ τοῦ πατρὸς αὐτοῦ.» Ποῖος δὲ οὗτος καὶ ποταπὸς ἦν, ἑξῆς διερμηνεύσει φάσκων· «Καὶ βασιλεύσει εἰς τὸν αἰῶνα, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.» Τοιοῦτος δ' ἦν ὁ τῷ Δαυῒδ μεθ' ὁρκωμοσίας ὑπὸ τοῦ Θεοῦ ἐπηγγελμένος. Ὃ δὴ παριστὰς ἄγγελος, διηρμήνευε τὸν ἑαυτοῦ χρησμόν· πρότερον μὲν εἰπών, «Καὶ δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαυῒδ τοῦ πατρὸς αὐτοῦ·» εἶθ' ἑξῆς ἐπαγαγών, «Καὶ βασιλεύσει εἰς τὸν αἰῶνα, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.» Ταῦτα δὲ τοῖς ἔργοις ἐπληροῦτο, εἰς τὸν ἡμέτερον Σωτῆρα Ἰησοῦν, τὸν Χριστὸν τοῦ Θεοῦ, ὃς ἐκ σπέρματος Δαυῒδ γεγονὼς κρατεῖ καὶ νομοθετεῖ καὶ βασιλεύει καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης, οὐκ ἀνθρωπίνως, ἀλλὰ θεϊκῇ δυνάμει· καὶ τό τε σπέρμα αὐτοῦ ἀληθῶς εἰς τὸν αἰῶνα μένει· ἤτοι τὸ τῆς διαδοχῆς αὐτοῦ τῆς διὰ τῶν ἀποστόλων αὐτοῦ καὶ μαθητῶν τὸν σύμπαντα κόσμον πληρούσης· ἢ τὸ λογικὸν σπέρμα τῆς οὐρανίου διδασκαλίας αὐτοῦ. Ἀλλὰ καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐκλάμπει, φωτίζων καὶ καταυγάζων τὰς τῶν ἀνθρώπων ψυχάς. Ταῦτα δὲ πάντα τέλους ἠξιοῦτο, καὶ εἰσέτι νῦν πληροῦται ἀκολούθως οἷς ὤμοσεν ὁ Θεὸς τῷ Δαυῒδ. Ἀλλ' ἐπειδὴ μὴ ἀνθρωπίνως, μηδὲ συνήθως τοῖς κατὰ ἄνθρωπον βασιλεῦσιν εἰς τοὺς διαδόχους τοῦ Δαυῒδ ἐπληροῦτο τὰ ἐπηγγελμένα, ἀλλ' οὐδ' ἐπ' αὐτὸν τὸν ἡμέτερον Σωτῆρα σωματικῶς τέλους ἐτύγχανεν, ἐπεὶ μὴ γέγονεν αὐτοῦ ἡ βασιλεία ἐκ τοῦ κόσμου τούτου, μηδ' ἐπὶ τὸν αἰσθητὸν θρόνον ἐκαθέσθη Δαυῒδ· τοὐναντίον δὲ ἀπέβη διὰ τὸ συμβεβηκὸς περὶ αὐτὸ πάθος· εἰκότως καὶ ταῦτα αὐτὰ τὸ θεῖον καὶ προφητικὸν Πνεῦμα παρίστη, διεγεῖρον ἡμᾶς ἐπὶ ζήτησιν τῶν ἀποτελεσμάτων τῶν τοῦ Θεοῦ λογίων· διό φησι· «Νυνὶ δὲ ἀπώσω καὶ ἐξουδένωσας, Κύριε, ἀπεβάλου τὸν Χριστόν σου· κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου», καὶ τὰ τούτοις ἑξῆς· δι' ὧν σαφῶς ὀνομαστὶ μνημονεύσας τὸν Χριστὸν ὁ λόγος, παρίστη ὅτι μηδὲν αὐτὸν ἔλαθε τῶν καὶ περὶ τὴν διαδοχὴν τοῦ Δαυῒδ, καὶ τὴν σωματικὴν αὐτοῦ βασιλείαν, τῶν τε περὶ τὸ πάθος τῷ Χριστῷ τοῦ Θεοῦ συμβεβηκότων. Ταῦτα γοῦν ἐδίδασκε προσδοκᾶν ἔσεσθαι καὶ περὶ τὴν διαδοχὴν αὐτοῦ, καὶ περὶ τὴν βασιλείαν, περί τε τὸν ἐκ σπέρματος τοῦ Δαυῒδ προελευσόμενον. Εἰ γὰρ καὶ τὰ μάλιστα πλεῖστα ὅσα διὰ τῶν ἀνωτέρω ἔνδοξα περὶ αὐτοῦ λέλεκτο, ὅτι τε ὑψωθήσεται, καὶ ἐν θαλάσσῃ καὶ ἐν ποταμοῖς τὴν χεῖρα αὐτοῦ ἐκτενεῖ,

ἐπικαλέσεταί τε τὸν Θεὸν Πατέρα, καὶ πρὸς αὐτοῦ πάλιν Πρωτότοκος ἀναγορευθήσεται, ἔσται τε ἀνώτατος τῶν βασιλέων, καὶ διαθήκην ἕξει πιστήν· καὶ σπέρμα διαμένον εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ θρόνον διαρκοῦντα κατὰ τὰς ἡμέρας τοῦ οὐρανοῦ, καὶ κατὰ τὸν ἥλιον καὶ τὴν σελήνην· ἀλλ' ὅμως καὶ τάδε τὰ σκυθρωπὰ περὶ αὐτὸν συμβήσεσθαι προλέγει, προφητεύει τε καὶ ταῦτα καὶ προδιδάσκει ἀναγκαίως τὸ θεῖον Πνεῦμα, ἵν' εἴ ποτε τοῖς λόγοις ἀκόλουθα ἀπαντήσειε τὰ ἔργα περί τε τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ περὶ τὴν τοῦ Δαυῒδ διαδοχήν, μὴ ταράττοιντο οἱ πάλαι ταῦτα καὶ ἐκ προγόνων μέλλειν ἔσεσθαι παρειληφότες· εὖ εἰδότες ὅτι ταῦτα γενήσεσθαι περὶ αὐτὸν προεφητεύσατο, τά τε σκυθρωπὰ καὶ χρηστότερα· οἷς γοῦν καὶ ὁ αὐτὸς λόγος τἀναντία περὶ ἕνα καὶ τὸν αὐτὸν ἔσεσθαι θεσπίζει, ἃ δὴ καὶ ἔργοις αὐτοῖς παρειλήφαμεν. Κατὰ μὲν γὰρ τὸν χρόνον τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν ἐπληροῦτο εἰς αὐτὸν τὰ σκυθρωπότερα· κατὰ δὲ τὸν μετὰ ταῦτα αἱ τῶν κρειττόνων ἐπαγγελίαι ἔργοις πάλιν εἰς αὐτὸν ἐτελειοῦντο.

Τὰ μὲν οὖν περὶ τὸ πάθος αὐτῷ συμβάντα ἀκριβῶς ἐδηλοῦτο διὰ τοῦ· «Σὺ δὲ ἀπώσω, καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου.» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας φησίν, «Ὑπερηθέτησας μετὰ ἠλειμμένου σου·» ὁ δὲ Σύμμαχος, «Ἐχολώθης πρὸς τὸν Χριστόν σου.» Τηνικαῦτα δὲ καὶ τὰ τῆς Διαθήκης αὐτοῦ τῆς πρὸς τοὺς ἀποστόλους διεσκεδάσθη, ὅτε καὶ ἠρνήσαντο αὐτόν, καὶ τὸ ἁγίασμα αὐτοῦ, τουτέστι τὸ σῶμα τὸ ἀπὸ τῆς ἁγίας Παρθένου, εἰς τὴν γῆν ἐβεβηλώθη· ἀλλὰ καὶ πάντας τοὺς φραγμοὺς αὐτοῦ τότε περιεῖλεν ὁ Θεός· δηλαδὴ τοὺς περιφράττοντας, ὥσπερ καὶ δορυφοροῦντας αὐτὸν καὶ περιέποντας ἀγγέλους· οὐ μὴν ἀλλὰ καὶ τὰ ὀχυρώματα αὐτοῦ. Ἦσαν δὲ οὗτοι οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτοῦ, οἳ ἐγένοντο εἰς δειλίαν, ὡς καὶ ἀρνήσασθαι αὐτὸν καὶ καταλιπόντας φυγεῖν. Τότε δὲ καὶ ἐγενήθη εἰς ὄνειδος τοῖς γείτοσιν αὐτοῦ, καὶ ὑψώθη ἡ δεξιὰ τῶν θλιβόντων αὐτόν· καὶ τὰ λοιπὰ δὲ πάντα τότε εἰς τὸν ἐκ σπέρματος Δαυῒδ ἐπληροῦτο. Ἄλλως γὰρ οὐκ ἄν τις ἔχοι ταῦτα ἐπ' αὐτὸν τὸν Δαυῒδ ἐφαρμόζειν, οὐδ' ἐπιδεῖξαι εἰς ἐκεῖνον πεπληρωμένα τὰ προκείμενα, ὡς οὐδὲ τὰ σεμνότερα καὶ χρηστότερα ἐμφερόμενα ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις. Οὐ γὰρ δὴ τοῦ Δαυῒδ ὁ θρόνος κατηύγασε τὴν σύμπασαν οἰκουμένην, δίκην ἡλίου φωτίσας, οὐδ' ὡς ἡ σελήνη διαρκὴς γέγονε, οὐδὲ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος διεφυλάχθη· οὐδ' ἔχει λόγον τὸν Δαυῒδ ἐκεῖνον Πρωτότοκον χρηματίσαι τοῦ Θεοῦ· ἐπεὶ καὶ πρὸ αὐτοῦ μυρίοι καλλίους αὐτοῦ καὶ μετ' αὐτὸν γεγόνασιν. Ἀλλ' οὐδὲ φαίνεται ὁ Δαυῒδ τὴν δεξιὰν ἐπὶ ποταμοὺς ἐκτείνας, καὶ τὴν ἀριστερὰν ἐπὶ θάλασσαν, οὐδὲ κατακυριεύσας ἀπὸ θαλάσσης ἕως θαλάσσης, οὐδὲ βασιλείαν κτησάμενος τὴν παρεκταθεῖσαν ἕως τῶν περάτων τῆς οἰκουμένης. Ἀλλ' οὐδ' ἐπὶ τὸν ἐξ αὐτοῦ γενόμενον Σολομῶντα ταῦτα πάντα ἐφαρμοσθήσεται· οὐ πλέον γὰρ τῆς Ἰουδαίας οὐδ' οὗτος κρατήσας ὁμοίως τῷ ἑαυτοῦ ἱστορεῖται πατρί· ἀλλ' οὐδ' ὑπερβὰς χρόνον ἐτῶν μ' τῆς βα-

σιλείας ὁμοίως τῷ ἑαυτοῦ πατρί· ἀλλ' οὐδὲ ἀνεπίληπτον βίον διατελέσας. Τοιαῦτα γοῦν ἦν τὰ περὶ αὐτὸν ὡς καὶ γυναικομανίαν καὶ εἰδωλατρείαν διαβάλλεσθαι, ὧν ἕνεκα καὶ Σατανᾶν αὐτῷ ἐπιπέμψαι λέγεται ὁ Θεός. Ἀλλ' οὐδ' ἐφ' ἕτερον τὸν μετὰ Σολομῶντα τοῦ Ἰουδαίων ἔθνους ἐκ σπέρματος καὶ διαδοχῆς Δαυῒδ βασιλευσάντων ἀναφέρεσθαι δύναται τὰ ἐπηγγελμένα· πάντα δὲ ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ τά τε χρηστότερα καὶ τὰ σκυθρωπὰ εἰς ἕνα μόνον τὸν ἐκ σπέρματος Δαυῒδ λεγόμενον Ἰησοῦν Χριστὸν τὸν ἡμέτερον Σωτῆρα συνίσταται πεπληρωμένα· ἃ δὴ καὶ προείληφε τὸ θεῖον Πνεῦμα, προτάξαν μὲν τὰς ἐνθέους ἐπαγγελίας, διδάξαν δὲ χρῆναι προσδοκᾶν περὶ ἕνα καὶ τὸν αὐτὸν συμβήσεσθαι τὰ σκυθρωπότερα· μάλιστα ὅτε καὶ πάσης τῆς τοῦ Δαυῒδ διαδοχῆς, τὸν αἰσθητὸν τῆς βασιλείας θρόνον καταλυθησόμενον θεωρεῖ. Μέχρι γοῦν τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τοῦ λαοῦ διήρκεσαν οἱ ἐκ σπέρματος Δαυῒδ βεβασιλευκότες· καὶ οὐδὲ ὅλου τοῦ Ἰουδαίων ἔθνους βασιλεύσαντες ἀλλὰ μόνων τριῶν φυλῶν, καὶ οὐδὲ τούτων ὅλων· ἀλλὰ καὶ σύμπας ὁ χρόνος τῆς τούτων ἀρχῆς ἀμφὶ τὰ τετρακόσια ἔτη μόνα συντείνει, μεθ' ἅ, Ἰεχονίου ὑστάτου τῆς τοῦ Δαυῒδ διαδοχῆς γενομένου, οὐδέτερος βασιλεὺς Ἰουδαίων ἐκ σπέρματος Δαυῒδ γεγονὼς μνημονεύεται· ὡς καὶ κατὰ τοῦτον τὸν τρόπον πεπληρῶσθαι τὰ προκείμενα τοῦ θείου Πνεύματος λόγια, δι' ὧν εἴρηται· «Νυνὶ δὲ ἀπώσω καὶ ἐξουδένωσας, καὶ ἀνεβάλου τὸν Χριστόν σου. Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου, ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ·» καὶ τὰ τούτοις ἐπιφερόμενα.

Εἶτ' ἐπειδήπερ τὰ μὲν τῶν τοῦ Θεοῦ πρὸς τὸν Δαυῒδ ἐπαγγελιῶν ἀγαθάς τινας καὶ μεγάλας ἐλπίδας τῷ σπέρματι Δαυῒδ ὑπέγραφε, τὰ δὲ περὶ τὴν διαδοχὴν αὐτοῦ συμβεβηκότα τἀναντία πάντα περιεῖχεν, ὅ τε θρόνος τῆς κατὰ ἄνθρωπον βασιλείας αὐτοῦ λέλυτο πεπαυμένος ἀπὸ τῶν Ἰεχονίου χρόνων· εἰκότως ταῦτα προθεωρῆσαν τὸ προφητικὸν Πνεῦμα, ἐπὶ ζήτησιν ἡμᾶς παρορμᾷ τῆς τῶν λόγων τοῦ Θεοῦ ἀληθείας, καὶ παρ' αὐτοῦ τοῦ Θεοῦ ζητεῖν καὶ μανθάνειν διδάσκει ἐρωτῶντας αὐτὸν καὶ λέγοντας· «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυΐδ;» Ἥ τε γὰρ τῆς βασιλείας αὐτοῦ τῆς αἰσθητῆς καὶ κατὰ ἄνθρωπον διαδοχὴ λέλυτο, ἐκ μακροῦ καθῃρημένη, ὅ τε ἐκ σπέρματος αὐτοῦ γεγονὼς Ἰησοῦς ὁ Χριστός, προσδοκηθεὶς αὐτὸς εἶναι ὁ τῶν πρὸς τὸν Δαυῒδ ἐπαγγελιῶν κληρονόμος, αἰσθητὴν μὲν οὐκ ἐκτήσατο, οὐδ' ἀνθρωπίνην βασιλείαν· τἀναντία δὲ πάντα καὶ αὐτὸς οἷς προσεδόκησαν ἄνθρωποι πέπονθε, μέχρι καὶ θανάτου φθάσας, καὶ πάντα ὑπομείνας, ἃ δὴ προγνωστικῇ δυνάμει τὸ θεῖον ἀνεφθέγξατο Πνεῦμα. Ὧν ἕνεκα εἰκότως ἀνερωτᾶν καὶ πυνθάνεσθαι διδάσκει λέγοντας· «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε», καὶ τὰ ἑξῆς. Μεθ' ἃ ἐπιλέγει· «Ἕως πότε, Κύριε, ἀποστρέψεις εἰς τέλος, ἐκκαυθήσεται ὡς πῦρ ἡ ὀργή σου; Μνήσθητι τίς μου ἡ ὑπόστασις· μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς

τῶν ἀνθρώπων; Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται, καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; Διάψαλμα. Ἀντὶ τοῦ, «ἀποστρέψεις», ὁ μὲν Ἀκύλας φησίν, «Ἕως πότε, Κύριε, ἀποκρυβήσῃ εἰς νεῖκος;» ὁ δὲ Σύμμαχος, «Ἕως τίνος, Κύριε, ἀποκρυβήσῃ εἰς τέλος;» Καί μοι δοκεῖ ὁ λόγος τὸ ἀπόρρητον τῆς ἐπελθούσης ὀργῆς τῇ σωματικωτέρᾳ βασιλείᾳ Δαυΐδ, καὶ παντὶ τῷ Ἰουδαίων ἔθνει αἰνίττεσθαι. Ἐναντίων γοῦν ἀποβάντων ταῖς ἐπαγγελίαις, ὅσον ἐπὶ τῇ προχείρῳ προσδοκίᾳ, ὁ τὰς ἀγαθὰς ἐπαγγελίας πρὸς τὸν Δαυΐδ πεποιημένος Θεὸς ἀνεκηρύττετο. Διὸ ἱκετεύει ὁ λόγος μὴ εἰς μακρὸν παρεκτεῖναι τὴν γενομένην κατ' αὐτῶν ὀργήν, ταχὺ δὲ παρελθεῖν μὲν τὰ σκυθρωπά, ἐπιστῆναι δὲ τὰς ἐπαγγελίας τοῦ Θεοῦ. Εἶτα ἐκ προσώπου τῆς ἀνθρωπίνης ἀσθενείας λέγει, «Μνήσθητι τίς μου ἡ ὑπόστασις», καὶ τὰ ἑξῆς. Διδάσκει δὲ τὸν λαὸν ταῦτα λέγειν ὁ προφητικὸς λόγος, εἰς τὸ παρακαλεῖν τὸν Θεὸν καὶ δυσωπεῖν καταπαῦσαι μὲν τὴν ὀργὴν τὴν κατὰ τοῦς ἔθνους, παύσασθαι δὲ καὶ αὐτὸν ἀποκρυπτόμενον· καταξιῶσαι δὲ ἤδη ποτὲ παρασχεῖν ἀνθρώποις τὰ τῷ Δαυΐδ ἐπηγγελμένα. Ἐπειδήπερ φησίν, ἡ ἀνθρωπίνη φύσις ἀσθενὴς μέν ἐστι καὶ πτωχή, πλὴν ἀλλὰ πλείστης ἠξίωται παρὰ σοὶ τιμῆς· οὐ γὰρ ματαίως ἔκτισας τοὺς υἱοὺς τῶν ἀνθρώπων, οὓς κατ' εἰκόνα τὴν σὴν ἐδημιούργησας· δι' ὃ ἵνα μὴ τὸ σὸν κτίσμα καὶ ἡ σὴ εἰκὼν παραπόληται διὰ τῆς ἐπελθούσης ὀργῆς, καὶ τῆς τῶν ἐπηγγελμένων ὑπερθέσεως, τάχυνον ἀνακτήσασθαι τὰ σκυθρωπά, καὶ θεραπεῦσαι τὰ νοσήσαντα διὰ τῆς τῶν ἀγαθῶν ἐπαγγελιῶν ἐκβάσεως. Εἰ μὲν γὰρ ἦσαν οἱ ἄνθρωποι εἰς μάταιον ἐκτισμένοι ὁμοίως τοῖς ἐπὶ γῆς ἀλόγοις ζῴοις, οὐκ ἂν οὐδὲν αὐτοῖς ἐχρῆν μέγα ἐπαγγέλλεσθαι· ὅτε δὲ τοιαῦτα φθάνουσιν ἀνθρώποις εὐαγγελιζόμεναι αἱ πρὸς τὸν Δαυΐδ ὁρκωμοσίαι, παντί που δῆλον ποιοῦσιν, ὅτι μὴ ἐπὶ ματαίῳ ἔκτισας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἐπεὶ τοίνυν τοιαύτης ἠξίωται παρὰ σοὶ τιμῆς ἡ ἀνθρωπεία φύσις, εἰκότως φημί, «Μνήσθητι τίς μου ὑπόστασις·» καὶ μνήσθητι, ὅτι μὴ ματαίως ἔκτισας τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἀλλὰ καὶ τοῦτο μνησθῆναι ἀξιῶ, ὅτι οὐδείς ἐστιν ἄνθρωπος, ὃς ἄγευστος τυγχάνει θανάτου, οὐδ' οἷός τέ τίς ἐστιν αὐτὸς ἑαυτοῦ τὴν ψυχὴν ἐκ θανάτου ῥύσασθαι, οὐδὲ καὶ τοῦτο τυγχάνει τῆς εὐεργεσίας. Ὥστε εἰ καὶ τοιαῦτα ἡμάρτανον οἱ τοῦ Ἰουδαίων ἔθνους, ὡς τὰς ἐπαναστάσεις τὰς πρὸς τὸν Δαυΐδ εἰς τοὐναντίον αὐτοῖς περιτραπῆναι, καὶ τὴν ἐκ σπέρματος αὐτοῦ διαδοχὴν σὺν τῷ τῆς βασιλείας θρόνῳ καταλυθῆναι· οὐ μὴν ἀλλὰ καὶ αὐτὸν τὸν Χριστόν σου τοιαῦτα παθεῖν ὑπὸ τῶν αὐτῶν, ὁποῖα προλαβόντες οἱ σοὶ λόγοι περὶ αὐτὸν γενήσεσθαι προεφήτευσαν· ἀλλὰ μὴ εἰς τέλος ἀποστραφῆναι ἀξιοῦμεν, μηδὲ ὡς πῦρ ἐκκαυθῆναι τὴν ὀργήν σου, μνησθῆναι δὲ τίς μου ἐστὶν ἡ ὑπόστασις, τοῦ ταῦτα ὑπὲρ αὐτῶν πρεσβεύοντος, καὶ τίς ἡ τῶν ἀνθρώπων ἀσθένεια, τῶν θνητὴν φύσιν καὶ θανάτῳ δεδουλωμένην εἰληχότων· μνησθῆναι δὲ καὶ σαυτοῦ μὴ ἐπὶ ματαίῳ

κτίσαντος τοὺς υἱοὺς τῶν ἀνθρώπων, ἀλλ' ἐπὶ μεγάλαις ἐλπίσι ταῖς παρὰ σοί. Καὶ τούτων εἰς μνήμην ἐλθόντων ἱκετεύομεν ἤδη ποτὲ τὸν καὶ ἐκ θανάτου ῥυόμενον, καὶ ἐξ ᾅδου ἀνακαλούμενον καταπέμψαι ἡμῖν, καὶ παύσασθαι μὲν ἀποστρέφοντα ἑαυτὸν ἐξ ἡμῶν, καταπαῦσαι δὲ καὶ τὴν πυρὸς δίκην ἐπελθοῦσαν ἐπὶ τὸν λαόν σου ὀργήν, ἔργοις δὲ ἐπιτελέσαι ἃς ὤμοσας πρὸς Δαυῒδ ἐπαγγελίας.

Στίχ. ν'. «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυῒδ ἐν τῇ ἀληθείᾳ σου;»

Ὅτι μὴ ματαίως, φησίν, ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, τετίμηνται δὲ παρὰ σοί, οὐχ οἷοί τε δέ εἰσιν ἑαυτοὺς ῥύσασθαι ἐκ θανάτου· τούτου χάριν δέομαι καὶ ἀντιβολῶ σπεῦσαι καὶ τῶν ἐπαγγελιῶν σου τῶν ἀγαθῶν δεῖξαι ἡμῖν τὰ ἀποτελέσματα, συνενεχθέντα κατὰ τοῦ Χριστοῦ σου καὶ μετὰ τὴν τῆς βασιλείας τοῦ Δαυῒδ καθαίρεσιν. Δέομαι δὲ ἐπιταχῦναι πρὶν κατάπτωσιν παντελῆ τὸ τῶν ἀνθρώπων ὑποστῆναι γένος. Τίς γάρ ἐστιν ἀνθρώπων ὁ δυνάμενος αὐτὸς ἑαυτὸν ἐκ χειρὸς ᾅδου ῥύσασθαι, εἰ μὴ εἷς μόνος ὁ πρῶτος μὲν αὐτὸς ἑαυτόν, εἶτα δὲ καὶ πάντας τοὺς εἰς αὐτὸν πεπιστευκότας ἐκ τῶν τοῦ θανάτου πυλῶν ῥυσάμενος; Εἰ καὶ τοιαῦτα πείσεται, οἷα διείληφε ἡ προφητεία τὰ ἀπὸ τοῦ, «Νυνὶ δὲ ἀπώσω καὶ ἐξουδένωσας, ἀνεβάλου τὸν Χριστόν σου», φήσασα· ὅμως καὶ τῶν σῶν πρὸς τὸν Δαυῒδ ἐπαγγελιῶν τεύξεται. Τὰ γὰρ ἐλέη σου, Κύριε, καὶ ἡ ἀλήθειά σου εἰς τὸν αἰῶνα μένει καὶ οὐδὲ εἷς λόγος τῶν σῶν ἐπαγγελιῶν διαπεσεῖται. Εἰ δὲ καί φημι νῦν εἰς ὑπόμνησιν ἐλθὼν τῶν συμβησομένων σκυθρωπῶν, «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυῒδ ἐν τῇ ἀληθείᾳ σου;» ἀλλ' οὐκ ἀγνοῶ, ὅτι ἐν τῇ ἀληθείᾳ ὤμοσας· διόπερ καὶ ἐν ἀρχῇ τοῦ παντὸς λόγου εἰς τὸ χρηστὸν τέλος ἀποβλέπων ἔλεγον· «Τὰ ἐλέη τοῦ Κυρίου εἰς τὸν αἰῶνα ᾄσομαι· εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου·» καὶ πάλιν ἔλεγον· «Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τῷ οὐρανῷ ἑτοιμασθήσεται ἡ ἀλήθειά σου.» Αὐτὰ δ' οὖν ἐκεῖνα τὰ ἐλέη σου, Κύριε, ποῦ ἐστι μαθεῖν ἀξιῶ, καὶ ποῦ λανθάνει κρυπτόμενα, καὶ πότε ἥξει. Ἀλλὰ γὰρ ἱκετεύω, σπευσάτω νῦν καὶ ἡκέτω, καὶ καταλαβέτω τὴν ἡμετέραν ἀσθένειαν. Εἰ γὰρ μὴ ἐπιδείξειάς σου τὰ ἐλέη τὰ ἀρχαῖα, ἅπερ οὐχ ἁπλῶς ἐπηγγείλω, ἀλλὰ καὶ ὤμοσας τῷ Δαυῒδ ἐν τῇ ἀληθείᾳ σου, οὐδεμία λείπεται ἀνθρώποις ἐλπὶς σωτηρίας. Ὡς οὖν ἐπηλήθευσεν ὁ λόγος ἐπὶ τῶν σκυθρωπῶν, καὶ γέγονε καὶ ἀπήντησεν ἅπαντα, οὕτως ἀκόλουθόν ἐστι καὶ τὰ κρείττονα τῶν ἐπαγγελιῶν μὴ διαψεύσασθαι, δι' ὧν ὁ λόγος ἡμῖν εὐηγγελίσατο αἰώνιον σπέρμα Δαυῒδ καὶ θρόνον αὐτοῦ δίκην ἡλίου φωτὸς καταλάμψαντα πᾶσαν τὴν τῶν ἀνθρώπων οἰκουμένην. Ταῦτα μὲν οὖν ἐν εὐχαῖς ἔκειτο τοῖς παλαιοῖς, καὶ προσεδοκᾶτο τοῖς τὰς προφητικὰς φωνὰς μεμελετηκόσιν· ἡμῖν δὲ αὐτοῖς ἔργοις ὁρᾶται πεπληρωμένα, διὰ τῶν εἰς τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀποτελεσμάτων.

Στίχ. να΄-νγ΄. «Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου, οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν· οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο, γένοιτο.»

Ἀπὸ τοῦ προτεταγμένου διαψάλματος δοκεῖ μοι μεταβολὴ γεγονέναι τῆς διανοίας. Τὸ γοῦν θεῖον Πνεῦμα, εὐξάμενον ὑπὲρ τοῦ λαοῦ διὰ τῶν ἔμπροσθεν, τὰς ἐπαγγελίας τοῦ Θεοῦ προκαλεῖται ἀπὸ τοῦ, «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε;» ἀξιοῖ δὲ ἤδη ποτὲ ἐπιστῆναι τῶν χρηστοτέρων τὰ ἀποτελέσματα, ἃ ὤμοσεν ὁ Θεὸς τῷ Δαυῒδ ἐν τῇ ἀληθείᾳ αὐτοῦ. Εἶτα παρακαλεῖ μνησθῆναι τοῦ ὀνειδισμοῦ τῶν δούλων αὐτοῦ. Ὡς γὰρ ἤδη λοιπόν, κατὰ τὸ σεσιωπημένον, χωρησάντων εἰς ἔργα τῶν προηγορευμένων σκυθρωπῶν, πολλῶν τε ἐχθρῶν καὶ ἐθνῶν ἐπικειμένων καὶ ὀνειδιζόντων τοὺς δούλους τοῦ Θεοῦ διὰ τὰ συμβεβηκότα, τὴν ὑπὲρ τούτων εὐχὴν ἀναπέμπει λέγον· «Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου.» Ἀντὶ τοῦ, «Οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν», σαφέστερον ὁ Ἀκύλας ἐξέδωκεν εἰπών, «Αἴροντός μου ἐν κόλπῳ πάσας ἀδικίας λαῶν·» ὁ δὲ Σύμμαχος, «Ἐβάστασα ἐν τῷ κόλπῳ μου πάντων τῶν ἐθνῶν.» Οἱ μὲν οὖν ὀνειδιζόμενοι οἱ δοῦλοί εἰσι τοῦ Θεοῦ· διὸ ἔφασκε· «Μνήσθητι, Κύριε, τοῦ ὀνειδισμοῦ τῶν δούλων σου·» οἱ δὲ ὀνειδίζοντες οἱ ἐχθροὶ τοῦ Θεοῦ· διὸ ἐπιλέγει ἑξῆς, «Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.» Ὁ δὲ ταῦτα πρὸς τὸν Θεὸν λέγων εἴη ἂν ὁ σωτήριος Λόγος, ὁ αἴρων ἐν τῷ ἑαυτοῦ κόλπῳ τὰς ἀδικίας τῶν λαῶν. Ἀντάλλαγμα δὲ τοῦ Χριστοῦ ὅπως εἴρηται, νοήσεις ἀπὸ τῆς τοῦ Συμμάχου ἑρμηνείας, δι᾿ ἧς εἴρηται, «Οὗ ὠνείδισαν τὰ ἴχνη τοῦ Χριστοῦ σου.» Τὴν γὰρ πορείαν τοῦ Χριστοῦ τοῦ Θεοῦ καὶ τὴν ὁδὸν αὐτοῦ τὴν κατὰ τὸ πάθος, τά τε ἴχνη τῆς κατὰ τὸν ἀνθρώπινον βίον οἰκονομίας, τοῦτον ᾐνίξατο τὸν τρόπον. Ταῦτα γὰρ εἰώθασιν ὀνειδίζειν ἡμῖν οἱ ἐχθροὶ τοῦ Θεοῦ. Ἀλλὰ γὰρ ὡς ἐπακουσθεὶς καὶ πιστεύσας τεύξεσθαι τῶν εὐχῶν, ἐλπίσας τε ἢ τάχος ἐπιστήσεσθαι τὰς πρὸς τὸν Δαυῒδ ἐπαγγελίας τοῦ Θεοῦ, τὸ τέλος τοῦ παντὸς λόγου διὰ τῆς εὐχαριστίας καὶ εὐλογίας ἐπισφραγίζεται λέγων· «Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα·» ἡμᾶς τε διδάσκει προσυπακούειν τό, «Γένοιτο, γένοιτο», ὅπερ ἐστὶν Ἑβραϊκῇ φωνῇ, «Ἀμήν, ἀμήν·» Περὶ δὲ τοῦ διαψάλματος, πολλάκις μεταξὺ παρεμβεβλημένου, ταῦτα λεκτέον. Ἡ πρώτη ἐπαγγελία τοῦ Θεοῦ ἐν ἀρχῇ λεχθεῖσα περιεῖχε, «Διεθέμην διαθήκην», καί, «Ὤμοσα Δαυῒδ», καὶ τὰ ἑξῆς· εἶτα τοῦ διαψάλματος παρατεθέντος, μεταβαλὼν ὁ λόγος τὸ πρόσωπον, ἐπιλέγει· «Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου·» καὶ πάλιν, ἐπαγγελίας λεχθείσης ἐκ προσώπου τοῦ Θεοῦ τῆς ἀπὸ τοῦ, «Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν», μέχρι τοῦ, «καὶ μάρτυς ἐν οὐρανῷ πιστός», πάλιν τοῦ διαψάλματος παρεμβληθέντος, μεταβάλλει τὴν διάνοιαν ὁ λόγος, καί φησι· «Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας,

ἀνεβάλου τὸν Χριστόν σου.» Εἶτα, διεξελθὼν τὰ σκυθρωπότερα, πάλιν ἐντίθησι τὸ διάψαλμα, καὶ ἐναλλάττει τὴν διδασκαλίαν φάσκων· «Ἕως πότε, Κύριε, ἀποστρέψεις εἰς τέλος;» καὶ τὴν εὐχὴν ἀναπέμψας, πάλιν τῷ διαψάλματι μεταξὺ κέχρηται, καὶ ἐπιλέγει· «Ποῦ ἐστι τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε;» μεταβαλὼν τὴν διάνοιαν καὶ ἀνακαλούμενος τὰς πρώτας τοῦ Θεοῦ ἐπαγγελίας, τὰς ἐν ἀρχῇ λεχθείσας· ὥστε λόγον ἔχειν τινὰ καὶ τὰ διαψάλματα μεταβολῆς διανοίας ἢ προσώπου ἐναλλαγῆς δι' αὐτῶν σημαινομένης. Τοῦτο δὲ ἐπὶ πάντων ἐρεῖς τῶν ψαλμῶν ἐν οἷς φέρεται τὸ διάψαλμα· ἢ γὰρ τοῦ προσώπου παρίστησιν ἐναλλαγὴν ἢ τῆς διανοίας· ἔστι δ' ὅτε καὶ μεταβολὴ τῆς κατὰ τὸ Ἑβραϊκὸν μελῳδίας. Ὅ γε μὴν Ἀκύλας οὐδαμοῦ κέχρηται τῷ διαψάλματι· ἀντὶ δὲ τούτου ἐν πᾶσι τοῖς τόποις εἴωθεν ἑρμηνεύειν τό, «ἀεί.» Ὅπερ ἐχρῆν ἡμᾶς μὴ ἀγνοεῖν. Τὸ δὲ ἐπισφράγισμα παντὸς τοῦ λόγου τό, «Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα, γένοιτο, γένοιτο», κατὰ μὲν τὸν Ἀκύλαν ἀντὶ τοῦ, «Γένοιτο, γένοιτο», Πεπιστωμένως, πεπιστωμένως», περιέχει· κατὰ δὲ τὸν Σύμμαχον, ὁμοίως τῷ Ἑβραϊκῷ, «Ἀμὴν καὶ ἀμήν.»

## ΠΡΟΣΕΥΧΗ ΜΩΥΣΕΩΣ. ΠΘ'.

Στίχ. β'. «Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Πρὸ τοῦ ὄρη ἑδρασθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην, καὶ ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ, ὁ Θεός.»

Δόγμα παιδεύει ὁ λόγος, διδάσκων τὸ μὲν Θεῖον διαρκὲς ὑπάρχειν καὶ ἀΐδιον. Ὁ γὰρ εἰπών, «Θεὸς ἐγώ εἰμι ὁ ὤν, ἀεὶ ὤν, καὶ ὁ αὐτὸς ὤν, καὶ εἰς τοὺς ἀπείρους αἰῶνας διαμένων», οὔποτε μεταβάλλει τὴν αὐτοῦ φύσιν. Ἡμεῖς δέ, κατὰ καιροὺς παριόντες εἰς τὸν βίον, χειμάρρου τρόπον ἀπορρέομεν· ἐπεὶ καὶ κατὰ τὸν Σολομῶντα, «Γενεὰ πορεύεται, καὶ γενεὰ ἔρχεται [1]», καὶ τὰ ἀνθρώπινα πράγματα δὲ οὐδὲ πώποτε ἐν ταὐτῷ μένει, ἄλλοτε δ' ἄλλως μεταβάλλει. Ὁ δὲ διαρκὴς καθ' ἑκάστην γενεὰν Κύριος τῶν εἰς αὐτὸν ἐλπιζόντων καταφυγὴ γίνεται. Πρὸ μὲν γὰρ τοῦ κατακλυσμοῦ Ἐνώχ, καὶ εἴ τις ἄλλος τῆς τότε γενεᾶς, καταφυγὴν αὐτὸν ἔσχηκεν· ἀπολλυμένου δὲ τοῦ τῶν ἀνθρώπων γένους ἐν τῷ κατακλυσμῷ, πάλιν Νῶε καταφυγὴν αὐτόν, ἀλλ' οὔ τινα ἕτερον ἐκτήσατο. Καὶ μετὰ ταῦτα πάλιν ὁ Λὼτ ἐκ τῆς Σοδομιτῶν γενεᾶς, Ἀβραάμ τε καὶ Ἰσαὰκ καὶ Ἰακώβ, ἐπὶ τῆς ἑαυτῶν ἕκαστος· οὐ μὴν ἀλλὰ καὶ Ἰωσὴφ ἐπὶ τῆς κατ' αὐτὸν γενεᾶς, καὶ Μωϋσῆς πάλιν ἐπὶ ἄλλης· καὶ ἁπαξαπλῶς καθ' ἑκάστην γενεὰν τὸν ἀεὶ ὄντα Κύριον καταφυγὴν ἐσχήκασιν οἱ εἰς αὐτὸν ἠλπικότες. Προτρέπει δὲ διὰ τούτων καὶ ἡμᾶς ὁ λόγος μὴ ἐπί τινα ἕτερον παρὰ τὸν Θεὸν ἐλπίζειν, παντὶ δὲ καιρῷ καὶ ἡμέρᾳ πάσῃ καὶ ὥρᾳ,

1. Ἐκκλησ. 1, 4.

ἐν ἑκάστῃ τε πράξει, καὶ μάλιστα ἐν τοῖς περιστατικοῖς καιροῖς, ἐπ' αὐτὸν καταφυγεῖν. Καὶ ἐπειδήπερ οἱ μὲν χειμαζόμενοι στέγης, οἱ δὲ κατὰ τὴν θάλασσαν κλυδωνιζόμενοι λιμένος, οἱ δὲ ὑπὸ ἐχθρῶν καὶ πολεμίων ἢ καὶ θηρῶν ἀγρίων διωκόμενοι, τείχους εἰς καταφυγὴν δέονται· πᾶσι δὲ τούτοις ὁ τοῦ Θεοῦ ἄνθρωπος κατὰ τὸν παρόντα βίον παλαίει· ἀναγκαίως διδάσκεται καταφυγὴν ἑαυτοῦ καὶ τεῖχος, λιμένα τε σωτήριον ἡγεῖσθαι τὸν ἑαυτοῦ Κύριον· ἵν', εἴτε ἐν καιροῖς διωγμῶν ὑπ' ἐχθρῶν ἐλαυνώμεθα, εἴτε ὑπὸ ἀοράτων πολεμίων πολεμούμεθα, εἴτε ὑπὸ τῶν συσκευάζεσθαι ἡμᾶς πειρωμένων ἐπιβουλευοίμεθα, νηφόντως ἐπὶ τὸν Κύριον ἡμῶν καὶ τὸν Θεὸν καταφύγοιμεν, τὸν κατὰ γενεὰν καὶ γενεὰν ὑπέρμαχον γιγνόμενον καὶ ὑπερασπιστὴν τῶν ἐπικαλουμένων αὐτόν. Ἀντὶ δὲ τοῦ, «Ἐν γενεᾷ καὶ γενεᾷ», σαφέστερον ὁ Σύμμαχος ἐξέδωκεν εἰπών, «Ἐν ἑκάστῃ γενεᾷ·» καὶ πάλιν· «Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ οἰκουμένην», συμφώνως ὁμοῦ Ἀκύλας καὶ Σύμμαχός φασι· «Πρὶν ὄρη τεχθῆναι καὶ ὠδινηθῆναι γῆν καὶ τὴν οἰκουμένην.» Καί μοι δοκεῖ ἡ Ἑβραϊκὴ λέξις φυσικὸν ἀποδεδωκέναι λόγον, ἐν αὐτοῖς διδάσκουσα μὴ ἀρχῆθεν συνυπάρξαι τῇ γῇ τὰ ἐν αὐτῇ ὄρη, ἀλλ' ἀναφυῆναι δίκην τῶν τικτομένων· διὸ εἴρηται· «Πρὸ τοῦ ὄρη γενηθῆναι», ἤ, «Πρὶν ὄρη τεχθῆναι·» καὶ εἰκὸς ἅμα τῷ τεχθῆναι τὰ ὄρη καὶ προβληθῆναι ἀπὸ τῆς γῆς καταλλήλως τοῖς βρέφεσι, μὴ ὁποῖα νῦν τὸ μέγεθος ὑποστῆναι, ἀλλ' ἄρτι μὲν γεννηθέντα καὶ τεχθέντα, ὥσπερ ἀρτιγενῆ τῶν βρεφῶν, μικρὰ καὶ ἐλάχιστα ὑπάρξαι, τῷ δὲ μακρῷ αἰῶνι αὔξην καὶ μέγεθος ἐπιδοῦναι. Φασὶ γοῦν εἰς ἔτι δεῦρό τινες τῶν φυσιολόγων αὔξειν τὰ ὄρη, καὶ τὰς πέτρας μείζους ἑαυτῶν γίνεσθαι κατά τινας λανθανούσας ἡμᾶς διὰ μακρῶν περιόδων βραχυτάτας προσθήκας. Ἐπεὶ δὲ καὶ ὠδινηθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην εἰρήκασιν οἱ ἑρμηνεύσαντες, ἐξακολουθήσαντες τῷ Ἑβραϊκῷ, μήποτε καὶ ἐπὶ τῆς γῆς τὸ παραπλήσιον τοῖς ὄρεσι νοῆσαι προσήκει, ὡς ἐξ ἑτέρου στοιχείου προελθούσης αὐτῆς, καὶ πρότερον μὲν ὠδινηθείσης δίκην τῶν κυοφορουσῶν, καὶ ἐν τῷ τίκτειν ὑπομενουσῶν ὠδῖνας;

Εἰ δ' οὖν συνέστηκεν ὁ τῶν φυσικῶν λόγος ὁ φάσκων, πρῶτον στοιχεῖον γεγονέναι τὸ ὕδωρ, εἶτα ἐξ ὕδατος καὶ τῆς ὑγρᾶς οὐσίας ὑποστῆναι τὰ λοιπὰ στοιχεῖα· εἴποι ἄν τις τοῦτο καὶ ἐπὶ τῆς παρούσης Γραφῆς σημαίνεσθαι δηλούσης, ὅτι ἦν ὅτε ἐν ἑτέρῳ οὖσα ἡ γῆ στοιχείῳ ἀφανὴς ἦν, κυουμένη καὶ συλλαμβανομένη ἐν τῇ φύσει τῆς ὑγρᾶς οὐσίας. Διὸ καὶ ἐν τῇ κοσμοποιίᾳ εἴρηται· «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· [1]» ἀλλ' ὕστερον ὥσπερ ἀπογεννηθεῖσα προῆλθεν ἐκ τῆς τῶν ὑδάτων οὐσίας, οὐκ ἄνευ θείας δυνάμεως καὶ κρείττονος ἀνάγκης ἐπιτεθείσης αὐτῇ· αὕτη δὲ ἦν ἡ τοῦ Δημιουργοῦ βούλησις. Ὡς γὰρ ἐπὶ τῶν κυοφορουσῶν γυναι-

1. Γεν. 1, 2.

κῶν, βίας καὶ ἀνάγκης ἐπελθούσης αὐταῖς, τὸ κατὰ γαστρὸς προάγεται, τοῦ ὡρισμένου χρόνου τῆς ἀποτέξεως ἐπιστάντος, καθ' ὃν ὠδίνουσαι τίκτουσι· τὸν αὐτὸν τρόπον δυνάμει καὶ σοφίᾳ τοῦ τῶν ὅλων δημιουργοῦ γῆν καὶ τὴν τῶν ἀνθρώπων οἰκουμένην τὰ ὕδατα προηνέγκατο. Καὶ τοῦτ' ἐπληροῦτο, ὁπηνίκα εἶπεν ὁ Θεός· «Συναχθήτω τὰ ὕδατα ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ ἐγένετο οὕτω.[1]» Θέα γάρ μοι τῇ διανοίᾳ τὴν γῆν ἔνδον ἐν τοῖς ὕδασι πάλαι πρότερον ἐγκεκρυμμένην, τρόπον τε ἰλύος ἀναλελυμένην, καὶ τῷ πλήθει τῶν ὑδάτων ἀνακεκραμένην, ὡς ἀφανῆ εἶναι καὶ ἀόρατον· διὸ λέγεσθαι· «Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος·» εἶθ' ὕστερον βουλήσει Θεοῦ αὐτὴν συναγομένην πηλοῦσθαι πρότερον καὶ συμπήγνυσθαι, καὶ μετὰ ταῦτα ἀθρόως ἀναδοθεῖσαν εἰς φῶς προελθεῖν, καὶ ἀνακύψαι εἰς καθαρὸν ἀέρα. Καὶ ἰδέ, ὡς οὐδὲν τῶν γεννωμένων ἀπὸ γαστρὸς διαφέρειν ἐδόκει τότε. Ὅτε μὲν οὖν προβέβλητο τῶν ὑδάτων ἀνακύψασα, τικτομένη καὶ γεννωμένη ἐοίκει· πρὸ δὲ τῆς γεννήσεως ἔνδον ἐν τοῖς ὕδασι συμπηλουμένη πηγνυμένη τε, καὶ δίκην ἰλύος ἐπὶ τὸ οἰκεῖον βάρος ὑφισταμένη καὶ συνιζάνουσα, τὸ τηνικαῦτα συνελαμβάνετο· ὡς ὕστερον δὲ καὶ ὠδινηθεῖσα ἀπετέχθη, καὶ γέγονεν οἰκητήριον τῶν ἐπὶ γῆς ζῴων. Ἀλλὰ πρὸ τοῦ ταῦθ' οὕτω γενέσθαι, καὶ πρό γε τῆς τοῦ κόσμου συστάσεως, σύ, φησίν, αὐτὸς εἶ, ὁ Θεός. Καὶ καλῶς γε οὐ «σὺ ἦσθα», φησίν, ἀλλά, «σὺ εἶ·» ὁ γὰρ αὐτὸς καὶ ἦς, καὶ εἶ, καὶ ἔσῃ· μᾶλλον δὲ ὁ αὐτὸς ἀεὶ ὢν τυγχάνεις, καὶ αὐτὸς εἶ, κατὰ τὴν φάσκουσαν θεολογίαν· «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.[2]» Οὐδὲ γὰρ θέμις ἐπ' αὐτοῦ φάναι τό, «ἦς», ἢ τό, «ἦν», ἢ τό, «ἔσται·» τὰ μὲν γὰρ τοῦ παρῳχηκότος, τὰ δὲ τοῦ μέλλοντος ἔσεσθαι χρόνου δηλωτικὰ τυγχάνει· ὧν οὐδὲν ἁρμόζει τῇ θείᾳ προσηγορίᾳ· μόνον γὰρ αὐτῇ τὸ ἀεὶ εἶναι ἁρμόττει. Διὸ σφόδρα ἀκριβῶς ἐνταῦθά τε εἴρηται· «Ἀπὸ τοῦ αἰῶνος ἕως τοῦ αἰῶνος σὺ εἶ, ὁ Θεός·» καὶ ἐν ἑτέροις τό, «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν.» Τηρητέον δέ, ὅτι ἐν τῷ, «Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν», τό, «Κύριε», οὐ διὰ τοῦ τετραγράμμου φέρεται παρ' Ἑβραίοις, ἀλλὰ διὰ τῶν κοινῶν καὶ συνήθων γραφομένων στοιχείων, τῶν καὶ ἐπὶ τῆς ἀνθρωπίνης προσηγορίας ταττομένων, εἴποτε τὸν ἐν ἀνθρώποις δεσπότην, κύριον καλοῖμεν. Κατὰ τὰ αὐτὰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος τὸ «Ἀδωναῒ» ἡρμήνευται εἰς τὸν «Κύριον», τοῦ τετραγράμμου ὀνόματος, ὃ τὴν ἀπόρρητον τοῦ Θεοῦ θεολογίαν σημαίνει, μὴ κειμένου κατὰ τὴν παροῦσαν λέξιν, ἀλλὰ τοῦ δεσπότου μάλιστα εὐκαίρως ὠνομασμένου, εἰς παράστασιν τοῦ κήδεσθαι αὐτὸν καὶ φροντίζειν τῶν αὐτοῦ οἰκετῶν, ὧν καὶ καταφυγὴ τυγχάνει. Καὶ ὅρα μήποτε ἐπὶ τὸν Θεὸν Λόγον ἀναφέρεται ἡ παροῦσα διδασκαλία· οὐδὲ γὰρ μακρὰν ἀπᾴδει ἡ ἐνταῦθα

1. Γεν. 1, 9. 2. Ψαλμ. 101, 23.

φήσασα λέξις· «Πρὸ τοῦ ὄρη γενηθῆναι καὶ πλασθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην σὺ εἶ, ὁ Θεός·» τῆς παρὰ Σολομῶνι ἐκ προσώπου τῆς σοφίας φασκούσης, «Πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με·» δι' ὧν ἔοικεν αἰνίττεσθαι τὰς ἀσωμάτους καὶ ἀγγελικὰς δυνάμεις, ὧν προϋπάρχειν τὸν τοῦ Θεοῦ Λόγον καὶ τὴν σοφίαν τοῦ Θεοῦ, αὕτη ἡ σοφία διδάσκει.

Στίχ. γ'-ζ'. «Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν· καὶ εἶπας, Ἐπιστρέψατε, οἱ υἱοὶ τῶν ἀνθρώπων. Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου, ὡς ἡ ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. Τὰ ἐξουδενώματα αὐτῶν, ἔτη ἔσονται. Τὸ πρωῒ ὡς ἡ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθῆσαι καὶ παρέλθοι, τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη· ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.»

Ἐπειδὴ Μωσέως ὑπάρχειν τὰς παρούσας φωνὰς ἡ προγραφὴ διδάσκει, πειρώμενος αὐτὰς ἐφαρμόσαι τῷ Μωσέως προσώπῳ, ἐφίστημι, μήποτε λανθάνουσαν διὰ τούτων ὁ λόγος παραδίδωσι προφητείαν Μωσέως. Οὐδὲ γὰρ ψαλμὸς εἶναί μοι δοκεῖ, ἀλλ' ὡς ἡ προγραφὴ διδάσκει, προσευχὴ τοῦ Μωϋσῆ. Ζητῶ δὲ κατὰ ποῖον ἄρα καιρὸν ταύτῃ κέχρηται τῇ προσευχῇ Μωϋσῆς, καὶ εἴπερ αὐτῷ, ἢ μᾶλλον τῷ λαῷ κατάλληλος τυγχάνει, πότερον τῇ γενεᾷ τῇ κατ' αὐτόν, καὶ τῷ συνόντι αὐτῷ λαῷ, ἢ τῇ μετ' ἐκείνους διαδοχῇ ἐφαρμοστέον αὐτήν. Ὅτι μὲν οὖν οὐκ εἰς αὐτὸν προσήκει τὰ προκείμενα ἀναφέρειν, οἶμαι πανθ' ὁντινοῦν ὁμολογήσειν. Πῶς γὰρ δύναται Μωϋσῆς ὁ ἄνθρωπος τοῦ Θεοῦ, περὶ αὐτοῦ λέγειν, «Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου·» ἢ κατὰ τὸν Σύμμαχον, «Ὅτι ἀνηλώθημεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου·» καὶ πάλιν· «Αἱ ἡμέραι ἡμῶν ἐξέλιπον ἐν τῇ ὀργῇ σου·» καὶ πάλιν· «Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου;» Ἀλλ' ὅτι μὲν ταῦτα οὐκ ἂν εἰς τὸν Μωϋσέα ἀναφέροιτο, οὐ μόνον ἀπὸ τοῦ πάντα περὶ ὀργῆς Θεοῦ εἰρῆσθαι, ἀλλὰ καὶ ἀπὸ τοῦ πληθυντικῶς προενηνέχθαι τὰ εἰρημένα, δῆλόν ἐστιν. Εἰκὸς οὖν τινα ἐπὶ τὸν συνόντα αὐτῷ κατὰ τὴν ἔρημον λαὸν ταῦτα ἀναφέρειν. Ἀλλ' οὐδὲ τοῦτο συγχωρεῖ νοεῖν ὁ λόγος. Τί γὰρ καί φησι· «Τὸ πρωῒ ὡς ἡ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθῆσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη· ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου;» Οὐκοῦν οὐ τῷ πρωῒ φησιν ἐκλελοιπέναι, ἀλλὰ «Τὸ μὲν πρωῒ ὡς ἡ χλόη παρέλθοι·» καὶ πάλιν, οὐ, «Κατὰ τὸ πρωῒ ἀποπέσοι», οὐδέ, «Κατὰ τὸ πρωῒ σκληρυνθείη καὶ ξηρανθείη», ἀλλ' «Ἀνθῆσαι», φησὶν ὁ λόγος, «κατὰ τὸ πρωῒ καὶ παρέλθοι·» τὸ δὲ ἀποπεσεῖν καὶ σκληρυνθῆναι καὶ ξηρανθῆναι ἑσπέρας ἔσεσθαί φησι, λέγων τό, «Ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη·» καὶ τό· «Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου», κατὰ τὸ ἑσπέρας ἔσεσθαι εἴρηται· ἐν τούτῳ γάρ, φησίν, ἐξελίπομεν· ἐπειδήπερ τὸ πρωῒ ἄνθης γενομένης,

καὶ χλόης καὶ προσκαίρου τινὸς ὡραϊσμοῦ, κατὰ τὴν ἑσπέραν σκληρυνθεῖσα ἡ χλόη καὶ ἀποξηρανθεῖσα ἡ ἄνθη ἐξέλιπε. Καὶ τὰ μὲν τῆς λέξεως τῆς παρούσης προσευχῆς τοῦτον ἔχει τὸν τρόπον· τὰ δὲ τῆς διανοίας οὐκ ἐπιτρέπει ἐπὶ τοὺς Μωϋσέως χρόνους καὶ τὴν κατ' αὐτὸν γενεὰν συνάγειν τὰ εἰρημένα. Οὐ γὰρ ἑσπέρα ἦν τότε, οὐδὲ τὰ ὕστατα τοῦ ἐκ περιτομῆς λαοῦ· ἀρχαὶ δὲ ἦσαν αὐτῶν, καὶ τότε πρῶτον αὐτοῖς ἀνατετάλκει τὸ ἐκ Θεοῦ φέγγος. Διὸ καὶ τὸ πρωῒ ὠνομάσθη ἡ τούτου τε καιροῦ κατάστασις, καὶ ἡ τοῦ Θεοῦ εἰς αὐτοὺς ἐπισκοπή. Ἑσπέρα δὲ τότε αὐτοῖς γέγονεν, ἡ ἐπὶ συντελείᾳ τοῦ αἰῶνος, καθ' ἣν ἔδυ αὐτοῖς ὁ τότε ἀνατείλας Λόγος. Ἀλλὰ τότε μὲν ἀνατέταλκε καὶ πρωΐαν αὐτοῖς εἰργάζετο, ὅτε καὶ ἤνθει τὰ κατ' αὐτοὺς πράγματα. Οὐ παρέμεινε δὲ ἐν τῇ ἀληθείᾳ· ἀλλὰ γὰρ ἀνθήσαντα παρῆλθε, καὶ σκιᾶς δίκην παρέδραμε· διὸ λέλεκται· «Τὸ πρωῒ ὡς ἡ χλόη παρέλθοι.» Μετὰ δὲ τὴν Μωϋσέως τελευτὴν πάλιν ἐν τοῖς μετὰ ταῦτα χρόνοις ἐπιδόντες εἰς αὔξησιν καὶ μείζονα φυήν, οὐδὲ οὕτω διέμειναν, ἀλλὰ παρῆλθον· διὸ καὶ δεύτερον λέλεκται· «Τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι.» Τὰ δέ γε τελευταῖα αὐτῶν μετὰ ταῦτα σημαίνεται διὰ τοῦτο· «Ἑσπέρας ἀποπέσοι, καὶ σκληρυνθείη καὶ ξηρανθείη·» τὸ γὰρ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ. Ὃ δὴ καὶ περὶ αὐτοῖς γέγονεν ἐπιδύντος αὐτοῖς τοῦ τῆς δικαιοσύνης Ἡλίου, κατὰ τὴν φήσασαν προφητείαν· «Καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου.[1]» Ὥσπερ γὰρ περὶ τῶν δικαίων ἐλέχθη τό, «Ἀνατελεῖ τοῖς φοβουμένοις αὐτὸν Ἥλιος δικαιοσύνης[2]», οὕτω καὶ περὶ τῶν ἀσεβῶν εἴρηται τό, «Δύσεται ὁ ἥλιος ἐπὶ τοῖσδε·[3]» καὶ πάλιν ἀλλαχοῦ· «Καὶ δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς.[4]» Ἐπὶ συντελείᾳ τοίνυν τοῦ αἰῶνος μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν, ὅτε αὐτοῖς ἡ ἑσπέρα ἐπῆλθε, δύντος αὐτοῖς ὡς ἀληθῶς τοῦ τῆς ἀληθείας φωτός, ἡ ἔκπτωσις αὐτῶν καὶ ἡ ἀποβολὴ τέλους ἔτυχε, καὶ τὸ παρὸν ἐπληρώθη λόγιον φῆσαν· «Τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη. Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.» Καί μοι δοκεῖ διὰ τούτων ὁ Μωϋσῆς προσευχὴν συντάξαι ἁρμόζουσαν τῇ καταστάσει τοῦ λαοῦ, τῇ μετὰ τὴν παρουσίαν τοῦ Σωτῆρος ἡμῶν. Προφήτης οὖν ὤν, προγνώσει τε θείᾳ τὸ τέλος αὐτῶν τῆς ἀποβολῆς καὶ τὴν ἐσχάτην ἀπόπτωσιν συνορῶν, φάρμακον αὐτοῖς σωτήριον καὶ θεραπευτικὸν ὑπετίθετο, τὴν παροῦσαν προσευχὴν ἐν ἀπορρήτοις, ὡς εἰκός, παραδοὺς αὐτὴν ἔξωθεν τῆς ἄλλης αὐτοῦ γραφῆς τοῖς δυναμένοις τὰ ἀπόρρητα παρ' ἑαυτοῖς κατέχειν· παρ' οἷς καὶ εἰκὸς φυλάττεσθαι αὐτὴν ἰδιαζόντως καὶ λεληθότως μέχρι πολλοῦ· ὕστερόν γε μὴν ἐγκαταλεχθῆναι ἀναγκαίως τῇ βίβλῳ τῶν Ψαλμῶν, ὡς ἂν μὴ τῷ μακρῷ χρόνῳ διαπέσοι λαθοῦσα τοὺς πολλοὺς καὶ ἀμεληθεῖσα.

1. Μιχ. 3, 6. 2. Μαλ. 4, 2. 3. Ἱερ. 15, 9. 4. Ἀμ. 8, 9.

Ἵν' οὖν σῴζοιτο, καὶ παραμένοι γινωσκομένη ὑπὸ πάντων, τῇ βίβλῳ τῶν Ψαλμῶν παρενεβλήθη, μὴ οὖσα ψαλμός. Οὐδὲ γὰρ ψαλμοῦ τι περιέχει· θυμηδίας γὰρ ὁ ψαλμός· ἡ δὲ παροῦσα προσευχὴ ὀργῆς μνημονεύει καὶ θυμοῦ Θεοῦ καὶ ἑτέρων σκυθρωπῶν, ἱλάσκεταί τε τὸ Θεῖον ὑπὲρ τῶν ἀποπεπτωκότων· τὸν ἱλασμὸν τοῦτον Μωϋσέως διὰ τῆς προσευχῆς διδάσκοντος λέγειν τὸν ἀποπεσόντα τοῦ Θεοῦ λαὸν μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν.

Καί μοι δοκεῖ οὐκ ἀσκόπως μετὰ τὸν πη' ψαλμὸν καὶ τὰ δι' αὐτοῦ περὶ τοῦ σπέρματος Δαυῒδ καὶ τοῦ ἐπηγγελμένου αὐτῷ θρόνου θεσπισθέντος ἡ παροῦσα προσευχὴ Μωϋσέως συνῆφθαι· μετά τινος δὲ βαθυτέρας θεωρίας αἰνιττομένου τοῦ λόγου ἀπόπτωσιν ἔσεσθαι καὶ ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους μετὰ τὴν παρουσίαν τοῦ ἐκ σπέρματος Δαυῒδ προελευσομένου· ὃ δὴ καὶ ἐπισφραγίζεται ἡ τῶν πραγμάτων ἔκβασις. Ἀλλὰ γὰρ προσευχὴν αὐτοῖς παραδίδωσιν ὁ Μωϋσῆς, προφητικῇ δυνάμει ἐφαρμόσας τοὺς ἐν τῇ προσευχῇ λόγους τῷ προσώπῳ τοῦ ἐκπεσόντος καὶ ἀποβληθέντος λαοῦ. Ἐπὰν οὖν λέγῃ· «Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν· Καὶ εἶπας· Ἐπιστρέψατε, οἱ υἱοὶ τῶν ἀνθρώπων», τοῦτόν μοι δοκεῖ διδάσκειν αὐτοὺς τὸν νοῦν, προσευχομένους λέγειν· Ὦ Κύριε, σὺ κατὰ χρόνους ἡμῖν γέγονας καταφυγὴ καὶ καθ' ἑκάστην γενεάν· πρῶτον μὲν γὰρ ἐν Αἰγύπτῳ τυγχάνουσιν ἡμῖν, καὶ ὑπὸ τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων καταπονουμένοις καταφυγὴ γέγονας· πάλιν δὲ ἐπὶ τῆς ἐρήμου πολεμούμενοι τοτὲ μὲν ὑπὸ τοῦ Ἀμαλήκ, τοτὲ δὲ ὑπὸ τοῦ Χαναναίου, σὲ καταφυγὴν ἐσχήκαμεν· οὐ μὴν ἀλλὰ καὶ εἰσελθόντες εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὑπὸ ἀλλοφύλοις τε γενόμενοι, πολλάκις τε καὶ μετὰ ταῦτα ἐπὶ τῶν βασιλέων ἡμῶν, καὶ τέλος ἐπὶ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας, σὲ καταφυγὴν ἔσχομεν. Καὶ νυνὶ τοιγαροῦν ἱκετεύομεν τῶν ὁμοίων παρὰ σοῦ τυχεῖν, καί σε κτήσασθαι καταφυγήν· διὸ δεόμεθα, «Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν·» τουτέστι, Μὴ ἀποστρέψῃς ἡμᾶς εἰς τελείαν ἀπόπτωσιν καὶ ταπείνωσιν. Σὺ γὰρ τῇ σῇ φιλανθρωπίᾳ εἶπας, καὶ κηρύγματα πᾶσιν ἀνθρώποις ἐξενήνοχας λέγων· «Ἐπιστρέψατε, οἱ υἱοὶ τῶν ἀνθρώπων.» Εἰ δὴ οὖν πάντα τὰ ἔθνη καὶ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων προσκέκληταί σου ἡ φιλανθρωπία, καὶ τοὺς πάλαι ἀποστραφέντας ἀπὸ σοῦ, καὶ δαίμοσι καὶ πνεύμασι πονηροῖς καταδουλωθέντας ἐπιστραφῆναι ἐπὶ σὲ κελεύσεις, μηδὲ ἡμᾶς ἀποστραφῇς, μηδὲ εἰς παντελῆ ἐρήμωσιν καταλείπῃς ἐλθεῖν τοὺς πάλαι σου γενομένους οἰκείους, οἵτινες πρὸς ὀλίγον ἀνθήσαντες χειμάρρου δίκην παρεδράμομεν. Τὰ γοῦν χίλια ἡμῶν ἔτη, ἐν οἷς ἠκμάσαμεν, ταῦτα παρῆλθεν ὡς ἡ ἐχθές, ἥτις διῆλθε. Γενόμενος δὲ ἐν τούτοις ἐφίστημι πῶς εἴρηται τὰ χίλια ταῦτα ἔτη. Εἰ μὲν γὰρ ἕνεκεν δοξολογίας τοῦ Θεοῦ καὶ εἰς παράστασιν τῆς ἀϊδίου ζωῆς τοῦ Θεοῦ, οὐδὲν οἶμαι τὸν λόγον μεγαλοπρεπὲς περιέχειν. Οὐδὲ γὰρ τὸν σύμπαντα αἰῶνα, οὐδὲ τὸν ἀπὸ πρώτης κτίσεως τοῦ κόσμου καὶ μέχρι τῆς συντε-

λείας παρατείνοντα χρόνον, τὸ ἀκαρὲς ἡγοῦμαι εἶναι, οὐχ ὅτι τῆς ἡμέρας, ἀλλ' οὐδὲ τῆς βραχυτάτης ὥρας παραθέσει τῆς ἀνάρχου καὶ ἀγεννήτου ζωῆς τοῦ Θεοῦ, πρὸ πάντων ὑπάρχοντος αἰώνων, καὶ πρὸ παντὸς ἐπινοουμένου καὶ εἰς ἄπειρον ἐκτεινομένου λογισμοῦ, ὑπέρ τε τοὺς μετὰ ταῦτα ἀπεράντους καὶ ἀτελευτήτους αἰῶνας διαρκοῦντος. Διόπερ ἕτερόν μοι δοκεῖ νοῦν ὑποβάλλειν ἡ παροῦσα προσευχή, διδάσκουσα τὸν λαὸν λέγειν· «"Οτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡ ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί.» Τὰ γοῦν σεμνὰ τῆς Ἱερουσαλήμ, ἐν οἷς τὸ πᾶν ἔθνος αὐτῶν ἤκμασέ τε καὶ ἤνθησεν ἐν ἡμέραις, ὥσπερ καὶ φωτὶ γέγονε, ταῦτ' ἦν τὰ χίλια ἔτη. Ἐπὶ μόνοις γὰρ χιλίοις ἔτεσι συνέστηκε καὶ διήρκεσε τὰ τῆς ἐν τόπῳ λατρείας· ἃ δὴ καὶ ἀριθμεῖται τοῦτον τὸν τρόπον. Ἀπὸ μὲν τῆς πρώτης τοῦ ἱεροῦ κατασκευῆς καὶ τῶν Σολομῶντος χρόνων μέχρι τῆς ὑπὸ Βαβυλωνίων πολιορκίας ἔτη συνάγεται υλβ'· μετὰ δὲ ταῦτα εἰς ἔρημον περιστάντος τοῦ τόπου, αὖθις Ἰησοῦς καὶ Ζοροβάβελ, ὁ τοῦ Σαλαθιήλ, κατὰ τὸ δεύτερον ἔτος Δαρείου τοῦ Πέρσου ἀνανεοῦσι τὸν οἶκον· ἐξ ἐκείνου τε καὶ ἐπὶ τὸ πεντεκαιδέκατον ἔτος Τιβερίου Καίσαρος ἔτη συνάγεται φμη'· ὥστε εἶναι τὰ πάντα ϡπ'. Διέμεινέ τε χειμαζομένη καὶ ἀστατοῦσα ἡ πόλις μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν ἑτέροις ἔτεσι μ'· μεθ' ἃ ὁ παντελὴς αὐτοὺς μετῆλθεν ὄλεθρος, καὶ ἡ ὑστάτη πολιορκία, ἡ ὑπὸ Ῥωμαίων γενομένη κατὰ Τίτον καὶ Οὐεσπασιανὸν αὐτοκράτορας.

Ταῦτ' οὖν τὰ χίλια ἔτη περὶ ὧν εἴρηται, «Ὡς ἡ ἡμέρα ἡ ἐχθές, ἥτις διῆλθεν.» Διελθόντα γὰρ ταῦτα καὶ μηκέτι ὄντα ἀποκλαίονται οἱ διὰ τῆς προσευχῆς τὸν Θεὸν ἱλεούμενοι· ἀλλὰ καὶ ὡς φυλακὴν νυκτερινὴν ταῦτά φασι τὰ χίλια ἔτη παρεληλυθέναι. Λύχνος γὰρ ἦν ὁ Μωϋσέως νόμος ἐν νυκτὶ φαίνων αὐτοῖς· ἀλλὰ καὶ οἱ προφῆται, οἱ μετὰ Μωϋσέα, λύχνοι ἦσαν ἢ καὶ ἀστέρες ἐν νυκτὶ φαίνοντες, οὔπω τοῦ φωτὸς τοῦ ἡλιακοῦ, τουτέστι τοῦ σωτηρίου Λόγου, τὴν οἰκείαν ἡμέραν τε καὶ μεσημβρίαν πᾶσι τοῖς ἔθνεσιν ἐπιλάμψαντος. Φυλακὴ δὲ νυκτερινὴ καιρὸς ὠνόμασται τῆς νυκτός· τοῦτο δὲ νοήσεις ἀπὸ τοῦ Εὐαγγελίου, ἐν ᾧ εἴρηται· «Τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἦλθεν ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης·[1]» καὶ πάλιν· «Εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται.[2]» Δηλοῦται τοίνυν τὰ χίλια ἔτη οὐχ ὡς ἡ ἡμέρα ἡ παρελθοῦσα, καὶ μηκέτ' οὖσα μόνον, ἀλλὰ καὶ ὡς βραχύ τι μόριον νυκτός, ὡς μηδὲ ὅλην νύκτα νοῆσαι, ἀλλὰ μέρος τι ταύτης, ἐν ᾧ τὴν φυλακὴν τῆς σωματικῆς τοῦ νόμου λατρείας περιεῖπον. Τούτοις ἑξῆς εἴρηται· «Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται.» Δοκεῖ μοι καὶ ἡ τούτων διάνοια τοιαύτη τις εἶναι· Τὰ ἔτη αὐτῶν ἐξουδενώματα ἔσονται. Οὐκ ἔτι γὰρ ἔντιμα ἔτη, οὐδὲ σπουδαῖα καὶ ἀναγκαῖα, ἀλλ' ἐξουθενημένα καὶ εἰς τὸ μηδὲν

1. Ματθ. 14, 25. 2. Ματθ. 24, 43.

λελογισμένα γενήσεται. Πῶς δὲ εἰς οὐδὲν λελογισμένα γενήσεται αὐτῶν τὰ ἔτη, διασαφεῖ λέγων ἑξῆς· «Τὸ πρωῒ ὡς ἡ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη, ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου.» Πάλαι μὲν οὖν, φησίν, ὅτε ἀρχὰς εἶχε τὰ καθ' ἡμᾶς καὶ ἐν πρωΐᾳ ἦμεν, γεγόναμεν ὡς ἡ χλόη· ἀλλὰ παρελθούσης ἐκείνης τῆς γενεᾶς, παρῆλθεν ἡ χλόη. Μετὰ ταῦτα δὲ ἠνθήσαμεν, μεῖζόν τε καὶ πλέον τῆς χλόης ἐσχήκαμεν, ὥστε καὶ ἄνθος ἐν ἡμῖν εὑρεθῆναι· καὶ τοῦτο δὲ παρῆλθε τὸ ἄνθος. Ἐπ' ἐσχάτων δὲ τῶν καιρῶν, δύντος ἡμῖν παντελῶς τοῦ φωτός, καὶ ἑσπέρας ἡμᾶς καταλαβούσης, ἀποπεπτώκαμεν σκληρυνθέντες καὶ ξηρανθένες· καὶ ταῦτα πεπόνθαμεν, «Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν.» Δύναται δὲ καὶ καθ' ἑτέραν διάνοιαν φυσικὸν λόγον ἀποδιδόναι διὰ τούτων ἡ λέξις, ὡς τῆς ἀνθρωπίνης φύσεως ἐν μὲν τῇ νεότητι δίκην ἁπαλῆς χλόης βλαστώσης, μετὰ δὲ ταῦτα ἐν τῇ ἀκμῇ τῆς ἡλικίας ἀνθούσης· εἶθ' ὕστερον ἐπὶ γήραος οὐδῷ ἀποπιπτούσης, οὐκ ἄλλως ἢ πρῶτον σκληρυνομένης κατὰ τὸ γῆρας, ἔπειτα παντελῶς ξηραινομένης. Ἑσπέραν δὲ σημαίνεσθαι τὰ τελευταῖα τῆς τῶν ἀνθρώπων ζωῆς.

Στίχ. η'-ι'. «Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου· ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον, καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν.» Ὁ Σύμμαχος· «Προσέθηκας τὰς ἀνομίας ἡμῶν ἄντικρύς σου, τὰς ἀμελείας ἡμῶν φαίνεσθαι τῷ προσώπῳ σου. Πᾶσαι γὰρ αἱ ἡμέραι ἡμῶν διέδρασαν, ἐν τῷ χόλῳ σου ἀνηλώθημεν.»

Καὶ ταῦτα λέγειν ἁρμόζει τῇ παρούσῃ καταστάσει τοῦ λαοῦ τοῦ ἐκ περιτομῆς. Νῦν γὰρ ὡς ἀληθῶς πᾶσαι αἱ πρότεραι ἡμέραι αὐτῶν ἐξέλιπον, ὅτε ἡ ἑσπέρα αὐτοὺς κατέλαβε, καὶ ὅτε ἐξέλιπον ἐν τῇ ὀργῇ τοῦ Θεοῦ. Ἐπειδὴ πάλαι μὲν παρῄει καὶ ὑπερέβαινε τὰς ἀνομίας αὐτῶν, μετὰ δὲ τὴν κατὰ τοῦ Σωτῆρος ἐπιβουλὴν ἐπληροῦτο εἰς αὐτοὺς τό· «Οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν·[1]» διό φησιν· «Ἔθου τὰς ἀνομίας ἡμῶν ἐναντίον σου,» καί, «Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου.» Ἀνθ' οὗ σαφέστερον ὁ Σύμμαχος ἀπέδωκεν εἰπών· «Τὰς ἀμελείας ἡμῶν φαίνεσθαι τῷ προσώπῳ σου. Τὰ ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων. Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ο' ἔτη. Ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη, καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος.» Ἐνταῦθα κατὰ καιρὸν παραθετέον τὴν Ἡσαΐου προφητείαν, δι' ἧς φησιν· «Ὠὰ ἀσπίδων ἔρρηξαν καὶ ἱστὸν ἀράχνης ὑφαίνουσι.[2]» Ταῦτα δὲ ἐθέσπιζεν ὁ Προφήτης ἀναπέμπων τὸν λόγον ἐπὶ τὴν κατάστασιν τοῦ λαοῦ τὴν μετὰ τὴν παρουσίαν τοῦ Σωτῆρος ἡμῶν, καθ' ἣν οἱ ἄρχοντες αὐτῶν δίκην ὄρνιθος τικτούσης τὰ ἑαυτῶν ἀπογεννώμενα τοσαῦτα προβάλλονται, ὡς ἀσπίδος ὁμοιοῦσθαι γεννή-

1. Ἡσ. 1, 14. 2. Ἡσ. 59, 5.

μασι διὰ τὸν ἐνιέμενον ὑπ' αὐτῶν τῆς κατὰ τοῦ Σωτῆρος ἡμῶν βλασφημίας ἰὸν καὶ τῆς ἄλλης εἰς αὐτὸν ἀπιστίας. Πάλαι μὲν οὖν ὕφαινον χιτῶνας τῷ ἀρχιερεῖ καὶ στολὰς ἁγίας· νῦν δὲ πᾶσαν τὴν ὑφὴν αὐτῶν καὶ τὴν διὰ τοῦ λόγου κατασκευαζομένην διδασκαλίαν, ἣν διὰ τῆς τῶν θείων Γραφῶν συμπλοκῆς τε καὶ ὑφάνσεως προβάλλονται, ἀράχνης ὑφάσματι παρείκασεν ὁ προφητικὸς λόγος. Διό φησιν· «Ἱστὸν ἀράχνης ὑφαίνουσι.» Καὶ ὁ παρὼν δὲ ψαλμός, τὴν ἐκ προσώπου αὐτῶν περιέχων ἐξομολόγησιν, φησί· «Τὰ ἔτη ἡμῶν ὡς ἀράχνη ἐμελέτων.» Ἄντικρυς γὰρ τὰς μελέτας τῶν Γραφῶν ἐν αἷς κατατρίβονται, καὶ τὰς δευτερώσεις, δι' ὧν ὑφάσματά τινα διδασκαλίας δοκοῦσιν ἀπεργάζεσθαι, ἀράχνης ἀπείκασεν ἔργοις. Ἀλλὰ καὶ τὴν ζωὴν αὐτῶν μόνην φασὶν εἶναι τὴν πρόσκαιρον ἐν ο' καὶ π' ἔτεσι συμπεραιουμένην. Τοῦτο δέ φασι τὴν αἰώνιον καὶ μέλλουσαν ζωὴν τὴν τοῖς θεοφιλέσιν ἐπαγγελλομένην ἀπογινώσκοντες.

Στίχ. ια', ιβ'. «Ὅτι ἐπῆλθε πραΰτης καὶ παιδευθησόμεθα. Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι; τὴν δεξιάν σου οὕτω γνώρισον, καὶ τοὺς πεπαιδευμένους τῇ καρδίᾳ ἐν σοφίᾳ.»

Ἀντὶ τοῦ, «Ὅτι ἐπῆλθε πραΰτης καὶ παιδευθησόμεθα», ὁ Σύμμαχός φησι· «Τμηθέντες γὰρ ἄφνω ἐκπεταννύμεθα.» Ἔχεται δὲ τῆς προδηλωθείσης διανοίας καὶ ὁ παρὼν λόγος. Τὰ γὰρ ἔτη ἡμῶν, φησί, τὰ τῆς προσκαίρου ζωῆς εἰς ο' καὶ π' ἀριθμὸν ἐτῶν συντείνει· καὶ αὕτη ἐστὶν ἡ ἡμῶν ἐλπίς, μεθ' ἣν οὐδεμία ἄλλη ἡμᾶς διαδέξεται· τμηθέντες γὰρ ἄφνω κατὰ τὴν τελευτήν, ἐκπεταννύμεθα· μετὰ δὲ ταῦτα τί ποτε ἡμᾶς διαδέξεται, τίς οἶδε; Τίς γὰρ ἑρμηνεῦσαι δύναται, ἢ καὶ ἀκριβῶς γνῶναι καὶ ἐξειπεῖν, ὁποία τίς ἐστιν ἡ μετὰ ταῦτα τοὺς ἁμαρτωλοὺς καταληψομένη ὀργή; Διό φησι· «Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου, καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου;» Τίς δὲ οἷός τέ ἐστιν ἐξαριθμήσασθαι τὴν δεξιάν σου; Ἀλλὰ σύ γε ἡμῖν ὁ Θεὸς ἐντεῦθεν ἤδη γνώρισον τὴν δεξιάν σου, εἰς τὸ δύνασθαι ἡμᾶς νοεῖν τε αὐτὴν καὶ τὰς δυνάμεις αὐτῆς ἀπαριθμεῖσθαι. Δεξιὰν δὲ Θεοῦ τὸν Χριστὸν αὐτοῦ πολλάκις ἐδίδαξαν οἱ ἱεροὶ λόγοι. Παιδεύονται τοίνυν οἱ δηλούμενα μετὰ τὴν ἐξομολόγησιν εὔχεσθαι καταξιωθῆναι πρῶτον μὲν τῆς τοῦ Θεοῦ πραΰτητος, ὡς ἂν παιδευθεῖεν δι' αὐτῆς· ἔπειτα τῆς δεξιᾶς αὐτοῦ, δηλαδὴ τῆς γνώσεως τοῦ Χριστοῦ αὐτοῦ, τῶν τε παραδόξων αὐτοῦ δυνάμεων, ὡς ἂν βελτίους αὐτῶνγένοιντο ἀπὸ τῆς τούτων γνώσεως, καὶ ὡς ἄν, παιδευθέντες τὴν διάνοιαν, μετάσχοιεν τῆς τοῦ Θεοῦ σοφίας· «Χριστὸς δὲ Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία.[1]»

Στίχ. ιγ'-ιζ'. «Ἐπίστρεψον, Κύριε, ἕως πότε, καὶ παρακλήθητι ἐπὶ τοὺς δούλους σου. Ἐνεπλήσθημεν τῷ πρωῒ τοῦ ἐλέους σου, καὶ ἠγαλλιασάμεθα καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὐ-

1. Α' Κορ. 1, 24.

φράνθημεν ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν· καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.»

Ἀκολούθως μετὰ τὴν ἐξομολόγησιν τὴν διὰ τῶν προτεινομένων παραδοθεῖσαν, ἔτι τὴν προσευχὴν ὁ Μωϋσῆς διδάσκει τοὺς μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν ἀποπεπτωκότας τοῦ Ἰσραήλ, εἰς τὸ λέγειν αὐτοὺς προσευχομένους, μετὰ τῶν ἀποδοθέντων καὶ τὰ προκείμενα· ὧν τὴν διάνοιαν σαφέστερον ἡρμήνευσεν ὁ Σύμμαχος, τοῦτον ἀποδοὺς τὸν τρόπον· «Ἐπιστράφηθι, Κύριε, ἕως πότε· παρακλήθητι ὑπὲρ τῶν δούλων σου. Χόρτασον ἡμᾶς ὀρθρινοῦ ἐλέους σου, ἵνα ὑπνώσωμεν καὶ εὐφρανώμεθα ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν. Εὔφρανον ἡμᾶς πάσας ἡμέρας ἃς ἐκάκωσας ἡμᾶς, ἔτη ἐν οἷς εἴδομεν κακά. Φανήτω παρὰ τοῖς δούλοις σου τὰ ἔργα σου, καὶ τὸ ἀξιοπρεπὲς ἐπὶ τὰ τέκνα ἡμῶν· καὶ ἔστω τὸ κάλλος τοῦ Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐπάνω ἡμῶν, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν ἑδραῖα ποίησον ὑπὲρ ἡμῶν, καὶ τὴν πρᾶξιν τῶν χειρῶν ἡμῶν ἐπιτέλεσον.» Διδάσκει δὲ διὰ τούτων αἰτεῖσθαι τυχεῖν τοῦ ὀρθρινοῦ ἐλέους, ὡς ἂν καταξιωθεῖεν τῆς ἀνατολῆς τοῦ Σωτῆρος. Τὸ ὀρθρινὸν γὰρ ἔλεος Χριστοῦ τὸ ἐπὶ πάντας ἀνατεῖλαν ἀνθρώπους. Ὡς γὰρ πάλαι γέγονε πρωΐα τῷ προτέρῳ λαῷ κατὰ τὴν ἐπισκοπὴν ἧς κατηξιώθησαν ἐν Αἰγύπτῳ διατρίβοντες, οὕτως ἐπ' ἐσχάτου τῶν ἡμερῶν τὸ ὀρθρινὸν ἔλεος τοῖς πᾶσιν ἐξέλαμψε τοῖς ἔθνεσι διὰ τῆς σωτηρίου ἀνατολῆς, ἧς καταξιωθῆναι διδάσκονται οἱ δηλωθέντες διὰ τῆς προσευχῆς αἰτεῖν· ἀλλὰ καὶ λέγειν μετὰ τῶν ἄλλων· «Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ φανήτω παρὰ τοῖς δούλοις σου τὰ ἔργα σου καὶ τὸ κάλλος Κυρίου τοῦ Θεοῦ ἡμῶν·» ὡς ἂν καὶ αὐτοὶ καταξιωθεῖεν τῆς σωτηρίου θεοφανείας, καὶ τῆς ἐνθέου δόξης αὐτοῦ, τοῦ τε κάλλους, περὶ οὗ εἴρηται, «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων[1]», καὶ τῶν λοιπῶν ἁπάντων τῶν κατὰ τὸν Χριστὸν τοῦ Θεοῦ ἐπινοουμένων ἀγαθῶν.

## Ϟ'

Στίχ. α', β'. «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.»

Ἀνεπίγραφος ὁ ψαλμός. Μήποτε δὲ οὔτε ψαλμὸς τυγχάνει, ἀλλά τις προφητεία βαθυτέρους περιέχουσα λόγους περὶ Χριστοῦ καὶ τῶν ἐν αὐτῷ τελειουμένων; Πολλὴν δὲ ἀσυμφωνίαν ἔχει τὰ προκείμενα πρὸς τὸν ἀνωτέρω ψαλμὸν τὴν ἀκολουθίαν. Ὁ μὲν γὰρ τὴν ἐσχάτην ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους διὰ τῆς Μωϋσέως προσευχῆς ἐθέσπι-

1. Ψαλμ. 44, 3.

ζεν· ὁ δὲ παρὼν τοὺς ἀγῶνας καὶ τὰ πειρατήρια τοῦ κατὰ Κύριον τελειουμένου περιέχει· ἀλλὰ καὶ αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν τὸν ἐν τῇ ἐρήμῳ πειρασμὸν προφητεύει, ὅτε ἀνήχθη ὑπὸ τοῦ Πνεύματος εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ τὴν ἐπὶ πᾶσι νίκην αὐτοῦ. Τί δὴ οὖν φησιν ὁ προφητικὸς λόγος; Ὁ μὲν πρότερος λαὸς ὁ διὰ τῆς προηγουμένης Μωϋσέως προσευχῆς ἀποκλαυσάμενος ὁμολογεῖ φάσκων, «Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου», καὶ τὰ λοιπά, ὅσα ἐδηλοῦτο διὰ τῶν ἐμφερομένων· ὁ δὲ μέλλων συστήσεσθαι μετ' ἐκεῖνον τῷ Θεῷ διὰ τοῦ Χριστοῦ λαός, ἐπὶ τῇ βοηθείᾳ τοῦ Ὑψίστου πεποιθώς, καὶ ἀεὶ ἐν αὐτῇ κατοικῶν, ἀτάραχος καὶ ἀσάλευτος διαμένει· ὡς ἄν, ὑπὸ τὴν σκέπην τοῦ Θεοῦ αὐλιζόμενος, οὐδένα τε τῶν πειρασμῶν ἐπιστραφήσεται, ἀλλ' ἐφ' ἑκάστῳ ἐρεῖ τῷ Κυρίῳ· «Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, ἐλπιῶ ἐπ' αὐτόν.» Ἀντὶ δὲ τοῦ, «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου», ὁ μὲν Σύμμαχος, «Ὁ κατοικῶν ὑπὸ σκέπην τοῦ Ὑψίστου·» ὁ δὲ Ἀκύλας, καὶ ἡ πέμπτη ἔκδοσις, «Ὁ καθήμενος ἐν ἀποκρύφῳ Ὑψίστου», ἐκδεδώκασι· σημαίνοντος τοῦ λόγου τοῦ κατὰ Θεὸν ἐν Χριστῷ ἀγωνιζομένου τὸ ἑδραῖον καὶ ἀπτόητον τῆς διανοίας, καὶ ὡς ἐν ἀποκρύφῳ τῆς αὐτοῦ ψυχῆς ἔνοικος ἐγκαθέζεται καὶ βοηθὸς αὐτὸς ὁ Ὕψιστος. Πάλιν δὲ ἀντὶ τοῦ, «Ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται», ὁ μὲν Ἀκύλας, «Ἐν σκέπῃ ἱκανοῦ αὐλισθήσεται·» ὁ δὲ Σύμμαχος, «Ὑπὸ σκιὰν τοῦ ἱκανοῦ νυκτερεύων», εἰρήκασιν. Ἀλλὰ ταῦτα μὲν ὡς ἐν προοιμίοις τὸ ἅγιον Πνεῦμα διελάλησε· τὰ δ' ἑξῆς αὐτῷ προσφωνεῖ, καὶ τὸν πάντα λόγον εἰς αὐτοῦ πρόσωπον ἀποτείνεται, ἤτοι τοῦ τῷ Χριστῷ ἀγωνιζομένου καὶ νικῶντος, ἢ καὶ τοῦ κατὰ τὸν Σωτῆρα νοουμένου ἀνθρώπου, ᾧ δίκην ὀργάνου κέχρητο ὁ προὼν τοῦ Θεοῦ Λόγος· καὶ γὰρ οὗτος, ἐν βοηθείᾳ κατοικῶν τοῦ Ὑψίστου, ὑπὸ τὴν σκέπην ηὐλίζετο τοῦ ἐνοικοῦντος αὐτῷ Θεοῦ Λόγου, ἐπισκιάζοντος αὐτῷ τῇ αὐτοῦ θεότητι, εἶχέ τε ἀντιλήπτορα καὶ καταφυγὴν καὶ ἐλπίδας αὐτοῦ τὴν πληροῦσαν αὐτὸν τοῦ Θεοῦ Λόγου δύναμιν. Ὥσπερ δὲ σῶμα Χριστοῦ τὸ ἀνθρώπειον αὐτοῦ ὄργανον ἐχρημάτισεν, οὕτω καὶ ὁ λαὸς αὐτοῦ Χριστοῦ σῶμα προσηγόρευται ὑπὸ τοῦ ἱεροῦ Ἀποστόλου λέγοντος· «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους.[1]»

Εἰκότως τοιγαροῦν τὰ ἐν τοῖς προκειμένοις λεγόμενα ὡς περὶ τοῦ σώματος Χριστοῦ ἀναφέροιτ' ἂν καὶ εἰς τὸ ἀνθρώπειον τοῦ Σωτῆρος ἡμῶν, καὶ εἰς τὸν ἐν αὐτῷ τελειούμενον. Ὧν οὕτως εἰρημένων, ἑξῆς ὁ λόγος διεξέρχεται ὅσα παρὰ τοῦ Θεοῦ ὑπάρξει τῷ κατοικοῦντι ἐν βοηθείᾳ τοῦ Ὑψίστου καὶ αὐλιζομένῳ ὑπὸ τὴν σκέπην τοῦ Θεοῦ, λέγοντί τε τῷ Κυρίῳ· «Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.» Τίνα δέ ἐστι τὰ περὶ αὐτὸν γενησόμενα, καταλέγει διὰ τῶν ἑπομένων,

1. Α' Κορ. 12, 27.

Στίχ. γ', θ'. «Ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν, ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου.»

Πολλὰς ἐπαναστάσεις ὁ λόγος προαγορεύει γενήσεσθαι τῷ προφητευομένῳ. Οὗτος δὲ ἦν σπάνιός τις καὶ θαυμαστός, ἐν ἀποκρύφῳ τοῦ Ὑψίστου καθήμενος, ὑπὸ τὴν σκιὰν τοῦ ἱκανοῦ αὐλιζόμενος, καὶ λέγων τῷ Κυρίῳ· «Ἀντιλήπτωρ μου καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν·» ἢ κατὰ τὸν Ἀκύλαν, «Ὁ Θεός μου, πεποιθήσω ἐν αὐτῷ·» ἤ, «Ὁ Θεός μου, καὶ εὐθαρσήσω ἐν αὐτῷ», κατὰ τὸν Σύμμαχον. Τούτῳ δὴ οὖν τῷ τῶν εἰρημένων τρόπῳ ἀνακειμένῳ τῇ τοῦ Θεοῦ βοηθείᾳ ἐπιβουλαί τινες καὶ συσκευαὶ μυρίων κατ' αὐτοῦ στρατευομένων ἐπανέστησαν· παγίδες γοῦν θηρευτῶν ὠνομάσθησαν, καὶ λόγοι ταραχώδεις, καὶ φόβος νυκτερινός, καὶ βέλος πετόμενον ἡμέρας, καὶ πρᾶγμα ἐν σκότει διαπορευόμενον, καὶ σύμπτωμα δαιμονίου μεσημβρινοῦ· καὶ πρὸς τούτοις ἅπασι χιλιάδες καὶ μυριάδες· αἱ μὲν χιλιάδες τὰ ἀριστερὰ αὐτοῦ ἀπολαμβάνουσαι, αἱ δὲ τὰ δεξιὰ μυριάδες. Αὗται γὰρ τοῖς δεξιοῖς ὡς ἂν κραταιοτέροις καὶ ἰσχυροτέροις μέρεσιν ἐπεβούλευον. Τούτων δὲ πάντων οὐδὲν προσψαύειν τῷ περὶ οὗ ὁ λόγος προφητεύει. Ἔτι δὲ πρὸς τούτοις ἐπιβήσεσθαι λέγεται, ὅτι καὶ ἐπάνω ὄφεων καὶ σκορπίων· μικρὰ γὰρ ἦν ταῦτα· ἀλλ' ἐπ' ἀσπίδα καὶ βασιλίσκον, καταπατήσειν τε λέοντα καὶ δράκοντα· ἃ δὴ βασιλικώτατα καὶ ἀρχικώτατα τῶν ἐν θηρίοις καὶ ἑρπετοῖς τυγχάνει. Οἶμαι γοῦν διὰ τούτων τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου σημαίνεσθαι, καὶ τὰς ἀοράτους καὶ ἀρχοντικὰς δυνάμεις. Πλὴν ὅμως ὁ προφητευόμενος καταπατήσειν ἀθρόως λέγεται τὰς πάσας. «Ἐπιβήσῃ» γάρ, φησίν, «ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.[1]»

Τίς οὖν γένοιτ' ἂν τοιοῦτος, ὡς ἐφαρμόζειν αὐτῷ δύνασθαι τὰ τοιαῦτα, καὶ ὃς ὁ λαὸς μὲν ἐχθρῶν μὲν μυριάδας ἐπιστρατεύεται αὐτοῦ τοῖς δεξιοῖς, τοῖς δὲ κατὰ θάτερον μέρος χιλιάδας, μὴ τολμᾶν δὲ αὐτοῦ προσψαύειν, καταπίπτειν δὲ ἔμπροσθεν αὐτοῦ, φέρε κατανοήσωμεν. Φημὶ δὲ καθ' ἕνα τρόπον ἀναφέρεσθαι ταῦτα ἐπὶ τὸν ἐν Χριστῷ τετελειωμένον ἄνθρωπον· οἷος ἦν ὁ Παῦλος λέγων· «Οἶδα ἄνθρωπον ἐν Χριστῷ·[2]» ἐπὶ πάντα τε τὸν ὁμοίως ἐκείνῳ λέγειν δυνάμενον·

1. Ψαλμ. 90, 13. 2. Β' Κορ. 12, 2.

«Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ; θλῖψις, ἢ στενοχωρία, ἢ διωγμός, ἢ λιμός, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα;[1]» καὶ πάλιν· «Πέπεισμαι γάρ, ὅτι οὔτε θάνατος, οὔτε ζωή, οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε δυνάμεις, οὔτε ὕψωμα, οὔτε βάθος, οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ·[2]» ὁ δὲ πρὸς τούτοις οἷός τε ὢν λέγειν· «Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν[3]», ἄξιος ἂν γένοιτο τοῦ καὶ ἐπ' αὐτῷ λεχθῆναι τὰς προκειμένας φωνάς. Ὁ γὰρ τοιοῦτος, κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, καὶ ἐν σκέπῃ τοῦ Θεοῦ αὐλιζόμενος, ἐρεῖ τῷ Κυρίῳ· «Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός, καὶ ἐλπιῶ ἐπ' αὐτόν.» Ταῦτα δὲ αὐτοῦ διαθέσει τελείᾳ εἰρηκότος, θεσπίζει αὐτῷ τὸ θεῖον Πνεῦμα, ὅτι δὴ ἀσφαλῆ εἵλατο φύλακα, καὶ καλὴν ἐκτήσατο καταφυγὴν τὸν Κύριον. Τοιοῦτον γὰρ ἔχων βοηθὸν καὶ πρόμαχον καὶ ὑπερασπιστήν, οὐδένα τῶν ἐχθρῶν φοβηθήσεται, ἅτε αὐτοῦ τοῦ Κυρίου ῥυομένου αὐτὸν ἐξ ἁπάντων. Καὶ γὰρ ἐκ παγίδος θηρευτῶν ἐξελεῖται αὐτόν, καὶ ἀπὸ λόγου ταραχώδους τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει αὐτῷ· καὶ πάντα δὲ τὰ ἑξῆς κατηριθμημένα ἐπὶ πάντα τὸν ἐν Χριστῷ τέλειον ἄνθρωπον ἀνενεχθήσεται, καὶ ἐπὶ τὸ σῶμα δὲ Χριστοῦ, ἤτοι τὸν ἐκ τελείων ψυχῶν κατεσκευασμένον μαρτύρων χορόν· ἢ τὴν τελείαν Ἐκκλησίαν αὐτοῦ, ἣν αὐτὸς ἑαυτῷ παρεστήσατο, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. Ὁ γοῦν ἐπὶ τὴν πέτραν οἰκοδομήσειν ἐπηγγελμένος τὴν Ἐκκλησίαν αὐτοῦ, ὡς μὴ πύλας ᾅδου κατισχύσειν αὐτῆς, αὐτὸς αὐτῆς καὶ φύλαξ καὶ φρουρὸς ἔσται, περιφράττων αὐτὴν καὶ ἀσφαλιζόμενος, πρὸς τὸ μὴ τὰς πύλας τοῦ ᾅδου κατισχύειν αὐτῆς. Διὸ τῇ τοιαύτῃ Ἐκκλησίᾳ, καὶ τῷ τοιούτῳ δὴ Χριστοῦ μαρτύρων χορῷ, τῷ κατοικίαν μὲν μηδαμῶς ἔχοντι ἐπὶ γῆς, δυναμένῳ δὲ λέγειν, «Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει[4]», λεχθήσεται· «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.» Εἶτ' ἐρεῖ μὲν αὐτὸς τῷ Κυρίῳ, οὗ εἵλατο κατοικεῖν ὑπὸ τὴν σκέπην· «Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.» Κτησαμένῳ δὲ αὐτῷ τοιοῦτον φύλακα καὶ τοιοῦτον σωτῆρα καὶ βοηθὸν ἐπιγραψαμένῳ λεχθήσεται ὑπὸ τοῦ θείου Πνεύματος, ὡς ἄρα εἴη καλὴν εὑράμενος ἑαυτῷ μερίδα καὶ τεῖχος ὀχυρόν, ὅπλον τε ἄμαχον τὸν ἑαυτοῦ Κύριον. Τοῦτον γὰρ ἔχων ἐν ἀσφαλεῖ καὶ ἀμερίμνως οἰκήσει, ἅτε κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, καὶ ἐν σκέπῃ τοῦ ἱκανοῦ αὐλιζόμενος.

Εἰ γοῦν ποτε, φησίν, οἱ τῶν ἀνθρωπείων ψυχῶν θηρευταί, ἀφανεῖς καὶ ἀόρατοι δυνάμεις κατὰ τὸ σύνηθες αὐτοῖς παγίδας λαθραίως ἐγκρύπτοντες, προβάλλεσθαι κατὰ σοῦ πειρῷντο, οὐδὲν αὐτοῖς ἔσται πλέον· ὅτι αὐτὸς Κύριος ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, «Ἡ παγὶς

1. Ῥωμ. 8, 35. 2. Ῥωμ. 8, 38-39. 3. Ῥωμ. 8, 37. 4. Φιλιπ. 3, 20.

συνετρίβη, καὶ ἡμεῖς ἐρρύσθημεν.[1]» Εἰ δὲ καὶ λόγοις θορυβεῖν ἐπιχειροῖεν ἱέντες ἑαυτῶν τὸν τῆς ἀσεβείας ἰὸν διὰ τῆς ἑαυτῶν γλώσσης, ἀλλὰ καὶ τούτων αὐτῶν πάλιν ὁ Κύριος ἀβλαβῆ τὸν ἑαυτοῦ ἄνθρωπον φυλάξει. Ἵνα μὴ ὁ φλογμὸς τοῦ τῶν ἀνθρώπων βίου καὶ ὁ τῆς κακίας καύσων, ἐπὶ πλεῖον ἐκκαυθείς, ἐξάψῃ τὰ κακὰ κατὰ τοῦ τῆς εὐσεβείας ἀθλητοῦ, θεσπίζει φάσκων ὁ λόγος αὐτῷ· «Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.» Εἰ δὲ καὶ πολεμίων στίφη πεπυρωμένα καὶ θανατηφόρα βέλη λόγων ψευδῶν καὶ τῆς ἀληθείας ἐναντίων ἀκοντίζοι κατὰ τοῦ δηλουμένου, αὐτὸς μὲν ἡσυχάσει νόμῳ θείῳ πειθαρχῶν λέγοντι· «Κύριος πολεμήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε·» λεχθήσεται δὲ αὐτῷ κατὰ καιρὸν τό, «Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.» Αὕτη γὰρ ἡ ἀλήθεια τῶν Χριστοῦ δογμάτων, μεγάλην κεκτημένη δύναμιν, τὸν ἔχοντα αὐτὴν περιφράξει, κυκλοῦσα αὐτόν, καὶ περιβάλλουσα τῷ ἑαυτῆς ὅπλῳ, πρὸς τὸ μήτε νυκτὸς ἐπελθούσης, μήτε σκοτίας καταλαβούσης δεδιέναι, μηδ᾽ ὑπὸ φόβων ταράττεσθαι, μήτε τῶν ἐν ἡμέρᾳ πεμπομένων βελῶν φροντίζειν. Δηλοῖ δὲ διὰ μὲν τῆς νυκτὸς καὶ τῆς σκοτίας τοὺς περιστατικοὺς καιρούς, καθ᾽ οὓς φησι μηδὲν φοβηθήσεσθαι τὸν ὑπὸ τοῦ τῆς ἀληθείας ὅπλου περιπεφραγμένον· διὰ δὲ τῆς ἡμέρας τοὺς ἐν γαλήνῃ καὶ εὐδίᾳ καὶ εἰρηνικῇ καταστάσει, καθ᾽ οὓς πόρρωθεν βέλη πετόμενα καθ᾽ ἡμῶν πέμπειν εἰώθασιν οἱ ἐχθροί, τοὺς βλασφήμους καὶ ἀσεβεῖς ἑαυτῶν λόγους. Κατὰ γὰρ τοὺς τῶν διωγμῶν καιρούς, οὐ πόρρωθεν ἑστῶτες βέλη πέμπουσιν, ἀλλ᾽ ἐγγύθεν ὁρμῶντες, καταπιεῖν ἡμᾶς ὅλους οἷα θανάτου φίλοι πειρῶνται· ὃς κατέπιε τότε ἰσχύσας. Ἀλλ᾽ ἡμεῖς γε, τῷ δηλωθέντι ὅπλῳ πεφυλαγμένοι, ἐροῦμεν· «Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ᾽ ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.[2]» Οὔτ᾽ οὖν ἡμέρας οὔτε νυκτὸς δυνήσονταί τι καθ᾽ ἡμῶν οἱ ἐχθροὶ διὰ τὸν ὑπερμαχοῦντα ἡμῶν Κύριον. Διὸ λέλεκται· «Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου·» ἀλλ᾽ οὐδὲ «ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ» φοβηθησόμεθα. Εἰ δὲ καὶ χιλιάδες καὶ μυριάδες ἀοράτων ἢ καὶ ὁρατῶν ἐχθρῶν καὶ πολεμίων κατὰ τοῦ λαοῦ τοῦ Χριστοῦ καὶ κατὰ τῆς Ἐκκλησίας αὐτοῦ ἐπαναστατεῖν, ἀλλὰ καὶ πάντας ἀθρόως ὁμοῦ καὶ πάσας ἡ αὐτοῦ δύναμις ἐν μιᾷ ῥοπῇ καθελεῖ, ὡς αὐτοῖς ὀφθαλμοῖς παραλαβεῖν ἡμᾶς τὴν ἐκδίκησιν. Διὸ λέλεκται· «Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει.» Ἡμεῖς δὲ τοῦ λόγου τὴν ἀλήθειαν ἐξ αὐτῆς τῆς ἑρμηνείας παρειλήφαμεν, κατὰ καιροὺς τὰ τέλη συνορῶντες τῶν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ πολεμησάντων, παραχρῆμά τε καὶ οὐκ εἰς μακρὸν ὑπὸ τοῦ Θεοῦ πολεμηθέντων.

Πάντα δὲ ταῦτα καὶ τὰ τούτοις ἑξῆς ἐπιλεγόμενα ἐπὶ τὸν ἐν

1. Ψαλμ. 123, 7. 2. Ψαλμ. 123, 1-3.

Χριστῷ ἄνθρωπον ἀνενεχθήσεται, καὶ ἐπὶ πάντα τὸν οἷόν τε λέγειν· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ.[1]» Οὗτος δ' ἂν εἴη ὁ Χριστοῦ χορός, ὁ ἐξ ἁγίων καὶ τελείων Θεοῦ μαρτύρων συνεστώς, ὁ μέχρις αἵματος ἀγωνιζόμενος ὑπὲρ ἀληθείας, καὶ τὰ βραβεῖα τῆς ἐν Θεῷ νίκης κατὰ τῶν ἀντιπάλων αἱρόμενος. Καὶ ἐπὶ τὸν ἄνθρωπον δὲ τοῦ Χριστοῦ ἁρμοσθήσεται τὰ λεγόμενα· τοῦτο γοῦν παρίστησιν αὕτη ἡ τῶν ἐμφερομένων ἀκολουθία. Εἰπὼν γὰρ ὁ λόγος πρὸς ἕνα τινά, «Ὅτι αὐτὸς ῥύσεται ἐκ παγίδος θηρευτῶν καὶ ἀπὸ λόγου ταραχώδους», καί, «Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς·» καὶ πρὸς τὸν αὐτὸν ἐπάγων τό, «Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ·» καὶ τό, «Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ·» καὶ τό, «Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ·» καὶ τούτοις προστιθεὶς τό, «Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει·» πάντα δὲ τὰ ἑνικῶς εἰπὼν ὡς πρὸς ἕνα τινά, ἐπισυνάπτει λέγων, «Ὅτι σύ, Κύριε, ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου·» σαφέστατα παρίσταται, ὅτι Κύριος ἦν πρὸς ὃν ταῦτα πάντα ἐλέγετο. Μηδεμιᾶς γὰρ διαμέσου ἐναλλαγῆς προσώπου γενομένης, συνῆψεν ὁ λόγος ὑπὸ μίαν διάνοιαν ὡς πρὸς ἕνα τὰ πάντα· παρέστησέ τε τίς ποτε ἦν οὗτος, διασαφῶν ἑξῆς καὶ λέγων· «Ὅτι σύ, Κύριε, ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου.» Ἐπειδὴ γὰρ σύ, φησίν, ὦ Κύριε, ἐφ' ὃν ἐγὼ ἤλπισα, τὸν Ὕψιστον, δηλαδὴ τὸν ἀνωτάτω Θεόν, καὶ σαυτοῦ Πατέρα, καταφυγὴν ἔθου σεαυτοῦ, διὰ τοῦτο οὐ προσελεύσεταί σοι οὔτε χιλιάς, οὔτε μυριάς, οὔτε παγίδες θηρευτῶν, οὔτε τι ἕτερον τῶν κατηριθμημένων· καὶ ἐπειδήπερ σύ, ὦ Κύριε, εἶ μου τοῦ ταῦτα λέγοντος ἐλπίς, «Τὸν Ὕψιστον ἔθου καταφυγήν σου·» διὰ τοῦτο καὶ ἀρχόμενος ἔλεγον περὶ σοῦ, «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου», ἤ, «Ὁ καθήμενος ἐν ἀποκρύφῳ Ὑψίστου·» ἐπειδήπερ ἐν ἀπορρήτοις καὶ ἀποκρύφοις σύνεδρόν σε καὶ σύνθρονον ὁ Ὕψιστος ἐποιήσατο, φήσας πρὸς σέ· «Κάθου ἐκ τῶν δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[2]»

Ὑψίστου δὲ νοουμένου ἐν τούτοις τοῦ ἀνωτάτου Θεοῦ τῶν ὅλων· Κυρίου δὲ Υἱοῦ τοῦ Θεοῦ, ὃς τὸν Ὕψιστον ἔθετο καταφυγὴν αὐτοῦ, εἰκότως καὶ Μωϋσῆς τῷ αὐτῷ θείῳ Πνεύματι θεοφορούμενος ἐδίδασκεν ἐν μεγάλῃ ᾠδῇ λέγων· «Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. Καὶ ἐγενήθη μέρος Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.[3]» Διὰ τούτων γοῦν καὶ ὁ Μωϋσῆς Ὕψιστον σαφῶς προσεῖπε τὸν ἀγέννητον Θεόν, διανέμοντα τὰ ἐπὶ γῆς ἔθνη τοῖς ἑαυτοῦ ἀγγέλοις· Κύριον δὲ τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν παρὰ τοῦ Πατρὸς τὸν Ἰσραὴλ ὑποδεδεγμένον. Αὐτὸς δ' οὖν οὗτος ὁ Κύριος

1. Φιλιπ. 4, 13. 2. Ψαλμ. 109, 1. 3. Δευτ. 32, 8-9.

καὶ διὰ τῶν προκειμένων ἐν βοηθείᾳ τοῦ Ὑψίστου κατοικεῖν ἐλέγετο, καταφυγήν τε ἑαυτοῦ τὸν Ὕψιστον τεθεῖσθαι, δηλαδὴ τὸν ἑαυτοῦ Πατέρα. Διὸ λέλεκται πρὸς αὐτόν· «Ὅτι σύ, Κύριε, ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου.» Ἐπεὶ δὲ Ἰουδαϊκώτερον ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος τὴν ἑρμηνείαν ἐκτεθείκασι, ὑφορώμενοι τὸ περὶ τοῦ Ὑψίστου καὶ περὶ τοῦ Κυρίου ἀποδεδομένον ἡμῖν δόγμα· καὶ ὁ μὲν Ἀκύλας ἡρμήνευσεν εἰπών· «Ὅτι σύ, Κύριε, ἐλπίς μου, ὕψιστον ἔθηκα κατοικητήριόν σου·» ὁ δὲ Σύμμαχος· «Σὺ γάρ, Θεέ, ἀφοβία μου, ὑψίστην ἔθου τὴν κατοίκησίν σου·» τηρητέον πρῶτον μέν, ὡς ἡ πέμπτη ἔκδοσις συνᾴδει τοῖς Ἑβδομήκοντα, φήσασα καὶ αὐτή· «Ὅτι σύ, Κύριε, ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου·» δεύτερον, ὡς ἡ Ἑβραϊκὴ φωνή, «Ἐλίων» περιέχουσα τὸν Ὕψιστον δηλοῖ. Εὕρομεν γοῦν ἐν νς' ψαλμῷ κείμενον τό, «Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν ὕψιστον·[1]» ἔνθα ἀντὶ τοῦ, «τὸν ὕψιστον», τὸ Ἑβραϊκὸν «Ἐλίων» περιέχει, ὡς καὶ ἐπὶ τοῦ παρόντος. Οὐκ ἄρα χρὴ βιαζομένους τὴν ἀλήθειαν διαστρέφειν. Καὶ ἄλλως δέ, εἴπερ κατὰ τὸν Ἀκύλαν πρὸς αὐτὸν τὸν Κύριον λέλεκται, «Ὅτι σύ, Κύριε, ἐλπίς μου, ὕψιστον ἔθηκα οἰκητήριόν σου·» ἢ κατὰ τὸν Σύμμαχον, «Σὺ γάρ, Κύριε, ἀφοβία μου, ὑψίστην ἔθου τὴν οἴκησίν σου·» ἀναφέρεταί τε ὁ λόγος, ὡς ἂν οἰηθεῖεν Ἰουδαίων παῖδες, ἐπὶ τὸν τῶν ὅλων Θεόν, πῶς συνῆπται ἑξῆς κατὰ μὲν τὸν Ἀκύλαν τό, «Οὐ μεταχθήσεται πρὸς σὲ κακία, καὶ ἀφὴ οὐκ ἐγγιεῖ ἐν σκέπῃ σου· ὅτι ἀγγέλοις αὐτοῦ ἐντελεῖταί σε φυλάξαι ἐν πάσαις ὁδοῖς σου. Ἐπὶ ταρσῶν ἀροῦσι, μήποτε προσκόψῃ ἐν λίθῳ ὁ ποῦς σου·» κατὰ δὲ τὸν Σύμμαχον, μετὰ τό, «Σύ, Κύριε, ἀφοβία μου, ὑψίστην ἔθου τὴν οἴκησίν σου·» πῶς ἐπιλέγεται τό, «Οὐ κατισχύσει σου κακόν, οὐδὲ ἀφὴ ἐγγίσει τῇ σκηνῇ σου. Ὅτι τοῖς ἀγγέλοις ἐντελεῖται περὶ σοῦ φυλάσσειν σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν βαστάσουσί σε, ἵνα μὴ προσπαίσῃ ἐν λίθῳ ποδί σου;» Ταῦτα γὰρ πρὸς τὸν τῶν ὅλων Θεὸν λέγεσθαι πῶς οὐκ ἂν εἴη πάντων ἀσεβέστατον; Τίς γὰρ ὁ τοῖς ἀγγέλοις αὐτοῦ ἐντελλόμενος περὶ τοῦ Θεοῦ τῶν ὅλων, ὥστε φυλάττειν αὐτὸν ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ; ἢ πῶς τὸν ἐπὶ πάντων Θεὸν ἐπὶ χειρῶν βαστάσουσιν, ἵνα μὴ προσπαίσῃ λίθῳ ὁ ποῦς αὐτοῦ; Ἀλλ' ὁρᾷς, ὡς ὁ λόγος οὐκ ἐπιτρέπει εἰς πρόσωπον τοῦ ἐπὶ πάντων Θεοῦ ταῦτα ἀναφέρεσθαι· ἐπεὶ μηδὲ τὰ ἀνωτέρω ἀπὸ τοῦ, «Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς», καὶ τὰ τούτοις ἑπόμενα.

Εἰ δέ τις ταῦτα ἐκλάβοι ἐπὶ τὸν Χριστὸν τοῦ Θεοῦ, καὶ ἐνταῦθα Κύριον, ὥσπερ οὖν καὶ ἐν ἄλλοις ὠνομασμένον, οὐκ ἂν διαμάρτοι τῆς ἀληθείας· ἐπεὶ καὶ ὁ Ἀπόστολος, «Εἷς Θεός, ἐξ οὗ τὰ πάντα, καὶ εἷς

1. Ψαλμ. 56, 3.

Κύριος, δι' οὗ τὰ πάντα·[1]» καὶ πάλιν, «Εἷς Κύριος», φησί, «μία πίστις, ἓν βάπτισμα. Εἷς Θεὸς ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσι.[2]» Κύριοί τε δύο ἄντικρυς καὶ ὑπὸ τοῦ Δαυῒδ ὠνομάσθησαν κατὰ τό, «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου·[3]» ἀλλὰ καὶ Μωϋσῆς λέγων, «Ἔβρεξε Κύριος παρὰ Κυρίου ἐπὶ Σόδομα καὶ Γόμορρα θεῖον καὶ πῦρ[4]», τῆς αὐτῆς ἂν γένοιτο δόξης· ὥσπερ οὖν καὶ ἐν οἷς ἔφασκε, «Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ·[5]» ἄντικρυς γὰρ διὰ τοῦ, τὸν Ὕψιστον καὶ Κύριον εἰδὼς φαίνεται· Ὕψιστον μὲν τὸν διανέμοντα καὶ κληροδοτοῦντα τοῖς ἑαυτοῦ ἀγγέλοις, Κύριον δὲ τὸν μετὰ τῶν ἀγγέλων κληρούμενον τὴν πάντων τῶν ἐθνῶν διαφέρουσαν μερίδα. Ἐπεὶ τοίνυν ὁ δηλούμενος ἐν τούτοις Κύριος μορφὴν δούλου λαβὼν ἐν ὁμοιώματι ἀνθρώπων γέγονε, καὶ σχήματι εὑρέθη ὡς ἄνθρωπος, ὑπέμεινέ τε πάντα πειρασμὸν μετὰ τὸ βάπτισμα τὸ ἐν Ἰορδάνῃ, ὅτε ἀνήχθη ὑπὸ τοῦ Πνεύματος εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ ἐν τῇ ἐρήμῳ μ' ἡμέρας καὶ μ' νύκτας πειραζόμενος, καὶ ἦν μετὰ τῶν θηρίων, ὥς φησιν ὁ εὐαγγελιστής·[6] εἰκότως ταῦτα πάντα τὸ Πνεῦμα τὸ ἅγιον προλαβὸν θεσπίζει, σημαῖνον ὅσα τε ἐν ταῖς τεσσαράκοντα ἡμέραις πειραζόμενος ὑπέμεινε, καὶ ὅσα κατὰ τὰς ἰσαρίθμους ταῖς ἡμέραις νύκτας. Μέλλων γὰρ ἐπὶ τὸ Εὐαγγέλιον τῆς τοῦ Θεοῦ βασιλείας παριέναι, πρὶν ἄρξασθαι τοῦ κηρύγματος, καὶ πρὸ τῆς εἰς ἀνθρώπους εὐεργεσίας, ἐπὶ τὰς ἐχθρὰς καὶ πολεμίας τοῦ τῶν ἀνθρώπων γένους δυνάμεις ἀνήγετο· ὅπως, ἐκείνας πρώτας καταγωνισάμενος καὶ καθελών, οὕτως ἐπὶ τὴν τῶν πάλαι καταπονουμένων λύτρωσίν τε καὶ ἐλευθερίαν παρέλθοι. Ἐχρῆν γὰρ αὐτοὺς δὴ μάλιστα πρώτους τοὺς παρὰ πᾶσι τοῖς ἔθνεσι θεοὺς εἶναι νομίσαντας, καὶ τὰς τῶν ἀνθρώπων ψυχὰς αἰχμαλώτους, ἀπὸ τῆς τοῦ τῶν ὅλων Θεοῦ γνώσεώς τε καὶ εὐσεβείας ἀφαρπάσαντας, καθυποτάξαι καὶ τῆς τυραννίδος καθελεῖν· εἶθ' οὕτως ἅπασιν ἀνθρώποις τὸ Εὐαγγέλιον τῆς τοῦ Θεοῦ βασιλείας παραδοῦναι. Διὸ δὴ πρὸ πάσης ἱστορουμένης αὐτοῦ πράξεως ἀνήγετο εἰς τὴν ἔρημον πειρασθῆναι ὑπὸ τοῦ διαβόλου· καὶ ἦν μετὰ τῶν θηρίων, ὥς φησιν ὁ εὐαγγελιστής, θηρία προσειπὼν τὰς ἀπηγριωμένας καὶ θηριώδεις πονηρὰς δυνάμεις. Αὐτὰ δὴ οὖν ταῦτα καὶ ὁ παρὼν ψαλμὸς προαναφωνεῖ προφητικῷ Πνεύματι ἀναγκαίως. Χρὴ γάρ, διὰ τῶν ἔμπροσθεν διδαχθέντας τὰ περὶ τῆς εἰς ἀνθρώπους παρουσίας τοῦ προφητευομένου, καὶ τὰ περὶ τῆς ἐνσάρκου γεννήσεως αὐτοῦ, τά τε περὶ τοῦ θανάτου, ὅπως τε ἐκ σπέρματος Δαυῒδ προελεύσεσθαι προκεκήρυκτο, ἀκολούθως καὶ τὸν ἀγῶνα μαθεῖν ἡμᾶς ὃν ἤρατο κατὰ τῶν ἀντικειμένων δυνάμεων. Ταῦτα οὖν ἡ παροῦσα παρί-

1. Α' Κορ. 8, 6. 2. Ἐφ. 4, 5-6. 3. Ψαλμ. 109, 1. 4. Γεν. 19, 24. 5. Δευτ. 42, 8-9. 6. Μάρκ. 1, 13.

στησι προφητεία προλέγουσα, ὅσα κατὰ τὴν ἔρημον ὑπέμεινεν ἐφ' ὅλαις ἡμέραις μ΄ καὶ νυξὶ ταῖς ἴσαις πειραζόμενος ὑπὸ τοῦ διαβόλου. Θηρευταὶ γὰρ ἦσαν περὶ αὐτὸν ἀόρατοι δυνάμεις, παγίδας αὐτῷ κατασκευάζουσαι. Καὶ αἱ μὲν λόγοις ταραχώδεσιν αὐτὸν θορυβεῖν πειρώμεναι, αἱ δὲ φοβεῖν κατὰ τὰς νύκτας, καὶ πάλιν ἄλλα δι' ἡμέρας βέλη νοητὰ πέμπουσαι κατ' αὐτοῦ· καὶ αὖθις ἕτεραι οὐκ ὠνομάσθαι ἡμῖν, οὐδὲ λεχθῆναι δυνάμεναι θνηταῖς ἀκοαῖς, τὸν κατ' αὐτοῦ πειρασμὸν πραγματευόμεναι· ὃ δὴ σημαίνει φάσκων ὁ λόγος, «Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου·» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας ἡρμήνευσεν, «Ἀπὸ ῥήματος ἐν σκοτομήνῃ περιπατοῦντος·» ὁ δὲ Σύμμαχος, «Οὐδὲ λοιμὸν ζόφῳ ὁδεύοντα.»

Ἤδη δὲ καὶ τὰ ἀναιδέστατα καὶ ἀρχοντικὰ τῶν δαιμονίων, τὰ ἐν αὐτῇ τῇ μεσημβρίᾳ καὶ τῇ τοῦ ἡλιακοῦ φωτὸς ἀκμῇ τολμῶντα παραφαίνεσθαι, προσήεσαν αὐτῷ. Τῶν γὰρ ἄλλων τὸ οἰκεῖον σκότος μεταδιωκόντων, καὶ ἐν μόνῃ νυκτὶ φαντασιοῦν εἰωθότων, τὰ ἀναιδέστατα καὶ δι' ἡμέρας τολμᾷ φαίνεσθαι, καὶ ἐν μέσαις αὐγαῖς ἡλίου. Τοιαῦτα δὲ ἦν τὰ καὶ τῷ Σωτῆρι ἐπιόντα· μεθ' ἡμέραν μὲν οὖν τοιαῦτά τινα αὐτῷ προσῄει, κατὰ δὲ τὰς νύκτας ἕτερα. Διὸ εἴρηται ἑξῆς· «Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου.» Ὁρῶντα δὲ αὐτοῦ τὴν ἄμαχον καὶ ἀήττητον δύναμιν, ὁμοῦ πάλιν ἀθροιζόμενα κατὰ στίφη προσίεσαν αὐτῷ πλήθη δυνάμεων ἀντικειμένων. Καί μοι δοκοῦσιν οἱ πάλαι παρ' ἀνθρώποις νομιζόμενοι θεοί, καὶ τὰ ἀντικείμενα πνεύματα, ξένην τινὰ φύσιν καὶ δύναμιν πάντων αὐτῶν καθαιρετικὴν θεώμενα ἐν τῷ ἀνθρώπῳ τοῦ Σωτῆρος ἡμῶν, ὁμοῦ συνῆχθαι ἁπανταχόθεν, ἀθρόα τε προσιέναι καὶ προσρήσσειν ἐθέλειν αὐτῷ. Καὶ τὰ μὲν πρῶτα δι' ἑτέρων μερικῶν πνευμάτων πειράζειν αὐτὸν ἐπιχειρεῖν τὸν διάβολον· διὸ λέλεκται· «Καὶ ἦν μετὰ τῶν θηρίων.[1]» Ποίων δὲ θηρίων; ὁ μετὰ χεῖρας παρίστησι λόγος προϊὼν ἑξῆς καὶ λέγων· «Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.» Τοιούτοις γάρ τισιν, ὡς εἰκός, εἴδεσί τε καὶ μορφαῖς σχηματιζόμεναι, τὸν ἀέριον τόπον διιπτάμεναί τινες δυνάμεις πονηραί, ἀρχαί τε καὶ ἐξουσίαι, καὶ κοσμοκράτορες τοῦ σκότους τούτου, καὶ πνευματικὰ πονηρίας, τρόποις ἀλληγορίας ἀσπίδες καὶ βασιλίσκοι καὶ δράκοντες καὶ λέοντες ὀνομαζόμεναι, ἢ καὶ διὰ τὸ ἐμφερὲς τῆς κακίας τούτοις παραβαλλόμεναι, πάντα πειρασμὸν ἐκίνουν κατ' αὐτοῦ. Ἐπὶ τέλει δὲ πάντων, ὡς εἶδεν ὁ διάβολος ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβεβηκότα αὐτὸν καὶ καταπεπατηκότα πάσας τὰς ὑπ' αὐτὸν ἐνεργείας, αὐτὸς ἤδη λοιπὸν δι' ἑαυτοῦ προσῄει ταπεινὸς καὶ ὑποδεδοικώς, προσέφερέ τε αὐτῷ τὰς ἐρωτήσεις τὰς ἐν τοῖς Εὐαγγελίοις ἀναγεγραμμένας, πειράζων αὐτὸν καὶ λέγων, Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τάδε, καὶ ποίησον τάδε. Τὴν οὖν ἀθρόαν

1. Μάρκ. 1, 13.

ὁρμὴν τῶν πονηρῶν πνευμάτων καὶ τὴν ἧτταν αὐτῶν ἡ παροῦσα παρίστησι προφητεία· ὁμοῦ μὲν συνῆχθαι διδάσκουσα, μὴ μὴν δεδυνῆσθαί τι μηδ' ἰσχυκέναι· ἀλλ' ἐν τῷ πλησιάζειν αὐτῷ καταπίπτειν χαμαί. Διὸ λέλεκται· «Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου.» Ἀντὶ δὲ τοῦ· «Ἐκ τοῦ κλίτους σου», Ἀκύλας καὶ Σύμμαχος, «Ἐκ τοῦ πλαγίου σου», ἐκδεδώκασιν· οὕτω τῆς θεϊκῆς Γραφῆς τὰ ἀριστερὰ τοῦ Σωτῆρος ὀνομαζούσης, τάχα τὸ μηδὲν εἶναι ἐν αὐτῷ σκαιὸν μηδὲ ἀριστερόν. Πλὴν ἀλλὰ περὶ πασῶν ἀθρόως τῶν ἀντικειμένων δυνάμεων εἴρηται τό, «Πρὸς σὲ δὲ οὐκ ἐγγιοῦσι», καὶ τό, «Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει». Καὶ ταῦτα, φησί, πάντα ἔσται περὶ σέ, ἐπειδήπερ σύ, ὦ Κύριε, ἡ ἐμὴ ἐλπίς, «τὸν Ὕψιστον ἔθου καταφυγήν σου.»

Ἡγοῦμαι δὲ τὰς ἀοράτους ταύτας καὶ ἀντικειμένας δυνάμεις, τὰς ὑπὸ παντὶ τῷ οὐρανῷ συνῆχθαι πάσας ἀθρόως κατ' αὐτοῦ θορυβηθείσας ἀπὸ τῆς ἐνεχθείσης πρὸς αὐτὸν φωνῆς, ὅτε ἐν εἴδει περιστερᾶς τὸ Πνεῦμα τὸ ἅγιον κατέβαινεν ἐπ' αὐτόν, ἥ τε ἄνωθεν φωνὴ ἠκούσθη λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.[1]» Ἀκούσασαι γοῦν τῆς φωνῆς ταύτης, καὶ θεασάμεναι τὸν ὑπὸ τοῦ ἁγίου Πνεύματος διὰ τῆς περιστερᾶς ἀναδειχθέντα ἄνθρωπον Υἱὸν Θεοῦ ὠνομασμένον, οὔτε τῇ φωνῇ ἀπιστεῖν εἶχον, οὔτε τὸν ἄνθρωπον ὁρῶσαι σάρκα ἠμφιεσμένον πιστεύειν τοῦτον εἶναι τὸν ἀγαπητὸν τοῦ Θεοῦ. Διὸ ξένον τι χρῆμα καὶ καινὴν ἀνθρώπου φύσιν θεώμεναι, τὰς οἰκείας ἐνεργείας δυνάμει κρείττονι καθαιρεθήσεσθαι προσεδόκησαν. Διὸ δὴ ἐπῄεσαν αὐτῷ ἐπιδόντι εὖ μάλα προθύμως ἑαυτὸν εἰς πάντας τοὺς πειρασμούς, οὓς ὑπὲρ τῆς ἀνθρώπων σωτηρίας ἀναδέδεκτο. Μέλλων γοῦν, ὥσπερ ἔφην, κηρύττειν «αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν[2]», κατὰ τὴν περὶ αὐτοῦ προφητείαν, ἀφέλκειν τε τὰς τῶν ἀνθρώπων ψυχὰς ἀπὸ τῶν πάλαι ᾐχμαλωτικότων αὐτάς, ἐλευθεροῦν τε αὐτὰς ἀπὸ τῆς εἰδωλολάτρου πλάνης, ἀναγκαίως πρῶτον ἁπάντων κατ' αὐτῶν ἐστρατεύετο τῶν τὸν μακρὸν αἰῶνα τετυραννηκότων. Ἐπεὶ δὲ τούτοις κατηγωνίσατο δι' ὑπομονῆς παντὸς πειρασμοῦ, διό φησιν ὁ Λουκᾶς· «Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ.[3]» Μετὰ ταῦτα ἐπὶ τὴν τῶν ἀνθρώπων θεραπείαν ἐχώρει· ἔνθεν καὶ ἔφριττον αὐτὸν οἱ δαίμονες, ὡμολόγουν τε αὐτὸν εἰδέναι ὅστις εἴη, βοῶντες καὶ λέγοντες· «Ἔα, τί ἡμῖν καί σοί, Υἱὲ τοῦ Θεοῦ; οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ.[4]» Ἀπὸ γὰρ τῆς πρὸς αὐτὸν ἐνεχθείσης φωνῆς μεμαθήκεισαν ὅστις ἦν· ἀλλὰ καὶ ἀφ' ὧν εἰργάσατο κατὰ τὸν τοῦ πειρασμοῦ καιρὸν ᾔδεσαν αὐτοῦ τὴν δύναμιν.

Στίχ. ι'-ιβ'. «Οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ

1. Ματθ. 3, 17. 2. Ἡσ. 61, 1. Λουκ. 4, 18. 3. Λουκ. 4, 13. 4. Μάρκ. 1, 24. Λουκ. 4, 34.

ἐγγιεῖ τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.»

Καὶ ταῦτα τῷ κατὰ Χριστὸν τετελειωμένῳ ἀνδρὶ καὶ τῷ χορῷ τῶν τοῦ Χριστοῦ μαρτύρων, τῇ τε ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ, καὶ δὴ καὶ αὐτῷ τῷ Χριστοῦ σώματι ἁρμόσειεν ἂν λέγεσθαι· Εἰ γὰρ «παρεμβάλλει ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν, καὶ ῥύσεται αὐτούς [1]», τῶν ὑπερβεβηκότων τὸν φόβον καὶ ἐν ἕξει τελείᾳ τῆς κατὰ ψυχὴν ἀρετῆς τυγχανόντων, ὁποῖός ἐστιν ὁ «καθήμενος ἐν βοηθείᾳ τοῦ Ὑψίστου, καὶ ὑπὸ τὴν σκιὰν τοῦ ἱκανοῦ αὐλιζόμενος·» τῶν οὖν τοιούτων οὐχ εἷς ἄγγελος, ἀλλὰ παρεμβολαὶ πλείους καθίστανται φύλακες, ὅσαι καὶ πλείους οἱ τῷ κατὰ Θεὸν τελείῳ ἐπιβουλεύοντες. Οὕτω γοῦν καὶ τὸν προφήτην Ἐλισσαῖον ἐκύκλουν πλῆθος δορυφόρων ἀγγέλων. Διὸ οὐδὲν τῶν βλαπτικῶν ἐπελεύσεσθαι λέγεται τῷ διὰ τοῦ ψαλμοῦ προφητευομένῳ· ἀλλ' οὐδὲ μάστιξ ἐπὶ τὸ σῶμα ἐφάψασθαι τοῦ σκηνώματος αὐτοῦ· μάστιγα νοούντων ἡμῶν οὐ τὴν κοινότερον λεγομένην· ταύτῃ γὰρ ἐμαστίχθησαν μυρίοι τῶν ἁγίων τοῦ Θεοῦ μαρτύρων καὶ αὐτοῦ δὲ τοῦ Σωτῆρος ἡμῶν τὸ σωματικὸν σκήνωμα καὶ ἡ σὰρξ μάστιξιν ᾐκίσθη κατὰ τὸν καιρὸν τοῦ πάθους, ἀκολούθως τῇ φασκούσῃ περὶ αὐτοῦ προφητείᾳ, «Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· [2]» διὸ μάστιγα νῦν δηλοῦσθαι τὴν ἀπὸ δαιμονικῆς ἐνεργείας πληγὴν νομιστέον, ὁποίας εἴρηται αὐτὸς ὁ Σωτὴρ ἰάσασθαι καὶ θεραπεύειν ἐν ἀνθρώποις δαιμόνων ἀκαθάρτων μάστιγας. Τοιαύτην οὖν μάστιγά φησιν ὁ παρὼν λόγος μὴ ἐγγίσειν τῷ σκηνώματι τοῦ προφητευομένου, διὰ τὸ φυλάττεσθαι ὑπὸ τῶν καθεσταμένων ἐπὶ τὸ φρουρεῖν αὐτὸν ἀγγέλων, οἳ δὴ καὶ ἐπὶ χειρῶν αὐτὸν μετέωρον ἀναλήψεσθαι λέγονται, πρὸς τὸ μὴ προσκόπτειν αὐτοῦ λίθῳ τὸν πόδα. Σκήνωμα δὲ αὐτοῦ καθ' ἕνα μὲν τρόπον ἐρεῖς εἶναι τὴν Ἐκκλησίαν αὐτοῦ, κατὰ τό, «Ἕως ἂν εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ· [3]» οὕτω καὶ πλείονα σκηνώματα τὰς ἁπανταχοῦ γῆς εἰρημένας ἐκκλησίας οἶδεν ὁ φήσας λόγος· «Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων! [4]» Καθ' ἕτερον δὲ τρόπον τὸ σωματικὸν ὄργανον, ἐν ᾧ κατεσκήνωσεν ὁ τοῦ Θεοῦ Λόγος, λεχθείη ἂν αὐτοῦ σκήνωμα.

Τὰ μὲν κεφαλαιωδέστερα καὶ μείζονα τῶν κατορθωμάτων τοῦ διὰ τῆς προφητείας δηλουμένου διὰ συνεργείας τοῦ μείζονος κατωρθοῦτο. Καθήμενος γὰρ ἐν βοηθείᾳ τοῦ Ὑψίστου ὁ κατὰ σάρκα νοούμενος ἡμῖν ἐκ σπέρματος Δαυῒδ γεγονώς, ὁ αὐτὸς δὲ τὸν Ὕψιστον θέμενος αὐτοῦ καταφυγήν, εἰκότως ὑπὸ τοῦ Ὑψίστου ἐφυλάττετο· διὸ καὶ αὐτῷ ἔλεγεν· «Ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.» Αὐτὸς γὰρ αὐτὸν ἐρρύετο ἐκ παγίδος

1. Ψαλμ. 33, 8. 2. Ἡσ. 50, 6. 3. Ψαλμ. 131, 5. 4. Ψαλμ. 83, 2.

θηρευτῶν, καὶ ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπεσκίαζεν αὐτόν· ἀλλὰ καὶ ἐκύκλου αὐτὸν περιβάλλων ἀληθείας ὅπλῳ. Καὶ ταῦτα πάντα παρεῖχεν αὐτῷ Ὕψιστος, ὅπως μὴ ταράττηται ἀπὸ φόβου νυκτερινοῦ, μήτε ἀπὸ βέλους πετομένου ἡμέρας, μηδὲ ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, μηδὲ ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Ἔτι δὲ πρὸς τούτοις αὐτὸς ὁ Ὕψιστος συνεργῶν τῷ περὶ οὗ ὁ λόγος, πάσας τὰς τῶν ἐχθρῶν αὐτοῦ καὶ πολεμίων δυνάμεις καθῄρει καὶ ὑπὸ πόδας αὐτοῦ κατέβαλλε. Διὸ ἐλέγετο· «Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ.» Τὰ μὲν οὖν, ὡς ἔφην, μεγάλα καὶ ἐντελῆ κατορθώματα ὁ Ὕψιστος αὐτὸς συνεργῶν τῷ δηλουμένῳ ἐξετέλει· τὰ δέ, ὡς ἂν εἴποι τις, λεπτὰ καὶ σωματικώτερα ἀγγέλοις διακονεῖσθαι προσέταττε. Ταῦτα δὲ ἦν τὰ περὶ τὸ σκήνωμα αὐτοῦ, δηλαδὴ τὸ σωματικὸν ὄργανον, καὶ τὰ περὶ αὐτὴν τὴν σάρκα, ἃ δὴ ὡς σμικρὰ καὶ παραθέσει τῶν ἔμπροσθεν κατωνομασμένων εὐτελῆ, ὑπηρέταις ἀγγέλοις παρεδίδοτο εἰς τὸ φυλάττειν, μή τι κακοποιὸν ἐπέλθοι τῷ σώματι αὐτοῦ, μηδέ τις μάστιξ ἐγχρίμψειεν, οὐκ αὐτῷ, ἀλλὰ τῷ σκηνώματι αὐτοῦ· αὐτῷ γὰρ οὔτε χιλιάδες, οὔτε μυριάδες δυνάμεων πονηρῶν πλησιάζειν ἐτόλμων. Διηκονοῦντο δὲ ἄγγελοι τῇ σαρκὶ τοῦ προφητευομένου καὶ τῷ σώματι, καὶ μέχρι τοῦ σμικροτάτου καὶ εὐτελεστάτου· ὃ δὴ καὶ παρίστησιν ὁ λόγος φάσκων· «Ὅπως μὴ προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.» Σημαίνειν γὰρ οἶμαι διὰ τούτου τὸ καὶ μέχρι τοῦ τυχόντος καὶ βραχυτάτου συμβαίνειν εἰωθὸς περὶ τοῦ σώματος ἀγγέλους διακονεῖσθαι αὐτῷ. Ἔχεις δὲ καὶ ἐν Εὐαγγελίοις ἐπὶ τοῦ Σωτῆρος αὐτοῦ ταύτην τὴν μαρτυρίαν. Ὁ μὲν γὰρ Μάρκος ἀνέγραψε κατὰ τὸν καιρὸν τοῦ πειρασμοῦ τοῦ Σωτῆρος, ὡς ἄρα ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ·[1] ὁ Ματθαῖος πάλιν τὸν αὐτὸν καιρὸν ἐπισημηνάμενός φησι· «Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.[2]» Ἀλλὰ ὅτι μὲν οἱ ἄγγελοι διηκόνουν αὐτῷ, ἔδειξαν οἱ εὐαγγελισταί· ποίας δὲ διακονίας αὐτῷ παρεῖχον, οὗτοι μὲν οὐκ ἐμνημόνευσαν· ἡ δὲ προκειμένη προφητεία ἐδίδαξεν, ὅτι τὴν περὶ τὰ σωματικὰ καὶ σμικρὰ διακονίαν. Ἐφύλαττον γὰρ αὐτοῦ τὸ σκήνωμα, ὅπως μὴ μάστιξ αὐτῷ πλησιάσῃ· ἐφρούρουν δὲ αὐτοῦ καὶ τοὺς πόδας, ὡς ἂν μὴ προσκόψειαν μέχρι τοῦ σμικροτάτου καὶ εὐτελεστάτου.

Καὶ ταῦτα μὲν κατ' αὐτὴν τὴν λέξιν· πρὸς δὲ διάνοιαν ἐπισκήνωμα τοῦ Σωτῆρος ἡμῶν ἡ Ἐκκλησία αὐτοῦ ἀποδέδεικται· ἀλλὰ καὶ σῶμα αὐτοῦ ὁ λαὸς αὐτοῦ κατὰ τὸν φήσαντα Ἀπόστολον· «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους.[3]» Εἶεν ἂν τῶν μελῶν οἱ μὲν ὀφθαλμοὶ τοῦ Χριστοῦ σώματος, οἱ δὲ καὶ ὦτα, οἱ δὲ καὶ χεῖρες· κατὰ ταῦτα τοίνυν ἔσονται αὐτοῦ καὶ πόδες ἕτεροι, περὶ ὧν εἴρηται·

---

1. Μάρκ. 1, 13. 2. Ματθ. 4, 11. 3. Α' Κορ. 12, 27.

«Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων ἀγαθά![1]» Τούτων δὴ οὖν τῶν ποδῶν, ὅπως μή τις προσκόψῃ πρὸς λίθον τὸν πόδα, μηδὲ σκανδαλίζηται ἐν τῷ δρόμῳ, ὁμαλῶς τε καὶ ἀκωλύτως διατρέχῃ τὴν τοῦ Εὐαγγελίου πορείαν, ἄγγελοι καθέστανται φρουροῦντες τοῦ δηλωθέντος σκηνώματος φύλακες. Πάλιν ἕτεροι ἄγγελοι οἱ τὰς ἐκκλησίας τοῦ Χριστοῦ τὰς ἁπανταχοῦ γῆς ἱδρυθείσας πεπιστευμένοι. Ταῦτα δὲ μὴ συνιεὶς ὁ διάβολος· πῶς γὰρ ἢ πόθεν αὐτῷ τοῦ θείου Πνεύματος συνιέναι φωνάς; ἐν τῷ πειράζειν τὸν Σωτῆρα, εἰς τὸ πτερύγιον αὐτὸν τοῦ ἱεροῦ ἀναγαγών, εἶπε πρὸς αὐτόν· «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω. Γέγραπται γάρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.[2]» Συνιδὼν γὰρ ἔργοις αὐτοῖς εἰς τὸν Σωτῆρα πεπληρωμένην τὴν ἐν τοῖς προκειμένοις προφητείαν, ὁρῶν τε ξένον θέαμα ἐν ἀνθρώπου φύσει, ὡς πᾶσαν αὐτοῦ τὴν στρατείαν καθῃρῆσθαι, καὶ πάσας αὐτοῦ νενικῆσθαι τὰς δυνάμεις, ὑπὸ τοῦ φαινομένου, χιλιάδας τε ἀθρόας, καὶ μυριάδας ἀπέμπροσθεν αὐτοῦ πιπτούσας, αὐτόν τε ἀτρεμεὶ καὶ ἀπαραποδίστως ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβαίνοντα, λεοντά τε καὶ δράκοντα, τὰς ἀρχοντικὰς αὐτοῦ δυνάμεις, καταπατοῦντα, καὶ τοῦτ' ἐπείραζε γνῶναι, εἰ, ἑαυτὸν ἀπὸ τοῦ πτερυγίου ῥίψαντος, ἄγγελοι προσελθόντες αὐτὸν βαστάσουσι. Πρὸς ταύτην αὐτοῦ τὴν ὑπόνοιαν διεψευσμένην οὖσαν ὁ Σωτὴρ ἀπεκρίνατο· «Γέγραπται», λέγων, «Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.[3]» Τὸ γὰρ ἑαυτὸν κρημνίζειν καὶ καταβάλλειν ἀπὸ τῶν ὑψηλοτάτων, καὶ τοῦτο ποιεῖν ἵνα γνῷ, πότερόν ποτε βοηθείας τεύξεται τῆς διὰ τῶν ἀγγέλων, ἢ μή, πειράζοντος ἦν τὸν Θεόν· ὃ δὴ πειράζειν ἐβούλετο ὁ πειράζων. Οἰκεῖον γὰρ αὐτῷ ἦν πειράζοντι τὸν Σωτῆρα, καὶ τὸν Θεὸν πειράζειν τολμᾶν. Ἀλλ' οὐχ ὁ Σωτήρ γε ἐπείραζεν· εὖ γὰρ ᾔδει καὶ πέπειστο περὶ τῆς τοῦ Πατρὸς δυνάμεως τῆς συνεργούσης αὐτῷ. Διὸ καὶ τῷ διαβόλῳ προστακτικῶς παρεκελεύετο λέγων· «Οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου», θείας Γραφῆς λέξιν τὴν ἀπὸ τοῦ νόμου ἀντιπαρατιθεὶς τῇ φωνῇ τῆς παρούσης Γραφῆς, ἣν μὴ νοήσας ὁ διάβολος προήγαγεν αὐτῷ, μὴ συνιείς, ὅτι οὐκ ἐδεῖτο βοηθείας ἀγγέλων ὁ Σωτήρ, εἰ καὶ καθ' ὑπόθεσιν οἰκείᾳ προαιρέσει καθεῖναι ἑαυτὸν ἐβουλήθη· ἐπεὶ καὶ κατὰ τὴν εἰς οὐρανοὺς ἀνάληψιν (ὅπερ ἦν μεῖζον τῆς ἀπὸ τοῦ πτερυγίου τοῦ ἱεροῦ ἐπὶ τὴν γῆν δι' ἀέρος καθόδου), οὐκ ἀγγελικῆς ἐδεήθη χειρός. Ὅρα δέ, πῶς, μνημονεύσας ὁ διάβολος τοῦ, «Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου», τὸ ἑξῆς συνημμένον οὐ προσέθηκε· τοῦτο δὴ τό, «Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα», σαφῶς τὴν κατ' αὐτοῦ τοῦ διαβόλου καὶ τῶν ἀγγέλων αὐτοῦ νίκην τοῦ Σωτῆρος παριστῶντα. Οὐ γὰρ ἐβούλετο τὸν καθ'

1. Ἡσ. 52, 7. Ῥωμ. 10, 15. 2. Ματθ. 4 6. 3. Ματθ. 4, 7.

ἑαυτοῦ ἔλεγχον παρατίθεσθαι. Εἰ δὲ μὴ τὴν ἑαυτῷ συνέσεως χρῆν ἐπιλογίσασθαι, ὡς οὐκ ἦν τοῦ αὐτοῦ τὸ δύνασθαι ἐπιβαίνειν καὶ καταπατεῖν τὰς τοιαύτας ἀρχοντικὰς δυνάμεις, καὶ μὴ προσκόπτειν πρὸς λίθον τὸν πόδα, ὡς δεῖσθαι φυλακῆς ἀγγέλων καὶ βοηθείας. Ἀλλ' ἐκεῖνος μὲν οὐ συνιεὶς κέχρηται τῇ ἀπὸ προκειμένης προφητείας φωνῇ, διὰ τὸ τὰ λοιπὰ συνεωρακέναι πεπληρωμένα εἰς αὐτόν· ὁ δὲ Σωτὴρ οὐκ ἀπαρνεῖται μὲν τὸ περὶ αὐτοῦ εἰρῆσθαι τὸ λόγιον· μὴ συνιέντα δὲ αὐτὸ τὸν διάβολον, ἀφίησι καταλλήλῳ χρησάμενος τῇ πρὸς αὐτὸν ἀποκρίσει. Ἡμεῖς δέ, τῇ αὐτοῦ χάριτι τοῦ Σωτῆρος ἡμῶν, ὅπως τὰ κατὰ τοὺς τόπους τεθεωρήκαμεν, πρόκειται τοῖς ἐντυγχάνουσιν ἐκ τῶν εἰρημένων διαγινώσκειν.

Στίχ. ιγ', ιδ'. «Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν· σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός μέ, καὶ ἐπακούσομαι αὐτοῦ, μετ' αὐτοῦ εἰμι ἐν θλίψει· ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.»

Τὰ μὲν περὶ τοῦ σκηνώματος ἀγγέλοις ἐνετέλλετο, κατὰ τὰ προαποδοθέντα, ὅπως ἄγγελοι τημελῶσι καὶ φυλάττωσι τοῦ ἐν Χριστῷ τετελειωμένου ἀνδρός, ἢ καὶ τῆς Ἐκκλησίας αὐτοῦ, ἢ καὶ τῆς σαρκὸς ᾗ κέχρητο δίκην ὀργάνου ὑπὲρ τῆς ἀνθρώπων σωτηρίας. Ταῦτα γὰρ ὡς βραχύτερα καὶ εὐτελέστερα ἀγγέλοις ἐπετέτραπτο· καὶ οἶμαι ὅτι, ὡς ἄν τις οἰκέταις ἐπιτρέψειεν ὑποδημάτων διακονίαν, ἢ ἄλλων τινῶν εὐτελεστέρων ὑπηρεσίαν, οὕτως ὅσα μικρὰ καὶ σωματικὰ διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνηργεῖτο σαρκός, τούτων ὑπηρέται καθίσταντο ἄγγελοι, καὶ διηκόνουν αὐτῷ· περὶ ὧν καὶ ἡ τοῦ Εὐαγγελίου γραφὴ μαρτυρεῖ λέγουσα, ὅτι «Προσῆλθον ἄγγελοι, καὶ διηκόνουν αὐτῷ.[1]» Τὰ δὲ προὐργιαίτερα καὶ μείζονα καὶ ὑψηλότερα οὐκέτι ἀγγέλοις, ἀλλ' αὐτῷ τῷ Σωτῆρι ἀνατίθησι. Τίνα δὲ ἦν ταῦτα, δεδήλωται διὰ τῶν ἔμπροσθεν· ἐν οἷς ἦν καὶ τό, «Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς καὶ μυριὰς ἐκ τῶν δεξιῶν σου.» Τέλος δὲ πάντων καὶ ὑστάτη κατὰ πάντων τοῦ Σωτῆρος ἡμῶν νίκη παρίσταται διὰ τοῦ, «Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις δράκοντα καὶ λέοντα.» Δηλοῦσθαι δὲ διὰ τούτων ἡγοῦμαι ἀρχὰς καὶ ἐξουσίας καὶ κοσμοκράτορας, καὶ τὰ πνευματικὰ τῆς πονηρίας. Ταύταις μὲν οὖν ἐπιβαίνειν, καὶ τὰ τοσαῦτα θηρία καταπατεῖν τοῖς θειοτέροις τῆς ἐνθέου δυνάμεως αὐτοῦ βαδίσμασιν αὐτὸς ὁ Σωτὴρ λέγεται· τὸ δὲ ἐν μηδενὶ προσκόπτειν, μηδ' ἐμποδὼν γίνεσθαί τινα ταῖς σωματικωτέραις ἐνεργείαις αὐτοῦ, ἄγγελοι τὴν διακονίαν εἰλήφεσαν. Ἀλλ' ὥσπερ ἐπὶ τοῦ σωματικοῦ σκηνώματος αὐτοῦ ἐλέγετο, «Μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου», καὶ τὸ αἴτιον ἐπήγετο διὰ τοῦ, «Ὅτι τοῖς ἀγγέλοις

1. Ματθ. 4 11.

αὐτοῦ ἐντελεῖται περὶ σοῦ·» οὕτω καὶ νῦν μετὰ τό, «Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις δράκοντα καὶ λέοντα», πάλιν ἡ αἰτία ἐπιλέγεται, οὐκ ἐπ' ἀγγέλους ἀναφέρουσα, ἀλλ' ἐπ' αὐτὸν τὸν Ὕψιστον, οὗ ἐκ προσώπου λέλεκται, «Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν.» Πῶς δὲ ἐπ' αὐτὸν ἤλπισε, προλαβὼν ἐδίδαξεν ὁ λόγος εἰπών· «Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου·» καί, «Ἐρεῖ τῷ Κυρίῳ· Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν.» Ἡ τοίνυν ἐπινίκιος καὶ τελευταία πρᾶξις μετὰ πάσας τὰς προκαταλεχθείσας τοῦ Σωτῆρος ἡμῶν, ἢ καὶ τοῦ ἐν αὐτῷ τελειουμένου ἀνδρός, ἢ καὶ τοῦ αὐτοῦ τελείου σώματος τῆς Ἐκκλησίας αὐτοῦ, δηλωθεῖσα διὰ τοῦ, «Ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις δράκοντα καὶ λέοντα», τὴν πᾶσαν ἀναφορὰν καὶ τῆς νίκης τὴν αἰτίαν ἐπὶ τῷ Ὑψίστῳ ἀνατίθησι. Διὸ λέλεκται· «Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου. Μετ' αὐτοῦ εἰμι ἐν θλίψει, ἐξελοῦμαι καὶ δοξάσω αὐτόν.» Καί μοι δοκεῖ καθ' ἑτέραν διάνοιαν ἡ προφητεία θεσπίζειν πάντα τὸν τρόπον τοῦ κατὰ ἄνθρωπον βίου τοῦ Σωτῆρος ἡμῶν· λέγω δὲ τὸν πρῶτον πειρασμόν, καὶ τὸν κατὰ τὸ πάθος, τήν τε μετὰ τὴν λύσιν τοῦ σώματος ἐπὶ τὰς ἀντικειμένας δυνάμεις ἔφοδον. Καὶ τὰ μὲν πρῶτα τοῦ ψαλμοῦ· κοινότερον δὲ οὕτω λεγέσθω ἡ παροῦσα προφητεία τὸν πειρασμὸν αἰνίττεσθαι τὸν ἐπὶ τῆς ἐρήμου, ὃν ἐν τοῖς Εὐαγγελίοις εἴσηκται πειραθεὶς ὑπὸ τοῦ διαβόλου· τὰ δὲ δεύτερα, ἐν οἷς ἀγγέλους διακονεῖσθαι τῷ αὐτοῦ σώματι παρέστησεν ὁ λόγος, τὴν κατὰ τὸν ἀνθρώπινον βίον διατριβὴν αὐτοῦ· τὰ δὲ τρίτα, δι' ὧν λέγεται ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβεβηκέναι, καὶ καταπεπατηκέναι δράκοντα καὶ λέοντα, τὴν μετὰ τὸν θάνατον κατὰ τῶν ἀρχοντικῶν πνευμάτων νίκην· μεθ' ἃ πάντα ἐπιλέγεται· «Ἐξελοῦμαι αὐτὸν καὶ δοξάσω αὐτόν· Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου», τῆς μετὰ τὸν θάνατον ἐκ νεκρῶν σωτηρίας, καὶ τῆς μακραίωνος καὶ ἀθανάτου ζωῆς, τῆς τε ἐνθέου δόξης καὶ τῆς παρὰ τῷ Πατρὶ τιμῆς τε καὶ βασιλείας διὰ τούτων παρισταμένης.

## ΨΑΛΜΟΣ ῼΔΗΣ, ΕΙΣ ΤΗΝ ΗΜΕΡΑΝ ΤΟΥ ΣΑΒΒΑΤΟΥ. ϞΑ'.

Στίχ. β'-δ'. «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα, ἐν δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ.»

Τὰς τῶν Σαββάτων ἡμέρας οἱ πρὸ Μωϋσέως δίκαιοι καὶ θεοφιλεῖς ἄνδρες οὔτ' ᾔδεσαν, οὔτ' ἐφύλαττον. Οὔτ' οὖν αὐτὸς Ἀβραάμ, οὔτε Ἰσαάκ, οὔτε Ἰακώβ, οὔτε οἱ τούτου παῖδες, ἀλλ' οὐδὲ οἱ ἔτι τούτων τῷ χρόνῳ παλαιότεροι φαίνονται γινώσκοντες ἡμέραν Σαββάτου. Ἐπεὶ τοίνυν οἱ ἐκ περιτομῆς, ὡς μέγα τι κατορθοῦντες, τὰ

Σάββατα φυλάττειν ἡγοῦνται, ἃ οὐδὲ φυλάττουσι κατὰ τὸ βούλημα τοῦ νόμου, παραθετέον αὐτοῖς τὰ εἰρημένα. Καὶ ἐπειδὴ κατάπαυσιν σημαίνει τὸ Σάββατον, γέγραπται γοῦν· «Καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ζ΄ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε, καὶ ἡγίασεν αὐτήν·[1]» ἐρεῖς, ὅτι προσήκει νοῆσαι Θεοῦ κατάπαυσιν, καὶ τὸ ἀληθινὸν Σάββατον, ἐκδέξασθαι ἐπαξίως τοῦ Θεοῦ. Τοὺς γὰρ ἀσεβεῖς ἀνθρώπους φησὶ μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ λέγων ἐν ψαλμοῖς, «Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.[2]» Οὐκοῦν ἀναγκαῖον κατὰ διάνοιαν ἐκλαβεῖν Σάββατα Θεοῦ, καὶ ἀνάπαυσιν Θεῷ πρέπουσαν, ἧς ἀσεβεῖς μὲν οὐκ ἀξιοῦνται, μόνοι δὲ οἱ δίκαιοι καὶ τοῦ Θεοῦ φίλοι. Οὕτω γοῦν εἴποιμεν ἂν καὶ τὸν Ἀβραάμ, καὶ τὸν Ἰσαάκ, καὶ τὸν Ἰακώβ, τούς τε πρὸ αὐτῶν καὶ μετ᾽ αὐτοὺς θεοφιλεῖς πάντας κατὰ διάνοιαν ἐγνωκέναι καὶ πεφυλακέναι τὰ Σάββατα τοῦ Θεοῦ, καὶ εἰσεληλυθέναι εἰς τὴν κατάπαυσιν αὐτοῦ. Τί δὴ οὖν σημαίνει τὸ Σάββατον, ἀναγκαῖον ἐπιστῆσαι. Ὁ λόγος ἀνάπαυσιν δηλοῖ Θεοῦ· εἰσάγει τε ταύτην μετὰ τὴν τῶν αἰσθητῶν κοσμοποιίαν. Θεοῦ δὲ ἀνάπαυσις τίς ἂν γένοιτο ἑτέρα τῆς πρὸς τοῖς νοητοῖς καὶ ὑπερκοσμίοις διαγωγῆς; Ὅτε μὲν γὰρ περὶ τὰ αἰσθητὰ περισκοπεῖ καὶ περὶ τὰ ἔργα τῆς τοῦ κόσμου προνοίας καταγίνεται, ἐργάζεσθαι λέγεται· καὶ οὕτως ἀκουστέον λέγοντος τοῦ Σωτῆρος ἡμῶν, «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι·[3]» ὅτε δὲ πρὸς τοῖς ἀσωμάτοις καὶ ὑπερκοσμίοις ἐστί, καί, ὡς ἂν εἴποι τις, ἐν τῇ αὐτόσε αὐτοῦ περιωπῇ, τὸ τηνικαῦτα ἀνάπαυσιν ἄγειν, καὶ τὸ αὐτοῦ Σάββατον ἐπιτελεῖν νοεῖται. Κατὰ τὰ αὐτὰ τοιγαροῦν καὶ οἱ τοῦ Θεοῦ ἄνδρες, ἐπειδάν, τῶν κοπούντων τὴν ψυχὴν ἔργων (τοιαῦτα δὲ πάντα τὰ σωματικὰ καὶ φίλα τῆς γεώδους σαρκός), ἀπαλλαγέντες, ὅλοι γένωνται πρὸς τῷ Θεῷ καὶ πρὸς τῇ τῶν θείων καὶ νοητῶν σχολῇ τε καὶ θεωρίᾳ, τότε τὰ φίλα τῷ Θεῷ Σάββατα καὶ ἀνάπαυσιν Κυρίῳ τῷ Θεῷ ἄγουσι. Καὶ περὶ τῶν τοιούτων Σαββάτων διδάσκει λέγων· «Ἆρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ;[4]» καὶ πάλιν· «Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν.» Τὸ γὰρ τέλειον Σάββατον, καὶ ἡ τελεία καὶ ἡ τρισμακαρία κατάπαυσις ἐν τῇ τοῦ Θεοῦ βασιλείᾳ τυγχάνει, ὑπὲρ τὴν ἑξαήμερον δημιουργίαν καὶ τῶν αἰσθητῶν ἁπάντων ἐκτὸς ἐν ἀσωμάτοις καὶ ὑπερκοσμίοις, ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη, καὶ στεναγμός· ἔνθα τῆς θνητῆς καὶ φθαρτῆς ζωῆς ἀπαλλαγέντες, καὶ ἀργίαν ἀργήσαντες τὴν θεοφιλῆ καὶ μακαρίαν, τῶν τε σωματικῶν πράξεων καὶ τῆς δουλείας τῆς σαρκὸς ἐλευθερωθέντες, σὺν αὐτῷ τῷ Θεῷ καὶ παρ᾽ αὐτῷ γενόμενοι, σαββατίσομέν τε καὶ ἀναπαυσόμεθα. Διό φησιν ὁ Ἀπόστολος· «Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην

1. Γεν. 2, 2, 3. 2. Ψαλμ. 94, 10, 11. 3. Ἰω. 5, 17. 4. Ἑβρ. 4, 9.

τὴν κατάπαυσιν.[1]» Εἰκόνα δ' ἐκείνου τοῦ Σαββάτου καὶ τῆς τελείας ἐκείνης καὶ τρισμακαρίας ἀναπαύσεως φέροντες ἐπὶ γῆς τοῦ Θεοῦ ἄνδρες, σχολὴν μὲν ἐποιοῦντο καὶ ἀργίαν τῶν μακρὰν ἀφιστάντων τοῦ Θεοῦ, ὅλοι δὲ πρὸς τῇ τῶν θείων θεωρίᾳ γιγνόμενοι, δι' ἡμέρας τε καὶ νυκτὸς τῇ τῶν ἱερῶν λόγων μελέτῃ προσκαρτεροῦντες, ἅγια Σάββατα καὶ ἀνάπαυσιν φίλην τῷ Θεῷ διανέπαυον τότε καὶ ἐσαββάτιζον. Ἔνθεν εἰκότως καὶ ὁ Μωϋσέως νόμος, σκιὰς τῶν εἰρημένων καὶ σύμβολα παραδιδούς, ἡμέραν τινὰ τοῖς πλήθεσιν ἀφώρισε, ὅπως κἂν ταύτῃ ἀπέχωνται μὲν τῶν συνήθων ἔργων, σχολάζοιεν δὲ τῇ τοῦ θείου νόμου μελέτῃ. Ὅ γε μὴν παρὼν ψαλμὸς διαρρήδην διδάσκει ἐπὶ τοῦτο δεῖν τὴν τοῦ Σαββάτου σχολὴν ποιεῖσθαι καὶ τὴν τῶν ἀνωφελῶν ἀργιῶν ἐπὶ τὸ κατὰ ταὐτὸν συνερχομένους ἐργάζεσθαι τὰ διὰ τοῦ ψαλμοῦ δηλούμενα. Ἦν δὲ πρῶτον ἐξομολογεῖσθαι τῷ Κυρίῳ· δεύτερον ψάλλειν διὰ τῶν μουσικῶν ὀργάνων τῷ ὀνόματι αὐτοῦ· τρίτον ἀναγγέλλειν κατὰ τὰς ἑωθινὰς ὥρας τὸ ἔλεος αὐτοῦ· τέταρτον διηγεῖσθαι τὴν ἀλήθειαν αὐτοῦ κατὰ τοὺς νυκτερινοὺς καιρούς· καὶ ταῦτα πράττειν μὴ μόνον χείλεσι καὶ φωνῇ, ἀλλὰ καὶ διὰ τῆς τῶν μουσικῶν ὀργάνων ἀνακρούσεως· «Ἐν δεκαχόρδῳ» γάρ, φησί, «ψαλτηρίῳ καὶ μετ' ᾠδῆς ἐν κιθάρᾳ.»

Ὁρᾷς οὖν ὅσα πράττειν ὁ παρὼν λόγος παραινεῖ κατὰ τὴν τῆς ἀναστάσεως ἡμέραν; Ἐπιγέγραπται γοῦν ὁ ψαλμός, «εἰς τὴν ἡμέραν τοῦ Σαββάτου.» Ἀλλὰ καὶ οἱ ἱερεῖς ἐν τῷ ἱερῷ κατὰ τὸ Σάββατον ἕτερα πλεῖστα ἔπραττον κατὰ τὸν νόμον. Οὐκ ἄρα ὁλοσχερῶς ἀργεῖν προστάττει. Ἀλλ' οὐδὲ τοῖς ἱερεῦσιν ἡ τοῦ Σαββάτου ἡμέρα νενομοθέτητο· μόνοις δὲ τοῖς μὴ οἵοις τε οὖσι τὸν πάντα χρόνον τῆς αὐτῶν ζωῆς, καὶ πάσας αὐτῶν τὰς ἡμέρας τῇ τοῦ Θεοῦ λατρείᾳ καὶ τοῖς τῷ Θεῷ φίλοις ἔργοις σχολάζειν· τούτοις γὰρ ἐκ διαστημάτων ταῦτα πράττειν ἐνομοθέτει. Τοῖς γὲ μὴν πλησμονῇ γαστρὸς καὶ μέθῃ, καὶ πάσῃ ἀκοσμίᾳ κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου ἑαυτοὺς παρέχουσιν, ὁ Θεὸς διὰ τοῦ προφήτου ἐπανατείνεται λέγων· «Οἱ ἐφαπτόμενοι ψευδῶν Σαββάτων·[2]» καὶ πάλιν· «Τὰς νεομηνίας ὑμῶν καὶ τὰ Σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι.[3]» Διὸ δὴ παρῃτημένων ἐκείνων, διὰ τῆς Καινῆς Διαθήκης Λόγος μετήγαγε καὶ μετατέθεικε τὴν τοῦ Σαββάτου ἑορτὴν ἐπὶ τὴν τοῦ φωτὸς ἀνατολήν, καὶ παρέδωκεν ἡμῖν ἀληθινῆς ἀναπαύσεως εἰκόνα, τὴν σωτηρίαν καὶ Κυριακὴν καὶ πρώτην τοῦ φωτὸς ἡμέραν, καθ' ἣν ὁ Σωτὴρ τοῦ κόσμου μετὰ πάσας αὐτοῦ τὰς ἐν ἀνθρώποις πράξεις, τὴν κατὰ τοῦ θανάτου νίκην ἀράμενος, τὰς οὐρανίους πύλας ὑπερέβαινεν ὑπὲρ τὴν ἑξαήμερον κοσμοποιίαν γιγνόμενος, τό τε θεοπρεπὲς Σάββατον καὶ τὴν τρισμακαρίαν ἀνάπαυσιν ὑπολαμβάνων, τοῦ Πατρὸς εἰρηκότος αὐτῷ· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[4]»

1. Ἑβρ. 4, 11. 2. Ἀμ. 6, 3. 3. Ἡσ. 1, 13. 4. Ψαλμ. 109, 1.

Ἐν ᾗ, φωτὸς οὔσῃ καὶ πρώτῃ καὶ τοῦ ἀληθοῦς ἡλίου ἡμέρᾳ, καὶ ἡμεῖς αὐτοὶ συνερχόμενοι διὰ μέσου ἓξ ἡμερῶν, ἅγιά τε Σάββατα καὶ πνευματικὰ ἑορτάζοντες οἱ ἐξ ἐθνῶν δι' αὐτοῦ λελυτρωμένοι καθ' ὅλης τῆς οἰκουμένης, τὰ τῷ Σαββάτῳ πράττειν τοῖς ἱερεῦσι νενομοθετημένα κατὰ τὸν πνευματικὸν νόμον ἐπιτελοῦμεν. Θυσίας τε γὰρ καὶ ἀναφορὰς ποιούμεθα πνευματικάς, τὰς καλουμένας θυσίας αἰνέσεως, καὶ θυσίας ἀλαλαγμοῦ· τό τε θυμίαμα τὸ εὐῶδες ἀναπέμπομεν, περὶ οὗ εἴρηται· «Γενηθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου.[1]» Ἀλλὰ καὶ τοὺς ἄρτους τῆς προθέσεως προσφέρομεν, τὴν σωτήριον μνήμην ἀναζωπυροῦντες, τό τε τοῦ ῥαντισμοῦ αἷμα, τοῦ Ἀμνοῦ τοῦ Θεοῦ, τοῦ περιελόντος τὴν ἁμαρτίαν τοῦ κόσμου, καθάρσιον τῶν ἡμετέρων ψυχῶν· ποιούμεθά τε τὰ φῶτα τῆς γνώσεως προσώπου τοῦ Θεοῦ ἐξαπτόμενα. Ἀλλὰ καὶ τὰ ἐν τῷ μετὰ χεῖρας ψαλμῷ φιλοτίμως ἐκτελεῖν κατὰ τὴν αὐτὴν ἡμέραν σπουδάζομεν, ἔργοις τούτοις καὶ λόγοις ἐξομολογούμενοι Κυρίῳ, καὶ ψάλλοντες τῷ ὀνόματι τοῦ Ὑψίστου· ὄρθρου τε πρὸς αὐταῖς ἀνατολαῖς τοῦ ἡμετέρου φωτὸς τὸ γενόμενον ἔλεος ἐφ' ἡμᾶς τοῦ Θεοῦ διαγγέλλοντες, καὶ τὴν ἀλήθειαν αὐτοῦ κατὰ τὰς νύκτας διὰ σώφρονος καὶ ἁγνῆς ἀναστροφῆς ἐνδεικνύμενοι, καὶ πάντα δὴ ὅσα ἄλλα ἐχρῆν ἐν Σαββάτῳ τελεῖν, ταῦτα ἡμεῖς ἐν τῇ Κυριακῇ μετατεθείκαμεν, ὡς ἂν κυριωτέρας οὔσης αὐτῆς, καὶ ἡγουμένης καὶ πρώτης, καὶ τοῦ Ἰουδαϊκοῦ Σαββάτου τιμιωτέρας. Κατὰ ταύτην γὰρ ἐν τῇ κοσμοποιίᾳ εἰρηκότος τοῦ Θεοῦ, «Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς·[2]» καὶ κατ' αὐτὴν ταῖς ἡμετέραις ψυχαῖς ὁ τῆς δικαιοσύνης ἀνατέταλκεν Ἥλιος· διὸ δὴ καὶ ἡμῖν συνέρχεσθαι κατὰ ταύτην παραδέδοται, καὶ τὰ διὰ τοῦ ψαλμοῦ παρηγγελμένα καὶ ἡμῖν ἐπιτελεῖν προστέτακται· ὧν πρῶτόν ἐστι τὸ ἐξομολογεῖσθαι· ἀρχὴ γὰρ ἀγαθῶν ἡ τῶν προτέρων κακῶν ἀπόλυσις διὰ γνησίας μετανοίας καὶ ἐξομολογήσεως ἐγγιγνομένη, ἄγουσά τε ἐπὶ τέλος ἀγαθὸν αὐτὸν τὸν Θεόν. Εἰ γὰρ οὐδεὶς ἀγαθὸς εἰ μὴ ὁ Θεός, ἀγαθῆς πορείας τῆς ἐπὶ τὸν Θεὸν ἀγούσης, ἀγαθὴ γένοιτ' ἂν ἀρχὴ ἡ ἐξομολόγησις. Διὸ λέλεκται· «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.» Καὶ γὰρ προσήκει μὴ ἀνθρώποις ἐπιδείκνυσθαι τὴν ἐξομολόγησιν, ἀλλ' αὐτῷ τῷ τὰς καρδίας ἐρευνῶντι Κυρίῳ. Ἐπεὶ δὲ λαμβάνεται ἡ ἐξομολόγησις καὶ ἐπὶ τῆς εὐχαριστίας, ὡς πολλάκις ἡμῖν εἴρηται, εἰκότως κατὰ τὴν Κυριακὴν ἡμέραν καὶ τὰς εὐχαριστίας ἡμῶν ἀποδίδομεν τῷ Κυρίῳ, πανταχοῦ τῆς οἰκουμένης ἐν ταῖς ἐκκλησίαις αὐτοῦ συνερχόμενοι. Προκόψαντες δὲ διὰ τῆς ἐξομολογήσεως, ἤδη καὶ ψάλλειν κελευόμεθα ἐπὶ κρείττονα ψυχῆς κατάστασιν προελθόντες· ἐπιδόντες δὲ ἔτι καὶ βελτίους γενόμενοι ἑαυτῶν, ἤδη καὶ εἰς ἑτέρους ἀπαγγέλλειν, διδάσκειν τε τοὺς ἡμῖν πλησιάζοντας τὰ τοῦ Κυρίου ἐλέη προσταττόμεθα· καὶ τοῦτο πράττειν κατὰ τὰς πρωϊνὰς ὥρας ὥσπερ ἀπαρχὰς

1. Ψαλμ. 140, 2. 2. Γεν. 1, 3.

τῶν δι' ἡμέρας πράξεων ἀνατιθέντες τῇ περὶ τοῦ ἐλέους τοῦ Θεοῦ διδασκαλίᾳ.

Ταῦτα δὲ πράττειν ὁ λόγος παρακελεύεται ἅμα τῇ ἕῳ, προφυλάξαντας δηλαδὴ ἑαυτῶν τὰς ψυχὰς καὶ τὰ σώματα κατὰ τοὺς τῆς νυκτὸς καιροὺς ἅγια καὶ παντὸς μολυσμοῦ καθαρεύοντα, ἀλήθειάν τε εὐσεβείας ἐπιδεδεγμένους, διὰ τοῦ καὶ ταῖς νυκτεριναῖς ὥραις τῆς τοῦ Θεοῦ θεραπείας μεμνῆσθαι. Πάλαι μὲν οὖν, ὁπηνίκα διὰ συμβόλων καὶ τύπων ἐλάτρευον οἱ ἐκ περιτομῆς, οὐκ ἀπεικὸς ἦν διὰ ψαλτηρίων καὶ κιθάρας ἀναπέμπειν τινὰς τῷ Θεῷ τοὺς ὕμνους, καὶ τοῦτο ποιεῖν ταῖς ἡμέραις τοῦ Σαββάτου, παραλύοντας δηλαδὴ τὴν ἀργίαν, καὶ παραβαίνοντας τὸν νόμον τὸν περὶ τοῦ Σαββάτου· ἡμεῖς δέ, τὸν ἐν κρυπτῷ Ἰουδαῖον ἀποσῴζοντες κατὰ τὸν φάσκοντα Ἀπόστολον· «Οὐ γὰρ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ ἡ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι[1]», ζῶντι ψαλτηρίῳ καὶ κιθάρᾳ ἐμψύχῳ, πνευματικαῖς τε ᾠδαῖς τὸν ὕμνον ἀποδίδομεν. Παντὸς δ' οὖν ὀργάνου μουσικοῦ γένοιτ' ἂν τῷ Θεῷ προσηνεστέρα ἡ τῶν Χριστοῦ λαῶν συμφωνία, καθ' ἣν ἐν πάσαις ταῖς τοῦ Θεοῦ ἐκκλησίαις, ὁμογνώμονι ψυχῇ καὶ μιᾷ διαθέσει, ὁμοφροσύνῃ τε καὶ ὁμοδοξίᾳ πίστεως καὶ εὐσεβείας, ὁμόφωνον μέλος ἐν ταῖς ψαλμολογίαις ἀναπέμπομεν. Τοιαύταις οὖν ψαλμῳδίαις καὶ κιθάραις πνευματικαῖς χρῆσθαι εἰώθαμεν, ἐπεὶ καὶ τοῦτο διδάσκει ὁ Ἀπόστολος λέγων· «Ψαλμοῖς καὶ ᾠδαῖς καὶ ὕμνοις πνευματικοῖς.[2]» Εἴη δ' ἂν ἄλλως κιθάρα μὲν τὸ πᾶν σῶμα, οὗ διὰ τῶν κινήσεων καὶ τῶν πράξεων ἡ ψυχὴ τὸν πρέποντα τῷ Θεῷ ὕμνον ἀποδίδωσι· ψαλτήριον δὲ δεκάχορδον ἡ τοῦ ἁγίου Πνεύματος διὰ τῶν αἰσθητηρίων πέντε μὲν τοῦ σώματος, ἰσαρίθμων δὲ τῆς ψυχῆς δυνάμεων, ἐπιτελουμένη λατρεία· ἃ δὴ παριστὰς ὁ αὐτὸς Ἀπόστολός φησί που· «Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ·[3]» ὡς καὶ τοῦ νοὸς ἰδίας ἔχοντος κινήσεις, δι' ὧν ἀνακρούεται τὸ σῶμα, καὶ τοῦ πνεύματος πάλιν οἰκείας, δι' ὧν τὴν ψυχὴν ἐνεργεῖ.

Στίχ. ε'. «Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι.»

Ὁ νοήσας τὴν ὑπὸ τοῦ Θεοῦ πεποιημένην ἡμέραν, περὶ ἧς εἴρηται, «Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ[4]», οὗτος ἐρεῖ, «Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου.» Ἀλλ' ἐπειδὴ περὶ τῆς ἡμέρας τοῦ Σαββάτου ὁ παρὼν ψαλμὸς προγέγραπται, ζητήσεις πῶς ἐν ἡμέρᾳ Σαββάτου ηὐφράνθαι λέγει, οὐκ ἐπὶ τῇ καταπαύσει τοῦ Θεοῦ, οὐδ' ἐπὶ τῇ ἀργίᾳ αὐτοῦ, ὡς ἂν ὑπολάβοιεν Ἰουδαῖοι, διὰ τὸ ἐν αὐτῇ καταπαῦσαι ἀπὸ πάντων

1. Ῥωμ. 2, 28-29. 2. Ἐφ. 5, 19. 3. Α' Κορ. 14, 15. 4. Ψαλμ. 117, 24.

τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ μὴν ἐχρῆν, εἴπερ ἄρα εἰς τὸ Ἰουδαϊκὸν Σάββατον ἀνεφέρετο τὰ διὰ τοῦ ψαλμοῦ δηλούμενα, ἐπὶ τῇ σχολῇ τοῦ Θεοῦ, καὶ τῇ, ὡς ἂν εἴποιεν, ἀναπαύσει καὶ ἀργίᾳ αὐτοῦ ηὐφράνθαι λέγεσθαι· νῦν δὲ οὐχ οὕτω φησίν, ἀλλ' «Εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι», ἄντικρυς παριστὰς ἰδίως μὲν νοεῖσθαι τὸ ποίημα, καὶ πάλιν ἰδίως τὰ ἔργα τῶν χειρῶν τοῦ Θεοῦ, ἐφ' οἷς ηὐφράνθαι ὁμολογεῖ, ἀλλ' οὐκ ἐπὶ τῇ ἀργίᾳ. Εἴη δ' ἂν ποίημα μὲν καθ' ἕνα τρόπον αὕτη ἡ ἡμέρα, περὶ ἧς εἴρηται· «Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ·» δηλοῖ δὲ τὴν ἀναστάσιμον καὶ Κυριακὴν ἡμέραν, ὡς ἐν ἑτέροις ἀποδεικτικῶς παρεστήσαμεν, τὰ ἀπὸ τῆς κοσμοποιίας παραθέμενοι, καθ' ἣν ὁ Μωϋσῆς· «Ἐν ἀρχῇ», φησίν, «ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν·[1]» καὶ ἐπιλέγει, «Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν.[2]» Ὁρᾷς γὰρ ὡς οὐδὲν ἕτερον ἐν ταύτῃ γίνεται δημιούργημα, ἀλλ' αὕτη μόνη ἡ ἡμέρα, ὡς ἐφαρμόζειν αὐτῇ τὸ φάσκον λόγιον, «Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.» Οὐδὲ γὰρ ἄλλο τι ἀλλ' αὐτὴν τὴν ἡμέραν ἐποίησεν, ἥτις ἦν ἡ πρώτη Κυριακή, περὶ ἧς καὶ νῦν λέγεσθαι τό, «Ὅτι ηὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου·» ἔργα δὲ χειρῶν αὐτοῦ τὰ ἐν ταῖς μετὰ ταῦτα ἡμέραις γεγενῆσθαι ἀναγεγραμμένα. Κατὰ δὲ ἕτερον τρόπον λεχθείη ἂν ποίημα μὲν τὰ νοητὰ καὶ λογικὰ καὶ ἀσώματα τοῦ Θεοῦ κτίσματα, καθ' ὃ καὶ ἡ κατ' εἰκόνα τοῦ Θεοῦ γεγενημένη ψυχὴ πεποιῆσθαι ἀναγέγραπται· ἔργα δὲ χειρῶν αὐτοῦ τὰ αἰσθητὰ καὶ σωματικὰ αὐτοῦ δημιουργήματα, περὶ ὧν εἴρηται· «Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας.[3]» Διδάσκει τοίνυν ἡ μετὰ χεῖρας Γραφή, ἐν τῇ σχολῇ τῶν θείων ἀσκήσεων, καὶ τῇ τῶν σωματικῶν καὶ θνητῶν ἔργων ἀσχολίᾳ τε καὶ ἀργίᾳ, ἥν τινα Σάββατον καὶ ἀνάπαυσιν ὁ λόγος ἀποκαλεῖ, ἐν τῇ θεωρίᾳ τῶν τε νοητῶν ὁμοῦ καὶ τῶν αἰσθητῶν ἔργων τοῦ Θεοῦ σχολάζοντας λέγειν· «Ὅτι ηὔφρανάς με Κύριε, ἐν τῷ ποιήματί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι, ἐκ μεγέθους γὰρ καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται·[4]» καὶ τὰ νοητὰ δὲ καὶ ἀσώματα καὶ ὑπερκόσμια, τά τε ὁρατὰ αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, κατὰ τὸν ἱερὸν Ἀπόστολον.[5]

Στίχ. ς', ζ'. «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα.»

«Ἐμέ», φησίν, «ηὔφρανας, ὦ Κύριε, ἐν τῷ ποιήματί σου, καὶ

1. Γεν. 1, 1. 2. Γεν. 1, 3, 5. 3. Ψαλμ. 8, 4. 4. Σοφ. Σολ. 13, 5. 5. Ῥωμ. 1, 20.

ἐν τοῖς ἔργοις τῶν χειρῶν σου·» ἀλλ᾽ οὐ καὶ πᾶς ἀνὴρ τὴν αὐτὴν ἐμοὶ φέρει διάθεσιν. Πολλοὶ γάρ εἰσιν ἄφρονες καὶ ἀσύνετοι, οὐ γινώσκοντες, οὐδὲ συνιέντες αὐτὰ δὴ ταῦτα, ἐφ᾽ οἷς αὐτὸς εὐφραίνεσθαι καὶ ἀγαλλιᾶν ὁμολογῶ. Διόπερ ὁ ὡς ἀληθῶς ἄφρων καὶ ἀσύνετος ἀναιρεῖ μὲν τὸ προνοίᾳ καὶ λόγῳ Θεοῦ συνεστάναι τὸ πᾶν, εἱμαρμένῃ δὲ καὶ ἀνάγκῃ, ἀλόγῳ τε φορᾷ καὶ τύχῃ προσγράφει τὰ τηλικαῦτα τοῦ Θεοῦ δημιουργήματα. Ἀλλὰ καὶ ὡς ἀσύνετος προσκόπτει τῇ διοικήσει τοῦ παντός, διὰ τὸ δοκεῖν πολλὰς ἀνωμαλίας ἐν τῷ θνητῷ βίῳ θεωρεῖν. Ὁ μὲν οὖν ἄφρων καὶ ἀσύνετος δυσχεραίνων εὐθὺς ἐπὶ βλάσφημον καὶ ἀσεβῆ λογισμὸν τρέπεται, ἀθεότητά τε καὶ ἀπρονοησίαν, καὶ τὸ εἰκῇ, καὶ ὡς ἔτυχε, τούτων εἶναι φάσκων αἴτια· ἐγὼ δέ, καὶ ἐπὶ τῶν προειρημένων ἀδήλων εὐσεβεῖν δεδιδαγμένος, πέπεισμαι, ὅτι ὑπὲρ τὴν ἐμὴν σμικρότητα τυγχάνουσιν οἱ τῆς σῆς κρίσεως καὶ διοικήσεως λόγοι. Διό φημι· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! σφόδρα ὑπερυψώθησαν οἱ διαλογισμοί σου.» Καὶ πόθεν γὰρ θνητοῖς λογισμοῖς ἐρευνᾶν τὰ βάθη τοῦ Θεοῦ, καὶ γινώσκειν τοὺς διαλογισμοὺς αὐτοῦ καθ᾽ οὓς διοικεῖ τὰ ἀνθρώπινα; Ὡς γὰρ οὐδεὶς ἔγνω «τῶν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τὸ ἐν αὐτῷ, οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ [1]», καὶ οὐχ οἷός τε λέγειν. «Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν [2]», ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ· περὶ οὗ εἴρηται· «Τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· [3]» ἅπερ εἰδώς, οὐδαμῶς ἐπὶ τῇ τῶν ἀνθρώπων ἀνωμαλίᾳ ταράττομαι· χαίρω δὲ καὶ εὐφραίνομαι τοὺς τῆς προνοίας λόγους οὐκ ἀπὸ τῶν κατὰ ἄνθρωπον συμπτωμάτων, ἀπὸ δὲ τῶν ἔργων τῶν χειρῶν τοῦ Θεοῦ καὶ ἀπὸ τῶν ποιημάτων αὐτοῦ καταλαμβάνων. Καὶ χαίρω γε καὶ ὑπερευφραίνομαι τοιούτων καταξιωθείς, ὧν ἐστέρηται πᾶς ἄφρων καὶ ἀσύνετος, οὐ δυνάμενος ἀπὸ τῶν ἔργων τοῦ Θεοῦ, τοῖς περὶ τῆς καθόλου προνοίας λόγοις μαθητεύεσθαι.

Στίχ. η΄. «Ἐν τῷ ἀνατεῖλαι ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ὅπως ἂν ἐξολοθρευθῶσιν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.»

Ὁ μὲν ἄφρων καὶ ἀσύνετος, ὁρῶν ἀσεβεῖς εὐθυμουμένους, δικαίους δὲ καὶ εὐσεβεῖς κακουμένους οὐ συνίησι τοὺς τῆς Προνοίας λόγους, ἀλλ᾽ εὐθὺς ἐπ᾽ ἀσεβεῖς τρέπεται λογισμούς, ἐκπίπτων εἰς ἀθεότητα· ἐγὼ δέ, τῷ ποιήματί σου ἐνορῶν, καὶ τοῖς ἔργοις τῶν χειρῶν σου, μετὰ τῶν ἄλλων συνεῖδον, ὅτι τὸ τέλος τῶν κατὰ τὸν βίον εὐθυμούντων ἀσεβῶν ὄλεθρον περιέχει καὶ ἀπώλειαν· διὸ πολὺ πλέον τοὺς τῆς θείας κρίσεως λόγους ὑπερεκπλήττομαι. Ὥσπερ γοῦν χόρτος καὶ τὰ ἀπὸ γῆς ἄνθη πρὸς ὀλίγον ὡραῖα φαίνεται, καὶ θέλγει τὴν ὅρασιν, καὶ τὴν αἴσθησιν ἅπασαν, ὅσον δὲ οὐδέπω μεταβάλλει καὶ τρέπεται, φθίνει τε ῥᾷστα καὶ ἀπόλλυται· τὸν αὐτὸν τρόπον καὶ οἱ

1. Α΄ Κορ. 2, 11. 2. Α΄ Κορ. 2, 12. 3. Α΄ Κορ. 2, 10.

παρὰ τοῖς πολλοῖς θαυμαζόμενοι ἁμαρτωλοὶ ἅμα τε ἀνέτειλαν, καὶ πρὸς ὀλίγον ἀνθήσαντες, διέκυψαν, ἐφάνησάν τε τίνες ποτέ εἰσι, καὶ ὁποίας προαιρέσεως· εἶτ' οὐκ εἰς μακρὸν αὐτοὺς μετῆλθεν οὐκέτι βραχὺς καὶ πρόσκαιρος ὄλεθρος, ἀλλὰ διηνεκὴς ἀπώλεια. Ἐπειδήπερ ἡ σὴ δικαιοκρισία τοῖς ἀνθρωπίνοις ἐφέστηκε πράγμασι, διὸ δὴ μάλιστα συγκεχωρῆσθαι τοῖς ἁμαρτωλοῖς καὶ τοῖς ἐργαζομένοις τὴν ἀνομίαν τὸ ἀνατεῖλαι καὶ διακῦψαι ἡγοῦμαι· ὡς ἂν ἐλεγχθείη αὐτῶν ἡ προαίρεσις, οὐ καλῶς τοῖς τοῦ Θεοῦ δωρήμασι κεχρημένη· διόπερ ἔκδικος αὐτοὺς ὄλεθρος αἰώνιος διαδέξεται.

Στίχ. θ'-ιβ'. «Σὺ δὲ Ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε. Ὅτι ἰδοὺ οἱ ἐχθροί σου, Κύριε, ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἀπολοῦνται, καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου, καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι. Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου, καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἐπακούσεται τὸ οὖς μου.»

Σὺ μέν, φησίν, ὦ Κύριε, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων Ὕψιστος ἐν ὑψηλοῖς διαμενεῖς τὸν σύμπαντα αἰῶνα οὐ τρεπόμενος, οὐ ταπεινούμενος, οὐκ ἀλλοιούμενος, οὐ κρείττων σαυτοῦ γινόμενος, οὐ τοῖς ταπεινοῖς τῶν ἐπὶ γῆς ὁμοιούμενος, οὐδὲ μικρόν τι καὶ ταπεινὸν φρονῶν καὶ πράττων, ἀλλ' εἰς ἄπειρον σαυτῷ διαμένων ὅμοιος· ἡμεῖς δὲ οἱ ταπεινοὶ καὶ μακρὰν τῆς σῆς ἀπέχοντες δυνάμεως ἄλλοτε ἄλλως φερόμεθα, καὶ μεταβαλλόμεθα. Οἱ μὲν οὖν ἐχθροί σου, ὦ Κύριε, ὡς ἂν ἑαυτοὺς ἀλλοτρίους καταστήσαντες τῆς παρὰ σοὶ ζωῆς, ἔχθραν τε ἀντὶ φιλίας πρὸς σὲ τὸν μόνον ἀγαθὸν ἑλόμενοι, ἀπολοῦνται, ἑαυτοῖς αἴτιοι γενόμενοι ἀπωλείας, διὰ τὸ μὴ ἐθελῆσαί σοι παραμένειν καί σοι φιλωθῆναι· ἔχθραν δὲ ἄρασθαι τὴν πρὸς σὲ τὸν ἑαυτῶν ποιητήν τε καὶ σωτῆρα. Διὸ κἂν μυρία συναγάγωσιν ἐν τῷ βίῳ τούτῳ χρήματα, καὶ πλοῦτον, καὶ θησαυρούς, ἀλλὰ τὰ πάντα σὺν ταῖς αὐτῶν ψυχαῖς καὶ αὐτοῖς σώμασι διασκορπισθήσονται. Ἐγὼ δὲ ὁ τὴν πρὸς σὲ γνῶσιν καὶ φιλίαν ἀσπασάμενος, καὶ τῶν ἐχθρῶν σου ἀλλότριος γεγονώς, πέπεισμαι, ὅτι τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς τεύξομαι τῇ σῇ δικαιοκρισίᾳ πιστεύων· ὥστε εἰ καὶ κατὰ τὸν παρόντα βίον ἄδοξός τις εἶναι δοκοίην καὶ ταπεινὸς παρὰ τοῖς πολλοῖς, ἀλλ' ἐν τῷ τέλει τῶν πραγμάτων ὑψωθήσομαι, μᾶλλον δὲ τὸ κέρας μου ὑψωθήσεται, τουτέστιν ἡ ἐλπὶς τῆς προσδοκωμένης μου παρὰ σοὶ βασιλείας, ἥτις ὑψωθήσεται τοσοῦτον, ὅσον καὶ ἡ τοῦ μονοκέρωτος. Εἰ γάρ ἐστί τις ἐν νοητοῖς μονόκερως ἓν κέρας ἐπιγραφόμενός σε τὸν αὐτοῦ Πατέρα, εὖ οἶδα καὶ αὐτὸς ὁμοίως ἐκείνῳ ὑψωθησόμενος. Ἐπεὶ γὰρ κεκλήμεθα κληρονόμοι εἶναι Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ, πέπεισμαι, φησί, τῆς αὐτῆς τῷ Χριστῷ σου βασιλείας ἀπολαύσειν, ὁπηνίκα τὸ γῆράς μου, τουτέστι τὰ ἔσχατα τῆς ἐμῆς ζωῆς ὑψωθήσεται ἐν ἐλαίῳ πίονι. Εἰ γὰρ καὶ τὰ μάλιστα τὰ τῆς νεότητος καὶ τὰ τῆς ἀκμῆς τῆς ἐμῆς ψυχῆς ὡς ἐν ἀγῶνι τῷ παρόντι βίῳ ταπεινοῦται

γυμναζόμενα, ἀλλὰ τά γε ἔσχατα καὶ τῆς ψυχῆς αὐτῆς τὸ γῆρας, τουτέστιν ἡ τελείωσις τεύξεται τῆς ἐπὶ τὸ κρεῖττον μεταβολῆς, ἐν ἐλαίῳ περιττεύοντι καὶ πλουσίῳ καὶ πίονι, τῷ παρὰ σοί, τῷ ἐλεήμονι Θεῷ ζησομένης. Τότε δὴ τότε καὶ ὁ νῦν ἐπὶ τοῖς ἁμαρτωλοῖς ἐκτηκόμενός μου ὀφθαλμός, καὶ τὸν θνητὸν βίον ἀποκλαόμενος, ἐπόψεται τοῖς ἐχθροῖς μου, ὁρῶν δίκην τὴν πρέπουσαν διδόντας τοὺς νῦν παρὰ τοῖς πολλοῖς δοξαζομένους, ὧν τὸ τέλος διασκορπισμῷ παραδοθήσεται. Τότε δὲ οὐ μόνον ὁ ὀφθαλμός μου, ἀλλὰ καὶ αὐτὸ τὸ οὖς τῆς ἐμῆς ψυχῆς τὸ τέλος ἀκούσεται τῶν σήμερον ἐπανισταμένων ἐπ' ἐμὲ καὶ πονηρευομένων. Τούτων δ' οὖν ἕνεκα πάντων ὑπερθαυμάζων τοὺς τῆς σῆς προνοίας λόγους, καὶ τὴν ἀποκειμένην τοῖς πᾶσι παρὰ σοῦ δικαιοκρισίαν, ἐγὼ μὲν ὑπερευφραίνομαι καὶ ἀγαλλιῶ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν σου· πᾶς δὲ ἄφρων ἀνὴρ καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. Διὸ δή φημι· «Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε![1]» καὶ οὐχ ἁπλῶς ἐβαθύνθησαν, ἀλλὰ «σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου·» καθ' οὓς διαλογισμοὺς ἀπορρήτως καὶ βαθέως διοικεῖς τὸ πᾶν, ἐπιτρέπων καὶ συγχωρῶν ἀσεβέσι μὲν κατὰ τὸν παρόντα καιρὸν ἐπαίρεσθαι καὶ ὑψοῦσθαι, τοὺς δὲ εὐσεβεῖς ταπεινοῦσθαι, ὧν τὰ τέλη μαρτυρεῖ σου τῇ θαυμαστῇ καὶ πανσόφῳ διοικήσει· ἃ δὴ σινιδὼν καὶ ὁ θεῖος Ἀπόστολος ἐξεφώνησε τό, «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ, ὡς ἀνεξερεύνητα τὰ κρίματά σου, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.[2]»

Στίχ. ιγ΄, ιδ΄. «Δίκαιος ὡς φοίνιξ ἀνθήσει, ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.»

Οἱ μὲν ἁμαρτωλοὶ ὡσεὶ χόρτος ἐλέγοντο ἀνατέλλειν, καὶ καταλλήλως τῷ παραδείγματι τοῦ χόρτου, οὐκ εἰς μακρὸν διαφθείρεσθαι· ἅμα τε γὰρ ἀνέτειλεν ὁ χόρτος καὶ ἐξηράνθη, καὶ τὸ ἄνθος ἐξέπεσεν, ὥσπερ οὖν καὶ ἡ τῶν ἁμαρτωλῶν ζωή τε καὶ δόξα· ὁ δὲ δίκαιος οὐ κατὰ τὸν χόρτον, ἀλλὰ φοίνικος δίκην ἀνθήσει, ἄνω που φέρων τὰς ῥίζας, καὶ τὰς κομάς, οὐ χαμαὶ κειμένας, ἀλλ' εἰς οὐρανὸν ἐκτεινομένας. Τούτων μὲν οὖν ἕνεκα φοίνικι παραβληθείη ἂν ὁ δίκαιος, οὐκ ἔτι δὲ καὶ τῷ μονοφυεῖ στελέχει τοῦ φοίνικος· πολυπληθεῖ γὰρ ἐν τοῖς κλάδοις τοῖς ἅμα αὐτῷ καὶ δι' αὐτοῦ σῳζομένοις. Ὧν ἕνεκα παραβλητέον αὐτῇ τῇ κέδρῳ, οὐχ ἁπλῶς, ἀλλὰ τῇ ἐν τῷ Λιβάνῳ· πολλὴ δὲ αὕτη καὶ μεγαλοφυῶς πληθύουσα· ἅτε ἐν ὄρει φύουσα λιπαρωτάτῳ, φέροντι καὶ τρέφοντι οὐρανομήκη φυτά. Οὕτω δ' οὖν καὶ ὁ δίκαιος, μυρίους ἔχων τοὺς δι' αὐτοῦ καὶ σὺν αὐτῷ σῳζομένους, κατὰ τοῦτο μὲν ἂν ἐμφερὴς τῇ κέδρῳ, τῷ δὲ φοίνικι κατὰ τὰ ἄλλως δεδηλωμένα. Ἀλλ' οὐ τοιοῦτοι ἦσαν οἱ ἀσεβεῖς, οἱ ὡσεὶ χόρτος ἀνατέλλοντες καὶ παραχρῆμα ἀφανιζόμενοι. «Πεφυτευμένοι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι.» Σπάνιος μὲν

1. Ψαλμ. 103, 24. 2. Ῥωμ. 11, 33.

ὁ ἄκρως τέλειος, ὁ καὶ δίκαιος ὠνομασμένος, φοίνικι καὶ κέδρῳ παραβεβλημένος· ἐπεὶ δὲ μὴ πάντες τοιοῦτοι, ἰστέον, ὅτι καὶ τῶν ἀτελεστέρων, πλὴν ἀλλὰ τῆς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ φυτείας ἠξιωμένων, ἔστι τι ἀγαθὸν τέλος· ἐν γοῦν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι. Νοήσεις δὲ καὶ τοῦτο οἶκον μέγαν Κυρίου ἀκούων τὴν Ἐκκλησίαν αὐτοῦ, τὴν ἐπὶ γῆς, κατὰ τὸν φήσαντα Ἀπόστολον· «Ἵνα ἴδῃς πῶς δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος·[1]» πεφυτευμένους δὲ ἐν ταύτῃ τοὺς τὰς ἀρχὰς τῆς ἐν θεοσεβείᾳ προκοπῆς ἐντεῦθεν εἰληφότας, οἷοι ἦσαν, οὓς ἐφύτευσεν ὁ Παῦλος, δι' οὓς καὶ ἔλεγεν, «Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν.[2]» Οὗτοι οὖν οἱ ἐν τῇ περιγείῳ Ἐκκλησίᾳ τοῦ Θεοῦ πεφυτευμένοι ἄνθος ἀποδώσουσιν εὐῶδες καὶ γόνιμον καὶ τῶν τελείων καρπῶν οἰστικόν, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν μεταφυτευθέντες, τουτέστιν ἐν ταῖς ἐπουρανίοις μοναῖς· εἴ γε πολλαὶ παρὰ τῷ Πατρί, ἔνθα κατ' ἀξίαν διαμερισθέντες οἱ νῦν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ πεφυτευμένοι, κατὰ καιρὸν τὸν προσήκοντα ἐξανθήσουσιν.

Στίχ. ιε', ις'. «Ἔτι πληθυνθήσονται ἐν γήρᾳ πίονι, καὶ εὐπαθοῦντες ἔσονται, τοῦ ἀναγγεῖλαι, ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.»

Οὐ μόνον φησίν, ὅτι ἐξανθήσουσιν ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ οἱ σήμερον ἐν τῷ οἴκῳ αὐτοῦ πεφυτευμένοι, ἀλλὰ καὶ αὐτοὶ πληθυνθήσονται, ὥσπερ ἀνωτέρω ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ ἐπληθύνετο. Πότε δὲ τοῦτο αὐτοῖς ἔσται, ἀλλ' ἢ ἐν τῷ γήρᾳ τῷ πίονι; Γῆρας δὲ ἐνταῦθα τὴν τελείωσιν πέπεισο λέγεσθαι τῆς ψυχῆς, ἐν ᾗ γενόμενοι εὐπαθοῦντες ἔσονται οἱ νῦν ἐν τῷ οἴκῳ Κυρίου πεφυτευμένοι. Εἰ γὰρ καὶ τὰ μάλιστα κατὰ τὸν παρόντα καιρόν, ἐν ᾧ φυτεύονται ἐν τῷ οἴκῳ Κυρίου κακοπαθοῦντες διατελοῦσι, τοὺς πρώτους τῆς γεωργίας πόνους ὑπομένοντες· ἀλλ' ἐπὰν τοῦ γήρως τοῦ πίονος ἀξιωθῶσιν, εὐπαθοῦντες γενήσονται ἀναπαυόμενοι τῶν καμάτων καὶ τῶν ἀγώνων τὰ ἔπαθλα ἀποληψόμενοι· Ὁμολογήσουσί τε, «Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.» Εἰ γὰρ μὴ τὰ κατηριθμημένα ἀγαθὰ ἔμελλε διαδέχεσθαι τοὺς τῷ Θεῷ ἀνακειμένους, καὶ εἰ μὴ τὸ ὀλέθριον τέλος περιέμενε τοὺς ἀσεβεῖς καὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἣν ἂν τάχα ἀδικίαν ἐπικαλέσαι τῇ τοῦ Θεοῦ προνοίᾳ. Ὅτε δὲ τοιαῦτα τέλη καὶ τοῖς δικαίοις ἡτοίμασται, οἵων καὶ ἡμεῖς εὐχόμεθα τυχεῖν, καὶ τοῖς ἀσεβέσι τοιαῦται ἠπείληνται τιμωρίαι, ἀφ' ὧν γένοιτο ἡμᾶς ῥυσθῆναι· πῶς οὐκ ἀκόλουθον ἂν εἴη ὁμολογεῖν, «Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ;» Ἀλλ' ὁ μὲν ἄφρων ταῦτα οὐ γνώσεται, οὐδὲ ἀσύνετος συνήσει ταῦτα, διὰ τὸ σκοτίζεσθαι ὑπὸ τῆς οἰκείας ἀφροσύνης· ἐγὼ δὲ ὁ γνοὺς αὐτὰ καὶ συνιεὶς διὰ τὸ ὑπὸ Θείου Πνεύματος πεφωτίσθαι, καὶ διὰ τὸ θεωρεῖν ὅπως ἐβαθύν-

1. Α' Τιμ. 3, 15. 2. Α' Κορ. 3, 6.

θησαν σφόδρα οἱ διαλογισμοὶ τοῦ Θεοῦ· εἰκότως εὐφραίνομαι καὶ ἀγαλλιῶ ἐπὶ τῇ θείᾳ διοικήσει, φέρω τε τὰ παρόντα γενναίως διὰ τὴν τῶν μελλόντων ἐλπίδα. Ὧν ἕνεκα τὴν πᾶσαν ἐμαυτοῦ σχολήν, καὶ τὴν ἀπὸ τῶν κακῶν ἀργίαν ἀνατιθεὶς τῷ Θεῷ, τὰ τρυφερὰ καὶ ἅγια Σάββατα ἐπιτελεῖν πειρῶμαι, διὰ τοῦ ἐξομολογεῖσθαι καὶ ψάλλειν καὶ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεος τοῦ Θεοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ κατὰ νύκτα. Τότε γὰρ μάλιστα ἡ ἀλήθεια τῆς θεοσεβοῦς δείκνυται ψυχῆς, ὅτε, ἐν σκοτίᾳ καὶ σκότει τυγχάνουσα, ὡς ἐν λαμπροτάτῳ φωτὶ καὶ ἐν ἡμέρᾳ διαυγεστάτῃ τὸ γνήσιον καὶ εἰλικρινὲς τῆς συνειδήσεως ἐπιδείκνυται. Τοιοῦτος καὶ ὁ μετ' ᾠδῆς εἰρημένος ψαλμὸς εἰς τὴν ἡμέραν τοῦ Σαββάτου, τουτέστι τὸν τῆς κατὰ Θεὸν σχολῆς τε καὶ ἀναπαύσεως καιρόν, ἐν ᾧ καὶ ἡμᾶς τῇ μελέτῃ τῶν θείων μαθημάτων σχολάζοντας, τοὺς εὐχαριστηρίους λόγους τῆς προκειμένης ᾠδῆς ἀναπέμπειν προσήκει τῷ Θεῷ.

## ΑΙΝΟΣ ΩΔΗΣ ΤΩ ΔΑΥΙΔ. ϞΒʹ.

Στίχ. αʹ. «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.»

Ἐπεὶ κατὰ τὸν Ἀπόστολον ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως [1], τουτέστιν ἀπὸ τῆς πρώτης ἀνθρώπων γενέσεως τῆς κατὰ Μωϋσέα σωματικῆς λατρείας, ἥτις ἐπιγείου Ἱερουσαλὴμ πάλαι πρότερον μέχρι τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίας συνετελεῖτο· εἰκότως ὅτε ὁ θάνατος ἐβασίλευε, καὶ ὁ τὸ κράτος ἔχων τοῦ θανάτου, τουτέστιν ὁ διάβολος κατεκράτει, οὐκ ἦν τότε ἀνθρώπων βασιλεύων ὁ Κύριος, ἀλλά τις πολύθεος καὶ δαιμονικὴ πλάνη. Διδάσκει δὲ ὁ αὐτὸς Ἀπόστολος περὶ τοῦ Σωτῆρος ἡμῶν λέγων· «Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν παθημάτων, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον.[2]» Εἰκότως οὖν ὁ προὼν τοῦ Θεοῦ Λόγος, αὐτὸς ὢν ἡ ζωή, ἐπὶ καθαιρέσει τοῦ θανάτου θνητὸν ὄργανον τὸ σῶμα τὸ ἀνθρώπειον ἀναλαβών, καὶ τοῦτο τῷ θανάτῳ παραδοὺς εἰς ἔνδειξιν τῆς οἰκείας φύσεως, κἄπειτα αὐτὸ τοῦ θανάτου ἐξελὼν εἰς παράστασιν τῆς ἐνθέου δυνάμεως, λύει μὲν τοῦ θανάτου τὸ κράτος, λύει δὲ καὶ τοῦ διαβόλου τὴν κατὰ τῶν ἀνθρώπων τυραννίδα· ἀλλὰ καὶ τῶν πάλαι κατακρατούντων τοῦ ἀνθρωπείου γένους δαιμόνων πονηρῶν καὶ πνευμάτων ἀκαθάρτων τὴν ἐνέργειαν σβέννυσι, πᾶσάν τε καθελὼν τὴν ἀντικειμένην καὶ ἐχθρὰν τῷ Θεῷ δύναμιν, τὴν πατρικὴν τῷ Θεῷ βασιλείαν διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος πᾶσι τοῖς ἔθνεσι προξενεῖ. Διὸ δὴ καταλυθείσης τῆς τοῦ θανάτου δυναστείας, καὶ καταργηθέντος τοῦ τὸ κράτος ἔχοντος τοῦ θανάτου, τουτέστι τοῦ διαβόλου, βασι-

1. Ῥωμ. 5, 14. 2. Ἑβρ. 2, 14.

λεύοντος δὲ ἤδη λοιπὸν τῶν ἐπὶ γῆς ἁπάντων ἐθνῶν τοῦ Κυρίου, σὺν αὐτῷ βασιλευούσης ἀνθρώπων τῆς κατὰ Θεὸν ζωῆς, εἰκότως τὸ θεῖον Πνεῦμα, χορεῦον ἐπὶ τῷ κατορθώματι καὶ πάντας ἡμᾶς ἐπὶ τὴν χορείαν συνάγον, ἀναφωνεῖ καὶ λέγει· «Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.» Βασιλεύει δὲ ὁ Κύριος, αὐτὸς ὢν ἡ ζωή, καὶ αὐτὸς ὢν ὁ τοῦ Θεοῦ Λόγος, πάσης ψυχῆς, ἧς μὴ καθάπτεται ἀλογία καὶ ἀφροσύνη, καὶ ἧς μὴ βασιλεύει ἁμαρτία, καὶ ἧς μὴ κρατεῖ ὁ διάβολος, καὶ ἧς μὴ καταδυναστεύει θάνατος, τιτρώσκων αὐτὴν καὶ ἀναιρῶν διὰ τῶν ἰδίων κέντρων. Τὸ δὲ κέντρον τοῦ θανάτου τὴν ἁμαρτίαν εἶναι διδάσκει ὁ Ἀπόστολος[1], δι' ἧς ἀναιρεῖται ψυχὴ κατὰ τὴν φάσκουσαν προφητείαν· «Ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται.[2]» Διὸ ἀσκητέον τὸ μήτε ἀλογίαν, μήτε ἁμαρτίαν, μήτε τὸν διάβολον, μήτε τὸν θάνατον ἡμῶν διὰ τῆς ἁμαρτίας κρατεῖν· μόνον δὲ κυριεύειν ἡμῶν τὸν Λόγον καὶ τὴν ζωήν, τουτέστι τὸν Κύριον, διὰ πάσης ἀρετῆς βασιλεύοντα τῶν κατηξιωμένων τῆς ὑπ' αὐτοῦ βασιλείας.

Ἐπεὶ δὲ μέλλων βασιλεύειν, οὐ μόνον ζώντων, ἀλλὰ καὶ νεκρῶν ὁ τοῦ Θεοῦ Λόγος αὐτὸς ὢν ὁ Κύριος, καὶ οὐ μόνον τῶν ἐν οὐρανοῖς ἀλλὰ καὶ τῶν ἐπὶ γῆς, καθὼς αὐτὸς διδάσκει λέγων, «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς·[3]» ἐκένωσεν ἑαυτόν, μορφὴν δούλου λαβών, τουτέστι τὸ θνητὸν σῶμα καὶ τὸ ἀνθρώπειον ὄργανον· τοῦτο γὰρ ἦν ἡ μορφὴ τοῦ δούλου· τότε μέν, ὅτε ταῦτ' ἔπραττεν, ἀπρέπειαν περιεβάλλετο, ὥστε περὶ αὐτοῦ λέγειν, «Εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλ' ἦν τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων·[4]» ὅτε δὲ ἀπολαβὼν τὴν δόξαν, ἣν καὶ πρότερον εἶχε παρὰ τῷ Πατρί, τὴν τοῦ δούλου μορφὴν ἐπὶ τὸ κρεῖττον μετεσχημάτισε, κατὰ τὴν ἀποστολικὴν μαρτυρίαν, ἥ φησιν, «Ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, σύμμορφον τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ[5]», τὸ τηνικαῦτα εὐπρέπειαν ἐνεδύσατο· ὅτε καὶ τὴν τοῦ Πατρὸς βασιλείαν, καὶ τὰ πάντων, οὐ μόνον τῶν ἐν οὐρανοῖς, ἀλλὰ καὶ τῶν καθ' ὅλης τῆς οἰκουμένης ἐθνῶν ἐκράτυνε, πᾶσαν τὴν πολύθεον καθελὼν πλάνην. Διὸ λέλεκται· «Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο·» τὸ γοῦν «ἐνεδύσατο», ὡς κατά τινα καιρὸν ἀποδυσαμένου τὴν εὐπρέπειαν, λέλεκται· καὶ ὅτε μὲν ὑπέμενε τὰ κατὰ τὸ πάθος, «ἐσταυρώθη», φησὶν ὁ Ἀπόστολος, «ἐξ ἀσθενείας·[6]» ὅτε δὲ νενικηκὼς τὸν θάνατον, τὴν κατὰ πάντων ἀπελάμβανε βασιλείαν, πάλιν ἐπλήρου τό, «Ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.» Χριστὸς γὰρ Θεοῦ δύναμις ἦν καὶ Θεοῦ σοφία.[7] Εἶθ' ἅτε τὴν οἰκείαν δύναμιν ἐνδυσάμενος, καὶ ταύτῃ περιζωσάμενος, μεγάλῳ κατορθώματι ἑαυτὸν ἐπιδίδωσι. Τί δὲ

1. Α' Κορ. 15, 56. 2. Ἰεζ. 18, 20. 3. Ματθ. 28, 18. 4. Ἡσ. 53, 2-3. 5. Φιλιπ. 3, 21. 6. Β' Κορ. 13, 4. 7. Α' Κορ. 1, 24.

ἣν τοῦτο, ἑξῆς ὁ λόγος διδάσκει φάσκων· «Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.» Μικροῦ γὰρ δεῖν ὅλην αὐτὴν διόλου κατὰ βαράθρων ἐνεχθεῖσαν, ὁπηνίκα τὰ τῆς δαιμονικῆς ἐνεργείας κατὰ πάντων ἴσχυεν, ἀνήγειρε καὶ διωρθώσατο, πᾶσαν τὴν ἐχθρὰν καὶ δαιμονικὴν δύναμιν, τήν τε πολύθεον πλάνην ἀνατρέψας. Οὕτω γοῦν ἐστερέωσε τὴν οἰκουμένην, ὡς μηκέτ' αὐτὴν σαλεύεσθαι τῆς κατὰ Θεὸν εὐσεβείας· καὶ τὴν Ἐκκλησίαν δὲ αὐτοῦ τὴν ἐπὶ τὴν πέτραν τεθεμελιωμένην, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσι, διὰ τῆς οἰκουμένης ὁ λόγος σημήνας, καὶ ταύτην ἀληθῶς ἐστερεῶσθαί φησιν, ἥτις οὐ σαλευθήσεται. Πύλαι γὰρ ᾅδου αὐτῆς οὐ κατισχύσουσι, διὰ τὸ τεθεμελιῶσθαι ἐπὶ τὴν πέτραν.

Στίχ. β', γ'. «Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ τὴν φωνὴν αὐτῶν.»

Ὁ θρόνος σου, φησίν, ὦ Κύριε, οὐ νῦν πρῶτον, ὅτε μετὰ τὴν ἐνανθρώπησιν εἰς οὐρανοὺς ἀνελήλυθας, παρεσκευάσθη σοι· ἀλλὰ καὶ πάλαι καὶ πρόπαλαι καὶ πρὸ πάντων αἰώνων σὸς ἦν, ἀεί τε καὶ διὰ παντὸς ἡτοίμαστό σοι, ἐπειδὴ καὶ αὐτὸς ἀπὸ τοῦ αἰῶνος, μᾶλλον δὲ πρὸ πάντων αἰώνων ὑπάρχεις, ὡς αὐτὸς ἐδίδαξας εἰπών· «Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι· πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.[1]» Ἦν μὲν οὖν σὸς ὁ θρόνος καὶ πρὸ πάντων αἰώνων· οὐ μὴν ἀλλὰ καὶ ὅτε ἐκένωσας σεαυτόν, καὶ τὴν δούλου μορφὴν ἀνείληφας, σοὶ πάλιν ἕτοιμος ἐφυλάττετο· ἐπειδή σοι μόνῳ, καὶ οὐδετέρῳ πρὸς τοῦ σοῦ Πατρὸς εἴρητο· «Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.[2]» Οὕτω γοῦν ἦν ἕτοιμος ὁ θρόνος σου, ἐφ' ὃν σὺν αὐτῷ καθέζεσθαι ὁ γεννήσας σε Πατὴρ παρεκελεύετο. Καὶ ἕτοιμος ἦν ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος, ἐπεὶ καὶ αὐτὸς ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἀλλ' οὐκ, «ἦς», φησίν, ἀλλ', «εἶ.» Μόνον γὰρ αὐτῷ τό, «σὺ εἶ», λέγεσθαι ἁρμόττει. Διὸ καὶ ἐν ἑτέροις εἴρηται· «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.[3]» Τοῦτον δὲ τὸν θρόνον καὶ ἐν ἑτέρῳ τὸ θεῖον Πνεῦμα σημαίνει λέγον· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἐλαίῳ ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.[4]» Ἦν μὲν οὖν ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀφ' οὗ δηλαδὴ παρὰ τῷ Πατρὶ ἦς, ἐπεὶ καὶ αὐτὸς ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Πλὴν ἀλλὰ καὶ νῦν «ἐπῆραν οἱ ποταμοί, Κύριε.» Τί δὲ ἐπῆραν, ἐπιδευτερῶν ἑξῆς τὸν λόγον παρίστησιν εἰπών· «Ἐπῆραν οἱ ποταμοὶ φωνὴν αὐτῶν·» ταῦτα γὰρ λανθάνοντα πάλαι πρότερον, νῦν εἰς ἐξά-

1. Παρμ. 8, 22-25. 2. Ψαλμ. 109, 1. 3. Ψαλμ. 101, 28. 4. Ψαλμ. 44, 7-8.

κουστον ἁπάντων γέγονε τῶν τοῦ θείου Πνεύματος ἠξιωμένων προφητῶν, ἀποστόλων τε καὶ εὐαγγελιστῶν, μυριάνδρων τε λαῶν τῶν καθ' ὅλης τῆς οἰκουμένης ἐν ταῖς ἐκκλησίαις καταγγελλόντων τὴν σωτήριον βασιλείαν, οἳ καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, τὴν ἐκχυθεῖσαν εἰς πάντας τοῦ Θεοῦ χάριν μεγάλῃ τῇ φωνῇ εὐαγγελιζόμενοι. Ἀλλὰ καὶ τὰς θείας δυνάμεις καὶ τὸ πλῆθος τῶν κατ' οὐρανὸν ἀγγέλων οἶμαι νῦν ποταμοὺς ὀνομάζεσθαι. Οἳ δὴ καὶ αὐτοὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, ὁπηνίκα ἐκ τῆς σὺν ἀνθρώποις διατριβῆς ἀνιόντα εἰς οὐρανοὺς τὸν Σωτῆρα καὶ τὴν τῆς αὐτοῦ θεότητος εὐπρέπειαν ἐνδυόμενον, δυνάμει πατρικῇ περιζωννύμενον, καὶ τὸν οἰκεῖον ἀπολαμβάνοντα τῆς βασιλείας θρόνον ἐθεῶντο. Καὶ τῆς γε φωνῆς αὐτῶν ἐκεῖνα ἦν, δι' ὧν ἐβόων λέγοντες· «Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ·[1]» καὶ πάλιν· «Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης.[2]» Καὶ τὰ πλήθη δὲ τῶν ἐν ἀνθρώποις τοῦ Σωτῆρος ἡμῶν ἐκκλησιῶν ποταμηδὸν ἐν αὐταῖς τῶν ἐξ ἐθνῶν πεπιστευκότων συρρεόντων ἀεί, ἐπαιρόντων τε φωνὴν ἐν ταῖς πρὸς τὸν Θεὸν εὐχαῖς, ἔν τε ταῖς δι' ὕμνων καὶ ψαλμῶν δοξολογίαις, δύνανται λέγεσθαι ποταμοί· ἐπεὶ καὶ αὐτὸς ὁ Κύριος ἡμῶν τοὺς μέλλοντας ἐκ τῆς αὐτοῦ καὶ θείας διδασκαλίας ἀρύεσθαι, καὶ τοῦ ἁγίου Πνεύματος πίνειν, ποταμοῖς παραβάλλει λέγων· «Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, ἀλλομένου εἰς ζωὴν αἰώνιον.[3]»

Στίχ. δ'. «Ἀροῦσι ποταμοὶ ἐπιτρίψεις αὐτῶν ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψίστοις ὁ Κύριος.»

Εἰ νενόηνται οἱ ποταμοὶ οἱ ἐπὶ τῇ δόξῃ τῆς τοῦ Κυρίου βασιλείας τὴν αὐτῶν φωνὴν ἐπαίροντες, ἐκ τοῦ ἐναντίου νοηθήτωσαν ἕτεροι ποταμοὶ ἐπιτριβόμενοι καὶ κατεπαιρόμενοι τῆς γνώσεως τοῦ Θεοῦ, ἐναντίως δέ τε διακείμενοι τοῖς ἐπαίρουσι τὴν φωνὴν αὐτῶν τῷ Θεῷ. Οὗτοι δὴ οὖν οἱ ἐναντίοι ποταμοὶ αἴρουσι, φησί, τὰς ἐπιτρίψεις αὐτῶν, τουτέστιν ἀποθήσονται πᾶν ἔπαρμα καὶ πάντα τῦφον, καὶ πᾶσαν ἐπιτριβήν· καὶ τοῦτο ποιήσουσιν ἀπὸ τῆς φωνῆς τῶν ἁγίων ὑδάτων. Νοήσεις δὲ τὸ εἰρημένον ἐπιστήσας, ὡς πάλαι μὲν ἐν ἀνθρώποις πολλάκις ἦν ἐπαγγελία σοφίας τοῦ αἰῶνος τούτου, καὶ φιλοσοφίας ἀνθρωπίνης ἐπιτριβή· ἐφ' ᾗ καὶ ἐπήροντο φυσιούμενοι καὶ ἐπιτριβόμενοι ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτῶν· ὡς δὴ μεγάλα τινὰ καὶ σοφὰ μαθήματα μετερχόμενοι οἱ σοφοὶ τοῦ αἰῶνος τούτου. Ὅτε γε μὴν εἰς πᾶσαν τὴν γῆν παρ' Ἕλλησί τε καὶ παρὰ βαρβάροις ἐκκλησίαι Θεοῦ συνέστησαν, τὴν ἀληθῆ σοφίαν μετιοῦσαι, καὶ τὰς

1. Ψαλμ. 23, 7-9. 2. Ψαλμ. 23, 10. 3. Ἰω. 7, 38.

πρεπούσας τῷ Θεῷ δοξολογίας τε καὶ ὑμνολογίας ποταμηδὸν καὶ μετὰ μείζονος καὶ πεπαρρησιασμένης βοῆς ἀναπέμπουσαι, καὶ ὥσπερ ὑδάτων πολλῶν φωνὴν διὰ τὸ πλῆθος θεοσεβούντων ἀφιεῖσαι, τὸ τηνικαῦτα καθηρέθη ὁ τῦφος τῶν πάλαι νομιζομένων σοφῶν, καὶ πᾶσα αὐτῶν ἐπιτριβὴ τεταπείνωται, τῆς σοφίας αὐτῶν εἰς οὐδὲν λογισθείσης. Εἰ δέ τις πώποτε ἐθαύμασε καὶ τῆς θαλάσσης τοὺς μετεωρισμούς, τοῦ βίου δηλαδὴ τοῦ θνητοῦ τὰς τρικυμίας καὶ τοὺς κλύδωνας τοὺς ἐπαιρομένους κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· ἀλλ' ἴστω, ὅτι ὑπὲρ πάντας θαυμαστός ἐστιν ἐν ὑψηλοῖς ὁ Κύριος· ὡς μηκέτ' εὐλόγως τοὺς μετεωρισμοὺς τῆς θαλάσσης φοβεῖσθαι δεῖν τοὺς ἐπὶ τῷ Κυρίῳ πεποιθότας. Εἰκὸς δὲ θαλάσσης εἶναι μετεωρισμοὺς τοὺς ἐπανισταμένους τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διωγμούς· οὓς ὁ τὴν θάλασσαν κατοικῶν δράκων ἐνεργεῖν εἴωθεν, ὁ μετεωρίζων κύματα αὐτῆς, βομβῶν τε καὶ ἠχῶν καὶ ταράττων, καὶ μονονουχὶ ἀπειλῶν πᾶσαν ἄρδην κατακλύσειν τε καὶ ἀφανίσειν τὴν Ἐκκλησίαν τοῦ Θεοῦ. Εἴποις δ' ἂν καὶ ἄλλως πρὸς λέξιν ταῦτα διηγούμενος, ἐπαίρειν τοὺς ποταμούς, αὐτοὺς δὴ τούτους τοὺς αἰσθητούς, τὴν φωνὴν αὐτῶν τῷ Θεῷ, τοῦ δημιουργοῦ τοῦ δὴ καὶ κτίσαντος αὐτοὺς καὶ ὑποστησαμένου τὴν δόξαν ἐμφαίνοντας. Ὡς γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ὁ γενεσιουργὸς θεωρεῖται, τὸν αὐτὸν τρόπον ἐκ τῶν μερῶν τοῦ κόσμου τὸ θαῦμα τῆς τοῦ Θεοῦ μεγαλουργίας τοῖς ὁρᾶν δυναμένοις παρίσταται. Εἰ γοῦν τις παρ' ἑαυτῷ λογίσαιτο, πόθεν ἄρα φέρεται ἡ τοσαύτη τῶν ποταμῶν φορά, πόθεν τὰ τοσαῦτα μεγέθη καὶ τὰ πλήθη τῆς ὑγρᾶς οὐσίας, πόθεν αἱ μηδὲ πώποτε ἐξ αἰῶνος διαλείψασαι πηγαί, αἱ τοὺς ἀεννάους καὶ παμμεγέθεις βρύουσαι ποταμούς· ἀπὸ ποίων ἄρα βυθῶν ὁρμῶνται, καὶ ἐκ ποίας ὑποστάσεως τὸν σύμπαντα ῥέουσιν αἰῶνα· εἴ τις ταῦτα ἐννοήσειεν, ὄψεται ὡς μονονουχὶ φωνὴν ἀφίησι, καὶ ἡ διὰ τῶν ποταμῶν αὐτῶν δὴ τούτων παρισταμένη τοῦ κτίστου καὶ δημιουργοῦ τῶν ὅλων μεγαλουργία, μαρτυροῦσα τῇ αὐτοῦ θεότητι. Οὕτω δὲ καὶ τοὺς μετεωρισμοὺς τῆς θαλάσσης ὁρῶν τις, ὡς ἐπαίρεται κυρτούμενα αὐτῆς εἰς ὕψος τὰ κύματα, καὶ ὡς πάλιν ταῦτα συμπίπτοντα ἐν αὐτοῖς θραύεται, καὶ ὡς οὐ δύναται οὐδὲ τολμᾷ τὸν ὅρον καὶ τὸν νόμον ὑπερβῆναι τὸν αὐτοῖς διατεταγμένον, ὄψεται καὶ διὰ τούτων τῆς τοῦ Θεοῦ μεγαλοπρεπείας τὴν δύναμιν. Εἶπε γοῦν αὐτῇ, Μέχρι τούτου ἐλεύσῃ, καὶ ἐν σοὶ συντριβήσονταί σου τὰ κύματα [1], καὶ ὅριον αὐτῇ ἔθετο, καὶ οὐχ ὑπερβήσεται, οὐδὲ ἐπιστρέψει καλύψαι τὴν γῆν.[2] Καὶ ἑτέρως δὲ παρὰ τὰ εἰρημένα εἴποι ἄν τις θαυμαστοὺς εἶναι τοὺς μετεωρισμοὺς τῆς θαλάσσης, ὁπηνίκα προσελθόντες οἱ μαθηταὶ εἶπαν αὐτῷ, «Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα· [3]» ὅτε καὶ ἐπετίμησεν αὐτῇ, καὶ γέγονε γαλήνη μεγάλη. Καὶ ἄλλοτε πάλιν, ὅτε τῷ τοῦ Κυρίου κελεύσματι διαιρεθεῖσα, καὶ εἰς

---

1. Ἰὼβ 38, 11. 2. Ψαλμ. 103, 9. 3. Ματθ. 8, 25.

ἑαυτὴν διαστᾶσα καὶ ἀναχωρήσασα, παρέσχε δίοδον τοῖς υἱοῖς Ἰσραὴλ διελθεῖν δι' αὐτῆς ὡς διὰ ξηρᾶς γῆς. Καὶ τότε γὰρ θαυμαστοὶ γεγόνασιν αὐτῆς οἱ μετεωρισμοί. Οὐ μὴν ἀλλὰ καὶ οἱ ποταμοὶ ἐπῆραν φωνὴν ἑτέρως, ὅτε ἡ κιβωτὸς διήει τὸν Ἰορδάνην, ὑπανεχώρει τε καὶ ἵστατο τὰ ὕδατα ἔργοις τὴν δόξαν ἐκβοῶντα τοῦ Θεοῦ· καὶ ὅτε, αὐτοῦ τοῦ Σωτῆρος βαπτισθέντος ἐν τῷ αὐτῷ ποταμῷ, ἡ οὐράνιος φωνὴ Υἱὸν αὐτὸν ἀγαπητὸν εἰς τὰς πάντων ἀκοὰς ἀνεκήρυττε.

Στίχ. ε΄. «Τὰ μαρτύρια ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.»

Αἱ περὶ τῶν μελλόντων προφητεῖαι, καθ' ἃς ἐφέροντο καὶ αἱ περὶ τῆς τοῦ Κυρίου βασιλείας μαρτυρίαι, πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, οὔπω παρεῖχον ὁρᾶν τὸ πιστὸν τῶν λόγων. Μετὰ δὲ τὴν ἔκβασιν, καὶ τὰ διὰ τῶν ἔργων ἐπιτελέσματα ἐπιστώθη τὰ μαρτύρια τοῦ Θεοῦ. Πάλαι μὲν γὰρ εἴρητο καὶ προπεφήτευτο, ἐκ μακροῦ τε προσεδοκᾶτο τὰ περὶ τῆς εἰς ἅπαντα τὰ ἔθνη τοῦ Θεοῦ βασιλείας· ἐπιστώθη δὲ τὸ φῆσαν τοῦτο μαρτύριον νῦν, ὅτε ἔργοις ὁρᾶται πεπληρωμένον τὸ λόγιον. Καὶ πάλαι μὲν ἐλέγετο περὶ τοῦ Κυρίου, ὡς ἄρα εὐπρέπειαν ἐνεδύσατο· νῦν δέ, πιστουμένου τοῦ λόγου δι' αὐτῶν τῶν ἔργων, πέφηνεν ἡ ἀλήθεια τῆς προρρήσεως, ὅτε ἀποδυσάμενος τὴν τοῦ Θεοῦ μορφήν, καὶ τὴν τοῦ δούλου περιθέμενος, καὶ μέχρι γε τοῦ ἀπρεποῦς θανάτου φθάσας, μετὰ ταῦτα τὴν μὲν ἀπρέπειαν ταύτην ἀποτέθειται, ἐνεδύσατο δὲ τῆς πατρικῆς δόξης τὴν εὐπρέπειαν, τὴν κατὰ πάντων βασιλείαν, τῶν τε ἐν οὐρανοῖς καὶ τῶν ἐπὶ γῆς ἀναδησάμενος. Καὶ πάλιν τὰ μὲν προφητικὰ μαρτύρια περιεῖχεν, ὡς ἐνδυσάμενος δύναμιν ὁ Κύριος, ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἐπιστώθη δὲ καὶ ταῦτα, ὅτε μετὰ τὸ πάθος, τὴν οἰκείαν ἀπολαβὼν δύναμιν, ἐν πάσῃ τῇ τῶν ἀνθρώπων οἰκουμένῃ τὴν Ἐκκλησίαν αὐτοῦ ἐστερέωσεν, εἰς τὸ μηκέτι σαλεύεσθαι ὧδε κἀκεῖσε τὰς τῶν ἀνθρώπων ψυχὰς περὶ τὴν ἄθεον δεισιδαιμονίαν πλανωμένας. Καὶ πάλιν τὰ μὲν διὰ τῶν προφητῶν μαρτύρια προεφήτευον, ὡς ἄρα οἱ ποταμοὶ ἐπαροῦσι φωνὴν αὐτῶν, καὶ ἄλλοι ποταμοὶ ἀροῦσι τὰς ἐπιτρίψεις αὐτῶν· καὶ ταῦτα δὲ τὰ μαρτύρια ἐπιστώθη, ὅτε κατὰ πάσας τὰς Ἐκκλησίας τοῦ Θεοῦ καὶ καθ' ὅλης τῆς οἰκουμένης τὰ πλήθη τῶν εὐσεβούντων κατὰ τὸ Εὐαγγέλιον ἐπαίρει φωνὰς εὐχαριστηρίους, τὰς δι' εὐχῶν καὶ ὑμνολογιῶν τῶν πρὸς τὸν Θεὸν ἀναπεμπομένας, ὑφ' ὧν οἱ πάλαι ἐπιτριβόμενοι σοφοὶ τοῦ αἰῶνος τούτου κατήργηνται, καὶ τὰς ἐπιτρίψεις αὐτῶν περιεῖλον, ὡς πᾶσαν αὐτῶν σβεσθῆναι τὴν φιλοσοφίαν. Κατὰ τὰ αὐτὰ δὲ καὶ τὰς λοιπὰς τῶν προφητειῶν προρρήσεις διεξιών, ἐφ' ἑκάστῳ ἁρμόσεις τό, «Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα.» Αἱ μὲν οὖν ἀπὸ τῶν θείων Γραφῶν μαρτυρίαι, σφόδρα τὸ πιστὸν εἰλήφασι διὰ τῆς ἐν ταῖς ἐκβάσεσιν ὁρωμένης ἀληθείας· τῷ δὲ οἴκῳ σου, τουτέστι τῇ Ἐκκλησίᾳ σου, οὐδὲν οὕτω πρέπει εἰς τὸ φυλάττεσθαι αὐτὴν εἰς μακρότητα ἡμερῶν, ὡς ἁγιωσύνη. Ὡς γὰρ τοῖς

μαρτυρίοις σου οἰκεία ἐστὶν ἡ ἀλήθεια καὶ ἡ πίστις, οὕτω καὶ τῷ οἴκῳ σου πρέπει ἁγιωσύνη· ὑφ' ἧς φυλαττόμενος μένει καὶ παραμενεῖ εἰς μακρότητα ἡμερῶν. Εἰ γάρ ποτε συμβαίη ἀπρέπειαν ἐν τῷ οἴκῳ σου εὑρεθῆναι, καὶ ἀντὶ ἁγιάσματος βέβηλον, καὶ ἀκάθαρτον, καὶ μυσαρὰν πρᾶξιν, οὐκέθ' οἷόν τε αὐτὸ εἰς μακρότητα ἡμερῶν διαμένειν. Ἐρεῖ γὰρ ὁ ἐν αὐτῷ κατοικῶν Θεὸς ἅγιος ὢν καὶ ἐν ἁγίοις ἀναπαυόμενος, ἤ, ὃ μὴ γένοιτο, ἀπρεπές τι καὶ ἀλλότριον ἁγιάσματος περὶ τὸν οἶκον αὐτοῦ εὑρεθείη ποτέ, τό, «Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[1]» Διὸ δεήσει ἡμᾶς πρὸ πάντων καὶ ὑπὲρ πάντων φροντίζειν, εἰσιόντας εἰς τὸν οἶκον τοῦ Θεοῦ, ἁγιασμοῦ καὶ σωφροσύνης.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ ΤΕΤΡΑΔΙ ΣΑΒΒΑΤΩΝ. ϞΓ'.

Στίχ. α'. «Θεὸς ἐκδικήσεων Κύριος, Θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.»

Ἀνεπίγραφος μέν ἐστι παρ' Ἑβραίοις ὁ ψαλμός, περιέχει δὲ παράκλησιν καὶ παραμυθίαν τῶν κατὰ τὸν βίον τὸν ἐνεστῶτα διωκομένων καὶ καταπονουμένων εὐσεβείας ἕνεκα, ὧν καὶ τὴν εὐχὴν ὑποκαταβὰς τίθησι. Προτάττει δὲ τῆς εὐχῆς τὴν παράκλησιν καὶ τὴν παραμυθίαν προλαμβάνων τὴν δέησιν τῶν διωκομένων καὶ προθεραπεύων αὐτῶν τοὺς πόνους, ἔργοις τε παριστὰς πληρούμενον ἐπ' αὐτοῖς τό, «Ἔτι λαλοῦντός σου ἐρῶ· Ἰδοὺ πάρειμι.[2]» Θαρσεῖτε τοιγαροῦν, ὦ οὗτοι, φησίν· ἔστι γὰρ ὁ Κύριος, ἐφ' ὃν ἠλπίσατε, ὥσπερ Θεὸς ποιητὴς καὶ Θεὸς δημιουργός, καὶ Θεὸς σωτήρ, καὶ Θεὸς εὐεργέτης, καὶ Θεὸς κριτής, καὶ Θεὸς πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, μακρόθυμός τε καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς ἁμαρτίαις, καὶ ἄλλας μυρίας ἔχων θεϊκὰς ἐπινοίας· οὕτω καὶ Θεὸς ἐκδικήσεων. Μέλει γὰρ αὐτῷ τῶν ἐν οὐρανοῖς πραττομένων, ὡς καὶ δίκην τὴν ἀξίαν παρὰ τῶν ἀδικούντων εἰσπράττεσθαι, κρίνειν τε δικαίως καὶ κολάζειν οὓς δεῖ, ἀποδιδόναι τε ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Θαρσεῖτε τοιγαροῦν μαθόντες, ὅτι Θεὸν ἔχετε ἐκδικήσεων· πέφυκε γὰρ εἶναι Θεὸς ἐκδικήσεων ὁ ὑμέτερος Θεός, καὶ τῷ παρρησίαν ἄγειν ὡς Θεὸς ἔκδικος τῶν ἀδικουμένων, διαρρήδην τε καὶ μετὰ παρρησίας τοῦτο διὰ τῶν αὐτοῦ προφητῶν κηρύττει· οὕτω γοῦν αὐτοῦ καὶ ὁ περὶ προνοίας συνίσταται λόγος, καθ' ἣν δικαίως καὶ σοφῶς τὰ σύμπαντα διοικεῖ. Τέως μὲν κατὰ τὸν ἐνεστῶτα βίον, ἀνατέλλων τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους, καὶ βρέχων ἐπὶ πονηροὺς καὶ ἀγαθούς, ἐξ ἴσου τε τοῖς πᾶσι τὰ αὐτοῦ παρέχων ἀγαθά· κατὰ καιρὸν δὲ τὸν προσήκοντα Θεὸς ἐκδικήσεων γινόμενος, ὅτε καὶ τὴν πρέπουσαν δίκην παρὰ τῶν μὴ καλῶς ταῖς εὐεργεσίαις αὐτοῦ κεχρημένων εἰσπράξεται.

---

1. Λουκ. 13, 35. 3. Ἡσ. 58, 9.

Στίχ. β'-δ'. «Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. Ἕως πότε ἁμαρτωλοί, Κύριε, ἕως πότε ἁμαρτωλοὶ καυχήσονται; Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν, λαλήσουσι πάντες οἱ ἐργαζόμενοι ἀδικίαν;»

Τὸ μὲν θεῖον Πνεῦμα προφητικῶς καὶ περὶ τῆς εὐχῆς τὴν ἀπόκρισιν ἐποιήσατο προλαβὸν τὸ μέλλον ῥηθήσεσθαι μετὰ τὴν εὐχὴν διὰ τὴν πρόγνωσιν τῶν ἐν τῇ εὐχῇ περιεχομένων. Διόπερ οἱ δύο προετάγησαν στίχοι τὴν ἀπόκρισιν περιέχοντες τοῦ ἁγίου Πνεύματος, τὴν ἁρμόζουσαν τῇ προσευχῇ. Τά τε μὴν τῆς ἱκετηρίας τῆς πρὸς τὸν Θεὸν ἀπὸ τοῦ, «Ὑψώθητι ὁ κρίνων τὴν γῆν», ἄρχεται. Φησὶ τοίνυν ὁ Λόγος. Ἀφ' οὗπερ ὁ τῶν ἀνθρώπων ἤρξατο συνεστάναι βίος, ἀπὸ τότε ἁματωλοὶ κατισχύειν τῶν δικαίων ἤρξαντο· ὡς Κάϊν τοῦ Ἄβελ, καὶ οἱ ἐπὶ τοῦ κατακλυσμοῦ γίγαντες τῶν ἐν αὐτοῖς· ἀλλὰ καὶ Ἠσαῦ τοῦ Ἰακώβ, καὶ τοῦ Ἰωσὴφ οἱ ἀδελφοί· καὶ οὕτω προϊὼν τοῖς χρόνοις, εὕροις ἂν καθ' ἑκάστην γενεὰν τοὺς ἁμαρτωλοὺς ἐπανισταμένους τοῖς δικαίοις. Ἕως οὖν πότε, ὦ Κύριε, τοῦτο ἔσται; Ἕως πότε εἰς τοσοῦτον ἐπιτριβῆς ἐλάσουσιν οἱ ἁμαρτωλοί, ὡς καὶ ἐγκαυχᾶσθαι ταῖς ἀσεβείαις αὐτῶν, καὶ μηδὲ σιωπᾶν ἐφ' οἷς πράττουσι, μηδὲ ἀποκρύπτειν τὴν αὐτῶν κακίαν, ἀλλὰ καὶ φθέγξασθαι καὶ ἐξάκουστον τοῖς πᾶσιν ἐκλαλεῖν τὰς ἀδικίας αὐτῶν; Ἕως οὖν πότε ἄρα προχωρήσῃ αὐτοῖς ταῦτα ποιοῦσι; Ἀλλὰ γὰρ ἤδη ποτὲ ἐπὶ τὸν ὑψηλὸν ἀναβὰς τῆς δικαιοκρισίας σου θρόνον, «Ὑψώθητι ὁ κρίνων τὴν γῆν», καί, «ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις, τὴν ἀξίαν αὐτοῖς ἀποδιδοὺς τιμωρίαν.» Νῦν γάρ σου αὐτοῦ καταπεφρονήκασιν, ὡς μηδὲν ὑψηλὸν ἔχοντος, μηδὲ ὁρῶντος, μηδὲ κρίνοντος τὴν γῆν. Διὸ καὶ ἄκριτα καὶ ἀπρονόητα ὑπειλήφασιν εἶναι τὰ κατὰ τὸν ἑαυτῶν βίον. Ἀλλ' ἐγὼ τῆς ἀσεβείας αὐτῶν ἀλλότριος εἶναι εὐχόμενος, πέπεισμαι, ὅτι σὺ Θεὸς ἐκδικήσεων, ἢ καὶ σὺ εἶ ὁ κρίνων πᾶσαν τὴν γῆν. Εἰ γὰρ καὶ ταπεινοῖς σεαυτόν, χρηστότητι καὶ ἀνοχῇ καὶ μακροθυμίᾳ χρώμενος, ἐπέχεις τε τὴν κατὰ τῶν ἀσεβῶν ὀργήν· ἀλλ' ἐγὼ πιστεύων, ὅτι οὐδὲν ἔσται ἄκριτον σοῦ ἐφορῶντος τὰ σύμπαντα, ἱκετεύω καὶ δέομαι ὑψωθῆναί σε καὶ δεῖξαι τοῖς πᾶσι τὸ οἰκεῖόν σου μέγεθος καὶ τὸ ὕψος τῆς θεότητός σου· ὅπως ἤδη ποτὲ παύσωνται οἱ ἁμαρτωλοὶ ἐναβρυνόμενοι καὶ ἐγκαυχώμενοι ἐπὶ πᾶσιν οἷς παρανόμως διαπράττονται.

Στίχ. ε'-ζ'. «Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν. Χήραν καὶ προσήλυτον ἀπέκτειναν, καὶ ὀρφανοὺς ἐφόνευσαν. Καὶ εἶπαν, Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.»

Οὐκ ἤρκει, φησὶ τοῖς ἁμαρτωλοῖς τὸ εἰς αὐτοὺς ἁμαρτάνειν, ἀλλ' ἤδη καὶ τῷ σῷ λαῷ καὶ τῇ σῇ Ἐκκλησίᾳ ἐπανέστησαν, τοὺς μὲν ταπεινοῦντες, τοὺς δὲ κακοῦντες, τοὺς δὲ παντελῶς ἀναιροῦντες. Καὶ ταῦτα κατὰ τοῦ σοῦ λαοῦ, ὦ Κύριε, καὶ κατὰ τῆς σῆς κληρονομίας

τετολμήκασι, μονονουχὶ τὰ ἀσεβῆ καὶ βλάσφημα περὶ σοῦ φρονοῦντες. Εἶπον γὰρ ἐν ἑαυτοῖς ἀσεβὲς λογισάμενοι· «Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ.» Διό, ὡς μὴ ἐφορῶντος, μηδὲ συνιέντος σοῦ, τὰ τοσαῦτα δρᾶν ἐπιχειροῦσι κατὰ τοῦ λαοῦ σου, καὶ κατὰ τῆς κληρονομίας σου, κατά τε χηρῶν καὶ προσηλύτων καὶ ὀρφανῶν, τῶν κατὰ ἀνθρώπειον ἀπεριστάτων καὶ ἀβοηθήτων. Οὐ τοσοῦτον δὲ κατ' ἐκείνων ταῦτ' ἔπραττον, ὅσον κατὰ σοῦ, ὦ Κύριε· σοῦ γὰρ ἦσαν λαὸς καὶ σοῦ κληρονομία οἱ καταπονούμενοι· καὶ εἰς σὲ βλασφημοῦντες καὶ ἀσεβοῦντες οἱ καταπονοῦντες αὐτοὺς ταῦτ' ἐλογίζοντο, ὡς οὐκ ὄντος σοῦ, οὐδ' ἐφορῶντος, οὐδὲ συνιέντος, οὐδὲ ἐκδικοῦντος τὰ πραττόμενα. Διὸ εἰκότως ἔφην εὐχόμενος, «Ἕως πότε ἁμαρτωλοί, Κύριε», ἕως πότε διαμενοῦσι ταῦτα ποιοῦντες; Λαόν τε καὶ κληρονομίαν Θεοῦ χρὴ νοεῖν πάλαι μὲν τὸ Ἰουδαίων ἔθνος, ἐπεὶ «ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.[1]» Μετὰ δὲ τὴν ἐκείνων ἀποβολήν, ἣν παρίστησι προφητικός τις λόγος, φήσας· «Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου·[2]» νέον λαὸν τὸν ἐξ ἐθνῶν ἀντ' ἐκείνων εἰσάγει ἀκολούθως ἑτέρα προφητεία εἰς πρόσωπον τοῦ Χριστοῦ φάσκουσα· «Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[3]»

Στίχ. η'-ια'. «Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί ποτε φρονήσατε. Ὁ φυτεύσας τὸ οὖς οὐκ ἀκούσεται; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐ κατανοεῖ; Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει, ὁ διδάσκων ἄνθρωπον γνῶσιν; Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι.»

Ἀποδυσπετήσας καὶ ἀνθρωπίνως ἀποκλαυσάμενος ὁ Προφήτης περὶ τῶν τοῖς ἀσεβέσι τολμωμένων, εὐξάμενός τε καὶ εἰπών· «Ὑψώθητι ὁ κρίνων τὴν γῆν, ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις·» ἀλλὰ καὶ ὡς ἀνακινήσας τὸν Θεόν, καὶ διεγείρας διὰ τοῦ φάναι· «Τὸν λαόν σου καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν καὶ ἐταπείνωσαν, καὶ εἶπαν, οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ·» ἐμπίπλαται τῆς τοῦ ἁγίου Πνεύματος δυνάμεως, καὶ ὡς πρὸς τοὺς εἰρηκότας· «Οὐκ ὄψεται ὁ Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ», ἀποκρίνεται λέγων· Καὶ πῶς, ὦ τὴν διάνοιαν ἀληθῶς τυφλοί, οὐ δύναται μὴ ὁρᾶν, μηδὲ ἀκούειν, ὁ τοῖς μὴ ἔχουσι ταῦτα παρασχόμενος; Πάντως γάρ που ὁ μεταδιδοὺς ἑτέροις πρῶτος αὐτὸς κέκτηται ταῦτα, ὧν μεταδίδωσιν. Ἔστι δὲ ὁ λόγος κατὰ συλλογισμὸν εἰρημένος καὶ κατασκευαστικὸς τοῦ περὶ προνοίας δόγματος. Προσῆκε δὲ μάλιστα τοῖς τοιούτοις τῶν θείων Γραφῶν ἐφιστάναι τὸν νοῦν τόποις, εἰς ἀπόδειξιν τοῦ μὴ ἄλογον πίστιν προβάλλεσθαι ἡμῖν ὑπ' αὐτῶν, μετὰ λογισμῶν δὲ ἐναργῶν καὶ ἀποδείξεων λογικῶν τὰς τῶν δογμάτων

1. Δευτ. 32, 9. 2. Ἱερ. 12, 7. 3. Ψαλμ. 2, 8.

μαρτυρίας παρέχειν· Μυρία δ' ἂν εἴη τοιαῦτα ταῖς ἱεραῖς βίβλοις κατεσπαρμένα. Συλλογίζεται τοιγαροῦν τοὺς ἀσεβεῖς καὶ ἀθέους τοῦ μὴ ἐφορᾶν τὸν Θεὸν τὰ ἀνθρώπινα φάσκοντας. Πότερα γάρ, φησίν, ὦ οὗτοι, αὐτόματος ὑπέστη τῶν ζῴων ἡ φύσις, ἢ γέγονεν ἔκ τινος αἰτίου; Τὸ μὲν οὖν φάσκειν εἰκῇ καὶ ὡς ἔτυχεν, ἀλόγως καὶ αὐτομάτως τὴν ἄζωον καὶ ἄψυχον καὶ ἀνόητον ὕλην τὰ τοσαῦτα ζῷα καὶ τὴν ἐφ' ἑκάστῳ γένει τῶν ζῴων τοιάνδε κατασκευήν, τάς τε ἐν αὐτοῖς μορφὰς καὶ τὰ εἴδη καὶ τὴν τοσαύτην τῶν μερῶν τε καὶ μελῶν διάθεσιν, τήν τε τοῦ κάλλους ποικιλίαν, καὶ τὰς τοσαύτας διαφορὰς προενηνοχέναι, σφόδρα μωρὸν καὶ ἠλίθιον, καὶ ἀνδρῶν ὡς ἀληθῶς τὰς ψυχὰς νενεκρωμένων. Πῶς γὰρ τὸ μὴ ζωῆς μετέχον ζωὴν ἑτέρῳ ἂν παράσχοι; ἢ τὸ ἄψυχον πῶς ἂν ψυχὴν ὑποστήσαιτο; ἢ τὸ ἄλογον πῶς ἂν λογικόν τι κατασκευάσειε; Πῶς δὲ τὴν ἀρχὴν κινηθήσεται, ἢ πῶς ἕτερον κινήσει τὸ ἐξ ἑαυτοῦ τὴν φύσιν ἀκίνητον; Τοιοῦτον δὲ τὸ τῆς γῆς στοιχεῖον, ἐξ οὗ παντοῖα προῆλθε ζῴων γένη, ὀφθαλμοὺς ἔχοντα καὶ ὦτα καὶ τὰ λοιπὰ αἰσθητήρια, ζωῆς καὶ κινήσεως καὶ ὁρμῆς μέτοχα; ἄνθρωπος δὲ καὶ τούτων ἐπάγεται πλέον, λογικῆς ὢν φύσεως, νοῦ τε καὶ ἐπιστήμης δεκτικὸς τυγχάνων. Ἆρ' οὖν ἐξ ἀλόγου καὶ ἀψύχου στοιχείου τὰ τοιάδε πάντα ὑπέστη; Ἀλλὰ καὶ τὸν μὴ βουλόμενον ὁμολογεῖν αὐτὰ νικᾷ ἡ ἐνέργεια, καὶ ὁ κατὰ φύσιν λογισμὸς τἀληθῆ λέγειν ἐκβιάζεται, τὸ μὴ τὴν ἄψυχον ὕλην, μηδὲ τὴν ξηρὰν καὶ ἄλογον οὐσίαν τούτων ὑπάρχειν αἰτίαν· νοῦν δέ τινα θεῖον καὶ δημιουργικὸν εἶναι Λόγον Θεοῦ τὸν κοσμοποιόν, καὶ πάντων ποιητὴν αὐτόν, καὶ τοῖς λοιποῖς ἅπασι καὶ αὐτῷ ἀνθρώπῳ αἰσθήσεις δεδωκότα σώματος, καὶ ψυχῆς λογισμόν, καὶ νοῦν πρὸς τούτοις εἰς τὸ ἐπιβάλλειν τῇ φύσει τῶν πραγμάτων· καὶ θεωρεῖν μὲν ὀφθαλμοῖς τὰ ὁρατά, ὠσὶ δὲ τὰ ἀκουστὰ ἀκούειν, λογισμῷ δὲ συνιέναι τὰ νοητά. Πῶς οὖν οἷόν τε τὸν ἑτέροις τοῖς μὴ παρ' ἑαυτῶν ἔχουσι παρεσχηκότα τὴν ὁρατικὴν δύναμιν, αὐτὸν μὴ ὁρᾶν; Πῶς δὲ δυνατὸν τὸν ἐν τῷ γεώδει καὶ πηλίνῳ σκεύει διατρήσαντα ἀκοὴν καὶ οὖς, ἔνθεν τὰ εἰς ὦτα ἀκούειν τὴν ἄναυδον καὶ κωφὴν ὕλην τῶν ἔξωθεν φωνῶν αὐτῶν, μὴ οὐχὶ πρὸ πάντων πολὺ κρειττόνως καὶ μειζόνως τοῖς τῶν ἀνθρώπων ἐπιβάλλει λογισμοῖς; Εἰ δὲ καὶ ὅλα ἔθνη τὰ ἐπὶ γῆς βάρβαρά τε καὶ Ἑλληνικά, φυσικαῖς ἐννοίαις κινούμενα, ἃς ὑπὸ Θεοῦ εἰλήφασι, νόμους τινὰς καὶ διατάξεις ἑαυτοῖς διετυπώσαντο· πῶς οὐχὶ ὁ ταύτην αὐτοῖς τὴν σύνεσιν δεδωρημένος Θεὸς ἐλέγξει τοὺς παρὰ τὴν φύσιν καὶ παρὰ τὰς ὀρθὰς ἐννοίας πράττειν τι τολμῶντας; Πόθεν δὲ ἀνθρώποις ἡ περὶ παντὸς οὑτινοσοῦν πράγματος γνῶσις; πόθεν αἱ τέχναι; πόθεν τῶν ἐπιστημῶν αἱ θεωρίαι; πόθεν οἱ τῶν μαθημάτων λόγοι; ἆρ' οὐκ ἀπὸ τοῦ κατασπείραντος ἐν αὐτοῖς τὴν δύναμιν τῆς τούτων καταλήψεως; Τί οὖν; ὁ τοιαύτην ἀνθρώπῳ φύσιν χαρισάμενος, αὐτὸς ἐστέρηται τῆς γνώσεως, ὡς μηδὲ γινώσκειν ταῦτα, ὧν αὐτὸς τυγχάνει δοτήρ; Ἀλλὰ γὰρ παύσασθε ἀσεβοῦντες, ὦ μάταιοι· ἀληθεῖ δὲ λόγῳ

πειθόμενοι, γνῶτε, ὅτι ὁ φυτεύσας ἐν ἀνθρώποις τὸ οὖς, πολὺ πρότερος αὐτὸς τῶν παρὰ ἀνθρώποις λαλουμένων ἀκούσεται· καὶ οὐ μόνον ὄψεται καὶ τὰ πραττόμενα ἐποπτεύσει ὁ ἐν ἀνθρώποις πλάσας ὀφθαλμόν, ἀλλὰ καὶ τὰς ἐνθυμήσεις, τὰς ἔτι κατὰ διάνοιαν κρυπτομένας συνήσει. Αὕτη γὰρ Θεοῦ δύναμις γινώσκοντος καὶ διακρίνοντος τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων, ὅτι εἰσὶ μάταιοι. Ἀληθῶς γὰρ πᾶσα ἡ παρὰ ἀνθρώποις νομιζομένη ἀλήθεια, καὶ πᾶσα ἡ παρ' αὐτοῖς σοφία, ἣν ἐξ οἰκείων λογισμῶν καὶ θνητῶν ἐνθυμήσεων προβάλλονται, μάταιος ἂν εἴη. Πᾶν γὰρ σοφὸν καὶ ἀληθὲς παρ' αὐτῷ μόνῳ τυγχάνει, καὶ παρ' αὐτοῦ μόνοις τοῖς ἀξίοις δίδοται.

Στίχ. ιβ', ιγ'. «Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν, τοῦ πραῦναι αὐτῷ ἀφ' ἡμερῶν πονηρῶν, ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος.»

Πεισθεὶς ἐγὼ καὶ πιστεύσας τοῖς εἰρημένοις, καὶ ὅτι οἱ διαλογισμοὶ τῶν ἀνθρώπων εἰσὶ μάταιοι, εἰκότως ἐκεῖνον μόνον μακάριον εἶναι ἡγοῦμαι, ὦ Κύριε, τὸν ἀπὸ τῆς σῆς σοφίας καὶ παιδείας, ὥσπερ ἀπὸ πηγῆς μεταλαμβάνοντα. Πῶς δὲ μεταλάβοι ἄν τις τῆς σῆς παιδείας ἢ τῷ νόμῳ σου τῷ θείῳ μαθητευθείς; Διὰ τοῦτο γὰρ καὶ ἐγγράφους παρέδωκας εὐσεβείας νόμους, εἰς τὸ μεταλαμβάνειν τῆς σῆς παιδεύσεως τοὺς μαθητευομένους αὐτοῖς. Διδασκόμεθα δὲ διὰ τούτων, ὅτι τὰ συμβαίνοντα τοῖς δικαίοις λυπηρὰ ἐπ' ὠφελείᾳ αὐτῶν γίνεται, γυμναζομένων καὶ πειραζομένων δίκην ἀθλητῶν Θεοῦ διὰ πόνων καὶ διὰ πληγῶν ἐν ὑπομονῇ δοκιμαζομένων. Διὸ οὐ χρὴ λυπεῖσθαι, οὐδὲ ἀδημονεῖν ἐπὶ τοῖς κακουμένοις κατὰ τὸν παρόντα βίον, μακαρίζειν δὲ μᾶλλον αὐτούς, ὡς ὑπὸ τοῦ Θεοῦ παιδευομένους· «Μακάριος» γὰρ «ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε, καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν.» Ὁ γὰρ παιδευόμενος ὑπὸ σοῦ καὶ διδασκόμενος, πραΰνεται ἐν ταῖς πονηραῖς ἡμέραις. Ἐν αὐταῖς γοῦν ταῖς κακοπαθείαις καὶ ἐν αὐτοῖς τοῖς πειρασμοῖς τὰς ὑπὸ τοῦ νόμου σου παραμυθίας λαμβάνων θεραπεύεται, ὑπομένειν διδασκόμενος καὶ μακροθυμεῖν, «ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος·» τοῦτο γὰρ αὐτὸν περιμένει τὸ τέλος, καθάπερ ὁ σὸς νόμος διδάσκει. Διὸ ταῦτα μανθάνων ἐν τοῖς τῶν πειρασμῶν καιροῖς ὁ δίκαιος, πραΰνεται καὶ θεραπεύεται, τὰς ἐκβάσεις τῶν πραγμάτων σκοπῶν, καὶ τοῦ μὲν καταπονοῦντος αὐτὸν ἁμαρτωλοῦ τὸν βόθρον εἰς ὃν ἐμπεσεῖται, ἑαυτοῦ δὲ τὰς παρὰ τῷ Θεῷ ἀγαθὰς ἐλπίδας πρὸ ὀφθαλμῶν τιθέμενος.

Στίχ. ιδ', ιε'. «Ὅτι οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει, ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν, καὶ ἐχόμενοι αὐτῆς πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. Διάψαλμα.»

Ἀκολούθως μετὰ τὸ διαγράψαι τὸν ἀποκείμενον τῷ ἁμαρτωλῷ βόθρον, τὰ χρηστὰ τέλη τῶν διὰ τὸν Θεὸν κακουμένων ὑφηγεῖται. Ἐπεὶ γὰρ διὰ τῶν ἀνωτέρω εἴρητο, «Τὸν λαόν σου, Κύριε, ἐταπείνωσαν, καὶ τὴν κληρονομίαν σου ἐκάκωσαν», εἰκότως νῦν τὰ τέλη

τοῦ ταπεινουμένου λαοῦ καὶ τῆς κακουμένης κληρονομίας παρίστησι λέγων· «Οὐκ ἀπώσεται Κύριος τὸν λαὸν αὐτοῦ, καὶ τὴν κληρονομίαν αὐτοῦ οὐκ ἐγκαταλείψει.» Εἰ γὰρ καὶ πρὸς βραχύν τινα καιρὸν ἐπιτρέπει τοῖς ἀσεβέσι συγχωρῶν ταπεινοῦν καὶ κακοῦν τὸν λαὸν αὐτοῦ, ἀλλ' οὐκ εἰς τέλος ἀπώσεται τὸν λαὸν αὐτοῦ, οὐδὲ τὴν κληρονομίαν καταλείψει. Ποῖον δὲ λαὸν καὶ ποίαν κληρονομίαν, ἔγνωμεν ἀπὸ τῆς εἰς πρόσωπον τοῦ Χριστοῦ λεγούσης φωνῆς· «Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[1]» Τὸν αὐτὸν δὲ λαόν, τὸν ἐξ ἐθνῶν, καὶ Ζαχαρίας ὁ προφήτης θεσπίζει λέγων· «Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ἐγὼ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον· καὶ ἔσονταί μοι εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν.[2]» Τοῦτον τοίνυν τὸν λαὸν αὐτοῦ οὐκ ἀπώσεται Κύριος, οὐδὲ τὴν κληρονομίαν αὐτοῦ ἐγκαταλείψει, ἕως οὗ δικαιοσύνη ἐπιστρέψῃ εἰς κρίσιν. Μέχρι γὰρ τούτου φυλάξει τὸν λαὸν αὐτοῦ καὶ τὴν κληρονομίαν αὐτοῦ, ἕως ἂν ἐπιστρέψῃ ἡ τοῦ Θεοῦ δικαιοσύνη, τὰ ἔπαθλα τῶν πόνων ἀποδώσουσα τοῖς καλῶς ἠγωνισμένοις. Οἱ δὲ ἐχόμενοι τῆς δικαιοσύνης τοῦ Θεοῦ πλησίον αὐτοῦ στήσονται ἐν τοῖς δεξιοῖς τοῦ βασιλέως καταταγησόμενοι· ἅτε δὴ ὀρθοὶ καὶ εὐθεῖς γενόμενοι τῇ καρδίᾳ, καὶ μηδὲν τῇ ψυχῇ σκολιόν, μηδὲ σκαμβὸν ἐπενηνεγμένοι, μόνην δὲ τὴν εὐθεῖαν καὶ βασιλικὴν ὁδὸν βεβαδικότες.

Στίχ. ιϛ'-ιη'. «Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους, ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν; Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι, παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Εἰ ἔλεγον, Σεσάλευται ὁ πούς μου, τὸ ἔλεός σου, Κύριε, ἐβοήθει μοι.»

Ἡ κατὰ τὸ διάψαλμα διαστολὴ πλείστην καὶ τῆς διανοίας ἐποιήσατο μεταβολήν. Ὡς γὰρ συμπληρωθέντος τοῦ προτέρου λόγου ἀφ' ἑτέρας ἀρχῆς φησι· «Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους;» μεμαθήκαμεν γάρ, φησίν, ἀπὸ τῆς τοῦ θείου Πνεύματος διδασκαλίας, ὅτι Θεὸς ἐκδικήσεών ἐστι Κύριος, καὶ ὅτι ἀποδώσει ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις· καὶ ὅτι ὀρυγήσεται τῷ ἁμαρτωλῷ βόθρος· καὶ ὅτι οὐκ ἀπώσεται τὸν λαὸν αὐτοῦ, οὐδὲ τὴν κληρονομίαν αὐτοῦ καταλείψει· ἀλλ' ἐπὶ τέλει τῶν πραγμάτων, ἐπὰν ἐπιστρέψῃ ὁ λαὸς εἰς κρίσιν, ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ὡς δεξιοὶ στήσονται πλησίον τῆς αὐτοῦ δικαιοσύνης πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ σὺν αὐτῷ τῷ Κυρίῳ τὰς διατριβὰς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ποιησόμενοι, καὶ πᾶσαν αὐτῶν τὴν ζωὴν αὐτῷ παραστησόμενοι. Τούτοις μὲν οὖν ἐπίστευσα, καὶ πιστεύσας παρεκλήθην. Ἀλλὰ τέως κατὰ τὸν ἐνεστῶτα καιρὸν τίς ὑπὲρ ἐμοῦ στήσεται κατὰ τῶν πονηρευομένων; ἢ τίς ἔκδικος συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνο-

1. Ψαλμ. 2, 8. 2. Ζαχ. 2, 14, 1-5.

μίαν; Ἀλλὰ γὰρ εἴποιμ' ἂν ὁμολογῶν τἀληθῆ, μηδένα βοηθὸν ἐν ἀνθρώποις εὑρήσειν ἐμαυτῷ, ἕνα δὲ μόνον ἐπίκουρον κεκτῆσθαι, τὸν Κύριον, ὃς μὴ βεβοηθήκει μοι, πάλαι ἂν ὑπὸ τῶν πονηρευομένων καὶ τῶν ἐργαζομένων τὴν ἀνομίαν νενικημένος τῷ ᾅδῃ παρῴκουν, αὐτῆς μου τῆς ψυχῆς καὶ τῆς λογικῆς, καὶ τῆς κατ' εἰκόνα Θεοῦ γενομένης οὐσίας, τὸν θάνατον καὶ τὸν ᾅδην οἰκητήριον λαχούσης ἔχειν. Ταῦτα δ' οὖν ἔπαθον ἄν, εἰ μὴ αὐτὸς ὁ Κύριος παραστὰς βεβοηθήκει μοι. Εἴ ποτε γοῦν πειραζόμενος ἐν τοῖς ἀγῶσιν ἀντελαβόμην ἀσθενείας ἐμαυτοῦ, ὡς κινδυνεύειν σαλευθῆναι τοὺς πόδας τῆς ἐμῆς ψυχῆς, ὁμολογῶ παραχρῆμα τοῦ ἐλέους σου, Κύριε, αἴσθησιν εἰληφέναι, καὶ ὑπὸ σοῦ βεβοηθῆσθαι· ὡς εἰ μὴ τοῦτό μοι παρῆν ὑποστηρίζον μου τοὺς πόδας, πάλαι ἂν ὀλισθήσας ἐπεπτώκειν ἀπὸ τῆς παρὰ σοὶ στάσεως. Νῦν δὲ τὸ ἔλεός σου, Κύριε, δίδωσί μοι παρρησίαν τοῦ λέγειν· «Ἔστησας ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατηύθυνας τὰ διαβήματά μου.[1]»

Στίχ. ιθ'. «Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ηὔφραναν τὴν ψυχήν μου.»

Οὐ μόνον τοῖς ποσί μου τὸ ἔλεός σου δύναμιν παρεῖχε πρὸς τὸ μὴ σαλευθῆναι, οὐδὲ μόνον ἡ παρὰ σοῦ βοήθεια τὴν ἐμὴν κατεκράτει ψυχὴν πρὸς τὸ μὴ παροικῆσαι τῷ ᾅδῃ· ἀλλὰ καὶ ἃς ἔφερον ἐν τῇ καρδίᾳ μου ὀδύνας, αἱ παρὰ σοῦ παρακλήσεις ἐθεράπευον, ἀπορρήτῳ δυνάμει τῆς σῆς χρηστότητος παρακαλούσης μου τὴν ψυχὴν καὶ εὐφροσύνης αὐτὴν πληρούσης. Οὐδὲ γὰρ μία τις ἦν παράκλησις, οὐδὲ δευτέρα, ἀλλὰ πλείους καὶ τοσαῦται, ὅσαι ἦν ἀριθμὸς τῶν ἐν τῇ καρδίᾳ μου ὀδυνῶν. Ἐφαμίλλως γοῦν ταῖς ἐμαῖς ὀδύναις τὰς παρὰ σοῦ μοι παρεῖχες παρακλήσεις πρὸς ἑκάστην ὀδύνην, ὥσπερ τι φάρμακον σωτήριον τὴν σὴν παράκλησιν προσφέρων, καὶ ὥσπερ πλείοσι τραύμασι, πλείους καὶ τὰς θεραπείας προσάγων. Τοιούτων δὲ παρακλήσεων ὁ θεῖος Ἀπόστολος ἀντιλαμβανόμενος, ἔφασκεν· «Εὐλογητὸς ὁ Θεός, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως, ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ. Ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ ἐν ἡμῖν, οὕτω περισσεύει καὶ ἡ παράκλησις ἡμῶν.[2]» Καὶ ἦν ἂν εἰπεῖν πρὸς ταῦτα, μεταβαλόντα τό· «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς[3]», τό· Οὐκ ἄξιον τὸ πλῆθος τῶν ὀδυνῶν τῶν ἐν τῇ καρδίᾳ μου πρὸς τὰς παρακλήσεις σου, ὦ Κύριε, ἐφ' αἷς ηὔφρανας τὴν ψυχήν μου. Εἰ δὲ ἐφ' ἑκάστῃ ὀδύνῃ παρακαλεῖταί τις ὑπὸ τοῦ Θεοῦ, καὶ τῆς παρὰ τοῦ Θεοῦ εὐφροσύνης καταξιοῦταί τις· οὐκ ἂν εὔξαιτο διὰ Θεὸν πλείους ὑπομένειν ὀδύνας, ὡς ἂν πλειόνων τυγχάνοι παρακλήσεων, καὶ πλειόνων τῶν ἐπὶ ταῦτα εὐφροσυνῶν;

1. Ψαλμ. 39, 3. 2. Β' Κορ. 1, 3-5. 3. Ῥωμ. 8, 18.

Στίχ. κ'. «Μὴ συμπροσέσται σοι θρόνος ἀνομίας, ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα;»

Εἰκότως, φησί, κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν τῶν ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου ηὔφραναν τὴν ψυχήν μου· ἐπειδήπερ οὐ πρόσεστί σοι Θεῷ ὄντι δικαίῳ καὶ ἀγαθῷ θρόνος ἀνομίας· πάντα γὰρ κρίσει δικαίᾳ καὶ ὀρθῷ νόμῳ διοικεῖς· διὸ «πλάσσεις κόπον ἐπὶ πρόσταγμα», τουτέστι, τὸ πρόσταγμά σου κόπων καὶ καμάτων ἐστὶ ποιητικὸν διὰ τὰς μετὰ τοὺς πόνους διαδεξομένας ἀμοιβὰς τοὺς καλῶς ἀγωνισαμένους καὶ τὸν κόπον προθύμως καὶ εὐτόνως ὑπομείναντας.

(Στίχ. κα'—κγ'). «Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου, καὶ αἷμα ἀθῷον καταδικάσονται. Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν, καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου. Καὶ ἀποδώσει αὐτοῖς τὴν ἀνομίαν αὐτῶν, καὶ κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν.»

Οἱ μὲν ἀσεβεῖς, φησίν, ἐπὶ τοσοῦτον τὴν τοῦ δικαίου ψυχὴν θηρεύσουσι παγίσιν αὐτὴν καὶ δικτύοις περιβάλλοντες, ἕως ὅτε καὶ μέχρι θανάτου περιελάσωσιν αὐτήν, αἷμα ἀθῷον καταδικάζοντες. Οὐκ ἀρκοῦνται γὰρ ταῖς διὰ χρημάτων ζημίαις, οὐδὲ ταῖς κατὰ τοῦ σώματος τῶν δικαίων πληγαῖς τε καὶ αἰκίαις, ἀλλὰ καὶ τὴν ἐπὶ θανάτῳ ψῆφον κατ' αὐτῶν ἐκφέρουσι. Κἀκεῖνοι μὲν τοιοῦτοι· ἐγὼ δὲ καὶ τοιούτων καταφρονεῖν μεμαθηκώς, καὶ μέχρι θανάτου εὐθαρσῶς ἵστασθαι, εἰδὼς ἔχειν ἐμαυτῷ καταφυγὴν τὸν Κύριον, καὶ βοηθὸν ἐλπίδος μου τὸν Θεόν μου· ὃς ἐμοὶ μὲν βοηθήσει καταφυγή μου γινόμενος· τοῖς δὲ θηρεύουσι τὴν ψυχὴν τοῦ δικαίου, καὶ αἷμα ἀθῷον καταδικάζουσιν, ἀποδώσει τὴν ἀνομίαν αὐτῶν εἰς κεφαλὴν αὐτῶν, καὶ τὴν πονηρίαν αὐτῶν στρέψει κατ' αὐτῶν ἐν τῷ τῆς δικαιοκρισίας καιρῷ, ὅτε καὶ ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν· διὸ καὶ Θεὸς ἐκδικήσεων κατ' ἀρχὰς εἴρηται τοῦ ψαλμοῦ.

## ΨΑΛΜΟΣ ϟΔ'.

Στίχ. α'. «Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.»

Οὐ φέρεται παρ' Ἑβραίοις ἡ προγραφή· καὶ εἰκότως· οὔτε γὰρ ψαλμόν, οὔτε ὕμνον, οὔτε ᾠδὴν εὔλογον ἦν ἐπιγράφειν, τὸν καλοῦντα μὲν τὸν Ἰουδαίων λαὸν ἐπὶ ἀγαλλίασιν, ἀπειλοῦντα δὲ αὐτοῖς ὀργὴν καὶ τὰ τέλη τῶν παραγγελμάτων ἐπὶ σκυθρωποῖς περιγράφοντα. Σημειώσῃ δὲ εἴ που καὶ ἀλλαχοῦ τῆς Γραφῆς τό, «δεῦτε», εἴρηται, καὶ τίνα τρόπον ὡς ἀφεστῶτας καὶ μακρὰν γεγονότας πλησιάζειν αὐτῷ καλεῖ· τηρήσεις καὶ ὅτι πάντοτε τὴν κλῆσιν ἐπ' ἀγαθῷ ποιεῖται, ὡς ἐν τῷ, «Δεῦτε τέκνα, ἀκούσατέ μου[1]», καί, «Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου[2]», καί, «Δεῦτε πρὸς μὲ πάντες οἱ κοπιῶντες[3]»,

1. Ψαλμ. 33, 12. 2. Ἡσ. 2, 3. 3. Ματθ. 11, 28.

καί, «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου[1]», Ἐν δὲ τῷ μετὰ χεῖρας ψαλμῷ σαφῶς ἐπὶ ἀγαλλίασιν ἥκειν παρακαλεῖ. Διὸ σημειώσῃ, ὅτι μὴ καλῶς ἡγοῦνται οἱ σκυθρωπὸν καὶ ἐπίλυπον νομίζοντες εἶναι τὸν τῆς θεοσεβείας ζυγόν· ἐπ' ἀγαθοῖς γὰρ καὶ φαιδροῖς ποιεῖται τὴν κλῆσιν. Τούτοις παράθες τό, «Πορεύεσθε εἰς τὸ πῦρ τὸ αἰώνιον[2]», καὶ τὰ ὅμοια, ἐναντίως τό, «δεῦτε», τοῖς ἁμαρτάνουσι λεγόμενα. Ἐπειδὴ ἐν τοῖς καιροῖς τῶν πολέμων οἱ νικῶντες ἀλαλάζειν εἰώθασι, καὶ μέγα βοᾶν κατὰ τῶν πολεμίων, εἰκότως οὐ μόνον χαίρειν καὶ ἀγαλλιᾶν, ἀλλὰ καὶ ἀλαλάζειν ἐπὶ τῇ σωτηρίῳ νίκῃ προστάττει. Τίς δ' ἂν εἴη ὁ Σωτὴρ ἡμῶν καὶ Θεὸς ἡμῶν, ἢ ὁ τοῦ Θεοῦ Λόγος ὁ εἰπών, «Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον;[3]» ὁ καὶ ῥυσάμενος ἡμᾶς ἀπὸ τῆς πάλαι κατακρατούσης ἡμῶν δαιμονικῆς ἐνεργείας, οὗ καὶ τὸ Ἰησοῦς ὄνομα «σωτήριον» Ἑβραϊκῇ φωνῇ σημαίνει. Τίνας δὲ προηγουμένως ὁ λόγος ἐπὶ τὴν ἀγαλλίασιν παρακαλεῖ, εὕροις ἂν ἐπιστήσας τοῖς ἑξῆς, ἐν οἷς εἴρηται, «Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν.» Σαφῶς γὰρ διὰ τούτων δηλοῖ τοὺς υἱοὺς τῶν ἐν τῇ ἐρήμῳ παραπικρανάντων, δῆλον δ' ὅτι τοὺς ἐκ περιτομῆς. Τούτους τοιγαροῦν ἀνακαλεῖται λέγων· «Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ.» Θεσπίζει δ' ὅτι μὴ ὑπακούσονται τῇ κλήσει· λέγει δ' οὖν ἐπὶ τέλει· «Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.» Ἐπεὶ οὖν ἐκεῖνοι ἀεὶ πλανῶνται τῇ καρδίᾳ, εἰκότως ὁ ἐπιφερόμενος ἑξῆς ψαλμὸς τὰ ἔθνη πάντα καλεῖ ἐπὶ τὸ καινὸν ᾆσμα, καὶ ἐπὶ τὴν ἐν Θεῷ ἀγαλλίασιν.

Στίχ. β΄. «Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ.»

Ἐπὶ μὲν τῆς πρώτης αὐτοῦ παρουσίας τὸ πρόσωπον αὐτοῦ τὸ ἔνθεον ἀποκρύψας ὁ τοῦ Θεοῦ Λόγος, τὴν τοῦ δούλου μορφὴν περιεβάλετο· διὸ εἴρηται· «Ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν· ὅτι ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη.[4]» Ἐπὶ δὲ τῆς δευτέρας αὐτοῦ παρουσίας ἀνακεκαλυμμένῳ προσώπῳ καὶ μετὰ δυνάμεως καὶ δόξης πολλῆς ἐπιστήσεται· διόπερ ὁ λόγος, προτάξας τὰ εἰρημένα διὰ τῶν πρώτων, ἅπερ ἐχρῆν ἐπὶ τῆς προτέρας αὐτοῦ παρουσίας πράττειν, ἑξῆς ἀκολούθως τῆς δευτέρας αὐτοῦ καὶ ἐνδόξου ἐπιφανείας ὑπομιμνήσκει, παρακελευόμενος προβαλεῖν τὸ μέλλον, καὶ προφθάσαι τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. Καλὸν γὰρ προφθάσαι καὶ προλαβεῖν, καὶ πρὶν φανῆναι τὸ πρόσωπον αὐτοῦ ἔνδοξον, ἐφ' οἷς ἡμάρτομεν ἀποκάθαρσιν ἑαυτοῖς πορίσασθαι διὰ τῆς ἐξομολογήσεως. Γένοιτο δ' ἂν ἡ ἐξομολόγησις γνησία, εἰ ἐν ψαλμοῖς ἀλαλάζωμεν αὐτῷ, τουτέστι διὰ τῶν ὀργάνων τῆς ψυχῆς, ἅπερ ἐστὶ τὰ σώματα· δι' ὧν προσήκει τὸν καλούμενον ἀλαλαγμὸν

1. Ματθ. 25, 34. 2. Ματθ. 25, 41. 3. Ἰω. 16, 33. 4. Ἡσ. 53, 3.

ἐπιτελεῖν, βίῳ σώφρονι καὶ πολιτείᾳ ἐναρέτῳ τὴν τοῦ Θείου Πνεύματος ἁρμονίαν καὶ τὸν ἅγιον ῥυθμὸν ἐπιδεικνυμένους. Ταῦτα δὲ προηγουμένως πρὸς τὸν Ἰουδαίων λέλεκται λαόν, προκαλουμένου αὐτοὺς τοῦ λόγου ἐπὶ τὴν τοῦ Σωτῆρος ἡμῶν γνῶσιν· ὅμως δὲ καὶ πρὸς πάντας ἡμᾶς χρησίμως ἂν ἐφαρμοσθείη. «Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς.» Τὰ παρηγγελμένα διὰ τῶν ἔμπροσθεν ἐν τῷ Κυρίῳ καὶ Σωτῆρι ἡμῶν, δηλαδὴ τῷ τοῦ Θεοῦ Λόγῳ, ἐπιτελεστέον, διά τε τὰ ἄλλα, καὶ διότι φύσει μέγας ὢν Θεὸς καὶ μέγας τυγχάνει βασιλεύς, ἅτε μονογενὴς ὢν τοῦ Θεοῦ Λόγος. Βασιλεὺς δὲ μέγας ἐστὶν ἐπὶ πάντας τοὺς θεούς, ἢ κατὰ τὸν Σύμμαχον, «ἐπάνω πάντων τῶν θεῶν·» ἤτοι τῶν πεπλανημένως παρὰ τοῖς ἔθνεσι νενομισμένων· ἢ τῶν Μωϋσεῖ παραπλησίων, ᾧ εἴρηται. «Τέθεικά σε θεὸν Φαραώ·[1]» ἢ θεῶν περὶ ὧν εἴρηται· «Θεὸς θεῶν Κύριος ἐλάλησε·[2]» καί, «Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν·[3]» οὐδεὶς γὰρ αὐτῷ τούτων ὅμοιος. Δι᾽ ὃ καὶ ἀλλαχοῦ εἴρηται· «Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;[4]»

Στίχ. δ'. «Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσι.»

Καὶ διὰ τοῦτο ἀγαλλιασώμεθα καὶ ἀλαλάξωμεν τῷ Θεῷ, οὐ μόνον ὅτι Κύριος καὶ Θεός ἐστι καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς, ἀλλ᾽ ὅτι καὶ ὑπηγάγετο καὶ ὑφ᾽ ἑαυτὸν ἐποιήσατο τὰ πέρατα τῆς γῆς. Τοῦτο γὰρ αἰτήσας παρὰ τοῦ Πατρὸς εἴληφε κατὰ τό· «Αἴτησαι παρ᾽ ἐμοῦ καὶ δώσω σου ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.[5]» Εἰ δὲ καί τινα ἦν ὕψη ὀρέων, ἤτοι τὰ παρὰ τῇ θείᾳ Γραφῇ τετιμημένα, ὡς τὸ Σιναΐ, καὶ τὸ Χωρήβ, τό τε Θαβώρ, καὶ τὸ ὄρος Σιών, καὶ τὸ ὄρος τῶν Ἐλαιῶν, καὶ εἴ τι ἄλλο τούτοις παραπλήσιον· ἢ καὶ τὰ τούτοις ἐναντία, τὰ δὴ ὑπὸ δαιμόνων πάλαι κρατούμενα, ἐν οἷς ἐθυσίαζον ὡς θεοῖς τοῖς πονηροῖς δαίμοσι τὰ ἔθνη· ἀλλὰ καὶ ταῦτα πάντα δεδιδάγμεθα ὅτι τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν ἴδια τυγχάνει· αὐτὸς γὰρ ἦν ὁ ποιητὴς αὐτῶν. Μήποτε δὲ ἐν μὲν τῇ χειρὶ αὐτοῦ τὰ πέρατά εἰσι τῆς γῆς, διὰ τὸ ὑπὸ τὴν αὐτοῦ χεῖρα διοικεῖσθαι τὰ περίγεια, τὰ δὲ ἐπουράνια, τροπικῶς ὕψη ὀρέων ὀνομαζόμενα, κρεῖττόν τι ἔχει τῶν ἐπὶ γῆς; ἐπειδήπερ αὐτοῦ ἐστιν οἷόν τι κτῆμα καὶ οἰκητήριον τῆς βασιλείας·

Στίχ. ε'. «Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.»

Μὴ θαυμάσῃς, φησίν, εἰ τὰ πέρατα τῆς γῆς αὐτοῦ τυγχάνει· καὶ εἰ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν. Ἀλλὰ γὰρ μάνθανε, ὅτι καὶ τὸ πᾶν στοιχεῖον τῆς ὑγρᾶς οὐσίας, ἐφ᾽ ᾧ ἐστερέωται ἡ γῆ, αὐτοῦ ἔργον ὑπάρχει· οὐ μόνον κτῆμα ὄν, ἀλλὰ καὶ ποίημα αὐτοῦ. Τὴν μὲν οὖν

1. Ἔξ. 7, 1. 2. Ψαλμ. 49, 1. 3. Ψαλμ. 81, 1. 4. Ψαλμ. 88, 7. 5. Ψαλμ. 2, 8.

θάλασσαν, δι' ἧς τὸ πᾶν στοιχεῖον τῆς ὑγρᾶς οὐσίας δηλοῦται, αὐτὸς ἐποίησε· τὴν δὲ ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν· τάχα διὰ τὸ λέγεσθαι· «Ἔλαβεν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασε τὸν ἄνθρωπον·[1]» καὶ πάλιν· «Ἔπλασεν ὁ Θεὸς ἀπὸ τῆς γῆς πάντα τὰ θηρία.[2]» Ἔοικε δὲ τὸ τῆς γῆς στοιχεῖον, σφαιροειδὲς ὄν, ὥς φασιν, ἢ καὶ ἄλλως κατά τινα τρόπον ἐσχηματισμένον, λόγῳ Θεοῦ καὶ αὐτὸ τὴν τοιάνδε πλάσιν εἰληφέναι. Διὸ ἀκριβῶς καὶ κατὰ φυσικὸν λόγον εἴρηται τό· «Καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.»

Στίχ. ϛ΄. «Δεῦτε προσκυνήσωμεν, καὶ προσπέσωμεν καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς.»

Τὴν ἔνθεον τοῦ Κυρίου δύναμιν διὰ τῆς προτεθείσης διδασκαλίας παραιτήσας ὁ λόγος, ἀνωτέρω τε εἰπών, «Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει», νῦν ἀναγκαίως διασαφεῖ τὸν τρόπον τῆς ἐξομολογήσεως. Πάνυ δὲ προτρεπτικῶς ἀρχόμενος τοῦ ψαλμοῦ, οὐκ ἐντεῦθεν ἀπὸ τῶν σκυθρωποτέρων ἤρξατο, ἀλλ' ἀπὸ τῶν φαιδροτέρων, ὡς ἂν μὴ ἀποτραπεῖεν οἱ καλούμενοι τό, «προσπέσωμεν» καὶ «κλαύσωμεν», εὐθὺς ἐν ἀρχαῖς ἀκούσαντες· εἰ μὴ ἄρα δύο τάγματα διὰ τούτων δηλοῖ· ἓν μὲν τὸ κρεῖττον, ὃ προηγουμένως ἐπὶ τὸν αἶνον καὶ τὴν ἀγαλλίασιν καλεῖ· δεύτερον δὲ τὸ δεόμενον θεραπείας· δι' ὅ, «Δεῦτε ἀγαλλιασώμεθα», ἐν τοῖς πρώτοις εἴρηται· εἶθ' ἑξῆς μετὰ τὰ τεθεολογημένα περὶ τοῦ Κυρίου καὶ μετὰ τὴν τῶν προτέρων κλῆσιν ἐπὶ τοὺς δευτέρους μεταβαίνει, καὶ τούτους διδάσκων ἀντὶ ὕδατος καὶ περιρραντηρίων, κλαυθμῷ καὶ ἐξομολογήσει ἐπὶ τοῖς πρώτοις αὐτῶν ἁμαρτήμασι χρήσασθαι. Προτρεπτικῶς δὲ τό, «κλαύσωμεν ἐναντίον Κυρίου», ἐπαγαγών, «τοῦ ποιήσαντος ἡμᾶς», ἀγαθὰς ὑπέγραψεν ἐλπίδας, διδάξας, ὅτι μὴ ἀλλότριοί ἐσμεν αὐτοῦ, ἀλλ' ἔργον αὐτοῦ καὶ ποίημα αὐτοῦ· δι' ὃ προσήκει τὰ χρηστότερα προσδοκᾶν, ἅτε δὴ κηδομένου αὐτοῦ τοῦ ἰδίου ποιήματος. Ἔτι πρὸς τούτοις διὰ τοῦ, «Προσπέσωμεν καὶ κλαύσωμεν ἐνώπιον Κυρίου», διδάσκει μὴ ἐνώπιον ἀνθρώπων μηδὲ δι' ἀνθρώπους τοῦτο ποιεῖν, ἀλλ' ἐν τῷ κρυπτῷ κατὰ τό, «Ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι.[3]» Καθόλου μὲν οὖν ἅπασιν ἁρμόζει τὰ παρηγγελμένα· κυρίως δὲ καὶ προηγουμένως ὁ Λόγος τὸν Ἰουδαίων λαὸν ἐπὶ μετανοίᾳ ὧν ἐτόλμησαν παρακαλεῖ, «Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ, καὶ πρόβατα χειρὸς αὐτοῦ.» Οὐ μόνον Κύριος ἡμῶν ἐστιν ὡς οἰκετῶν δεσπότης, οὐδὲ μόνον ποιητὴς ὡς ἂν κτίστης ἡμῶν, ἀλλὰ καὶ Θεός ἐστιν ἡμῶν, ἅτε δὲ ἀγαθὸς ὢν καὶ ἵλεως. Δι' ὃ καὶ φείσεται ἡμῶν καὶ ἐλεήσει ἡμᾶς· ὅτι οὐ μόνον ποίημα, ἀλλὰ καὶ κτῆμα αὐτοῦ τυγχάνομεν ὄντες· καὶ οἱ μὲν λογικώτεροι λαὸς αὐτοῦ, οἱ δὲ ἔτι ἀτελεῖς καὶ ἀλογώτεροι πρόβατα χειρὸς αὐτοῦ· ὥστε ἐὰν ἐξομολογησώμεθα αὐτῷ καὶ προσκυνήσωμεν καὶ προσπέσωμεν καὶ

1. Γεν. 2, 7. 2. Γεν. 1, 25. 3. Ματθ. 6, 4, 6, 18.

κλαύσωμεν ἐναντίον αὐτοῦ, ἐξ ἅπαντος σωθησόμεθα, οἱ μὲν ὡς λαὸς αὐτοῦ, οἱ δὲ ὡς πρόβατα χειρὸς αὐτοῦ. Λέγεται γοῦν αὐτὸς εἶναι ὁ ποιμὴν ὁ καλός· καὶ ἡμεῖς λέγειν διδασκόμεθα· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.[1]»

Στίχ. η΄. «Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ἐν τῷ παραπικρασμῷ.»

Ἅπαξ τότε, φησίν, ἐσκληρύνατε τὰς καρδίας ὑμῶν, ἀκούσαντες αὐτοῦ τῆς φωνῆς ἐπὶ τῆς ἐρήμου· ὁρᾶτε οὖν μὴ καὶ δεύτερον ταὐτὸν πράξητε, ἐὰν αὖθις τῆς φωνῆς αὐτοῦ ἀκούσητε ἐν ἀνθρώποις σήμερον γενομένου. Ὁ δὲ λόγος προηγουμένως πρὸς τοὺς ἐκ περιτομῆς λέλεκται ἐκ προσώπου τοῦ χοροῦ τῶν προφητῶν προφερόμενος· οἳ δὴ κατὰ μὲν τὴν ἀρχὴν τὰ πάντα ἔλεγον πληθυντικῶς, καὶ ἑαυτοὺς συγκαταλέγοντες τοῖς καλουμένοις· «Δεῦτε», γὰρ ἔφασκον, «ἀγαλλιασώμεθα καὶ ἀλαλάξωμεν καὶ προφθάσωμεν·» καὶ πάλιν· «Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν καὶ κλαύσωμεν·» ἐπὶ δὲ τοῦ παρόντος ἑτέρων εἰς πρόσωπον μὴ παραιτήσασθαι τὴν κλῆσιν παραινοῦσι· μηδ' ἀπιστῆσαι τῇ φωνῇ τῇ σήμερον αὐτοῖς μελλούσῃ λαλεῖν. Τὸ δέ, «σήμερον», ὁ Ἀπόστολος εἰς πάντα τὸν παρατείνοντα τῆς ζωῆς ἡμῶν χρόνον ἐξείληφε, κατὰ τό, «ἕως οὗ τὸ σήμερον καλεῖται.[2]» Προτρέπει δὲ καὶ ἡμᾶς ὁ λόγος ἐντεῦθεν ἀπάρξασθαι τῶν παρηγγελμένων. Εἰ γὰρ καὶ πολλή τις γέγονε ῥᾳθυμία ἐν τῷ παρελθόντι χρόνῳ· ἀλλὰ κἂν ἀπὸ τῆς «σήμερον» καλουμένης ἡμέρας καὶ ἀπὸ ἐνεστῶτος καιροῦ σπουδάσωμεν προσέχειν τοῖς εἰρημένοις· καὶ μὴ ζηλώσωμεν τὸν λαὸν ἐκεῖνον, ὅς, ἀκούσας φωνῆς Θεοῦ ἐπὶ τῆς κατὰ τὴν ἔρημον ὀπτασίας, ἐσκληρύνθη τὴν καρδίαν ἐν τῷ καιρῷ τοῦ παραπικρασμοῦ, ὁπηνίκα πάντων αὐτῶν τὰ κῶλα κατεστρώθη ἐν τῇ ἐρήμῳ, διὰ τὸ παρακοῦσαι τῆς φωνῆς τοῦ Θεοῦ. Ἀναγκαίως οὖν ἐκείνων ὑπομιμνήσκει, ἵνα μὴ καὶ ἡμεῖς τῇ σήμερον ἡμέρᾳ τῶν τοῦ Θεοῦ παραγγελμάτων ἀκούοντες καὶ παρακούοντες παραπικραίνωμεν αὐτὸν σκληρυνόμενοι τὰς καρδίας, καὶ μὴ ὑπακούοντες τοῖς σωτηρίοις παραγγέλμασι, καὶ διὰ τοῦτο πικρὸν αὐτὸν καὶ ἀπότομον κριτὴν ἑαυτοῖς κατασκευάζοντες. Καὶ πρὸς πάντας μὲν οὖν ἡμᾶς, ὡς ἔφην, ἁρμόζει τὸ παράγγελμα· κατὰ δὲ τὸν προηγούμενον λόγον πρὸς τὸν ἐκ περιτομῆς λαὸν ταῦτα λέγεται, τοιαύτην ἔχοντα διάνοιαν· Ἅπαξ ποτὲ ἤδη πρότερον ἐπὶ τῆς ἐρήμου τῆς φωνῆς ἀκούσαντες τοῦ Θεοῦ, παρεπικράνατε αὐτὸν σκληρύναντες ἑαυτῶν τὰς καρδίας ἐπὶ Μωϋσέως· ἀλλ' ἐπειδήπερ ὁ αὐτὸς τοῦ Θεοῦ Λόγος μέλλει δεύτερον ἀνθρώποις λαλεῖν ἐπιφανεὶς τῷ βίῳ, καὶ παρ' ὑμῖν αὐτοῖς διδάσκειν τὰ τῆς Καινῆς Διαθήκης μυστήρια, ὁρᾶτε μὴ πάλιν σκληρύνητε ἑαυτοὺς ὡς τὸ πρὶν ἐσκληρύνατε, μηδὲ αὖθις αὐτὸν παραπικράνητε, ἐὰν αὖθις τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μηδὲ τοὺς πατέρας ὑμῶν κατὰ τοῦτο

1. Ψαλμ. 22, 1. 2. Ἑβρ. 3, 13.

μιμήσησθε, ὅπως μὴ στερήσητε αὐτοὺς τοῦ ἀληθινοῦ σαββατισμοῦ καὶ τῆς καταπαύσεως αὐτοῦ, ἣν καταπαύσει αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, τὴν οἰκείαν ἀπολαβὼν βασιλείαν, καὶ ἐν αὐτῇ ἀναπαυσόμενος, πάντας τε τοὺς παραδεχομένους αὐτὸν εἰς τὴν αὐτὴν ἀνάπαυλαν ὑποδεξόμενος, καὶ τὸ ἅγιον καὶ τὸ ἀληθὲς αὐτοῦ Σάββατον παρέξων τοῖς ἀξίοις τῆς παρ' αὐτῷ καὶ σὺν αὐτῷ ἀναπαύσεως.

Στίχ. θ'-ια'. «Κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου. Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ταύτῃ· καὶ εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.»

Ὅπως ἐπείρασαν τὸν Θεὸν ἐν τῇ ἐρήμῳ οἱ πατέρες οὐχὶ τῶν πάλαι Ἰουδαίων μόνον, ὡς ἂν ὑπολάβοι τις, ἀλλὰ τῶν καὶ σήμερον ἀκουόντων μὲν τῆς φωνῆς τοῦ Θεοῦ, σκληρυνομένων δέ, κεῖται παρὰ Μωϋσεῖ, καὶ ἐν ο' δὲ καὶ ζ' ψαλμῷ πολλάκις εἴρηται, καὶ ἐν ρε'· ἅπερ καθ' ἑαυτὸν ἐπιζητήσας εὑρήσεις. Ἐπεὶ τοίνυν διὰ ταῦτα ὤμοσεν ὁ Θεὸς μὴ εἰσελεύσεσθαι τοὺς παραπικράναντας εἰς τὴν κατάπαυσιν αὐτοῦ, ἣν ὁ λόγος διὰ βραχέων παρέστησε, προνοητέον καὶ ἡμῖν καὶ μεριμνητέον μὴ τοῖς ὁμοίοις περιπεσεῖν. Τὰ αὐτὰ γὰρ καὶ ἡμᾶς διαδέξεται, εἰ τῆς τοῦ Θεοῦ φωνῆς εἰς ἔτι καὶ νῦν κατὰ τὴν σήμερον ἡμέραν ἀνακαλουμένης ἡμᾶς ἀκούοντες σκληρύνωμεν τὰς ἑαυτῶν καρδίας· διαλήψεται γὰρ καὶ ἡμᾶς ὀργὴ Θεοῦ καὶ ἀποπεσούμεθα τῆς παρ' αὐτῷ καὶ σὺν αὐτῷ ἀναπαύσεως. Ὁποία δέ ἐστιν ἡ ὀργή, παρίστησιν ὁ Ἀπόστολος λέγων· «Κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ.[1]» Τίς δὲ καὶ ἡ κατάπαυσις αὐτοῦ ἀλλ' ἡ μετὰ τὴν ἔξοδον τοῦ παρόντος βίου σὺν αὐτῷ διατριβή, καθ' ἣν ἀναπαυσόμεθα ἐν τῇ αὐτοῦ βασιλείᾳ, πάσης τῆς διὰ πράξεως ἀγωγῆς ἀπηλλαγμένοι, μόνῃ δὲ τῇ τῶν θείων καὶ ἐπουρανίων θέᾳ προσανέχοντες; ὅτε ἀποδράσεται μὲν ὀδύνη καὶ λύπη καὶ στεναγμός· ἀργία δὲ καὶ ἀπαλλαγὴ κακῶν, σχολή τε καὶ ἀνάπαυλα καὶ τὸ ἀληθινὸν Σάββατον ἡμᾶς διαδέξεται· ἐν ᾧ Σαββάτῳ ἀληθινῷ καὶ αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος ἀναπαύσεται· τὸ μὲν περὶ τὸν αἰσθητὸν κόσμον, τῷ Ἰουδαίων λαῷ τὰ ἐν αὐτῷ προσφωνῶν, καὶ παρακαλῶν αὐτούς, εἰ δεύτερον καταξιωθεῖεν, ὡς τὸ πρῶτον ἐπὶ τῆς ἐρήμου, ἀκοῦσαι τῆς τοῦ Θεοῦ Λόγου φωνῆς, ἥτις ἤμελλεν αὐτοῖς πάλιν κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ λαλεῖν, μὴ τοὺς πατέρας αὐτῶν ζηλῶσαι, μηδ' αὖθις τὸν Θεὸν παραπικρᾶναι ὡς καὶ πρότερον. Τοιαῦτα δὲ παρακαλῶν, προλέγειν μοι δοκεῖ καὶ προαινίττεσθαι τὴν ἐσομένην αὐτῶν εἰς τὸν Χριστὸν ἀπιστίαν, ἅτε τὸ μέλλον μὴ ἀγνοῶν· ἐπάγει δ' οὖν ἑξῆς ἐκ προσώπου τοῦ Θεοῦ καὶ φησίν· «Καὶ εἶπα·

1. Ῥωμ. 2, 5.

Ἀεὶ πλανῶνται τῇ καρδίᾳ·» καὶ πάλιν· «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.» Εἰ γὰρ ἀψευδὲς τυγχάνει τὸ θεῖον στόμα, ὅρον τε ἐξήνεγκεν καὶ ἀπεφήνατο, ὅτι ἀεὶ πλανῶνται, ὅρκῳ τε ἐβεβαίωσε τὸ μὴ εἰσελθεῖν αὐτοὺς εἰς τὴν κατάπαυσιν αὐτοῦ· σαφῶς τὸ μέλλον ἐθέσπισεν. Ὅθεν φαίνονται ὥσπερ τὸ πρῶτον ἐπὶ Μωϋσέως, οὕτω καὶ τὸ δεύτερον ἐπὶ τοῦ Κυρίου πλανηθέντες τῇ καρδίᾳ, καὶ διὰ τοῦτο τῆς ἐπαγγελίας στερηθέντες. Διόπερ ἀκολούθως μετὰ τὸν παρόντα ψαλμὸν ὁ ἑξῆς πάντα τὰ ἔθνη εἰς τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καλεῖ, ὡς ἂν τοῦ προτέρου λαοῦ μὴ ὑπακούσαντος.

## ΩΔΗ ΤΩ ΔΑΥΙΔ, ΟΤΕ Ο ΟΙΚΟΣ ΩΚΟΔΟΜΕΙΤΟ ΜΕΤΑ ΤΗΝ ΑΙΧΜΑΛΩΣΙΑΝ. ϞΕʹ.

Στίχ. βʹ. «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ.»

Φήσας ὁ λόγος ἐν τῷ πρὸ τούτου ψαλμῷ περὶ τοῦ Ἰουδαίων λαοῦ τό, «Ἀεὶ πλανῶνται τῇ καρδίᾳ·» καὶ τό, «Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·» ἐπειδὴ πρώτους αὐτοὺς ἐπὶ τὴν κατὰ Θεὸν ἀγαλλίασιν προκαλεσάμενος ἀπειθεῖς εὗρεν, ἐπὶ τὴν τῶν ἐθνῶν κλῆσιν μεταβαίνει· προσφωνεῖ δὲ ταῦτα τοῖς ἀποστόλοις καὶ μαθηταῖς τοῦ Σωτῆρος, ὅπερ δῆλόν ἐστι ἀπὸ τοῦ, «Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ», ἑξῆς εἰρημένου, καί, «Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ·» ἐπεὶ μὴ δι' ἄλλων ἢ διὰ τῶν τοῦ Σωτῆρος ἡμῶν ἀποστόλων εἰς ἔργον προκεχωρήκασιν οἱ λόγοι. Δι' ὃ καὶ μόνοις ἁρμόζει τὰ προκείμενα προσφωνεῖσθαι διὰ τὴν Καινὴν Διαθήκην καὶ τὸ καινὸν ᾆσμα τὸ εὐαγγελικόν, τὸ πᾶσι τοῖς ἔθνεσι δι' αὐτῶν κεκηρυγμένον. Οὗτοι δὴ οὖν προστάττονται ᾄδειν τῷ Κυρίῳ ᾆσμα καινὸν ἐν πάσῃ τῇ γῇ· ὅπερ καὶ ἔργοις πεπληρώκασιν, ὅτε «εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.[1]» Ἦν δὲ τὸ ᾆσμα τὸ καινόν, τὸ σωτήριον Εὐαγγέλιον, οὐ τὰ παρὰ Μωϋσεῖ παλαιὰ νόμιμα περιέχον, ἀλλὰ τὰ τοῦ Χριστοῦ πᾶσιν Ἕλλησιν ἁρμόδια παραγγέλματα· τὰ γὰρ Μωϋσέως οὐ τοιαῦτα ἦν. Προηγουμένως μὲν οὖν προστάττει ᾄδειν αὐτῷ τῷ Κυρίῳ τὸ καινὸν ᾆσμα· ἐπεὶ δὲ οὐ πᾶσα ἡ γῆ οἷα τε ἦν τίς ποτ' ἦν ὁ Κύριος συνεῖναι, οὐδὲ τοὺς περὶ τοῦ Κυρίου βαθυτέρους εἰδέναι λόγους· ἀναγκαίως ἑξῆς κατὰ δεύτερον λόγον ἐπιλέγει τό· «Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ», τοιαύτην ἔχων τὴν διάνοιαν· εἰ μὴ συνιέναι τίς ἐστιν ὁ τοῦ σύμπαντος κόσμου δημιουργός, καὶ ὁ τῶν ὅλων δεσπότης Κύριος δύναται τὰ καθ' ὅλης τῆς γῆς ἔθνη· καὶ εἰ μὴ συνορᾶν οἷά τέ ἐστιν ὅπως δημιουργικὸς

1. Ψαλμ. 18, 5.

ὢν Θεοῦ Λόγος, ἀφανεῖ καὶ ἀοράτῳ δυνάμει τὰ πάντα διέπει καὶ διακυβερνᾷ· ἀλλ' ἀπαρκεῖ γε αὐτοῖς ὡς ἐν εἰσαγωγῇ καὶ τὸ εὐλογεῖν τὸ ὄνομα αὐτοῦ. Ἱκανὸν γάρ ἐστιν αὐτὸ τὸ τοῦ Κυρίου ὄνομα καὶ αὐτὴ ψιλὴ ἡ προσηγορία αὐτοῦ εὐφημουμένη καὶ εὐλογουμένη τὰ μέγιστα τοὺς εὐλογοῦντας ὠφελεῖν, μᾶλλον ἢ οἱ τὸν Ἀβραὰμ εὐλογοῦντες, πρὸς ὃν εἴρηται· «Οἱ εὐλογοῦντές σε εὐλογηθήσονται.[1]»

Τὸ καινὸν δὲ ᾆσμα μετὰ τὴν αἰχμαλωσίαν οἱ τῆς νέας οἰκουμένης κατηξιωμένοι καθ' ὅλης τῆς οἰκουμένης ᾀδέτωσαν. Διό φησιν ἡ προγραφὴ τοῦ ψαλμοῦ, «Ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν.» Ὅτε γοῦν ὁ μέγας οἶκος τοῦ Θεοῦ, ἡ Ἐκκλησία αὐτοῦ, ἐν πᾶσι τοῖς ἔθνεσι μετὰ τὴν τῶν ψυχῶν αἰχμαλωσίαν οἰκοδομεῖσθαι ἤμελλεν ὑπὸ τοῦ μεγάλου καὶ σοφοῦ ἀρχιτέκτονος τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν, περὶ οὗ φησιν ὁ προφήτης· «Οὗτος οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει·[2]» τότε αὐτὸς ὁ Σωτήρ, μέλλων ἔργοις ἀποπληροῦν τὰ διὰ τῶν προφητῶν προπεφωνημένα, μετὰ χεῖρας λαβὼν καὶ διελθὼν τὴν δι' αὐτοῦ προσώπου φάσκουσαν τοῦ Ἡσαΐου περικοπήν· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρῦξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν[3]», πτύξας τὴν βίβλον μετὰ τὴν ἀνάγνωσιν, εἶπε· «Σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν·[4]» διδάσκων αὐτὸν μὲν εἶναι τὸν οὐ σωματικῷ μύρῳ τοῖς σωματικοῖς χριστοῖς ὁμοίως, τῷ δὲ Πνεύματι τῆς πατρικῆς θεότητος κεχρισμένον, καὶ διὰ τοῦτο Χριστὸν ἀνηγορευμένον· δι' αὐτοῦ δὲ καὶ τὸ Εὐαγγέλιον τοῖς τὰς ψυχὰς αἰχμαλώτοις κεκηρῦχθαι ἀκολούθως τῇ προφητείᾳ. Οἱ μὲν οὖν τοῦ Ἰουδαίων ἔθνους προφῆται οὐ τοιαῦτα ᾖδον, οὐδ' ἀγαθῶν Εὐαγγέλια τοῖς καθ' ἑαυτοὺς ἐκήρυττον· ἀλλ' ὁποῖα Μωϋσῆς ἐν μεγάλῃ ᾠδῇ πρὸς τὸν λαὸν φάσκων· «Τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα Κυρίῳ ἀνταποδίδοτε; οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός;[5]» καὶ τὰ τούτοις ἀκόλουθα· ἐν οἷς ἐστι καὶ τό, «Παρώξυνάν με ἐν ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν ἐξεπίκρανάν με. Ἔθυσαν δαιμονίοις, καὶ οὐ Θεῷ·[6]» καὶ τό, «Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν.[7]» Καὶ Ἡσαΐας δὲ τούτοις κατάλληλον ᾄδων ᾆσμα ἔλεγεν· «Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου, τῷ ἀμπελῶνί μου·[8]» οἷς ἐπιλέγει· «Τί ποιήσω τῷ ἀμπελῶνί μου, ὅτι ἔμεινα τοῦ ποιῆσαι σταφυλήν, ἐποίησε δὲ ἀκάνθας; Καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν· καὶ καθελῶ τὸν πύργον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα· καὶ ἀνήσω τὸν ἀμπελῶνά μου[9]», καὶ τὰ ἀκόλουθα τούτοις. Θρήνους δὲ καὶ Ἱερεμίας ᾖδε κατὰ τοῦ Ἰουδαίων λαοῦ·

---

1. Γεν. 12, 3. 2. Ἡσ. 45, 13. 3. Λουκ. 4, 18-19. 4. Λουκ. 4, 21. 5. Δευτ. 32, 5, 6. 6. Δευτ. 32, 16. 7. Δευτ. 32, 21. 8. Ἡσ. 5, 1. 9. Ἡσ. 5, 5-6.

καὶ οἱ λοιποὶ δὲ ὁμοίως προφῆται, τὴν πτῶσιν αὐτῶν ἀπολοφυρόμενοι, ᾠδὰς αὐτοῖς ᾖδον καταλλήλους. Τὸ δὲ τοῖς ἔθνεσιν εὐαγγελιζόμενον ᾆσμα καινὸν οὐκ ἦν ἐκείνοις ὅμοιον, καινῶν δὲ καὶ νέων ἀγαθῶν ἐπαγγελίας περιέχον, καὶ οὐ τῷ Ἰουδαίων λαῷ, ἀλλὰ πάσῃ τῇ γῇ προσπεφωνημένα. Σφόδρα δὲ ἀκριβῶς ἡ προγραφὴ τὸ καινὸν ᾆσμά φησι εὐαγγελισθήσεσθαι πᾶσι τοῖς ἔθνεσιν, «Ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ μὲν αἰχμαλωσίαν.» Καὶ ἄλλως γὰρ μετὰ τὴν Ἰουδαίων αἰχμαλωσίαν καὶ μετὰ τὴν ἀπόπτωσιν αὐτῶν, καὶ τὴν ἐπελθοῦσαν αὐτοῖς ἐκ Θεοῦ ὀργήν, ἣν ἐθέσπισεν ὁ πρὸ τούτου ψαλμὸς εἰπών, «Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου», οἱ πᾶσαν τὴν γῆν οἰκοῦντες ἄνθρωποι βάρβαροί τε καὶ Ἕλληνες, ὁπηνίκα παρ' αὐτοῖς ὁ οἶκος τοῦ Θεοῦ συνέστη, δηλαδὴ ἡ Ἐκκλησία αὐτοῦ, τὸ καινὸν ᾆσμα ᾄδειν ἐδιδάχθησαν, τὸ τῆς δαιμονικῆς καὶ πολυθέου πλάνης ἀποθέμενοι. Ἐξ ἐκείνου δὲ καὶ τὸ σωτήριον τοῦ Θεοῦ εὐαγγελίζονται, καθ' ὅλης τῆς οἰκουμένης τοῖς τῶν ἱερῶν Εὐαγγελίων ἀναγνώσμασι χρώμενοι.

Στίχ. γ'. «Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ· ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς θαυμάσια αὐτοῦ.»

Καὶ τίσι ταῦτα προσήκει νομίζειν προστάττεσθαι ἢ τοῖς δι' ἔργων ὕστερόν ποτε αὐτὰ πεπληρωκόσι, τοῖς δηλαδὴ εὐαγγελισαμένοις εἰς πάντα τὰ ἔθνη τὸ σωτήριον τοῦ Θεοῦ; Τούτοις γὰρ τὸ θεῖον Πνεῦμα ἄνωθεν καὶ πρὸ πολλοῦ τοῦτο πράττειν παρεκελεύετο. Τοῖς αὐτοῖς δὲ καὶ τὰ ἑξῆς προσφωνεῖ, ὡς ἂν μέλλουσιν ἀναγγέλλειν τοῦ Κυρίου τὴν δόξαν ἐν πᾶσι τοῖς ἔθνεσι, μέλλουσί τε ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ κηρύττειν. Τίνες οὖν ἦσαν οἱ ταῦτα δι' ἔργων ἐπιτελέσαντες; Εἰ μὲν ἦν ἑτέρους δυνατὸν ἐπιδεικνύναι, ἤτοι κατὰ τοὺς Κύρου χρόνους, ἢ κατὰ τοὺς Δαρείου τοιούτους αἱ προκείμεναι προστάξεις γίγνονται τοῖς Ἰησοῦ μαθηταῖς, ἀκούουσι τό· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη.[1]» Βούλεται γὰρ τὸ Πνεῦμα τὸ ἅγιον συντόνῳ καὶ ἀδιαστάτῳ σπουδῇ ἐπιτελεῖν αὐτοὺς τὸ εὐαγγελικὸν ἔργον· τῇ γάρ, «ἡμέρᾳ ἐξ ἡμέρας», τοῦτο παρίστησι, τὸ διηνεκῶς αὐτοὺς εὐαγγελίζεσθαι τὸ σωτήριον, περὶ οὗ εἴρηται· «Οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου.[2]»

Στίχ. ζ', η'. «Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ.»

Οὐ μάτην ᾆσμα καινὸν ᾄδειν ἐν προοιμίοις τῆς ψαλμῳδίας ἐκέλευσεν, ἀλλ' ἐπειδὴ καινή τις κλῆσις τοῦ παρόντος ψαλμοῦ, καινὸν τὸ κήρυγμα. Ἔθνη γάρ, ὡς ὁρᾷς, οἱ καλούμενοι οὐ μόσχους οὐδ'

1. Ματθ. 28, 19. 2. Ἰω. 4, 42.

ἄρνας, οὐδ' ἔξωθεν εἰσφοράν τινα τῶν οὐ τελείων (πᾶν γὰρ ἄλογον ἐνδεές), αὐτοὶ δὲ αὐτοὺς θύειν ἀπαιτούμενοι, δόξαν τε καὶ τιμὴν ὡς Θεῷ κομίζειν προσταττόμενοι. Ἐπεὶ δὲ δεῖ μὴ μόνον λόγοις καὶ ὀρθοῖς δόγμασι θεολογεῖν αὐτόν, ἀλλὰ καὶ θυσίας προσφέρειν, ἐπάγει.

Στίχ. θ', ι'. «Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ· εἴπατε ἐν τοῖς ἔθνεσι· ὁ Κύριος ἐβασίλευσε», καὶ τὰ ἑξῆς·

Θυσίας μὲν λέγων τὰς λογικὰς καὶ πνευματικάς, ἃς ὁρῶμεν διηνεκῶς ὑπὲρ τῶν εὐσεβῶν προσφερομένας, καὶ ἱερουργουμένας ὑπὸ τῶν ἱερέων, τοιαῦται δὲ καὶ αἱ ἀρεταί· αὐλὰς δὲ τὰς ἐκκλησίας, ἐν αἷς τῆς Καινῆς Διαθήκης θυσίαι προσφέρονται, αἱ πνευματικαὶ λατρεῖαι, αἱ δι' ἔργων καρποφορίαι αἱ χαριστήριοι ἀναφοραί. Ἄλλως δὲ οὐδὲ Ἰουδαίοις ταῦτα προσέταξεν, ἵνα μή τις τὰς νομικὰς ὑποπτεύσῃ θυσίας· ἀλλὰ ταῖς πατριαῖς τῶν ἐθνῶν, περὶ ὧν δι' ἑτέρου προφήτου φησὶν ὁ Θεὸς πρὸς Ἰουδαίους διαλεγόμενος· «Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, καὶ θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά.[1]» Εὖ δὲ καὶ τὸ φάναι, «Ἄρατε θυσίας», τουτέστι, Μετεωρίσατε τὸ περὶ θυσιῶν νόημα μὴ χαμαιζήλως βουθυτοῦντες, καὶ τὰ λοιπὰ σφάζοντες ζῷα, ἀλλ' ὑψηλῶς τὰ διὰ τούτων δηλούμενα διανοούμενοι, τὰς πνευματικὰς καὶ ἐπουρανίους θυσίας, ὧν ὑποδείγματα καὶ σκιαὶ ἦσαν αἱ αἰσθητῶς προσαγόμεναι θυσίαι. Ποίας δὲ θυσίας ἀπαιτεῖ ἡ ψαλμῳδία, ὁ μακάριος Παῦλος διαμνημονεύει λέγων· «Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν καθαράν, ζῶσαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν.[2]» Καὶ εἰσπορεύεσθε, φησί, διὰ ποίας ἐρχόμενοι τρίβου; διὰ τῆς πίστεως δηλονότι· αὕτη γάρ ἐστιν ἡ τῆς σωτηρίας εἰσβολή.

Στίχ. ια', ιγ'. «Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς. Χαρήσεται τὰ πεδία, καὶ πάντα τὰ ἐν αὐτοῖς.»

Ἀντὶ δὲ τοῦ, «Σαλευθήτω ἡ θάλασσα», κατὰ τὸν Ἀκύλαν, «Βροντήσει», ἢ κατὰ τὸν Σύμμαχον, «Ἠχήσει.» Σημαίνει δὲ διὰ τούτων ὁ λόγος διελεύσεσθαι τὸ εὐαγγελικὸν κήρυγμα καὶ τὰ πελάγη καὶ τὰς ἐπὶ τῆς θαλάσσης νήσους, τούς τε ἐν ταύταις κατοικοῦντας ἀνθρώπους, πλήρωμα αὐτῆς ὠνομασμένους· ὃ καὶ αὐτὸ τέλους ἔτυχεν. Αὐτίκα γοῦν Ἐκκλησίαι Χριστοῦ τὰς νήσους ἁπάσας πληροῦσι, πληθύει τε ὁσημέραι, καὶ ἐπιδίδωσιν ἡ σωτήριος διδασκαλία μέχρι τῶν τὸν Ὠκεανὸν οἰκούντων παρεκτεινομένη. «Καὶ τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ πρὸ προσώπου τοῦ Κυρίου, ὅτι

---

1. Μαλ. 1, 10, 11, 2. Ῥωμ. 12, 1.

ἔρχεται, ὅτι ἔρχεται κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.»

## ΤΩ ΔΑΥΙΔ, ΟΠΟΤΕ Η ΓΗ ΑΥΤΟΥ ΚΑΘΙΣΤΑΤΟ. ϞϚ΄.

Στίχ. α΄. «Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ, εὐφρανθήτωσαν νῆσοι πολλαί.»

Ἐπειδὴ ἐν τῇ τῶν Ἑβδομήκοντα ἑρμηνείᾳ φέρεται ἡ προγραφή, ἐροῦμεν, ὡς, πολλάκις συμφοραῖς περιπεπτωκὼς ὁ Δαυῒδ τότε μὲν ὅτε ὑπὸ Σαοὺλ ἠλαύνετο, καὶ τὰς ἐρήμους μετεδίωκε, τάς τε παρὰ τοῖς ἀλλοφύλοις διατριβάς· τότε δὲ ὅτε πολέμοις ἐσχόλαζε, τὸν προκείμενον, οἶμαι, ψαλμὸν κατ' ἐκεῖνον ᾖσε καθ' ὃν κατέστη ἡ γῆ αὐτοῦ, ὁμοῦ καὶ τῆς διανοίας αὐτοῦ καὶ τῆς βασιλείας ἐν ἀταραξίᾳ καὶ εἰρήνῃ καὶ γαλήνῃ καταστάσης μετὰ τὴν πάντων τῶν ἐχθρῶν ἀναίρεσιν. Τότε οὖν ὁ προφήτης, ἐν εἰρηναίῳ καταστήματι γεγονώς, ὑπὸ τοῦ θείου Πνεύματος ἐπὶ τὴν τῶν προκειμένων διδασκαλίαν ἀνακινεῖται. Ἐπειδὴ δὲ μήτε ᾠδή, μήτε ψαλμὸς ἐπιγέγραπται παρ' Ἑβραίοις, εἴποις ἂν τὰ προκείμενα προφητείαν εἶναι καὶ διδασκαλίαν ἁπλῆν τὰ περὶ τῆς δευτέρας καὶ ἐνδόξου παρουσίας τοῦ Σωτῆρος ἡμῶν περιέχουσαν· ἧς καὶ ὁ Δανιὴλ μνημονεύων φησίν· «Ἐθεώρουν, καὶ ἰδοὺ ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ Υἱὸς ἀνθρώπου παρῆν, καὶ μέχρι τοῦ Παλαιοῦ τῶν ἡμερῶν ἔφθασε. Καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία· καὶ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι αὐτῷ δουλεύσουσιν. Ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καὶ ἡ ἐξουσία αὐτοῦ οὐ μὴ ἀφαιρεθῇ.[1]» Τότε, φησίν, ἀγαλλιάσεται πᾶσα ἡ γῆ, ἤτοι ἡ καινὴ κτίσις, καὶ πάντες οἱ ἐξ αἰῶνος τὴν γῆν οἰκήσαντες ἄνθρωποι τοῦ Θεοῦ· ἢ καὶ οἱ μέλλοντες κληρονομεῖν τὴν ἐπουράνιον γῆν, κατὰ τό· «Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.[2]» Τῆς γὰρ σωματικῆς οὐσίας εἰς ἀφθαρσίαν μεταβαλλούσης κατὰ τοὺς τῆς ἀναστάσεως λόγους, ἀγαλλιάσεται ἡ γῆ, ἅτε τῆς τῶν οὐρανῶν βασιλείας καὶ αὐτὴ καταξιωθησομένη.

«Εὐφρανθήτωσαν νῆσοι πολλαί·» πολλαὶ δέ, καὶ οὐ πᾶσαι, διὰ τῶν κακοδόξων· οὐ χρὴ γὰρ χαίρειν τοῖς ἀσεβέσι. Νήσους γὰρ ἔσθ' ὅτε τὸ Γράμμα τὸ ἱερὸν τὰς Ἐκκλησίας ἀποκαλεῖ· οἷον ἐν θαλάσσῃ κειμένας ἐν τῷδε τῷ τόπῳ, καὶ πικροῖς ὕδασι περιεχομένας ταῖς ἐν αὐτῷ περιστάσεσι, καὶ ὡς ῥαγδαιοτάτοις κύμασι καταπαιομένας τοῖς διωγμοῖς· πλὴν ἀδιαπτώτως ἐρηρεισμένας, καὶ ἀνεχούσας ὕψου, καὶ ταῖς θλίψεσιν οὐ βαπτιζομένας. Ἀκλόνητοι γὰρ διὰ Χριστὸν αἱ Ἐκκλησίαι, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῶν. Οὐκοῦν εἰ δὴ βούλοιτό τις νήσους ἐννοεῖν τὰς ἐξ ἐθνῶν Ἐκκλησίας, οὐκ ἀπὸ τοῦ πρέποντος βαδιεῖται σκοποῦ. Ἐγκαινίζονται γοῦν πρὸς Θεὸν νῆσοι

1. Δαν. 7, 13, 14. 2. Ματθ. 5, 4.

τῷ Ἡσαΐᾳ[1], αἱ ἀπὸ τῶν ἐθνῶν Ἐκκλησίαι, ἄρτι καθιστάμεναι, καὶ τῆς ἁλμυρᾶς ἀπιστίας ἀνακύπτουσαι, καὶ πῆξιν λαμβάνουσι τῷ Θεῷ βάσιμον. Καλῶς τοίνυν κἀνταῦθα τὰς ψυχὰς τῶν ἐν τοῖς πειρασμοῖς τὸ ἑδραῖόν τε καὶ ἀμετάθετον ἐπιδεικνυμένων, νήσους ὠνόμασεν, ἃς πάντοθεν μὲν διαλαμβάνει ἡ τῆς κακίας ἅλμη, οὐ μὴν τοσοῦτον ἰσχύει προσπίπτουσα, ὡς καὶ σάλον τινὰ τῷ παγίῳ τῆς ἀρετῆς ἐμποιῆσαι.

Στίχ. βʹ. «Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ, δικαιοσύνη καὶ κρῖμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.»

Νεφέλη μέν ἐστιν ἐκ φωτοειδοῦς ἀέρος φεγγοβόλον καὶ λεπτότατον ὕφασμα· γνόφος δὲ ἀχλυώδης καὶ ὁμιχλώδης σκοτασμός. Δι' ἀμφοτέρων τὸ ἀθεώρητον τῆς θείας φύσεως ἀποσεμνύνει ὁ λόγος. Ὥσπερ γὰρ τὸν νεφέλῃ τινὶ καὶ γνόφῳ συγκαλυπτόμενον ἀδύνατον κατιδεῖν, οὕτω πάμπαν ἀδύνατον θεάσασθαι τὴν ἀόρατον φύσιν. Σημαίνει δὲ καὶ τὴν λεληθυῖαν ἐν ἀνθρώποις τοῦ Κυρίου κάθοδον, ὅτε πέφυκεν ἐν τῇ τοῦ δούλου μορφῇ, ὡς νοεῖσθαι νεφέλην καὶ γνόφον τὴν προσληφθεῖσαν σάρκα, ἅτε τὴν θεότητα ὑποκρύπτουσαν, κατὰ τό· «Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ.[2]» Ἀναμιμνήσκει δὲ καὶ ὡς αὐτός ἐστι καὶ ὁ ἐν τῷ Σινᾷ ὄρει διὰ νεφέλης καὶ γνόφου τὴν οἰκείαν ποιησάμενος ἐπιφάνειαν, καὶ διδάσκει, ὅτι, εἰ καὶ τὴν θείαν φύσιν ἀδύνατον κατιδεῖν, ἀλλ' οὖν διὰ τῆς ἐνεργείας τὴν ταύτης δύναμιν ἔνεστι θεωρῆσαι. Δικαιοσύνην γὰρ τοὺς ἀνθρώπους ἐπαίδευσε, καὶ τοὺς ἀδιακρίτως ἅπαντα δρῶντας μετὰ κρίσεως ὀρθῆς ἐδίδαξε πολιτεύεσθαι. Ταῦτα αὐτοῦ ὁ θρόνος καὶ ἡ βασιλεία κατώρθωσε· διὸ ἐπάγει· «Δικαιοσύνη καὶ κρῖμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ.» Αὕτη, φησί, γέγονε τῆς παρουσίας ἡ αἰτία, τὸ κρῖναι δικαίως τὴν κρίσιν ἡμῶν, ἣν ἔχομεν δηλαδὴ πρὸς τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις. Βεβασίλευκε γὰρ ἡμῶν ὁ Χριστός, ἵνα δικαιώσῃ τῇ πίστει τοὺς ἐν ἁμαρτίᾳ. Ἐχρήσατο δὲ καὶ θεοπρεπεῖ καὶ φιλαγάθῳ κρίματι· δεδικαίωκε γὰρ οὐκ ἐξ ἔργων δικαιοσύνης, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος· σέσωκε δὲ ἡμᾶς καὶ δι' ὕδατος τοῦ ἁγίου καὶ μυστικοῦ, ἐν ᾧ συνετρίβη καὶ πεπάτηται, μᾶλλον δὲ καὶ ἀπόλωλεν ὁ πολυκέφαλος δράκων, καὶ αἱ σὺν αὐτῷ δυνάμεις πονηραί. Ταῦτα ἡ τοῦ Χριστοῦ βασιλεία κατώρθωσε. Δῆλον δὲ ἀφ' ὧν ἡμεῖς μὲν τῶν καταδουλωσάντων ἀδίκως ἠλευθερώθημεν, ἐκεῖνοι δὲ κατεκρίθησαν. Τοῦτο γὰρ κρίσις δικαία, τὸ τὸν μὲν τυραννοῦντα διάβολον καθελεῖν, τοὺς δὲ τυραννουμένους ἀνθρώπους ἐλευθερῶσαι. Πλὴν ἀλλὰ καὶ ἡμᾶς ἀπαιτεῖ δικαιοσύνην καὶ κρίσιν κατορθοῦν.

Στίχ. γʹ-ζʹ. «Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται, καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ· εἶδε καὶ ἐσαλεύθη ἡ γῆ. Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου

1. Ἡσ. 41, 1. 2. Ψαλμ. 17, 12.

Κυρίου, ἀπὸ προσώπου Κυρίου πάσης τῆς γῆς. Ἀνήγγειλαν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ εἴδοσαν πάντες οἱ λαοὶ τὴν δόξαν αὐτοῦ. Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς, οἱ ἐγκαυχώμενοι ἐν τοῖς εἰδώλοις αὐτῶν.»

Ἐν τούτοις τὰ φοβερὰ τῆς ἀνταποδοτικῆς δυνάμεως ὑποδείκνυσι, διὰ τοῦ πυρὸς καὶ τῆς διαττούσης ἀστραπῆς ἐν τῇ δευτέρᾳ Χριστοῦ παρουσίᾳ· ἐκκαλύπτει δὲ καὶ τὴν εὐαγγελικὴν φωταγωγίαν, ἀστραπὰς λέγων τοὺς τοῦ θείου κηρύγματος λόγους, οἳ κατὰ πάσης τῆς οἰκουμένης ἐκλάμπουσιν. Οὐ γὰρ δήπου φαμέν, ὅτι τῆς εἰς ὑετοὺς γεγενημένης ἀστραπῆς ἐποιεῖτο μνήμην, ἀλλὰ τὴν τοῦ θείου καὶ νοητοῦ φωτὸς ἀνάλαμψιν τῷ τῆς ἀστραπῆς κατασημαίνει ὀνόματι· ἢ ἀστραπὰς ὀνομάζων Χριστοῦ, τοὺς τὸ θεῖον καὶ εὐαγγελικὸν ἱερουργοῦντας κήρυγμα, τουτέστιν ἀποστόλους καὶ εὐαγγελιστάς, οἳ φωτὸς δίκην τὴν οἰκουμένην κατέλαμψαν· οἷς καὶ αὐτὸς ἔφη Χριστός· «Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.[1]» Φῶς μὲν γὰρ τὸ ἀληθινὸν αὐτός ἐστιν ὁ Υἱὸς καταφωτίζων ἅπασαν κτίσιν λογικήν. Ἐπειδὴ δὲ γεγόνασι μέτοχοι τοῦ παρ' αὐτοῦ φωτὸς καὶ αὐτοὶ κατὰ τό· «Ἄνθρακες ἀνήφθησαν ἀπ' αὐτοῦ[2]», χρηματίζουσι φῶς τοῦ κόσμου. Οὗτοι τοίνυν καθάπερ ἀστραπαὶ γεγόνασι τῇ ὑπ' οὐρανὸν διατρέχοντες πανταχοῦ, καὶ τὸ θεῖον καὶ νοητὸν ταῖς τῶν μυσταγωγουμένων καρδίαις εἰσπέμπονται φῶς. Καὶ πῦρ δέ φησιν ὁ ψάλλων, οὐ πάντως τοῦτο τὸ αἰσθητόν, οὔτε μὴν τὴν ὁρωμένην φλόγα, ἀλλὰ θείαν τινὰ δύναμιν ἄμαχον καὶ δυσάντητον καὶ δυσδιάφυκτον, πυρὸς δίκην κατεσθίουσαν τοὺς ἐχθραίνοντας αὐτῷ. Οὗτοι δὲ ἦσαν καὶ πρό γε τῶν ἄλλων οἱ ἀλιτήριοι δαίμονες καὶ ὁ τῆς ἀγέλης αὐτῶν ἐπιστάτης· τοῦτον κατέφλεξεν ὁ Σωτὴρ τοῖς ἄλλοις ὁμοῦ. Οὐ γὰρ ἦν ἑτέρως ἐξελέσθαι τοὺς ἐπὶ τῆς γῆς ὑπ' αὐτῷ γενομένους, εἰ μὴ καθάπερ τι πῦρ ἐπαφῆκεν αὐτῷ τὴν δαπανῶσάν τε καὶ ἀφανίζουσαν αὐτὸν ὀργήν. Οὕτως ἐξείλετο τοὺς ὑπ' αὐτοῦ γενομένους, σέσωκε τοὺς ἐν αἰχμαλωσίᾳ, ἐρρύσατο τοὺς πεπλανημένους, καὶ εἰς τὸ τῆς ἀληθείας ἐκάλεσε φῶς. Τάχα δὲ πυρὸς καὶ ἀστραπῆς ἐμνημόνευσεν ὁ Δαυΐδ, ἤγουν φλογὸς καὶ φωτός· ἐπειδὴ διπλῆ τοῦ πυρὸς ἡ ἐνέργεια· οὐ γὰρ μόνον τὸ καίειν, ἀλλὰ καὶ τὸ φωτίζειν ἔχει· καὶ τὸ μὲν φῶς τοῖς δικαίοις ἀποχαρίζεται, ἡ δὲ καῦσις τοῖς παρανόμοις ἀφώρισται. Ταῦτα καὶ τῆς δευτέρας ἐπιφανείας τὰ θεσπίσματα· ταῦτα καὶ Δανιὴλ ἐθεάσατο· «Ποταμός», γάρ φησι, «πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ·[3]» καὶ ὁ Κύριος εἶπεν, ὡς ἡ παρουσία αὐτοῦ ἔσται ὡς ἡ ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν φθάνουσα ἀστραπή.[4] Τὸ μὲν πῦρ αὐτοῦ προπορεύσεται ἕνεκα τῶν ἐχθρῶν αὐτοῦ· τῶν δὲ εὐσεβῶν καὶ θεοφιλῶν ἀνδρῶν χάριν ἀσραπαὶ αὐτοῦ ἐκ τοῦ αὐτοῦ φωτὸς ἐκπεμπόμεναι ἀντὶ ἡλίου καταλάμψουσι τὴν οἰκουμένην. Εἰ γὰρ τότε ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος

1. Ματθ. 6, 14. 2. Ψαλμ. 17, 9. 3. Δαν. 7, 10. 4. Ματθ. 24, 27.

αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ [1]», κατὰ τὴν σωτήριον διδασκαλίαν· πόθεν ἄλλοθεν φωτισθήσεται ὁ κόσμος εἰ μὴ ἐξ αὐτοῦ· Ἐπειδήπερ ἐστὶν αὐτὸς ὁ Κύριος φῶς αἰώνιον.

Στίχ. ηʹ-ιβʹ. «Προσκυνήσατε αὐτῷ πάντες ἄγγελοι αὐτοῦ· ἤκουσε καὶ εὐφράνθη ἡ Σιών, καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκεν τῶν κριμάτων σου, Κύριε.»

Σιὼν μὲν τὴν Ἐκκλησίαν Χριστοῦ ὑπάρχειν ἰστέον, θυγατέρας δὲ τῆς Ἰουδαίας τὰς ἀποστολικὰς ψυχὰς ἀπὸ τοῦ Ἰουδαίων ἔθνους διελθούσας· αἳ δὴ καὶ ἐμπίπλανται εὐφροσύνης καὶ ἀγαλλιάσεως, μανθάνουσαι περὶ τῶν κριμάτων τοῦ Κυρίου, τῶν τε τοῖς εἰδωλολάτραις ἀποκειμένων τιμωριῶν, καὶ τῶν τοῖς ἔθνεσι τετηρημένων ἐπαγγελιῶν. Εἰκότως δὲ χαίρουσιν ἅτε αὐτῷ ἀνακείμεναι, καὶ ἐλπίζουσαι τῆς ἐνδόξου αὐτοῦ παρουσίας καταξιωθήσεσθαι. «Ὅτι σὺ εἶ Κύριος ὁ Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν, σφόδρα ὑπερυψώθης ὑπὲρ πάντας τοὺς θεούς. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρόν· φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς.» Εἰ ἀποστραφέντες, φησί, τὸ πονηρὸν ὅσιοι γένησθε, τότε δὴ συμβήσεται ὑμῖν καὶ τῆς φυλακῆς τῆς παρὰ τοῦ Θεοῦ τυχεῖν, καὶ τῆς τοῦ διαβόλου ῥυσθῆναι χειρός· οὗτος γὰρ ὁ κυρίως ἁμαρτωλός. Ὁ μὲν οὖν τρόπος τῆς πρὸς τὸν Κύριον ἀγάπης τὸ μισεῖν πονηρά· μισθὸς δὲ τούτου τὸ ἔχειν αὐτὸν φυλακὴν τῆς ζωῆς, καὶ κρείττω τῶν ἐπανισταμένων δυσμενῶν γίνεσθαι. Εἶδες ἡλίκα τῆς πρὸς Θεὸν ἀγάπης ἀπολάβομεν; Γινόμεθα δὲ ὅσιοι ἀνακείμενοι αὐτῷ, καὶ φύλακα τὸν Θεὸν τοῦ μεγίστου κτήματος τῆς ἡμετέρας ψυχῆς ἔχομεν· ὥστε μὴ ὑπὸ τὴν χεῖρα καὶ τὴν ἐξουσίαν γενέσθαι τοῦ ἐχθροῦ· «Φῶς» γὰρ «ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.»

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ. ϟΖʹ.

Στίχ. αʹ. «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ὅτι θαυμαστὰ ἐποίησε.»

Καὶ οὗτος ὁ ψαλμὸς τὴν αὐτὴν ἔχει διάνοιαν· ἑκατέραν γὰρ τοῦ Σωτῆρος ἐπιφάνειαν προθεσπίζει, ἀλλὰ τὰ πλείονα περὶ τῆς δευτέρας διέξεισιν. Εἰκότως δὲ ᾆσμα καινὸν κελεύει προσενεγκεῖν τῷ Θεῷ· ἐπειδὴ τῶν προτέρων πραγμάτων κηρύττει μεταβολήν, καὶ καινὴν πολιτείαν προαγορεύει. Ὑπερφυᾶ γὰρ καὶ παράδοξα τὰ ὑπὸ τοῦ Θεοῦ τῶν ὅλων γενόμενα ἐπὶ σωτηρίᾳ ἡμετέρᾳ. Ὁ γὰρ Σωτήρ, ἐπιδημήσας τῷ κόσμῳ καὶ χάριτι Θεοῦ ὑπὲρ παντὸς γευσάμενος θανάτου ἐπὶ τῷ ἆραι τὴν ἁμαρτίαν τοῦ κόσμου, ὡς διὰ τῶν ἑπομένων δηλωθήσεται στίχων, τῶν μεγάλων καὶ ἀπορρήτων ἡμᾶς κατηξίωσε μυ-

1. Ματθ. 24, 29.

στηρίων. «Ἔσωσε αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ.» Δεξιὰ καὶ βραχίων Θεοῦ διὰ πλειόνων ἀποδέδεικται ὁ Σωτὴρ εἶναι κατὰ τοῦ τῆς δεξιᾶς καὶ τοῦ βραχίονος κειμένου. Σῴζει οὖν αὐτῷ τῷ Θεῷ ἡ δεξιὰ αὐτοῦ τοὺς εἰς μακαριότητα ἡρμένους. Οὐ γὰρ πᾶς σῳζόμενος Κυρίῳ τῷ Θεῷ σῴζεται· ἀλλὰ μόνος καὶ πᾶς ὁ κακῶν καὶ παθῶν κατὰ τὸν ὀρθὸν λόγον ἀπαλλαττόμενος, καὶ τὴν τῆς ἀληθείας γνῶσιν μετ' εὐσεβείας ἀνειληφώς. Ὁ γὰρ ἐκ νόσων καὶ τραυμάτων σωθεὶς οὐ πάντως Θεῷ σῴζεται, μάλιστα ὅτε οὐκ ἐπίσταται ἐκ Θεοῦ τὴν ὑγίειαν αὐτῷ δεδόσθαι. Ἅγιος δὲ ὁ βραχίων τοῦ Θεοῦ ἐστιν, οὐ κατὰ μετοχὴν ἁγιότητος τυγχάνων, ἀλλ' ἁγίου Πνεύματος ὢν βραχίων. Καὶ τάχα δεξιὰ μὲν ἡ ἐνεργητικὴ τοῦ Θεοῦ δύναμις, οὐκ ἄλλη τοῦ Θεοῦ Λόγου τυγχάνουσα, καλεῖται, διὰ τὸ δεξιῶς, τουτέστιν ἁγίως, σοφῶς, ἀμέμπτως, ἐπαινετῶς πάντα ποιεῖν· βραχίων δὲ διὰ τὸ ἰσχυρὸν καὶ ὑπερβάλλον τῇ κραταιότητι.

Στίχ. β', γ'. «Ἐγνώρισε Κύριος τὸ Σωτήριον αὐτοῦ, ἐναντίον τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ Σωτήριον τοῦ Θεοῦ ἡμῶν.»

Πάλαι τὸν Ἀβραὰμ ἐν τῷ σπέρματι αὐτοῦ ἐνευλογηθῆναι τὰ ἔθνη ἐπαγγειλάμενος, τὴν τῶν λόγων ἀλήθειαν διὰ τῆς τῶν πραγμάτων ἐκβάσεως ἐπιστώσατο· καὶ ὃ δι' ὅρκου ἐπηγγείλατο παρέξειν ἔλεος, τοῦτο ἔδειξεν εἰς ἔργον ἐκβάν. Κομιδῇ δὲ ταῦτα ἔοικε τοῖς Ἡσαΐου θεσπίσμασι, δι' οὗ ὁ Πατὴρ ἔφη πρὸς τὸν Μονογενῆ· «Ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.[1]» Ἐπειδὴ γὰρ τοῖς θαυμασίοις πατριάρχαις καὶ τῷ Δαυῒδ ὑπέσχετο ὁ τῶν ὅλων Θεὸς ἐκ τοῦ σπέρματος αὐτῶν κατὰ σάρκα τὸν Χριστὸν ἀναστήσειν, καὶ σωτηρίαν δι' αὐτοῦ πᾶσιν ἀνθρώποις παρέξειν, διαθήκην ἐκάλεσε τὴν πρὸς τοὺς πατέρας γενομένην ἐπαγγελίαν. Γένος δὲ αὐτοῦ τὸν Ἰσραὴλ κέκληκεν· ἐπειδὴ ἐξ Ἰουδαίων κατὰ σάρκα Χριστός. Δέδωκά σε τοίνυν εἰς διαθήκην γένους, τουτέστιν, ὥστε πληρῶσαι τὰς πρὸς Ἰουδαίους γεγενημένας συνθήκας· ἀλλ' εἰς φῶς οὐκ ἔτι Ἰουδαίων, ἀλλ' ἐθνῶν· οὗτοι γὰρ διὰ τῆς πίστεως τῆς σωτηρίας μετέλαχον· ἐκεῖνοι δὲ τὸν ζόφον τῆς ἀπιστίας ἠγάπησαν. Τοῦτο καὶ ἐνταῦθα ἔφη Δαυῒδ· «Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακώβ», ἤγουν τῷ Ἰσραήλ, τουτέστι τὰς πρὸς ἐκείνους γεγενημένας ἐπαγγελίας ἐπλήρωσε, καὶ εἰς ἔργον ἤγαγε· διὸ «εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ Σωτήριον τοῦ Θεοῦ ἡμῶν.» Κηρυχθέντος γὰρ τοῦ Εὐαγγελίου ἐν πάσῃ τῇ ὑπ' οὐρανὸν καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, κατὰ τὴν Χριστοῦ χρησμῳδίαν, εἶδον πάντα τὰ πέρατα τῆς γῆς Χριστόν, τὸ Σωτήριον τοῦ Θεοῦ.

Στίχ. δ'-ς'. «Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ, ᾄσατε, καὶ ἀγαλ-

---

1. Ἡσ. 49, 6.

λιάσθε καὶ ψάλατε. Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ, ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. Ἀλαλάξατε ἐνώπιον τοῦ βασιλέως Κυρίου», καὶ τὰ ἑξῆς.

Κατὰ μὲν τὸ ῥητόν, συνάψατε, φησί, τοῖς ὕμνοις καὶ ὄργανα ψαλμικά· κατὰ δὲ ἀναγωγήν, κιθάρα ἡ πρακτική· φωνὴ δὲ ψαλμοῦ ἡ θεωρία. Δοξάσατε οὖν, φησί, τὸν Κύριον διὰ πράξεως καὶ θεωρίας, καὶ πρὸς τὸν ψαλμὸν τὸν διὰ τοῦ ὀργάνου πληττόμενον, ἤγουν τὰς διὰ τοῦ σώματος ἐνεργείας τὰς κατ' ἀρετήν, καὶ φωνή τις ᾀδέτω ἡ περὶ τῶν πρακτέων θεωρία· κιθάραν γὰρ τὴν τοῦ σώματος πρὸς τὴν ψυχὴν ἁρμονίαν λέγει. Καὶ τοῦτον δὲ τὸν νόμον ἔστιν ἰδεῖν διηνεκῶς ἐν ταῖς ἐκκλησίαις πληρούμενον· τῇ γὰρ πνευματικῇ κιθάρᾳ τὴν θείαν ἀνακρουόμεθα μελῳδίαν. Ποιοῦμεν δὲ καὶ ἡμεῖς λογικὰς κιθάρας τὰ ἡμέτερα στόματα, καὶ χρώμεθα ἀντὶ μὲν χορδῶν τοῖς ὀδοῦσιν, ἀντὶ δὲ χαλκοῦ τοῖς χείλεσι· πλήκτρου δὲ παντὸς ἡ γλῶσσα ὀξύτερον κινουμένη, τὴν ἐναρμόνιον ἀποτελεῖ τῶν κρουσμάτων ἠχήν· κινεῖ δὲ τὴν γλῶτταν ὁ νοῦς, οἷόν τις μουσικὸς μετ' ἐπιστήμης ποιούμενος τὴν ταύτης μετάβασιν. Αὕτη τῷ Θεῷ ἡ κιθάρα τῆς ἀψύχου θυμηρεστέρα. Καὶ μάρτυς αὐτὸς διὰ τοῦ προφήτου βοῶν· «Ἀπόστησον ἀφ' ἡμῶν ἦχον ᾠδῶν σου, καὶ φωνῆς ὀργάνων σου οὐκ ἀκούσομαι.[1] Ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης.» Ἐλαταὶ λέγονται σάλπιγγες οἱ λόγοι τῶν ἀποστόλων τοῦ Σωτῆρος ἡμῶν διὰ τὸ βεβασανισμένον καὶ πεπυρωμένον τῆς πίστεως αὐτῶν· κεράτιναι δὲ διὰ τὸ πρακτικόν. Βοῶν γὰρ αἱ κεράτιναι σάλπιγγες· βοῦς δὲ ἐργατικὸν ζῷον. Καὶ περὶ τῶν ἀποστόλων δέ φησιν ὁ Παῦλος· «Μὴ τῶν βοῶν μέλει τῷ Κυρίῳ[2]», ἢ δι' ἡμᾶς πάντως λέγει. Φωναὶ τοιγαροῦν τῶν ἱερῶν τοῦ Σωτῆρος ἀποστόλων ἐλαταὶ ὁμοῦ καὶ κεράτιναι σάλπιγγες ἐτύγχανον. Κιθάραν δὲ ἄλλως μὴ ὄκνει λέγειν τὸν σύμπαντα τοῦ Χριστοῦ λαὸν ἐκ διαφόρων ψυχῶν ὡς ἐκ πλειόνων χορδῶν ἡρμοσμένον, μίαν τε εὐχὴν καὶ εὐχαριστίαν τῷ Θεῷ ἀναπέμποντα.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ. ϞΗ΄.

Στίχ. α΄, β΄. «Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί, καθήμενος ἐπὶ χερουβίμ, σαλευθήτω ἡ γῆ.»

Ἀνεπίγραφος παρ' Ἑβραίοις ὁ ψαλμός· εἷς δὲ καὶ αὐτὸς τυγχάνει τῶν εὐαγγελιζομένων τὴν τοῦ Χριστοῦ βασιλείαν. Ἐπεὶ μὲν γὰρ τῷ βασιλεύειν ἁπάντων τῶν ὅλων Θεόν, οὐδένα ἄν τις ὀργίζεσθαι φαίη, ἐπὶ δὲ τῇ τοῦ Χριστοῦ βασιλείᾳ φησὶν ὁ παρὼν λόγος ὀργίζεσθαι λαούς· φησὶ δὲ τοὺς ἐκ περιτομῆς καὶ τοὺς ἐξ ἐθνῶν ἀπιστοῦντας αὐτῷ. Τίς δέ ἐστιν ὁ Κύριος διασαφεῖ λέγων ἑξῆς· «Ὁ καθήμενος ὑπὲρ χερουβίμ.» Δάκνει γὰρ τοὺς ἀπίστους καὶ λυπεῖ ὁ ἐπὶ τῇ σω-

1. Ἀμ. 5, 23. 2. Α΄ Κορ. 9, 9.

τηρίᾳ τῶν ἐθνῶν ζῆλος· οὐ γὰρ συνῆκαν τὰς περὶ τῆς βασιλείας αὐτοῦ προφητικὰς φωνάς· «Σαλευθήτω ἡ γῆ.» Οἵ τε γὰρ πάλαι πολλὰ δυνάμενοι δαίμονες ἐξησθένησαν, ὡς πάσας αὐτῶν τὰς δυνάμεις σαλευθῆναι, καὶ παυσθῆναι τὰς ἐνεργείας· οἵ τε τὴν γῆν οἰκοῦντες ἄνθρωποι, μεταβαλόντες, τῆς πατρῴας πλάνης τὸν ὄλεθρον ἐπέγνωσαν, τὸν Θεὸν Λόγον αὐτῶν Κύριον ἐπιγραψάμενοι. Οὐ μὴν ἀλλὰ καὶ οἱ ἀπιστοῦντες αὐτῷ, μεγάλως ἐσαλεύθησαν, κινούμενοι καὶ καταπληττόμενοι τῆς διδασκαλίας αὐτοῦ τὴν δύναμιν. Τὸ δέ, «καθήμενος», ὡς πρὸς ἀνθρώπους διαλεγόμενος εἴρηκεν. Ἡ γὰρ ἀσώματος φύσις ἀπερίληπτος καὶ ἀπερίγραφος. «Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.» Σιὼν ἑρμηνεύεται «σκοπευτήριον·» οὕτω δὲ ὀνομάζειν ἔθος τὴν θείαν Γραφὴν πᾶν τὸ θεοσεβὲς πολίτευμα, τῶν τὰ ἐπουράνια σκοπούντων τοῦτον δηλουμένων τὸν τρόπον ὁποῖος ἦν λέγων ὁ Ἀπόστολος· «Σκοπούντων ἡμῶν οὐ τὰ ἐπίγεια, ἀλλὰ τὰ ἐπουράνια.[1]» Παρὰ τούτοις οὖν μέγας ἐστὶ ὁ Κύριος.

Στίχ. γ΄. «Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστι.»

Νῦν μὲν ὀργίζονται λαοὶ ἐπὶ τοῦ Σωτῆρος ἡμῶν βασιλείᾳ· ἔσται δέ τις καιρὸς ἐν ᾧ καὶ αὐτοὶ ἐξομολογήσονται τῷ ὀνόματι αὐτοῦ τῷ μεγάλῳ, «Ὅτε πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς εἰς δόξαν Πατρός.[2]»

Στίχ. δ΄. «Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ.»

Ἡ τοῦ βασιλέως τιμή τε καὶ ἀρετὴ εἰκότως μετὰ κρίσεως τοῖς μὲν ἐπίφοβον ποιεῖται τὸ ὄνομα αὐτοῦ, τοῖς δὲ ἅγιον. Εἰ γὰρ οἱ παραβαίνοντες αὐτοῦ τὸν νόμον, δι' αὐτοῦ τοῦ παραβαίνειν ἀτιμάζουσιν αὐτόν· οἱ κατορθοῦντες τὸν θεῖον νόμον δι' αὐτοῦ τοῦ ἐνεργεῖν κατὰ ταὐτὸν τιμῶσι τὸν νομοθετήσαντα αὐτὸν βασιλέα, ἀγαπῶντες τὴν παρ' αὐτοῦ κρίσιν, ἐπιστάμενοι δίκαιον τὸ κρῖμα αὐτοῦ, καὶ ὅτι τεύξονται θείων ἀμοιβῶν, κατὰ τὸ βούλημα αὐτοῦ, εὐσεβῶς καὶ δικαίως πολιτευσάμενοι.

Στίχ. δ΄. «Σὺ ἡτοίμασας εὐθύτητας, κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν», καὶ τὰ ἑξῆς.

Μηδείς, φησί, νομίζοιτο ἕτερον εἶναι τὸν ἐνταῦθα δοξολογούμενον Κύριον τοῦ Θεοῦ τοῦ νομοθετήσαντος ἐν τῇ ἐρήμῳ. Σὺ γάρ, φησί, Κύριε, οὗ τὴν βασιλείαν θεσπίζομεν, αὐτὸς ὢν τυγχάνεις, ὁ καὶ τῷ ἐκ περιτομῆς λαῷ κρίσιν καὶ δικαιοσύνην διαταξάμενος κατὰ τὴν δοθεῖσαν αὐτοῖς νομοθεσίαν, δικαιώματα καὶ κρίματα περιέχουσαν. Σὺ δὲ αὐτὸς καὶ εὐθύτητας ἡτοίμασας κατὰ τὸν τῆς ἀνταποδόσεως καιρὸν ἀποδοθησομένας τοῖς φυλάττουσι τὴν κρίσιν καὶ τὴν δικαιοσύνην.

Στίχ. ς΄-ζ΄. «Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. Ἐπεκαλοῦντο τὸν

1. Β' Κορ. 4, 18. 2. Φιλιπ. 2, 10-11.

Κύριον, καὶ αὐτὸς εἰσήκουεν, ἐν στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς. Ἐφύλασσον τὰ μαρτύρια αὐτοῦ, καὶ τὰ προστάγματα ἃ ἔδωκεν αὐτοῖς.» Τό, «Εἰ ἐπιστεύσατε Μωϋσῇ, ἐπιστεύσατε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε[1]», τῆς οὖν αὐτῆς ἔχεται διανοίας καὶ τὰ προκείμενα. Τοῦτον γὰρ τὸν Κύριον, καὶ οὐχ ἕτερον, φησί, τὸν ἐν τῷ παρόντι θεολογούμενον, καὶ Μωϋσῆς καὶ Ἀαρὼν καὶ Σαμουήλ, καὶ εἴ τις ἕτερος εἴτε προφητῶν, εἴτε ἱερέων, ἐπεκαλοῦντο. Καὶ οὗτος ἦν αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, καὶ νῦν ἐπὶ πάντας τοὺς λαοὺς ὑψηλὸς ὑπάρχων, καὶ παρὰ πᾶσι τοῖς ἔθνεσι δοξαζόμενος, ὁ κἀκείνων εἰσακούων καὶ λαλῶν αὐτοῖς ἐν στύλῳ νεφέλης. Οὐκ ἄλλως δὲ τῆς τοσαύτης ἀξίας ἔτυχον οἱ δηλωθέντες, εἰ μὴ ὅτι ἐφύλαττον τὰ μαρτύρια αὐτοῦ, καὶ τὸ πρόσταγμα ὃ δέδωκεν αὐτοῖς. Οὕτως οὖν καὶ ἡμῖν διὰ τῆς Καινῆς Διαθήκης ὁ αὐτὸς προστάγματα καὶ ἐντολάς, καὶ μαρτύρια ἔδωκεν, ἅπερ εἰ φυλάττοιμεν, τῶν ἴσων καὶ αὐτοὶ καταξιωθησόμεθα.

Στίχ. η΄. «Κύριε Θεὸς ἡμῶν, σὺ ἐπήκουες αὐτῶν, σὺ εὐΐλατος ἐγίνου αὐτοῖς, καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.»

Σύ, φησίν, ὁ ἡμέτερος Κύριος καὶ Θεός, ὁ τῶν ἐθνῶν βασιλεύς, ὁ ὑφ' ἡμῶν κηρυττόμενος, αὐτὸς ἦσθα ὁ καὶ τῶν ἀμφὶ Μωϋσέα καὶ Ἀαρὼν ὑπακούων, καὶ τῆς τοσαύτης ἐκείνοις μεταδιδοὺς παρρησίας, ἱλεουμένοις σε ὑπὲρ τοῦ παροργίζοντος λαοῦ, καὶ πολλῆς αὐτοὺς ἀξιῶν εὐμενείας. Εἰ γὰρ καί τισιν ἀσθενείαις περιέπιπτον ὡς ἄνθρωποι, ὡς Μωϋσῆς ἐπὶ τῇ ἀπιστίᾳ τοῦ ὕδατος, καὶ Ἀαρὼν ἐπὶ τῇ μοσχοποιΐᾳ, σύ, ὡς παναγάθου πατρὸς πανάγαθος υἱός, ἵλεως αὐτοῖς ἐγίνου, συγγνώμην νέμων τῇ θνητῇ ἀσθενείᾳ. «Καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν.» Εἰ καὶ ἔδοξάν τι, φησίν, ἁμαρτάνειν ὡς ἄνθρωποι, ἀλλ' ἐπαίδευες αὐτοὺς ἐν οἷς παιδείας ἐδέοντο. Ἠλέγχετο γὰρ ἐπὶ τοῦ μόσχου ἁμαρτήσας Ἀαρών, καὶ Μωϋσῆς ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας.

Στίχ. θ΄. «Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.»

Μηδὲν ταπεινόν, φησί, καὶ ἀνθρώπινον περὶ τοῦ Κυρίου φρονεῖτε· ἀλλ' ὑψοῦτε αὐτὸν ὑψηλὰ περὶ αὐτοῦ δοξάζοντες, καὶ τὸ προσῆκον αὐτῷ προσενέγκατε σέβας. Ὄρος δὲ ἅγιον πάλαι μὲν τὸ Σιὼν ἐκαλεῖτο, νῦν δὲ τῆς θεογνωσίας τὸ ὕψος· οὕτω γὰρ καὶ Ἡσαΐας καὶ Μιχαίας ἐθέσπισαν· «Ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου·[2]» τουτέστιν ἡ τοῦ Θεοῦ γνῶσις πᾶσι δήλη γενήσεται. Οἶδε γὰρ καὶ ὁ Ἀπόστολος νοητὸν ὄρος Σιών· «Προσεληλύθατε» γὰρ «ὄρει Σιὼν καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπουρανίῳ.[3]» Προστετάγμεθα τοίνυν κατὰ τὴν δοθεῖσαν ἡμῖν ὑπὸ Θεοῦ γνῶσιν προσφέρειν αὐτῷ προσκύνησιν· ὃς καὶ Κύριος ἡμῶν ἐστιν ὡς δούλων, καὶ Θεὸς ὡς πλάστης. Ἀλλ' οὕτω μὲν πνευματικώτερον τὸν ψαλμὸν νοήσαιμεν.

1. Ἰω. 5, 46. 2. Ἡσ. 2, 2. Μιχ. 4, 1. 3. Ἑβρ. 12, 22.

## ΨΑΛΜΟΣ ΕΙΣ ΕΞΟΜΟΛΟΓΗΣΙΝ. ϞΘ'.

Στίχ. β', γ'. «Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.»

Τουτέστι τὰ ἐπὶ γῆς ἔθνη· καὶ διὰ τούτων κέκληται ἐπὶ ἐξομολόγησιν τῶν προτέρων ἁμαρτημάτων, ἐν οἷς ἐκαλινδοῦντο ὅτε τῇ εἰδωλολάτρῳ προσεῖχον πλάνῃ. Διὸ ἐπιγέγραπται ψαλμός «Εἰς ἐξομολόγησιν. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ», ὑποβαλόντες ἑαυτοὺς τῷ αὐτοῦ ζυγῷ. Ὅμοιον γάρ ἐστι τὸ δουλεύειν αὐτῷ τῷ δουλεύειν φωτί, καὶ δουλεύειν ζωῇ καὶ ἀληθείᾳ, καὶ δικαιοσύνῃ καὶ ἁγιασμῷ· πάντα γὰρ ταῦτά ἐστιν ὁ Κύριος. «Εἰσέλθετε ἐνώπιον αὐτοῦ ἐν ἀγαλλιάσει.» Εἰ δέ τις μὴ δουλεύοι αὐτῷ ἐν εὐφροσύνῃ, μὴ τολμάτω παριέναι ἐνώπιον αὐτοῦ, ἀνίπτοις ποσὶ παραβάλλων εἰς τὴν Ἐκκλησίαν αὐτοῦ. «Γνῶτε ὅτι Κύριος αὐτός ἐστιν ὁ Θεός· αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς, λαὸς αὐτοῦ καὶ πρόβατα νομῆς αὐτοῦ.» Ὅταν γὰρ γνῶμεν ὅτι αὐτὸς Θεός ἐστιν, αὐτὸς ὁ Κύριος, τὸ τηνικάδε αὐτοῦ τοῦ γινώσκειν αὐτοῦ εἰσεληλυθότες, καὶ ποιητὴν ἑαυτῶν ὁμολογήσομεν αὐτόν. Ὅτι δὲ οὐχ ἡμεῖς ἑαυτοὺς ποιοῦμεν, κἂν αἴτιοι δοκῶμεν τυγχάνειν τῆς τῶν παίδων γενέσεως, δῆλον ἐντεῦθεν· ἐκ πατρὸς γὰρ καὶ μητρὸς γενόμενοι Ἰὼβ καὶ Δαυΐδ, φασὶν ἑκάτεροι, «Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με·[1]» καὶ πρὸς Ἱερεμίαν αὐτὸς ὁ Θεός, «Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε.[2]» Τῇ γοῦν ἐσφαλμένως λεγούσῃ τῷ ἀνδρί, «Ἢ δός μοι τέκνα, εἰ δὲ μή, ἀπόκτεινόν με[3]», σοφὸς ὢν ὁ ἀνήρ, δογματικῶς ἐπιτιμᾷ, «Μὴ ἀντὶ Θεοῦ σοι εἰμὶ ἐγώ, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;[4]» Εἰ γὰρ καὶ δοκοῦσιν οἱ πατέρες ποιεῖν τὰ τέκνα, ἀλλ' οὖν ὁ Θεὸς ταῦτα ποιεῖ· καὶ ὁ μὲν αἴτιος, οἱ δὲ συναίτιοι, ὡς τῷ ἐξ ἀρχῆς αὐτοῦ διακονοῦντες προστάγματι. Διὰ τοῦτο πολλοί, καίτοι ἐπιθυμοῦντες παιδοποιεῖν, οὐ δύνανται. Ὁ δὲ Σύμμαχός φησιν, «Αὐτὸς ἐποίησεν ἡμᾶς οὐκ ὄντας· ἡμεῖς δὲ λαὸς νομῆς αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ.» Διὰ τούτων οὐ μόνον τὴν δεσποτείαν, ἀλλὰ καὶ τὴν κηδεμονίαν ἐγνώρισεν· οὐ μόνον γὰρ ἡμῶν δεσπότης ἐστίν, ἀλλὰ καὶ ποιμήν, τὴν ἀγαθὴν ἡμῶν προσφέρων νομήν. «Ἡμεῖς δὲ λαὸς αὐτοῦ», ὡς βασιλέως, πρόβατα δὲ ὡς ποιμένος· λαὸς οἱ κρείττους καὶ λογικώτεροι· πρόβατα οἱ ὑποβεβηκότες, καὶ τὴν ἀλογωτέραν τάξιν ἐπέχοντες, καὶ μὴ ἐν πείρᾳ τῶν θείων ὄντες λογίων· κατὰ τό, «Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός.[5]» Πλὴν ἀλλὰ πάντων Θεὸς ὢν καὶ ποιητής, πάντα καλεῖ καὶ ἐξοικειοῦται. «Ἀνθρώπους» γὰρ «καὶ κτήνη σῴζει ὁ Θεός·[6]» τοὺς μέν, ὡς λαὸν αὐτοῦ, τὰ δέ, ὡς πρόβατα χειρὸς αὐτοῦ.

Στίχ. δ'. «Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις.»

---

1. Ψαλμ. 118, 73. Ἰὼβ 8, 10. 2. Ἱερ. 1, 5. 3. Γεν. 30, 1. 4. Γεν. 30, 2. 5. Ψαλμ. 118, 176. 6. Ψαλμ. 35, 7.

Μνημονεύετε, φησί, τῶν κακῶν, ἐν οἷς πρῶτον ἐξετάζεσθε, ὅτε μακρὰν ἐτυγχάνετε τοῦ Κυρίου ὑφ' ἑτέροις δεσπόταις πονηροῖς ἀγόμενοι. Διὸ ὡς περιρραντηρίῳ χρώμενοι τῇ τῶν προτέρων ἀσεβημάτων ὁμολογίᾳ εἴσιτε εἰς τὰς πύλας αὐτοῦ θαρροῦντες· ὅτι μετὰ τὰς πύλας, τουτέστι μετὰ τὰς ἀρχὰς καὶ τὰς πρώτας εἰσόδους τῆς τοῦ Θεοῦ δουλείας, εἰς τὰ ἐνδότατα καὶ τὰς αὐλὰς παρελθόντες, οὐκέτι χρήσεσθε τῇ ἐξομολογήσει, ἀλλ' ὕμνοις λοιπὸν τοῖς εἰς αὐτὸν σχολάσετε. Ὥσπερ μέντοι εἰσιέναι δεῖ πρότερον εἰς τὰς πύλας, εἶτα εἰς τὰς αὐλάς, οὕτως ἐξομολογεῖσθαι πρότερον χρὴ τὰ ἁμαρτήματα, εἶτα ὑμνεῖν τὸν Θεόν, ἵνα, τῇ ἐξομολογήσει καθαρθείσης τῆς γλώττης, καθαρὸς ὁ ὕμνος προσενεχθείη. «Ἐξομολογεῖσθε αὐτῷ. Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ, ὅτι χρηστὸς ὁ Κύριος· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως γενεᾶς καὶ γενεᾶς ἡ ἀλήθεια αὐτοῦ.» Δίκαιον, φησίν, εὐχαριστεῖν καὶ ὑμνεῖν τὸν ἀρρήτῳ φιλανθρωπίᾳ χρώμενον, καὶ ταῖς ἀγαθαῖς ὑποσχέσεσιν ἐπιτιθέντα τὸ πέρας. Ἃ γὰρ ἐπὶ τῆς τῶν προγόνων ὑπέσχετο γενεᾶς, ταῦτα ἐπὶ τῆς ἡμετέρας πεπλήρωκε, καὶ ἣν ἐπηγγείλατο σωτηρίαν, ἀληθῶς ἐδωρήσατο· καὶ οὐ παύσεταί ποτε ἡ εἰς ἡμᾶς παρ' αὐτοῦ γενομένη εὐεργεσία, ἥτις ἐστὶν ἀλήθεια, κατὰ τό, «Ἐμνήσθη διαθήκης αὐτοῦ εἰς τὸν αἰῶνα·» ἢ τό, «Ἐξομολογεῖσθε», ἀντὶ τοῦ, Ὡς ἰατρῷ τὰ τῆς ψυχῆς ἀπογυμνοῦτε τραύματα δι' ἐξομολογήσεως· Θαρροῦντες δὲ τοῦτο πράττετε, δόγμα ἀληθὲς περὶ αὐτοῦ μαθόντες, ὅτι ἀγαθός ἐστι καὶ πολυέλεος καὶ ἀληθινός, καὶ κατὰ πᾶσαν γενεὰν ἀληθείας γέμουσιν οἱ λόγοι αὐτοῦ.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ. Ρ΄.

Στίχ. β΄, γ΄. «Ἔλεος καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με;»

Ἤτοι τὸν σὸν ἔλεον καὶ τὴν σὴν κρίσιν ᾄσομαι, τὸν τρόπον διεξιὼν καθ' ὃν πέφυκας, οὐ πρῶτον κρίνειν, ἔπειτα ἐλεεῖν· ἀλλὰ πρῶτον ἐλεεῖν, ἔπειτα κρίνειν, καὶ μετὰ φιλανθρωπίας καὶ ἐλέους ποιεῖσθαι τὰς ἀποφάσεις. Ἢ ἐγὼ αὐτός, ἔλεος ποιῶν καὶ κρίσιν ἐπὶ τοὺς πλησίον, θαρρῶ παριέναι ἐπὶ τῷ ᾄδειν σοι καὶ ψάλλειν. Συνιεὶς γοῦν ὅπως χρὴ τοῦτο ποιεῖν, τὰς ἐμαυτοῦ ὁδοὺς ἀμώμους καὶ ἀμέμπτους φυλάττω, πεπεισμένος τοῦτον τὸν τρόπον ἀρεσκόντως σοι δι' ἔργων ἀγαθῶν ψάλλειν. Λοιπὸν οὖν ἧκε πρός με, ὦ Κύριε, ἕτοιμον εὑρήσων παρ' ἐμοὶ μονήν· ἐπειδήπερ πάντα μοι τὰ καλὰ παρεσκεύασται, περιμένοντι πότε ἥξεις πρός με. «Διεπορευόμην ἐν ἀκακίᾳ καρδίας μου, ἐν μέσῳ τοῦ οἴκου μου. Οὐ προεθέμην πρὸ ὀφθαλμῶν πρᾶγμα παράνομον· ποιοῦντας παραβάσεις ἐμίσησα.» Οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων σχηματιζόμενοι κατὰ τὰς ἀγορὰς σεμνοὶ φαίνονται καὶ ἐπιεικεῖς· ἐν δὲ ταῖς ἑαυτῶν οἰκίαις, οὐκέτι κρύπτοντες τὸν ἑαυτῶν τρόπον, ἐλέγχονται φαῦλοί τινες ὄντες· ἐγὼ δέ, φησίν,

«ἐν ἀκακίᾳ καρδίας μου ἐν μέσῳ τοῦ οἴκου μου ἐπορεύθην», οὐκ ἔχων ἔσωθεν ἐκ τῆς καρδίας μου ἐξιόντας διαλογισμοὺς πονηρούς. Οὐδέποτε γοῦν κατὰ προαίρεσίν τι ἥμαρτον· εἰ δὲ καί τι συνέβη ἀνθρώπινον, ἀλλ' οὐ προθεμένου μου τοῦτο ἐγένετο.

Στίχ. γ'. «Οὐκ ἐκολλήθη μοι καρδία σκαμβή.»

Τὰ τοῦ διαβόλου βουλεύματα, ἅτε μηδὲν εὐθὲς ἔχοντα, σκαμβά τέ ἐστι καὶ διεστραμμένα, ἅπερ οὐδέποτε ἐν τῇ καρδίᾳ εἰσδέδεγμαι, φησίν· εἰδὼς δέ, ὅτι ὁ κολλώμενος δικαίῳ δίκαιος ἔσται, πάντα διάστροφον ἄνδρα παρῃτούμην συνάπτεσθαί μοι καὶ κολλᾶσθαί μοι. Τὸ γὰρ εὐθὺ τῷ στρεβλῷ συναφθῆναι οὐ δύναται ὡς ἀνάρμοστον. «Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον.» Ὁ τέλειος, καρδίαν σκαμβὴν οὐκ ἔχων, εἰς ἣν ἐνεργεῖν ὁ πονηρὸς δύναται, τοῦ Θεοῦ πεπλήρωται· ὥστε τὸν πονηρόν, μὴ ἔχοντα τόπον παρ' αὐτῷ, ἐκκλίνειν ἀπ' αὐτοῦ· ἐκκλίνοντος δέ, φησίν, οὐκ ἐγίνωσκον· τῷ μὴ αἴσθησιν παρουσίας αὐτοῦ ἐσχηκέναι· οὐ γὰρ ἐνθύμημα ἢ ἔργον τῶν αὐτοῦ ἔσχον παρ' ἐμοί. Νοήσεις δὲ ταῦτα καὶ περὶ ἀνθρώπου πονηροῦ, ὅτι οὐδ' ὅτε προσῆλθεν, οὐδ' ὅτε ἀνεχώρει αἴσθησιν ἐλάμβανον, οὕτως ἐν οὐδενὶ μέρει ἐποιούμην τοὺς λοιμούς, καὶ οὐδὲν εἰδέναι προσεποιούμην· οὐ γὰρ ἠξίουν εἶναι φίλον αὐτῶν. Ἆρα ὡς ὑπερήφανος; Οὐδαμῶς, φησίν· ἀλλ' εἰδώς, ὅτι «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί[1]», οὐ συνδιετιθέμην τοῖς πονηροῖς.

Στίχ. ε'. «Τὸν καταλαλοῦντα λάθρᾳ τὸν πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον.»

Καὶ ἄνθρωπον, φησί, καὶ λογισμὸν ὑποβάλλοντά τι πονηρόν μοι κατά τινος ἐξέβαλον ἐκ τῆς καρδίας μου, ὡς κύνα λαθροδήκτην. Ὁ γὰρ σπουδαῖος, ἐν παντί τῷ παρρησίαν ἔχειν ἀγαπῶν, ὥσπερ τὰ λάθρᾳ δρώμενα τῷ αἰσχύνης εἶναι ἄξια, παραιτεῖται· οὕτω καὶ τὸ λέγειν ἢ ἀκούειν κατά τινος κρύβδην οὐκ ἀνέχεται· κακοήθους γὰρ καὶ ἀνελευθέρου τὸ χρῆμα, ἐπήρτηται δὲ κίνδυνος τῷ πράγματι, τῆς Γραφῆς λεγούσης· «Μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς·[2]» καί, «Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί, ἵνα μὴ ὑπὸ κρίσιν πέσητε.[3]» Τί δέ ἐστι τὸ καταλαλεῖν ὡς ἐν τύπῳ παραδοτέον· οὐ γὰρ τὸ ὁπωσοῦν λέγειν περί τινος καὶ λάθρᾳ ἐκείνου καταλαλεῖν ἐστι· πολλάκις γοῦν ἀγορεύομέν τινα κακῶς ἀπόντα, οὐ καταλαλεῖν αὐτοῦ βουλόμενοι, ἀλλὰ λυπούμενοι διὰ τὸ εἶναι αὐτὸν ἴσως φαῦλον· πειρώμεθα δὲ λέγειν τὰ περὶ αὐτοῦ τοῖς ὡσαύτως ἡμῖν κηδομένοις αὐτοῦ καὶ φροντίζουσιν ἀπὸ διαθέσεως φιλικῆς. Ὁ οὖν οὕτω λέγων κατὰ ἀπόντος, οὐ κατάλαλός ἐστιν· ἀλλὰ σπουδὴν ἔχει σὺν ἡδονῆς κατ' ἐκείνου λέγειν, οὐκ ἀχθόμενος ἐπὶ τῷ τοιαῦτα ἐκεῖνον πεποιηκέναι, ἀλλὰ καὶ χαίρων. Λέγει γοῦν ἐκείνοις τὰ περὶ αὐτοῦ τοῖς μισοῦσιν αὐτόν, καὶ φανερῶσαι δυναμένοις δι' ἐπαγγελίας ἑτέροις πλείοσι τὰ

1. Α' Κορ. 15, 33. 2. Παρμ. 20, 13. 3. Ἰακ. 4, 11.

περὶ αὐτοῦ. Τί δὲ βούλεται προσκείμενον τό, «λάθρᾳ», φανεροῦ ὄντος, ὅτι πᾶσα κατηγορία λάθρᾳ γίνεται; Ἢ αὐτὸ λέγει τὸ ὄν, ἢ διαιρετέον οὕτω, ὅτι τῶν κατηγορούντων τινάς, οἱ μὲν κατὰ πρόσωπον παρόντας κατηγοροῦσι, λοίδοροι δὲ οὗτοι καὶ ὑβρισταὶ συνήθως καλοῦνται· ὅμως οὖν τῷ κατά τινος λέγειν κατάλαλοι ἂν εἶεν· οἱ δὲ λάθρᾳ καὶ απόντων τῶν κατηγορουμένων λέγουσι κατ' αὐτῶν. Τὸν ταύτην οὖν ἔχοντα τὴν τάξιν ἐκδιώκειν ὁ ἅγιος λέγει, οὐ τοὺς εἰς πρόσωπον διαλοιδορουμένους. Ἐκεῖνος γὰρ καθ' οὗ αἱ βλασφημίαι ἢ παρὼν ἀπολογήσεται ἢ ἐλεγχθεὶς ἐπὶ τῷ τοιοῦτος εἶναι, αἰσχυνθήσεται. Δυνατὸν ἀντιδιαστέλλεσθαι τὴν λάθρᾳ γινομένην καταλαλιὰν πρὸς τὴν ἐπὶ κριτῶν κατηγορίαν. Καὶ γὰρ αὕτη τῷ γένει καταλαλιά, ἀλλ' οὐ λάθρᾳ γινομένη. Καρπὸς μὲν οὖν διανοίας ἁγιοπρεποῦς τὸ παραιτεῖσθαι τοὺς πονηρούς· ἐσχάτης δὲ πονηρίας ἀπόδειξις τὸ καταλαλεῖν ἀδελφοῦ, καὶ ταῦτα λάθρᾳ, ἀλλὰ μὴ εἰς πρόσωπον, ἵνα μὴ παρὼν ἀπολογήσηται ὁ κατηγορούμενος· ὡς ὅ γε ἐφ' ἡμῶν ἑτέρου καταλαλῶν, οὗτος οὐδὲ ἡμῶν καταλαλεῖν ἐφ' ἑτέρων ἀφέξεται. Ὅθεν χρὴ τὸν τοιοῦτον ὡς κοινὸν ἐχθρὸν εἰκότως ἐλαύνεσθαι, ὡς τὸν ἐν παραδείσῳ μιμούμενον δράκοντα, ὃς τοῦ Θεοῦ καταλαλήσας τὴν Εὔαν ἠπάτησεν. Ἡμεῖς δὲ μήτε λέγωμεν κακῶς, καὶ τοῖς λέγουσιν ἀκοὴν μὴ παράσχωμεν. «Ἀκοὴν δέ», φησί, «ματαίαν μὴ παραδέξῃ·» οὐκ εἶπε, μὴ πιστεύσῃς, ἀλλά, «μὴ παραδέξῃ.» Διὸ καὶ ὁ Προφήτης, «Ἐξεδίωκον», φησί, «τὸν καταλαλοῦντα·» οὐκ εἶπεν· Οὐκ ἐπίστευον, ἤ, Οὐ παρεδεχόμην τὰ λεγόμενα· ἀλλὰ καὶ ὡς ἐχθρὸν ἀπήλαυνον. Εἰπὲ πρὸς τὸν καταλαλοῦντα, Ἔχεις ἐπαινέσαι τινά, ἀνοίγω τὰς ἀκοάς, ἵνα δέξωμαι τὰ μύρα· κακῶς θέλεις εἰπεῖν, ἀποφράττω τὴν εἴσοδον τοῖς ῥήμασιν· οὐ γὰρ ἀνέχομαι κόπρον καὶ βόρβορον δέχεσθαι. Ἐπιστόμιζε τὸν καταλαλοῦντα ἐν ἀκοαῖς σου, ἵνα μὴ διπλῆν ἁμαρτίαν σὺν αὐτῷ ἁμαρτάνῃς, καὶ σαυτὸν ὀλεθρίῳ πάθει ἐθίζων, κἀκεῖνον κατὰ τοῦ πλησίον φλυαρεῖν οὐκ ἀνακόπτων. Μὴ δῴης τὴν ἀκοήν σου τῇ γλώσσῃ τοῦ καταλάλου, μηδὲ τὴν γλῶσσάν σου τῇ ἀκοῇ τοῦ φιλοψόγου, ἡδέως λαλῶν ἢ ἀκούων κατὰ τοῦ πέλας, ἵνα μὴ ἐκπέσῃς τῆς ἀγάπης, καὶ ἀλλότριος εὑρεθῇς τῆς αἰωνίου ζωῆς. Διαφέρει δὲ τὸ «κατακρῖναι», τὸ «ἐξουδενῶσαι», καὶ τὸ «καταλαλῆσαι.» «Καταλαλῆσαι» γάρ ἐστι τὸ εἰπεῖν κατά τινος, οἷον, ὅτι Ἐψεύσατο ὁ δεῖνα, ἤ, ὠργίσθη, ἢ ἐπόρνευσεν, ἤ τι τοιοῦτον· ἐλάλησε γὰρ ἐμπαθῶς τὸ ἁμάρτημα τοῦ ἀδελφοῦ. «Κατακρῖναι» δέ ἐστι τὸ εἰπεῖν, ὅτι Ὁ δεῖνα ψεύστης ἐστί, πόρνος, ὀργίλος· ἰδοὺ γὰρ κατέκρινεν αὐτὴν τὴν διάθεσιν τῆς ψυχῆς αὐτοῦ, καὶ ἀπεφήνατο καθ' ὅλου τοῦ βίου αὐτοῦ λέγων, ὅτι τοιόσδε ἐστίν· ἄλλο γάρ ἐστι τὸ εἰπεῖν, Ὠργίσθη, καὶ ἄλλο τό, Ὀργίλος ἐστίν. «Ἐξουδενῶσαι» δέ ἐστι τὸ οἱονεὶ βδελύσσεσθαι τὸν πλησίον, καὶ σικχαίνεσθαι ὡς ἀηδῆ τινα· ὃ καὶ τοῦ κατακρῖναι ὀλεθριώτερον.

Στίχ. ζ'. «Οὐ κατῴκει ἐν μέσῳ τῆς οἰκίας μου ποιῶν ὑπερηφανίαν.»

Ἄνω μὲν περὶ φίλου ὑπερηφάνου ἔλεγεν· ἐνταῦθα δὲ περὶ ὑπηρέτου φησίν, ὅτι Οὐδένα τῶν ὑπεροψίᾳ χρωμένων σύνοικον ἔχειν ᾑρούμην, οὐδὲ πρωτείων καὶ παρρησίας ἠξιοῦτο παρ' ἐμοί, ὡς τοῦ ἐν μέσῳ τῆς οἰκίας παρρησίαν καὶ ἐλευθερίαν ἔχοντος· ἐν ὄψεσι γὰρ δεσπότου ὁ τοιοῦτος. Ποιεῖν δὲ ὑπερηφανίαν ἐστὶ τὸ μετὰ ἀλαζονείας ἐνεργεῖν. Λέγοι δ' ἄν, καὶ ὅτι· Οὐ κατῴκει ἐν τῇ καρδίᾳ μου λογισμὸς ὑποβάλλων ὑπερηφανίαν. «Λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.» Συντόμως εἰπεῖν, πᾶσαν ἀδικίαν ἀπεστρεφόμην, οὐδὲ τὴν μέχρι λόγων ὑπομένων· ὁ γὰρ λαλῶν ἄδικα οὐδὲν ἤνυεν, οὐκ εὐωδοῦτο ἐνώπιόν μου, οὐ κατώρθου ἃ ἐσπούδαζεν.

Στίχ. η'. «Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου πάντας τοὺς ἐργαζομένους τὴν ἀδικίαν.»

Τὸ ἀκριβὲς καὶ ἀπλανὲς καὶ νηφάλιον τῆς δίκης παρίστησιν· ὅτι οὔτε θυμός, φησίν, οὔτε μέθη τὴν ἀναίρεσιν ὑπετίθετο· ὁ μὲν γὰρ θυμὸς εἰ καὶ τῇ χθὲς ἡμέρᾳ παρώξυνεν, ἀλλὰ διὰ τοῦ μήκους τῆς νυκτὸς ἐμαλάσσετο· ἡ δὲ μέθη, κἂν ὀψίας πολλὴ προσεγένετο, διὰ τοῦ ὕπνου ἱκανῶς ἐλεπτύνετο. Καθαρᾷ οὖν καὶ χειρὶ καὶ γνώμῃ κατὰ τῶν εἰς Θεὸν ἁμαρτανόντων ἐξωπλιζόμην, μήτε τῆς ἐξ οἴνου γνώμης, μήτε τῆς ἐκ θυμοῦ σφαλλούσης τὸν λογισμόν. Τοὺς δὲ ἁμαρτωλοὺς ἀπέκτεινον οὐχ ἁπλῶς ἁπάσης τῆς γῆς, ἀλλὰ τῆς ὑπ' ἐμέ· καὶ πάντας δὲ οὐχ ἅμα, ἀλλὰ νῦν μὲν τοῦτον, νῦν δὲ ἐκεῖνον. Μᾶλλον δὲ τοῦτο παντί που δῆλον, ὅτι ἐν αἰνίγματι κεκαλυμμένως εἴρηται· οὐ γὰρ ὅτι καθ' ἑκάστην ἀρχὴν τῆς ἡμέρας αἵματι ἀνθρώπων τὰς χεῖρας ἐμολυνόμην, οὐ τοῦτό φησιν ὁ λόγος· τοῦτο γὰρ πρὸς τῷ ἐναγεῖ ἔτι καὶ τὸ ἀπίθανον ἔχει. Πῶς γὰρ πάντων ἠδύνατο καθ' ἑκάστην πρωΐαν αὐτόχειρ γίνεσθαι τῶν ἁμαρτωλῶν τῆς γῆς; Οὐ γὰρ περιγίνεσθαι πάντων δυνατὸν ἕνα, πολλῶν τῶν ἐξαμαρτανόντων εἰς τὸ εἰκὸς ὄντων· καὶ εἰ πολέμῳ αὐτῶν κατεκράτησεν, ἐν μιᾷ ἂν ἀπέκτεινε πρωΐᾳ τοὺς σύμπαντας, ἀλλ' οὐχὶ καθ' ἑκάστην πρωΐαν αὐτόχειρ αὐτῶν ἐγίνετο. Τί οὖν τοῦτό ἐστι; Συνετώτερον τῶν λεγομένων ἀκούσωμεν, ἵνα μὴ κατηγορήσωμεν ἐπὶ ψεύδει τῶν προφητικῶν λογίων, ὃ μὴ θέμις. Πόλις τοῦ Κυρίου ἡ σύστασίς ἐστι τῆς ἀνθρωπίνης κατασκευῆς· ἁμαρτωλοὶ δὲ γῆς, περὶ ὧν φησιν ὁ Σωτήρ, ὅτι «Ἔσωθεν ἐκ τῆς καρδίας ἐξέρχονται λογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. Ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον.[1]» Τούτους δὴ τοὺς ἐκ τῆς γῆς ἁμαρτωλούς, τουτέστι τοὺς ἐκ τῆς γηΐνης σαρκὸς προϊόντας, καθ' ἑκάστην ἔννοιαν τὴν περὶ Θεοῦ ἐξαφανίζει ἐκ τῆς ἰδίας συστάσεως ὁ ἑαυτῶν ἐκκαθαίρων. Πρωΐα οὖν καὶ ὄρθρος ἐν ψυχῇ καθ' ἑκάστην ἀνατολὴν σωτηρίου δόγματος γίνεται, ἐν ᾗ ἐξαφανίζεσθαι δεῖ πάντας τοὺς ἐργαζομένους τὴν ἀνο-

1. Ματθ. 15, 19, 20.

μίαν λογισμούς. Εἰ γὰρ μὴ τὰ πρῶτα πρὸς πονηρίας κινήματα τῆς ψυχῆς ἐκτμηθείη, ἀνάγκη εἰς ἔργον προχωρῆσαι τὰς ἐνθυμήσεις· οἷον γῆς ἁμαρτωλός ἐστιν ὁ τὴν μοιχείαν ὑποβάλλων λογισμός, ὅστις ἐνεργεῖ τὸ ἐμβλέψαι γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς· οὗτος ἐὰν μὴ ἀποκτανθῇ ἐκ τῆς ψυχῆς, οἱονεὶ ξίφει τινὶ τῷ τμητικῷ λόγῳ καὶ ἀφανιστικῷ τῶν παθῶν, καὶ τοῦτο γένηται ἐν πρωΐᾳ, τουτέστι κατὰ τὴν εἰς τὸ φανερὸν ἀποκάλυψιν (πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι), μετὰ τὴν ἐν καρδίᾳ μοιχείαν, καὶ ἐπὶ τὴν μείζονα ταύτης ἁμαρτίαν προάξει τὸν ἄνθρωπον, πρὸς τὴν διὰ τοῦ σώματος ἐνέργειαν αὐτὸν ἐκκαλούμενος. Τοῦτο οὖν λέγει Δαυῒδ ὅτι, Τοὺς ἁμαρτωλοὺς καὶ ἐμπαθεῖς λογισμοὺς τοὺς ἐκ τοῦ γεώδους σώματος φυομένους ταῖς ἑωθιναῖς προσευχαῖς καὶ τῇ πρὸς Θεὸν προσεδρίᾳ ἐκόλαζον· καὶ τῷ φωτὶ τῆς γνώσεως καὶ τῇ δι' ἐξομολογήσεως φανερώσει διέκρινον καὶ ἐξωλόθρευον τὰ τοῦ σώματος πάθη, καὶ τοὺς ἀνομοῦντας λογισμοὺς ἐκ τῆς καρδίας μου. Αὕτη γάρ ἐστιν ἡ πόλις τοῦ Κυρίου, ὡς οἶκος τοῦ ἁγίου Πνεύματος, κατὰ τό· «Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις· ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.[1]» Οὐκοῦν ἐπειδὴ πληγή ἐστιν, ὡς ἀληθῶς, κατὰ τῶν ἀρετῶν ἡ τῆς κακίας εὐημερία, καλῶς ἔχει τὸν προφητικὸν ζηλώσαντας λόγον πρωΐαν ἑαυτοῖς ποιεῖν, διὰ τὸ ἀποκτεῖναι πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς τοῦ ἐξολοθρεῦσαι ἐκ πόλεως Κυρίου, ψυχὴ δὲ ἡ πόλις, πάντας τοὺς λογισμοὺς τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ὧν ὁ ὄλεθρος ζωὴ γίνεται τῶν ἀμεινόνων, κατὰ τό, «Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.[2]» Νεκρουμένων γὰρ τῶν μελῶν τῶν ἐπὶ τῆς γῆς, ὑπωπιαζομένου τε καὶ δουλαγωγουμένου τοῦ σώματος, αἱ ἐκ τῆς σαρκὸς τῶν ἁμαρτημάτων ἀφορμαὶ οὐχ οἷαί τέ εἰσιν ἐγεῖραι λογισμοὺς τῇ ψυχῇ τοὺς σπεύδοντας δι' ἡδονῆς ἀπόλαυσιν τὴν ἀνομίαν ποιεῖν· καὶ λοιπὸν ζῶσι τὰ κρείττονα. Δεῖ τοίνυν ἡμᾶς μὴ μόνον παθῶν εἶναι σωματικῶν φονευτάς, ἀλλὰ καὶ τῶν κατὰ ψυχὴν ἐμπαθῶν λογισμῶν ὀλετῆρας. Ἁμαρτωλοὶ γὰρ γῆς τὰ τοῦ σώματος πάθη, ἐργαζόμενοι δὲ ἀνομίαν ἐκ πόλεως Κυρίου ἐξολοθρευόμενοι, τῆς ψυχῆς οἱ ἀνομοῦντες λογισμοί. Κατὰ δὲ τὸ ῥητόν, Ἀπέκτεινον, φησί, τοὺς ἁμαρτωλούς, χάριν τοῦ ἐξολοθρεῦσαι τοὺς παρανομοῦντας, ἵνα τὴν ἀποτομίαν τῆς κολάσεως ἡ παρανομία βλέπουσα συσταλῇ καὶ ἀφανισθῇ. Ἡ δὲ πρωΐα τὸ σπουδαῖον δηλοῖ κατὰ τὸ τάχος· νόμιμος δὲ ἡ τῶν πονηρῶν ἐξαίρεσις· «Ἐξαιρεῖτε» γάρ, φησί, «τὸν πονηρὸν ἐξ ὑμῶν.[3]»

1. Ψαλμ. 86, 2, 3. 2. Δευτ. 32, 39. 3. Α' Κορ. 5, 13.

## ΠΡΟΣΕΥΧΗ ΤΩ ΠΤΩΧΩ, ΟΤΑΝ ΑΚΗΔΙΑΣΗ, ΚΑΙ ΕΝΑΝΤΙΟΝ ΚΥΡΙΟΥ ΕΚΧΕΗ ΤΗΝ ΔΕΗΣΙΝ ΑΥΤΟΥ. ΡΑ'.

Στίχ. β'-ς'. «Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ», καὶ τὰ ἑξῆς.

Ἐπειδὴ ἡ ἐπιγραφὴ ἔχει, «Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἐναντίον τοῦ Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ», νοήσεις τὸν ἐνταῦθα λεγόμενον πτωχόν, συμβάλλων αὐτὸν τῷ μακαριζομένῳ, κατὰ τό· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[1]» Ἁρμόσειε δ' ἂν τῷ ἀκηδιῶντι πτωχῷ καὶ τό· «Μακάριοι οἱ κλαίοντες καὶ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.[2]» Πᾶς τοιγαροῦν τῷ Θεῷ ἀνακείμενος, πτωχεύων ἐν τοῖς τοῦ βίου πράγμασι· παρὰ δὲ Θεῷ πλουτῶν, ἀκηδιᾷ λυπούμενος, ἤ, «ἀθυμίᾳ», κατὰ τὴν τοῦ Συμμάχου ἑρμηνείαν, «κατέχεται», ἐπὶ τῇ τῶν πολλῶν κακίᾳ καὶ ἀπωλείᾳ· οἷος ἦν ὁ λέγων· «Οἴμοι, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ γῆς, καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει· πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ·[3]» καὶ ὁ εἰπών· «Οὐκ ἔστι ποιῶν χρηστότητα.[4]» Πλὴν ἐπὶ τούτοις ὁ πτωχὸς ἀκηδιῶν καὶ ἀθυμῶν, φάρμακον τοῦ πάθους θεραπευτικὸν περινοεῖ ἑαυτῷ· τοῦτο δὲ ἦν ἡ πρὸς τὸν Θεὸν εὐχή, ἣν μόνην εἶχε παραμυθίαν, δι' ἧς ἐξαπλῶν αὐτοῦ τὴν ψυχήν, καὶ σύμπαντας ἑαυτοῦ τοὺς λογισμοὺς προσφέρων ἐνώπιον τοῦ Θεοῦ, λέγεται ἐνώπιον Κυρίου ἐκχέειν τὴν δέησιν αὐτοῦ, ἤ, «τὴν λογοποιίαν ἑαυτοῦ», κατὰ τὸν Σύμμαχον. Ἀλλὰ καὶ ὁ κατὰ Θεὸν πτωχός, τουτέστιν ὁ τῶν προφητῶν χορός, λύπης πεπληρωμένος ἐπὶ τῇ τοῦ προτέρου λαοῦ καταστροφῇ, προσέρχεται τῷ Κυρίῳ, τὰς ὑπὲρ τοῦ λαοῦ ἀναπέμπων δεήσεις μετὰ νηστείας καὶ δακρύων, ὅπως ἂν καὶ αὐτὸς ὁ λαὸς οἰκτειρηθῇ.

Στίχ. γ'. «Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι κλῖνον πρός με τὸ οὖς σου.»

Ἐνταῦθα εἰρήσθω τὸ τοῦ Ἡσαΐου· «Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν.[5]» Χρὴ δὲ ἄρα καὶ πρὸ τοῦ θλίβεσθαι, ταῖς ἱκετηρίαις σχολάζειν, καὶ μὴ μόνον ἐν τοῖς περιστατικοῖς καιροῖς. Ὁ μέντοι ἅγιος εὔχεται οὐχ ὅπως μὴ θλίβῃ, ἀδύνατον γὰρ τοῦτο, ἀλλ' ὅπως θλιβόμενος μὴ ἡττηθῇ, καὶ ὅπως τῇ ἐλπίδι χαίρων ὑπομένῃ τὰς θλίψεις καὶ καυχώμενος ἐν αὐταῖς. «Ἡ γὰρ θλῖψις τὴν ἐλπίδα τῆς ὑπομονῆς καὶ δοκιμῆς γεννᾷ.[6]» Ἐπάκουσον οὖν μου, φησίν, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι, ἐπικλίνας μου τὴν φιλάνθρωπον ἀκοήν. Κλίνειν δὲ ὁ Θεὸς τὸ οὖς αὐτοῦ λέγεται, ὡς οὐκ ἐφικνουμένης τῆς ἀνθρωπίνης δυνάμεώς τε καὶ κραυγῆς φθάνειν ἐπὶ τὸ

1. Ματθ. 5, 3. 2. Λουκ. 6, 21. 3. Μιχ. 7, 1, 2. 4. Ψαλμ. 13, 3. 5. Ἡσ. 26, 16. 6. Ῥωμ. 5, 4.

ὕψος τῆς αὐτοῦ θεότητος· διόπερ αὐτὸς ὑποκατιὼν τῆς αὐτοῦ μεγαλειότητος ὑποκλίνει τὴν ἀκοὴν τοῖς καταξιουμένοις εἰσακούεσθαι. Τὸ δέ, «Ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι», ἀντὶ τοῦ, Μὴ νῦν μόνον, ἀλλὰ παρ' ὅλην ζωήν, πλέον δὲ ἐν θλίψεσι· τότε γὰρ μάλιστα χρεία βοηθείας. Ἢ τάχα οὐχ ὡς περὶ μελλούσης θλίψεως, ἀλλ' ὡς ἐνεστώσης εἴρηται. Βούλεται γὰρ εἰπεῖν ὅτι, ἐπεὶ αὕτη ἐστὶν ἡ ἡμέρα ἧς οὐκ ἔστιν ὑπενεγκεῖν τὴν βαρύτητα, κάμφθητι καὶ ταχεῖαν δὸς τὴν βοήθειαν. «Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ταχὺ ἐπάκουσόν μου.» Καὶ τί τὸ κατεπεῖγον; αἰτία δὲ τίς, ἢ ποία τῆς ταχύτητος; «Ὅτι ἐξέλιπον αἱ ἡμέραι μου ὡσεὶ καπνός·» τὸ ὀλιγοχρόνιον καὶ ἀνυπόστατον διὰ τοῦ καπνοῦ δηλοῖ. «Καὶ τὰ ὀστᾶ μου ὡσεὶ φρύγιον συνεφρύγησαν. Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου, ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου.» Τὰ συμβάντα τῷ λαῷ οἰκειοποιεῖται ὁ προφητικὸς χορός, ἢ καὶ ὁ Δαυΐδ· καὶ δείκνυσιν ὅτι πᾶσα δύναμις αὐτῶν, δι' ἧς συνειστήκει τὰ τῆς κατὰ νόμον λατρείας, διεφθάρη καὶ ἀπόλωλεν. Ἦν δὲ ταῦτα ἡ ἀρχιερωσύνη, ὁ ναός, αἱ διὰ τῶν θρεμμάτων θυσίαι, καὶ ἡ αὐτονομία τοῦ ἔθνους. Ὑψηλότερον δὲ ὁ κατὰ Θεὸν πτωχὸς πρῶτον αὐτοῦ κατόρθωμα διδάσκει τὸ ἐκλελοιπέναι καπνοῦ δίκην τὰς τῆς προσκαίρου ζωῆς ἡμέρας αὐτοῦ, ἀδόξως καὶ ἀφανῶς αὐτὰς διεξάγοντος. Νοήσεις δὲ τοῦτο ἀφ' ὧν ὁ Ἰὼβ φησιν· «Ὅτε ηὔγει ὁ λύχνος ὑπὲρ κεφαλῆς μου·[1]» ὅτε ἤμην ὑλώδης λίαν. Ηὔγει αὐτῷ ὁ λύχνος τότε ἐν εὐθηνίᾳ ὑπάρχοντι· ὅτε δὲ πάντα αὐτῷ τὰ ὑπάρχοντα διαπεπτώκει, εἶπεν ἂν καὶ αὐτός· «Ὅτι ἐξέλιπον ὡσεὶ καπνὸς αἱ ἡμέραι μου.» Τοιοῦτος δέ ἐστιν ὁ κατὰ Θεὸν πτωχός, ἀδόξως καὶ ἀφανῶς τὰς ἡμέρας αὐτοῦ τῆς προσκαίρου ζωῆς διεξάγων. Εἶτα ἀσιτίαις ἑαυτὸν καὶ κακώσεσιν ὑποβάλλων, ἐν λιμῷ καὶ δίψει κατατρύχει καὶ καταφρύγει. Καὶ ἐπεὶ «πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου[2]», μαραίνων ἑαυτοῦ τὴν σάρκα φησίν, «Ἐπλήγην ὡσεὶ χόρτος.»

Ὁ δὲ ἀληθὴς στεναγμός, ὃς καὶ φωνὴν ἔχει ἀκουομένην παρὰ Θεοῦ, τήκει τὸ σῶμα, καὶ τῆς σαρκὸς ἐργάζεται νέκρωσιν, ὥστε τὸν ἔσω ἀνακαινοῦσθαι ἄνθρωπον. Ἐπιβαλεῖς δὲ καὶ ὧδε· Ἐκλείπει καπνὸς πυρὸς σβεννυμένου· ὑφεστηκὼς εἰς ὅσον ἐνεργεῖ τὸ πῦρ ᾧ αὐτὸς παρακολουθεῖ. Ἵν' οὖν, φησί, καὶ αἱ ἡμέραι μὴ ἐκλείπωσιν. Οὐ γάρ μοι πρὸς καλοῦ ἔσται τὸ σβεσθῆναι τὸ φῶς ἀπ' ἐμοῦ τὸ ποιητικὸν τῶν ἡμερῶν μου· παράγαγε τὰ θλιβερά. Εἰ γὰρ ἐπιμένοιεν, αἴτια γενήσονται τῆς ἐκλείψεως τῶν ἡμερῶν μου, ἀλλὰ καὶ τὰ ὀστᾶ μου, ἔτι μᾶλλον συμφρύξοιεν παραμένοντα, τουτέστι, τὰς εὐτόνους καὶ στερροτάτους τῆς ψυχῆς δυνάμεις, αἳ καὶ συμφρύγονται ὑπὸ τῆς τῶν ψυχικῶν παθῶν πυρώσεως. Ξηρανθῆναι δὲ αὐτῷ τὴν καρδία,

1. Ἰὼβ 29, 3. 2. Ἠσ. 40, 6.

φησίν, οὐδὲν ἱλαρὸν οὐδ' ἐφ' ᾧ ἐστιν ἔχειν θυμηδίαν κεκτημένην. Γέγονε γὰρ ἐν τοῖς προκειμένοις περιστατικοῖς τοσοῦτον, ὡς μηκέτι οἷόν τε εἶναι τὸν κατάλληλον καὶ ἁρμόδιον τῇ τιμιωτέρᾳ αὐτῇ οὐσίᾳ ἄρτον τρέφεσθαι· τούτου γὰρ τοῦ ἄρτου μεταλαμβάνειν ἔστι, μὴ περιελκόμενον, μηδὲ θολούμενον ὑπὸ τῶν ἐκτός. Εἰς τοσοῦτον δέ φησι μὴ τεθράφθαι τοῦτον τὸν ἄρτον, ὡς καὶ λήθην ἔχειν τοῦ ποτε αὐτοῦ γεγεῦσθαι. Πάνυ δὲ στενάζων διὰ τὰ παρόντα ἐπίπονα, τοσοῦτον ἀφίημι ἐπιτεταμένον καὶ συνεχῆ στεναγμόν, ὡς ἐκ τῆς φωνῆς μου μετὰ ὀλολυγῆς γινομένης κολληθῆναι καὶ τρόπον τινὰ ἑνωθῆναι τὸ ὀστοῦν μου τῇ σαρκί μου, διὰ τὴν πολλὴν ξηρασίαν ἀναποθείσης πάσης τῆς παρεσπαρμένης τῷ σώματί μου ὑγρότητος ἐκ τῆς ἐπελθούσης κακώσεως. Αὕτη γὰρ ἡ ὑγρότης ὅτε μοι παρῆν, πιαίνουσα τὸ ὀστοῦν, διῄρει αὐτὸ ἀπὸ τῆς σαρκός, τὴν μέσην σάρκα καὶ ὀστέων ἔχουσα χώραν.

Στίχ. ζ'. «Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ.»

Φεύγων δηλονότι τὰς ἐν ὄχλῳ διατριβὰς ἐμονούμην καὶ ἐξηνθρώπιζον. Ἐπεὶ καὶ τὸ ζῷον τοῦτο φιλέρημον εἶναι λέγεται ὁ πελεκάν. Παρίστησι δὲ καὶ τὴν ἐρημίαν τοῦ ἔθνους, καὶ τοῦτό που καθ' ἣν μόνος εὕρηται εἷς που καὶ δεύτερος καὶ βραχεῖς τινες· οἷον Ἱερεμίας ἢ Βαρούχ, ἢ ἕτερος τῶν τότε ἀπολειφθέντων, ὧν ἐκ προσώπου λέγεται τὰ προκείμενα. Ὁμοιοῦται δὲ καὶ ὁ Κύριος ἐρημικῷ πελεκᾶνι κατὰ τὴν τοῦ ὀρνέου τούτου πρὸς τὰ ἔγγονα θαυμασιωτάτην συμπάθειαν. Τοῦτο γὰρ τὸ ζῷον τὰς νοσσιὰς παρὰ πέτραις ἀποτόμοις πηγνύμενον τοῖς νεοσσοῖς, τὸ μὴ ῥᾷστα παρά τινος τῶν ἐπιβούλων διαφθείρεσθαι, κατεργάζεται. Ἀλλ' ὅ γε ὄφις, ἀποπτάντος αὐτῶν τοῦ πατρός, ἐπειδὴ καὶ μὴ προσεγγίζειν τῇ καλιᾷ δύναται, ἐπιχέει αὐτοῖς πόρρωθεν τὸν ἰόν· περισκοπεῖ γὰρ ὅθεν πνεῖ ὁ ἄνεμος, κἀκεῖθεν ἐμφυσᾷ τοῖς νεοττοῖς τὸν ἰὸν αὐτοῦ, καὶ τελευτῶσιν. Ἀλλ' ὁ γεννήσας, αὐτοῖς ἐπιπτὰς αὖθις, καὶ τὴν ἐπιβουλὴν φυσικοῖς λόγοις εἰδώς, οἶδε πάλιν ὁμοίως ὅπως ἀναβιώσονται. Σκοπεῖ γὰρ νεφέλην καὶ πέτεται εἰς ὕψος, καὶ κατὰ κορυφὴν ἠρέμα ἐπ' αὐτοῖς πτερύσσεται, καὶ τὰ πλευρὰ τοῖς πτεροῖς ἑκατέρωθεν πλήσσων σφοδρότερον, αἵματος αὐτοῖς ῥανίδας ἀφίησιν· αἱ δὲ διὰ τῆς νεφέλης ἐπιστάζουσαι ζωογόνον τοῖς νεκρωθεῖσιν ἐντιθέασι δύναμιν, καὶ ἐγείρονται. Λαμβάνεται οὖν ὁ πελεκὰν εἰς τὸν Κύριον, οἱ δὲ νεοττοὶ εἰς τοὺς πρωτοπλάστους, ἡ δὲ καλιὰ εἰς τὸν παράδεισον, ὁ δὲ ὄφις εἰς τὸν ἀποστάτην διάβολον. Ἐνεφύσησεν οὖν οὗτος διὰ τῆς παρακοῆς τοῖς ἐν τῷ παραδείσῳ τεθεῖσι πρωτοπλάστοις, καὶ νέκρωσιν αὐτοῖς ἐντέθεικεν· ὁ δὲ Χριστὸς διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην ὑψοῦ γενόμενος ἐπὶ τοῦ σταυροῦ, καὶ νυγεὶς τὴν πλευράν, ἐκεῖθεν τὸ ζωήρρυτον ἐστάλαξεν αἷμα, καὶ διὰ τῆς νεφέλης τοῦ ἁγίου Πνεύματος νεκρωθέντας ἡμᾶς ἀνεζώωσεν· «Ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ.» Δειλὸν ὁ νυκτικόραξ· διὸ φεύγων πανταχόθεν τοῖς ἐρειπίοις τῶν οἰκημάτων ἐναυλίζεται, καὶ

ἐν νυκτὶ κράζει ὑπὸ δειλίας. Διὰ μὲν οὖν τοῦ πελεκᾶνος τὴν παντελῆ ἐρημίαν τοῦ λαοῦ ἐσήμανε· διὰ δὲ τοῦ νυκτικόρακος τὸ κατειληφὸς σκότος τὸν λαὸν δηλοῖ· καὶ ὅτι, τοῦ καταυγάζοντος αὐτοὺς φωτὸς ἀποσβεσθέντος, οἷα ἐν σκοτίᾳ εἰσὶ καὶ νυκτὶ ἀγνωσίαν Θεοῦ ἔχοντες. Τάχα δὲ ὁ ἅγιος, ἐπειδὴ παννυχὶς ἐβόα προσευχόμενος, ἀναγκαίως ἑαυτὸν παραβάλλει νυκτικόρακι.

Στίχ. η΄-ια΄. «Ἠγρύπνησα, καὶ ἐγενήθην ὡσεὶ στρουθίον μονάζον ἐπὶ δώματι. Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον.»

Καταγέλαστος ἐγενόμην τοῖς δυσμενέσι, καὶ ὁ πάλαι ζηλωτὸς καὶ περίβλεπτος, νῦν ὅρκος γέγονα τοῖς πάλαι θαυμάζουσι· κατὰ γὰρ τῶν ἐμῶν ὀμνύουσι συμφορῶν· Μὴ πάθοιμι ἃ οἱ δεῖνες πεπόνθασι. «Καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον·» ὡς μὴ ἔχοντα βοηθὸν τὸν Θεόν. Καὶ οὐ μόνον οἱ ἐχθροὶ τοῦ Θεοῦ ταῦτ' ἔπραττον, ἀλλὰ καὶ οἱ ἀγαπῶντές με κατ' ἐμοῦ ὤμνυον, τουτέστιν οἱ ἀπὸ τοῦ αὐτοῦ ἔθνους καὶ γένους. Καὶ οὗτοι γοῦν ἠπίστουν ταῖς αὐταῖς προφητείαις, τάς τε παρακλήσεις καὶ τὰς τῶν μελλόντων ἐπαγγελίας διασύροντες κατ' ἐμοῦ ὤμνυον, τὸ μὴ πιστεύειν τοῖς ὑπ' ἐμοῦ προφητευομένοις. «Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων.» Τούτοις παραπλήσια τὰ ἐν τῷ οθ΄ ψαλμῷ· «Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων, καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ.[1]» Τὴν δὲ τῆς ὀδύνης ὑπερβολὴν διὰ τούτων δηλοῖ. Εἰ γὰρ ὁ τῆς τροφῆς καιρὸς ὀδύνης ὑπῆρχε μεστός, τίς ἂν ἄλλος καιρὸς ταύτης ἐλεύθερος ἦν; Τούτοις δέ, φησί, περικλύζομαι τοῖς κακοῖς· ἐπειδὴ σύ, Δέσποτα, κεκίνηκας κατ' ἐμοῦ τὴν ὀργήν. Ταῦτα δέ φησιν ὁ Προφήτης, οἰκειούμενος τὴν τοῦ λαοῦ συμφοράν, καὶ ὀλοφυρόμενος τὴν ἀπώλειαν τοῦ τοσούτου πλήθους. «Ἀπὸ προσώπου τῆς ὀργῆς καὶ τοῦ θυμοῦ σου, ὅτι ἐπάρας κατέρραξάς με.» Τὰ συμβεβηκότα τῷ λαῷ καὶ τῷ τόπῳ ἰδιοποιεῖται διδάσκων, ὅτι εἰς μέγα δόξης ἀρθέντα τὸν λαόν, ὡς Θεοῦ λαὸν χρηματίσαι, τόνδε τὸν οἶκον Θεοῦ ὀνομασθῆναι διὰ τὸ ἐν αὐτῷ ἁγίασμα. Ἐπάρας καὶ τιμήσας ὁ Θεὸς ἐφαμίλλως τῇ εἰς ὕψος ἀρθείσῃ αὐτῶν δόξῃ, εἰς τὸ ἐναντίον παραγαγών, κατέρραξε· τὸν μὲν τόπον πολιορκίᾳ παραδοὺς καὶ παντελεῖ ἐρημίᾳ, τὸν δὲ λαὸν αἰχμαλωσίᾳ.

Στίχ. ιβ΄-ιδ΄. «Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν, κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην.»

«Πᾶσα γὰρ σὰρξ χόρτος, καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου.[2]» Πάλιν κοινοποιούμενος τὸν περὶ τοῦ λαοῦ λόγον, ἐπιλέγει· «Καὶ ἐγὼ ὡσεὶ χόρτος ἐξηράνθην. Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις, καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν.» Τὰ μὲν θνητά, φησί, καὶ ἀνθρώπινα τοιαῦτα, οἷα καὶ δεδήλωται, τυγχάνει, εὐμετάβολα καὶ

1. Ψαλμ. 79, 6. 2. Ἡσ. 40, 6.

ἀνώμαλα, οὐδέποτε ἐπὶ τοῖς αὐτοῖς μένοντα· ἀλλ' ἐπαιρόμενα, καὶ καταρρηγνύμενα, ὑψούμενά τε καὶ ταπεινούμενα, καὶ παντοίας τροπὰς καὶ μεταβολὰς ὑπομένοντα διὰ τὴν ἐν ἀνθρώποις πολιτευομένην κακίαν· σὺ δέ, Κύριε, οὐδὲν ἔχων θνητὸν οὐδὲ ἐπίκηρον, εἰς τὸν αἰῶνα μένεις, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων, ὡς ἀΐδιος καὶ ἀναλλοίωτος, καὶ τὰ ἅπαξ ὑπὸ σοῦ σαλευθέντα, καὶ ἐν ἐπαγγελίᾳ θεσπισθέντα μένει εἰς μνημόσυνον ἀΐδιον, ἢ κἂν μὴ τῇ παρούσῃ γενεᾷ, ἀλλὰ τῇ ἐρχομένῃ κατὰ τὴν ψαλμῳδίαν. Καὶ τοῦτο οὖν σε μάλιστα ἐπικάμψαι ὀφείλει, Δέσποτα, ὅτι ἐγὼ μὲν καὶ τὴν φύσιν τοιαύτην ἔχω ἐπίκηρον καὶ ὀλιγοχρόνιον, καὶ συμφοραῖς συνεζύγην τοσαύταις· σὺ δὲ αἰώνιος καὶ ἀθάνατος, ὥστε μεταβολήν τινα τῶν παρόντων κακῶν ῥᾳδίως ἄν μοι χαρίσαιο. Τοῦτο γὰρ ἐπιφέρει· «Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών, ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτήν, ὅτι ἥκει καιρός.» Δός, φησίν, ἀμείνω μεταβολὴν τῆς συμφορᾶς· ὁ γὰρ καιρὸς τὸν ἔλεον ἀπαιτεῖ· συντετέλεσται γὰρ ὁ τῆς ταλαιπωρίας ἡμῶν χρόνος. Αἰνίττεται δὲ διὰ τούτων τῆς τοῖς ο' ἔτεσι περιωρισμένης τιμωρίας καὶ αἰχμαλωσίας τὸ τέλος. Οὕτω καὶ ὁ θαυμάσιος Δανιὴλ ἀριθμήσας τῆς αἰχμαλωσίας τὸν χρόνον προσφέρει τὴν ἱκετηρίαν, καὶ συνᾴδει τούτοις τῆς πνευματικῆς μελῳδίας τὰ ῥήματα. Καὶ ὁ Ζαχαρίας δὲ προσευχόμενος ἔλεγε· «Κύριε παντόκρατορ, μέχρι πότε οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλήμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες; τοῦτο ἑβδομηκοστὸν ἔτος.[1]» Προφητεύεσθαι δὲ ἐνταῦθα οἶμαι καὶ τὴν ἐν ἀνθρώποις Χριστοῦ ἐπιφάνειαν, αἰτίαν ἐσομένην τοῦ ἀνοικοδομηθῆναι τὴν Σιών, τουτέστι τοῦ ἀνεγερθῆναι τὸ τῆς εὐσεβείας πολίτευμα. Τίς δὲ ὁ πολύευκτος καὶ τριπόθητος καιρός, ἐν ᾧ πληρωθῆναι λέγεται τὰ παρὰ τῆς Σιὼν ἐπηγγελμένα; Ὁ τῆς ἀναστάσεώς σου, Κύριε. Ἐπεὶ γὰρ τὴν τοῦ κόσμου ἁμαρτίαν ἆραι ἐλήλυθας· οὐκ ἔδει δὲ τὸν τηλικοῦτον ὑπὲρ ὀλίγων ἁμαρτωλῶν ἐλθεῖν καὶ παθεῖν· ὅτε ἐνέστη ὁ χρόνος, καθ' ὃν εἴρηται ὅτι, «Πάντες ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ[2], τότε ὑπὲρ παντὸς ἐγεύσω θανάτου.»

Στίχ. ιε'-ιζ'. «Ὅτι εὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς, καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσι. Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τὴν δόξαν σου.»

Εἰκότως δὲ μεταξὺ τοῦ εὐδοκεῖσθαι τοὺς λίθους τοῦ προτέρου λαοῦ τὴν τῶν ἐθνῶν ἐπισυνάπτει κλῆσιν, καὶ λευκότερον παρίστησιν, ὅτι τὸν σωτήριον ἀναλήψονταί ποτε φόβον, καὶ θεοσεβήσουσιν. «Οἱ βασιλεῖς» δὲ εἶπεν ἀντὶ τοῦ, «αἱ βασιλεῖαι.» Οὐ γάρ ἐστιν, οὐκ ἔθνος, οὐ βασιλεία, ἡ μὴ προσκυνοῦσα τὴν δόξαν Χριστοῦ, ἢ καθόλου ἢ ἀπὸ μέρους. «Ὅτι οἰκοδομήσει Κύριος τὴν Σιών, καὶ ὀφθήσεται ἐν τῇ δόξῃ αὐτοῦ.» Ἑτέρως δὲ οἰκοδομήσει τὴν Σιὼν ὁ Κύριος, τουτέστι τὴν Ἐκκλησίαν· οἰκοδομὴν δέ φημι καθ' ἣν ἐκτί-

1. Ζαχ. 1, 12. 2. Ῥωμ. 3, 23.

σθῇ τὰ ἔθνη διὰ τῆς πίστεως· καὶ τότε δοξασθήσεται ἐν αὐτοῖς.

Στίχ. ιη΄-κε΄. «Ἐπέβλεψεν ἐπὶ τὴν προσευχὴν τῶν ταπεινῶν, καὶ οὐκ ἐξουδένωσε τὴν δέησιν αὐτῶν. Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν, καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον· ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ, Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε, τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων, τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων, τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου, καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. Ἐν τῷ συναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτό, καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ. Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ. Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου.»

Ὑψηλότερον δὲ δοκεῖ μοι διὰ τούτων ὁ προφητικὸς χορὸς σημαίνειν τὴν διὰ τοῦ Σωτῆρος ἡμῶν κλῆσιν τῶν ἐθνῶν· ἀποκλαίεσθαι δέ, ὅτι μὴ καὶ αὐτοὶ ἔτυχον ταύτης. Ἐν γὰρ τῇ τῶν μελλόντων ἀγαθῶν παρουσίᾳ, ὅτε τὰ ἔθνη καὶ οἱ τούτων βασιλεῖς λατρεύσουσιν, οὐκέτι τοῖς πατρῴοις δαίμοσι, ἀλλὰ τῷ Κυρίῳ· ἐν αὐτῷ δὴ τῷ τοιούτῳ καιρῷ, τὴν ἐμήν, φησίν, ἰσχὺν ἐκάκωσεν ὁ Κύριος, κολοβῶσαι τὰς ἡμέρας, ὡς μὴ φθάσαι κἀμὲ εἰς ἐκεῖνον τὸν καιρόν. Ὁ προφητικὸς μὲν οὖν ἐστι χορὸς ὁ ἀποκρινόμενος, ἤτοι ἐρωτῶν καὶ λέγων πρὸς τὸν Θεὸν ὁποῖος ἔσται ὁ ἡμέτερος βίος. Ηὔχετο γὰρ μαθεῖν εἰ φθάσειεν εἰς ἐκείνας τὰς ἡμέρας ἡ ζωὴ αὐτοῦ, καθ' ἃς ἔμελλεν ἐνανθρωπήσας ἐπὶ γῆς φαίνεσθαι ὁ Μονογενής. Ὁδὸν δὲ ἰσχύος αὐτοῦ τὴν ἐπὶ γῆς παρουσίαν καλεῖ· ἦλθε γὰρ ἵνα δήσῃ τὸν ἰσχυρόν. Ἥμισυ δὲ τῶν ἑαυτοῦ ἡμερῶν, ἤτοι τῆς ζωῆς, τὸ τέως ἐν θεωρίᾳ γενέσθαι τῆς ἐπιφανείας. Ηὔχετο οὖν πληρωθῆναι τὸν ὅλον αὐτοῦ χρόνον, καὶ οἷόν τε παρεκταθῆναι τὴν ζωὴν αὐτοῦ, ὅπως ἂν καὶ αὐτῆς τῆς τῶν πραγμάτων ἐκβάσεως καταξιωθῆναι· οὕτω γὰρ ἔμελλεν ἡ πᾶσα αὐτοῦ ζωὴ πληροῦσθαι. Τέως μὲν γάρ, φησίν, ἐπὶ τοῦ παρόντος, ὅτε ταῦτα προφητεύω, καὶ μέλλοντα ἔσεσθαι προορῶ, ἔοικα ἐν μέρει ἡμέρας εἶναι Θεοῦ· λείπει δέ μοι ἡ αὐτοψία τῆς τῶν προφητευομένων ἐκβάσεως, ἧς εἰ τύχοιμι, τελείαν λήψομαι τὴν ἐμαυτοῦ ζωήν· εἰ δὲ ἀστοχήσω τῆς εὐχῆς, ἔοικα τοῖς ἐν ἡμίσει ἡμερῶν τὴν ζωὴν ἀτελῆ καὶ ἄωρον ἀποτιθεμένοις. Καί μοι δοκεῖ διὰ τὰς τοιαύτας τῶν προφητῶν εὐχὰς ὁ Σωτὴρ ἡμῶν εἰρηκέναι· «Πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.[1]» Κατὰ δὲ τὴν ἱστορίαν, Βλέπων, φησίν, ἐμαυτὸν ἀτονοῦντα καὶ βαρυνόμενον, ὀλίγον ὑπολαμβάνω καιρὸν ὑπολελεῖφθαί μοι ζωῆς. Μὴ οὖν ἐκδημήσαιμι τοῦ σώματος ἐν τῷ ἡμίσει καὶ ἀτελεῖ τῶν ἡμερῶν. «Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου.» Ἀναγκαίως προειπών· «Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου», εὐξάμενός τε παραθεῖναι τὴν ζωὴν μέχρι τῆς ἐκβάσεως τῶν προφητευομένων, συνορᾷ τὸ

1. Ματθ. 18, 17.

ἀδύνατον διὰ τὸ ἀσθενὲς καὶ ὀλιγοχρόνιον τῆς θνητῆς φύσεως· εἶτα ἔφη· Σοῦ μόνου, Κύριε, τὰ ἔτη εἰς γενεὰν καὶ γενεὰν διατείνει· καὶ σὺ ἥξεις εἰς ἐκείνην τὴν γενεάν, κἀκεῖνον τὸν λαόν, περὶ ὧν ἀνωτέρω ἐλέγετο· «Γραφήτω αὕτη εἰς τὴν γενεὰν ἑτέραν», καὶ τὰ ἑξῆς.

Στίχ. κϛ'-κθ'. «Κατ' ἀρχὰς τὴν γῆν σύ, Κύριε, ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις.»

Εἰ μὲν γὰρ οὐ συνῆσθα, φησί, κατ' ἀρχάς, ὦ Κύριε, καὶ εἰ μὴ ἔργα τῶν χειρῶν σου ὑπῆρχον οἱ οὐρανοί, οὐχ οἷόν τε ἦν αὐτὰ μετατεθῆναι, οὐδὲ εἰς μεταβολὴν ἐλθεῖν· εἰ γὰρ ἀγένητα ἦν, ἔμειναν ἂν καὶ ἀτελεύτητα· νῦν δέ, ἐπεὶ ποιητὴς αὐτῶν γέγονας, δυνατὸς εἶ καὶ παραγαγεῖν αὐτὰ θελήσας· φύσεως γὰρ ὑπάρχουσι φθαρτῆς καὶ ἀπολλυμένης· ὅτι, καὶ μὴ πρότερον ὄντα, σῇ βουλῇ καὶ δυνάμει γέγονεν. Ἓν γάρ ἐστι μένον ἀεί, καὶ οὔποτε δυνάμενον μὴ εἶναι, δηλαδὴ σὺ αὐτὸς ὁ μόνος τῶν ὅλων ποιητής. «Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἑλιχθήσονται.» Καὶ οἱ οὐρανοὶ δέ, εἰ καὶ μέγα καὶ ἐξαίρετόν τι τυγχάνουσι κτίσμα, ἀλλ' ὅμως καὶ αὐτοὶ ὑποβληθήσονται φθορᾷ· ἡ δὲ φθορὰ αὕτη γενήσεται αὐτοῖς εἰς ἀνακαινισμόν, καὶ συστελεῖς αὐτοὺς εὐχερῶς οὕτως ὡς ἑλίσσει τις περιβόλαιον· ἑλιχθήσονται γὰρ εἰς βέλτιον σχῆμα μεταβαλλόμενοι, καὶ ἀλλαγήσονται, καὶ τροπὴν ἀγαθὴν ὑπομενοῦσι τὴν ἀπὸ τῆς παλαιότητος ἐπὶ τὴν ἀνακαίνισιν καὶ τὴν ἀφθαρσίαν. «Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσι, καὶ τὸ σπέρμα αὐτῶν εἰς τὸν αἰῶνα κατευθυνθήσεται.» Καινοῖς γενομένοις καὶ ἐπὶ τὸ κρεῖττον μεθαρμοσθεῖσι, «καὶ τὸ σπέρμα ἑαυτῶν», δηλαδὴ τῶν δούλων σου, εἰς τὸν αἰῶνα κατευθυνθήσεται.

## ΤΩ ΔΑΥΙΔ. ΡΒ'.

Στίχ. α'. «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.»

Τάχα δὲ μέσην ἀπολειφθεῖσαν τὴν ψυχὴν τοῦ σώματος καὶ τοῦ πνεύματος, τὸ μὲν σῶμα ἐπὶ τὰς οἰκείας ἐπιθυμίας καὶ ἀνδραποδώδεις ἡδονὰς καθέλκει, ὥσπερ ἀφ' ὕψους ἄνωθέν ποθεν καταβάλλον αὐτήν· τὸ δὲ πνεῦμα πάλιν πρὸς ἑαυτὸ ἀνέλκει ἄνω που πρὸς Θεὸν ἀνάγον, καὶ τοῦ Κυρίου μνημονεύειν παρακαλεῖ, εὐλογεῖν τε αὐτόν, καὶ πρὸ ὀφθαλμῶν διὰ παντὸς ἔχειν· ἢ αὐτὸς ἑαυτὸν ἐπὶ τὸν ὕμνον διεγείρειν καὶ εὐλογεῖν τὸν Θεὸν ἐγκελεύεται, καλὸν ἑαυτῷ σωτηρίας φάρμακον τὴν εἰς τὸν Θεὸν εὐλογίαν προβαλλόμενος. «Καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.» Τοῖς ἐντὸς αὐτοῦ προτάσσσει εὐλογεῖν τὸ ὄνομα Κυρίου, τουτέστι τῇ φύσει τῶν ἔσωθεν ἐξερχομένων διαλογισμῶν, ὧν διπλοῦν ἐστι τὸ τάγμα· οἱ μὲν γὰρ μοχθηροί εἰσι, φόνοι, μοιχεῖαι, κλοπαί· οἱ δὲ ἀστεῖοι καὶ σωτήριοι, φιλανθρωπία,

σωφροσύνη, τὸ κοινωνικόν. Ὧ τοίνυν πάντα τὰ ἐντὸς κατώρθωται εἰς ἑτοιμότητα τοῦ εὐλογεῖν τὸ ὄνομα τοῦ Θεοῦ τὸ ἅγιον, οὗτος καλῶς συμπαραλαμβάνει τὴν ἔνδον διάθεσιν εἰς τὴν τοῦ Θεοῦ εὐχαριστίαν, καὶ πάντα τὰ ἐντὸς καθιεροῖ καὶ πάσας τῆς ψυχῆς τὰς δυνάμεις, καὶ πάντα λογισμὸν εἰς τὸν θεῖον ὕμνον ἀνακινεῖ· ἐντὸς γὰρ ἐκάλεσε τοὺς λογισμοὺς καὶ τὰς ἐνθυμήσεις, καὶ πάντα τῆς ψυχῆς τὰ κινήματα καὶ τὰς διαφόρους δυνάμεις αὐτῆς, τὴν νοητικήν, τὴν διανοητικήν, τὴν βλεπτικήν, τὴν ὁρμητικήν, τὴν φανταστικήν, τὴν μνημονευτικήν, τὰς ἑτέρας· πολλαὶ γὰρ δυνάμεις καὶ διάφορα κινήματα ἐν τῇ ψυχῇ· καθ' ἃ ποτὲ μὲν σπουδαῖόν τι διανοούμεθα, ποτὲ δὲ ἐπιθυμοῦμεν, ποτὲ δὲ ἐπιθυμούμεθα, ποτὲ δὲ κρίνομεν· καὶ ἄλλοτε μὲν ἐφιέμεθά τινων, ἄλλοτε δὲ ἀποστρεφόμεθα· καὶ πάλιν ἄλλοτε μὲν ὁρμῶμεν, ἄλλοτε δὲ ἐκκλίνομεν, καὶ ποτὲ μὲν διακείμεθα λυπηρῶς, ποτὲ δὲ εὐμενεῖς ἐσμεν καὶ φαιδροὶ καὶ ἀνειμένοι. Πάσας οὖν ὁμοῦ τὰς τοιαύτας τῆς ψυχῆς δυνάμεις προτρέπει τὸ θεῖον Πνεῦμα εὐλογεῖν τὸν Κύριον. Εἰ δὲ καὶ σωματικώτερον βουληθείη τις ἐκλαβεῖν τὸν λόγον, εἴποι ἄν, ἐπειδὴ καὶ τοῦ σώματος τοῦ ἡμετέρου πάντα τὰ ἐντὸς ἔγκατά τε καὶ σπλάγχνα βαθυτάτῃ Θεοῦ σοφίᾳ κατεσκεύασται, ὡς μηδὲν ἄχρηστον εἶναι τῶν ἐν ἡμῖν, συμβάλλεσθαι δὲ τῇ τοῦ Θεοῦ δοξολογίᾳ τε καὶ εὐλογίᾳ τὴν ὁμοῦ πάντων πρὸς ἄλληλα συμφωνίαν τε καὶ ἁρμονίαν, εἰκότως καὶ ταῦτα ἐπὶ τὴν τοῦ Θεοῦ εὐλογίαν κέκληται. Εἰ μέντοι τὴν ψυχὴν αὐτὴν σωματοειδῶς ὁ λόγος πλάττει, καὶ μέρη σωματικὰ τῇ ἀμερεῖ περιπλάττει, ἑτέρως νοήσομεν ἐπ' αὐτῇ τὰ περιτιθέμενα μέρη τῇ ἀμερείᾳ τῇ κατὰ ψυχήν, οἰκείως κεφαλὴν μὲν τὸν νοῦν, αὐχένα δὲ τὴν δόξαν ὡς ἐν μέσῳ λογικοῦ καὶ ἀλόγου· στῆθος τὸν θυμόν, γαστέρα τὴν ἐπιθυμίαν, τοῖς τῶν μερῶν ὀνόμασι συμβόλοις τῶν δυνάμεων χρώμενοι.

Στίχ. β'-δ'. «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐϊλατεύοντα πάσαις ταῖς ἀνομίαις σου, τὸν ἰώμενον πάσας τὰς νόσους του, τὸν λυτρούμεον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.»

Αὗταί εἰσιν αἱ περὶ ἡμᾶς ἀνταποδόσεις τοῦ Θεοῦ· Πρῶτον ἱλασμὸν ἔθεικε τῶν ἡμετέρων ἁμαρτιῶν, ἃς ἐν πλάνῃ καὶ εἰδωλολατρείᾳ διεπραξάμεθα· καὶ ἵλεως ἑκάστῃ τούτων ἐγένετο, προλαβὼν πᾶσαν ἱκετηρίαν καὶ τὴν ἄφεσιν δοὺς διὰ τοῦ ἱλασμοῦ αὐτοῦ, ὅς ἐστι Χριστός· δεύτερον δέ, ἐπειδὴ καὶ μετὰ τὴν ἄφεσιν συνέβη σε νοσεῖν, ὦ ψυχή, ὑπολισθήσασαν τοῖς ἀνθρωπίνοις πάθεσι, καὶ ταύτας τὰς νόσους ὁ Σωτὴρ καὶ λογικοῖς καὶ σωτηρίοις φαρμάκοις, τοῖς ἐν ταῖς θείαις αὐτοῦ Γραφαῖς καταβεβλημένοις, ἐθεράπευσε· τρίτον ἐπὶ τούτοις τὴν ζωήν σου μέλλουσαν χωρεῖν εἰς φθοράν, καὶ καταπίνεσθαι ὑπὸ τοῦ θανάτου, κατὰ τό, «Ψυχὴ ἡ ἁμαρτοῦσα, αὐτὴ ἀποθανεῖται[1]»,

---

1. Ἰεζ. 18, 4.

ἀκόλουθα τῷ αὐτοῦ πράττων ἐλέῳ, λύτρα δοὺς ὑπὲρ σοῦ τῷ θανάτῳ τὸ τοῦ Μονογενοῦς αἷμα, ἐλυτρώσατο· τέταρτον, οἰκείᾳ φιλανθρωπίᾳ καὶ ἐλέει καὶ οἰκτιρμοῖς χρώμενος, ἐπεὶ ἐξ ἔργων οὐδεὶς δικαιοῦται, ἐστεφάνωσέ σε τῷ τῆς υἱοθεσίας χαρίσματι. Καὶ ἁπλῶς οὗτός σοι δεδώρηται τῶν ἁμαρτημάτων τὴν ἄφεσιν, οὗτός σοι δεδώρηται τῶν παθῶν τὴν ἴασιν, τῆς ἀναστάσεως τὴν ἐλπίδα, τὸν ἀρραβῶνα τοῦ Πνεύματος, καὶ τὸν τῆς ἀφθαρσίας χιτῶνα ἐνέδυσε, καὶ χάριτι σέσωκε. Χάριτος γὰρ καὶ φιλανθρωπίας ὁ στέφανος. Καὶ ταῦτα πάντα ἕδνα τοῦ νυμφίου καὶ δῶρα· πίστιν γὰρ ἡ νύμφη προσενήνοχε μόνον. Οὐ μόνον δέ, ἀλλὰ καὶ πνευματικῶν ἀγαθῶν σε ἐνέπλησεν, ἣ καὶ τὴν ἐν ἀγαθοῖς ἐπιθυμίαν σου ἐπλήρωσεν, ὃς τήν γε ψυκτὴν ψυχὴν ἀπαγορεύει, δίδωσι δὲ ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν. Εἰ δὲ βούλει κατὰ ταὐτὸν ἰδεῖν παθήματα καὶ ἁμαρτήματα λυόμενα, ἔχεις τὸν παράλυτον τῆς διπλῆς ταύτης ἀπολαύσαντα χάριτος· ἤκουσε γάρ, «Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου», καί, «Ἆρον τὸν κράββατόν σου·[1]» οὕτως ἡ ἁμαρτωλὸς γυνὴ τετύχηκε τῆς ἀφέσεως, ὁ λῃστής, οἱ τελῶναι, ἁπλῶς ἅπαντες οἱ πιστεύσαντες.

Στίχ. ε´. «Τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.»

Ὥστε ἀνακαινίζεσθαι αὐτὴν τὸν παλαιὸν ἀποθεμένην ἄνθρωπον, τὸν δὲ νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν τοῦ κτίσαντος αὐτόν, λαμβάνουσαν. Οὕτω δέ, φησίν, ἡ νεότης σου ἀνακαινισθήσεται, ὡς μηκέτι παλαιοῦσθαι, μηδὲ εἰς φθορὰν αὖθις χωρεῖν, ἀεὶ δὲ παραμένειν ἐν τῷ νεάζειν ἐν τῇ ἀφθάρτῳ ζωῇ. Ἐπεὶ δὲ ὁ ἀετὸς τῶν ὀρνέων ἐστὶ βασιλικώτατον, ἀλλὰ καὶ ὑψιπετέστατος, μόνος δὲ ζώων ἡλίου φωτὸς μαρμαρυγαῖς ἀντωπεῖν δυνατός, καὶ ἀτενὲς ἀφορᾶν αὐτῷ, εἰκότως τὴν ἀνανέωσιν τῆς ψυχῆς, καὶ τὴν ἀπὸ γῆς εἰς οὐρανὸν πτῆσιν, καὶ τὸν βίον αὐτῆς τὸν ἐν ἄκρῳ φωτὶ γενησόμενον, ἀετοῦ φύσει παρέβαλε.

Στίχ. ς´-ις´. «Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις, ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.»

Ἐκ τῆς αὐτῆς δὲ Μωσέως Γραφῆς μαθήσῃ ὁποῖα κρίματα παρέσχε τοῖς ἀδικουμένοις· κρίσει γὰρ δικαίᾳ μετῆλθε τοὺς Αἰγυπτίους, πληγαῖς θεηλάτοις κολάσας αὐτοὺς ὑπὲρ τῶν αὐτῶν ἠδικημένων υἱῶν Ἰσραήλ. «Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς

1. Μάρκ. 2, 9.

φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν. Μνήσθητι ὅτι χοῦς ἐσμεν· ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.» Ὥσπερ ἀπὸ σκότους τῆς τῶν ἁμαρτημάτων ἀγνοίας ἐπὶ τὸ φῶς τῆς αὐτοῦ γνώσεως μετεστήσατο ἡμᾶς· καὶ ταῦτα ἔπραξεν ὡς ἀγαθὸς πατὴρ σπλαγχνιζόμενος ἐπὶ υἱοῖς μεμηνόσι, καὶ ἐπὶ κακῶς διακειμένοις τέκνοις μείζονα οἶκτον ἀναλαβών· τὸν αὐτὸν τρόπον καὶ αὐτὸς ᾠκτείρησεν ἡμᾶς, ἐξ ἀθέων καὶ ἀφόβων εὐσεβεῖς καὶ φοβουμένους αὐτὸν ἀπεργασάμενος.

Στίχ. ιζ΄-ιθ΄. «Τὸ ἔλεος δὲ τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν· καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ τοὺς υἱοὺς τῶν υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.»

Ὅμοιον καὶ τό, «Ποιῶν ἔλεος τοῖς ἀγαπῶσί με.» Παρατείνει γὰρ τὸ ἔλεος Κυρίου, καὶ ἡ σύζυγος αὐτοῦ δικαιοσύνη, εἰς πᾶσαν τὴν γενεὰν ἐπὶ τοὺς φοβουμένους αὐτὸν καὶ τοὺς υἱοὺς αὐτῶν, τουτέστι τοὺς τῶν ἔργων αὐτοῦ ζηλωτάς, τοὺς οὐχ ἁπλῶς μεμνημένους τῶν ἐντολῶν αὐτοῦ, ἀλλ' ἐπιτιθέντας τοῖς λόγοις τὰ ἔργα, καὶ κατὰ ταὐτὸ τὸν οἰκεῖον βίον ῥυθμίζοντας. Δίδονται γὰρ αὗται οὐκ ἐπὶ τῷ μνήμην αὐτῶν ψιλὴν καὶ γνῶσιν ἔχειν ἡμᾶς, ἀλλὰ μνήμην εἰς τὸ ποιῆσαι. Τοῦτο καὶ ὁ Σωτὴρ παρίστησιν εἰπών· «Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με·[1]» τῆς γὰρ ποιήσεως ἀλλ' οὐ τῆς μνήμης αὐτῶν μόνης ὁ μισθός· καὶ οὐχ οἱ ἀκροαταί, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Καλῶς δὲ διαθήκη ὁ νόμος τοῦ Θεοῦ προσηγόρευται, ἵνα κληρονομίαν ἐλπίζωμεν ἐξ αὐτῆς οἱ φυλάσσοντες. Ὅτι δὲ ἡ μὲν φύσις ἡμῶν ἐπίκηρος, ἡ δὲ θεία φιλανθρωπία καὶ μέχρις ἐγγόνων διατηρεῖ τὴν τοῖς προγόνοις ὀφειλομένην τῆς δικαιοσύνης ἀντίδοσιν, μυρία ἂν εὕροις μαρτύρια. Διὰ γὰρ τὴν τοῦ Ἀβραὰμ δικαιοσύνην, καὶ τὴν τοῦ Ἰσαὰκ καὶ Ἰακώβ, τὸν ἐξ αὐτῶν φύντα μετὰ ταῦτα λαὸν τῆς κλήσεως καὶ τῆς οἰκείας ἐπισκοπῆς κατηξίωσε· τῷ Ἰηοῦ μέχρι τετάρτης γενεᾶς τὴν βασιλείαν τετήρηκε, καίτοι μηδὲ τελείαν κτησαμένῳ εὐσέβειαν, ἀλλ' ἐν τῇ ἀρχῇ τῆς βασιλείας ἐπιδειξαμένῳ τὸν ζῆλον· τῷ θεσπεσίῳ Δαυΐδ, ἄσβεστον ἐτήρησε τὸν τοῦ γένους σπινθῆρα, καὶ ταῦτα πολλῶν δυσσεβῶν ἐν μέσῳ βεβλαστηκότων. «Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόσει.» Ἀκριβῶς δὲ τὸ «πάντων δεσπόσει», εἴρηται, ἀλλ' οὐ, «πάντων δεσπόζει·» ἐπεὶ μὴ πάντες ἄξιοι τυγχάνουσι τῆς αὐτοῦ βασιλείας. Διὸ τοῖς τὸν εὐαγγελικὸν κατορθοῦσι βίον τὴν τῶν οὐρανῶν βασιλείαν ὁ Σωτὴρ ἐπηγγείλατο. Δεσπόζει δὲ πάντων καθ' ἑτέραν ἐπίνοιαν καὶ τῶν

---

1. Ἰω. 14, 21.

ἀναξίων τῆς βασιλείας αὐτοῦ κρατῶν, οἷα δὴ πάντων Κύριος.

Στίχ. κ΄. «Εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.»

Ἀνωτέρω μὲν τὸ θεῖον Πνεῦμα τὴν τοῦ ἀνθρώπου ψυχὴν ἐκάλει ἐπὶ τὴν εὐχαριστίαν καὶ τὴν εὐλογίαν τοῦ Θεοῦ, φάσκον· «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον·» νῦν δέ, ἐπειδὴ τοῦ θρόνου τοῦ Θεοῦ ἐμνημόνευσε, καὶ τῶν οὐρανίων διατριβῶν, ἃς τοῖς ἀξίοις ὁ Θεὸς ἡτοίμασε, σφόδρα ἀκολούθως ταῖς οὐρανίοις δυνάμεσι συγχαίρειν τῇ τῆς ψυχῆς σωτηρίᾳ παρακελεύεται, κατὰ τὸν σωτήριον λόγον φήσαντα χαρὰν ἔσεσθαι ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι·[1] ἀλλὰ καὶ εἰς τέλος ἄγει τὴν ἀνθρώπου ψυχὴν καὶ τὰς οὐρανίους δυνάμεις· τὸ γὰρ αὐτὸ τῆς εὐλογίας ἔργον καὶ ταύτῃ κἀκείνοις ἐπιτάττει. «Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.» Τὰ μὲν κατὰ σέ, φησίν, ὦ ψυχή, ἐξασθενεῖ πρὸς τὸ κατ' ἀξίαν ὑμνεῖν τὸν Θεόν· ἐκ μέρους δὲ ὅμως τοῦτο ποίει. Ἴσθι δέ, ὅτι οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ὄντες, καὶ ἀδιαπτώτως τὸν λόγον αὐτοῦ ποιοῦντες, ἄξιοί τε ἀκούειν τῆς φωνῆς αὐτοῦ καὶ τῶν λόγων αὐτοῦ, πρεπόντως καὶ κατ' ἀξίαν εὐλογοῦσιν αὐτόν. Εἰ δὲ καὶ ἐν ἀνθρώποις εἶέν τινες τὸν ἰσάγγελον βίον μετερχόμενοι, ἅτε τὴν εἰκόνα τοῦ ἐπουρανίου φοροῦντες, ἰσχύοντες δὲ καὶ αὐτοὶ ποιεῖν τὸν λόγον αὐτοῦ, καὶ δυνατοὶ τῆς φωνῆς αὐτοῦ ὑπακούειν, κατὰ τὸν φήσαντα· «Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με.[2]» Καὶ οὗτοι, ἰσάγγελοι ὄντες, εὐλογείτωσαν αὐτόν. Μηδεὶς δὲ τῶν παραβαινόντων τὸν λόγον αὐτοῦ καὶ παρακουόντων τῆς φωνῆς αὐτοῦ, προπετέστερον τολμάτω τοῦτο ποιεῖν.

Στίχ. κα΄, κβ΄. «Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὰ θελήματα αὐτοῦ.»

Ὁ μὲν Δαυΐδ, ἐπειδήπερ εἰσὶ καὶ ἀντικείμεναι δυνάμεις, σφόδρα ἀναγκαίως ἐπιφέρει τό· «λειτουργοὶ αὐτοῦ, ποιοῦντες τὰ θελήματα αὐτοῦ», δεικνὺς τίνας βούλεται καὶ ὁποίας δυνάμεις εὐλογεῖν τὸν Θεόν· ὅτι μὴ πάσας, μηδὲ τὰς ἐναντίας, ἀλλὰ μόνας τὰς ἀξίας τὰς ἐν διαφόροις τάξεσι λειτουργούσας αὐτῷ, ἤτοι ποιούσας αὐτοῦ τὸ θέλημα. Λειτουργοὶ γάρ εἰσι Θεοῦ δυνάμεις ὑπηρετοῦσαι αὐτῷ εἰς ἃ βούλεται ποιεῖν δι' αὐτῶν ἐπ' εὐεργεσίᾳ καὶ ὠφελείᾳ παντός· διὸ καὶ ποιεῖν τὰ θελήματα αὐτοῦ εἴρηνται. «Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.» Ἡ τῆς ἀκολουθίας διάνοια τοῦτον ἔοικεν ὑποβάλλειν τὸν νοῦν· Εἰ μὲν ἀγγέλων ἦν, φησί, μόνον, καὶ θείων δυνάμεων καὶ οὐρανίων λειτουργῶν Θεοῦ τὸ εὐλογεῖν αὐτόν, καλῶς ἂν εἶχες, ὦ ψυχή, ὑποστέλλεσθαι ἑαυτήν, τοῖς κρείττοσι παραχωροῦσα

1. Λουκ. 15, 7. 2. Φιλιπ. 4, 13.

τὴν εὐλογίαν· ἐπειδὴ δὲ ὁ θεῖος λόγος πᾶσι τοῖς ἔργοις αὐτοῦ εὐλογεῖν τὸν Κύριον προστάττει· προσήκει γὰρ πᾶσαν τὴν κτίσιν κατὰ τὴν αὐτῆς δύναμιν τὸν πρέποντα ὕμνον ἀποδιδόναι τῷ Θεῷ· τί μέλλεις, ὦ ψυχή; Οὐχὶ καὶ αὐτή, ἅτε ἔργον οὐκ εὐκαταφρόνητον οὖσα τοῦ Θεοῦ, ἀλλὰ κατ' εἰκόνα ἑαυτοῦ πεποιημένη, ἀνεγείρῃ σεαυτὴν ἐπὶ τὴν θεολογίαν καὶ εὐλογίαν τοῦ Θεοῦ; Ἐπειδὴ ἡ δεσποτεία αὐτοῦ, κατὰ τὸ εἰρημένον, πάντων δεσπόζει, οὐρανίων, ἐπιγείων, καταχθονίων, ἀκολούθως πάντα τὰ ἔργα αὐτοῦ, ὡς ἂν ὑπὸ τὴν αὐτοῦ δεσποτείαν ὄντα, τὰ σύμπαντα γάρ, φησί, δοῦλα σά, ὡς ποιήματα, εὐλογείτω αὐτόν. Καὶ πῶς εὐλογοῦσι τὰ ἄλογα καὶ τὰ ἄψυχα; Ὡς οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, πάντως ἀντὶ φωνῆς χρώμενα τῇ ὄψει εἰς ἔμφασιν τῆς θείας δυνάμεως· παρ' ὧν ἐγὼ λαμβάνω τοῦ ὑμνεῖν τὰς ἀφορμάς, καὶ κινοῦμαι πρὸς εὐφημίαν τοῦ κτίσαντος. Ἄλλως τε εἰώθασιν οἱ προφῆται καὶ τὴν ἄλογον φύσιν πολλάκις παραλαμβάνειν εἰς εὐφημίαν τοῦ Θεοῦ, ὡς οὐκ ἀποχρώσης τῆς λογικῆς, καθάπερ ἀμέλει καὶ οἱ παῖδες ἐν τῇ καμίνῳ. Πλὴν τὸ ἐν παντὶ τόπῳ ᾄδειν οὐχ ἁρμόττει τοῖς Ἰουδαίοις. Ἐκεῖνοι γάρ, ὑπὸ τῶν ἀνδραποδισάντων ᾆσαι προσταχθέντες ἐκ τῶν ᾠδῶν Σιὼν ἐν Βαβυλῶνι, ἔφασαν, ἔννομον δρῶντες· «Πῶς ᾄσομαι τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας.[1]» Ἡμῖν δὲ ὁ θεῖος Ἀπόστολος παρεγγυᾷ ἐν παντὶ τόπῳ προσευχομένοις αἴρειν ὁσίους χεῖρας.[2] Τοῦτο καὶ ὁ δεσπότης Χριστὸς πρὸς τὴν Σαμαρεῖτιν ἔφη, τὴν τοπικὴν ἀναιρῶν προσκύνησιν, τὴν δὲ ἐν Πνεύματι καὶ ἀληθείᾳ διδάσκων λατρείαν.[3]

## ΨΑΛΜΟΣ ΡΓ΄.

Στίχ. α΄, β΄. «Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα· ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Διὰ τῆς τῶν κτισμάτων μεγαλουργίας καὶ προνοίας καὶ ποικιλότητος χαίρειν δὴ ἐν ταὐτῷ καὶ θάρσος ἀναλαμβάνειν διδάσκεται ἡ ψυχή, διὰ τοῦ σεμνύνεσθαι, καὶ Κύριον ἑαυτῆς καὶ Θεὸν τῶν τοσούτων μεγαλουργὸν ἐπιγράφεσθαι, καὶ ἰδιοποιεῖσθαι αὐτὸν ἐν τῷ λέγειν· «Ὁ Θεός μου», μετὰ διαθέσεως, «ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.» Ὡς ὁ ἀναβαλλόμενος αἰσθητὸν ἱμάτιον πάντοθεν καλύπτεται, οὕτω τὸ μὴ δύνασθαι διασχεῖν τὸ περὶ τὸν Θεὸν φῶς, ἀκατάληπτον αὐτοῦ τὴν οὐσίαν παρίστησιν. Ἀλλὰ τί φῄς, ὦ Δαυΐδ; Ὁ εὐαγγελιστής φησιν· «Ὅτι αὐτός ἐστι φῶς ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.[4]» Ὁ δὲ Παῦλος, ὅτι φῶς οἰκῶν ἀπρόσιτον, σὺ περιβεβλῆσθαι τὸ φῶς αὐτὸν φῄς ὡς ἱμάτιον; Ὁρᾷς, ὅτι, κἂν προφήτης ᾖ τις, κἂν εὐαγγελιστής, κἂν ἀπόστολος, οὐ δύ-

1. Ψαλμ. 136, 4. 2. Α' Τιμ. 2, 8. 3. Ἰω. 4, 24. 4. Ἰω. 1, 9.

ναται περιδράξασθαι τῆς σαφηνείας, ἀλλ' ἀπὸ τῶν παρ' ἡμῖν ὀνομάτων ἀναβαίνοντες κατὰ μικρὸν ἀμυδράν τινα παριστῶσιν ἔννοιαν τὴν ἀρρήτου δόξης ἐκείνης. Ἐπειδὴ γὰρ αὐτὸ τί ποτέ ἐστι τὴν οὐσίαν οὐκ ἴσασιν, ἀπὸ τῶν παρ' ἡμῖν λαμπρῶν φιλονεικοῦσιν ἐπιλαβέσθαι αὐτῆς οἷόν τε.

Στίχ. γ', δ'. «Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν, ὁ στεγάζων ἐν ὕδατι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.»

Ἐντεῦθεν εἰκότως ἑρμηνευόμενα τὰ σεραφίμ, εἰς τὴν Ἑλλάδα φωνὴν ἐμπιπρῶντες ἢ ἐμπρησταὶ σημαίνουσι. Καὶ τό, σεραφὶμ τὸν ἐμπρησμὸν δηλοῦν λέγεται. Διὸ περὶ τῆς ἀγγελικῆς δυνάμεως εἴρηται· «Ὁ ποιῶν ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.»

Στίχ. ε'-ιγ'. «Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον ὃν ἐθεμελίωσας αὐτοῖς. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ.»

Ἐπεὶ καὶ ἀρχόμενος ἔλεγεν· «Ὁ στεγάζων ἐν ὕδατι τὰ ὑπερῷα αὐτοῦ·» νῦν φησι· «Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων σου·» εἰ μή τῳ φίλον ὑπερῷα τοῦ Θεοῦ ὡς παρ' αὐτοῦ πεποιημένα τὸν ἀέρα νοεῖν, τοῖς νέφεσι περιβαλλόμενον. Ποτίζει τοιγαροῦν ὁ Θεὸς τὰ ὄρη καὶ τὰ ἐν τούτοις πεδία τήν τε λοιπὴν σύμπασαν γῆν οὐκ ἀπὸ τῶν ἐν ταῖς φάραγξι πηγῶν, οὐδ' ἀπὸ τῶν φερομένων κατὰ γῆς ποταμῶν, ἀλλ' ἀπὸ τῶν ὑπερῴων αὐτοῦ ἄνωθεν ἀφ' ὕψους τοὺς αὐτάρκεις καὶ μεμετρημένους ἐπιχορηγῶν ὑετούς. Ὑπερῷα δὲ Θεοῦ τὸν ἀέρα καλεῖ, καθάπερ ἐπὶ μιᾶς οἰκίας τοῦ παντὸς κόσμου. Ὄρη μέν εἰσιν οἱ πνευματοφόροι ἄνδρες· ποτίζονται δὲ ἐκ τῶν ὑπερῴων αὐτοῦ τοῦ Θεοῦ, πληρούμενοι τῶν τοῦ Πνεύματος χαρισμάτων, λόγου σοφίας καὶ τῶν ἑξῆς ἀπηριθμημένων. Ὑπερῷα δὲ Θεοῦ, ἀφ' ὧν τὰ ὄρη ποτίζει, ἀκραιφνεῖς καὶ ὑπερβάλλουσαι θεωρίαι τῆς ἀληθείας τυγχάνουσι, ὑπερῷα καλούμεναι, τῷ μηδὲν αὐτὰς ὑπεραναβεβηκέναι. «Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.» Αὐτὸς γὰρ εἶπε· «Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν», καὶ τὰ ἑξῆς.[1] Ἐκ τῶν Ἰησοῦ κατὰ τὴν οἰκονομίαν ἔργων, πολὺν

1. Γεν. 1, 11.

καρπὸν ἐχόντων, ἅπασα ἡ γῆ χορτάζεται, μεταλαμβάνουσα τῶν οὕτω παραδόξως ὑπὸ Ἰησοῦ γεγενημένων· οὗτος γὰρ καρπὸς τῶν ἔργων αὐτοῦ τυγχάνει. Καὶ ὁ λόγος δὲ ὁ περὶ τῶν ἔργων τῆς δημιουργίας καὶ προνοίας αὐτοῦ νοηθείς, οἷα καρπὸς ἔργων Θεοῦ τυγχάνων, χορτάσει τὴν γῆν· φημὶ δὴ τοὺς ἐπὶ τῆς γῆς διατρίβοντας ἀνθρώπους.

Στίχ. ιδ', ιε'. «Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων, τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου», καὶ τὰ ἑξῆς.

Εἶπεν, ὅτι ἀπὸ τοῦ ὑετοῦ κτᾶται πλησμονὴν ἡ γῆ, τοῦ Θεοῦ ἐργαζομένου τὴν ἐκ θαλάσσης τῶν ὑδάτων ἀναγωγήν. Εἶτα τὴν ἐντεῦθεν ὑποδείκνυσιν ὠφέλειαν, ὅτι πιανθεῖσα ἐκ τῆς τῶν ὑδάτων χορηγίας ἡ γῆ, ἐξανατέλλει τοῖς ἀπ' αὐτῆς ἅπασι τὰς προσφόρους τροφάς· ἀνθρώπῳ μὲν εὐγενεῖ ζώῳ, καὶ ὑπὸ τοῦ Θεοῦ τετιμημένῳ, ἐξαίρετον καὶ ἀφωρισμένην τροφήν, ἄρτον, καὶ οἶνον καὶ ἔλαιον· ἄρτον μὲν ἐπὶ τῷ στηρίζεσθαι καὶ δυναμοῦσθαι τὴν καρδίαν, οἶνον δὲ ἐπὶ τῷ κατευφραίνεσθαι τὴν ψυχήν, ἔλαιον δὲ ἐπὶ τῷ φαιδρύνεσθαι τὸ σῶμα, καὶ ἁπαλύνεσθαι θεραπευόμενον ἐκ τῆς ἐπιπόνου σκληραγωγίας. Οὕτως αὐτῷ πλουσίαν καὶ ἐκ πλειόνων τράπεζαν εἰς ἀπόλαυσιν οἷα πατὴρ ὁ Θεὸς ἐδωρήσατο. Οὐ μὴν καὶ τῆς τῶν λοιπῶν ζώων κατωλιγώρησεν ἐπιμελείας· φροντίζων δὲ καὶ τῆς τούτων διαμονῆς τὴν ἁρμόζουσαν καὶ τούτοις ἀπένειμε τροφήν· χόρτον μὲν τοῖς κτήνεσι, τῇ δὲ δουλείᾳ τῶν ἀνθρώπων χλόην ἐξανατείλας. Σφόδρα δὲ ἀκριβῶς ὁ προφήτης τὴν τῶν ζώων πεποίηται διαίρεσιν· κτήνη μὲν γενικῶς πᾶν τὸ ποηφάγον ζῷον, δουλείαν δὲ ἀνθρώπων τὰ ἥμερα καὶ ὥσπερ πολιτικὰ ζῷα τὰ εἰς ὑπηρεσίαν ἀνθρώπων ἀφωρισμένα, ὧν τὰ μὲν ἀροῖ τὴν γῆν συνεργοῦντα ἀνθρώπῳ, ὡς βοῦς· τὰ δὲ ἀχθοφορεῖ, ὡς ὄνος· τὰ δὲ ἄλλην τινὰ χρῆσιν τῷ θνητῷ γένει παρέχεται· ἃ οἰκείως καὶ προσφυῶς δουλείαν ἀνθρώπων ὠνόμασεν, οἷς τὴν χλόην δεδόσθαι φησί, τουτέστι τὴν ὑπ' ἀνθρώπων σπαρεῖσαν καὶ γεωργηθεῖσαν· τοῖς δὲ ἄλλοις κτήνεσι, τὸν αὐτομάτως βλαστῶντα χόρτον. Δύναται δὲ καὶ ἀμφότερα ἥ τε χλόη καὶ ὁ χόρτος, ὁμοῦ καὶ τοῖς κτήνεσι καὶ τῇ δουλείᾳ τῶν ἀνθρώπων δεδόσθαι. Οὔτε δὲ θηρίων ἐν τούτοις, οὔτε ἑρπετῶν ἐμνημόνευσε, διὰ τὸ ἑτέρᾳ κεχρῆσθαι ταῦτα τροφῇ· τὰ μὲν γάρ ἐστι σαρκοβόρα· τὰ δὲ ἑρπετά, αὐτῇ τῇ γῇ κέχρηται τροφῇ.

Ὅρα δὲ κύκλῳ περιιόντα τὸν λόγον καὶ τὰ σαφέστερα παρατρέχοντα, ἐμφιλοχωροῦντα δὲ τοῖς παρὰ τῶν πολλῶν ἀντιλεγομένοις, καὶ τῶν ἀλόγων οὐκ ἀφιστάμενον, καὶ τῆς χρείας αὐτῶν καὶ τῆς ὑπηρεσίας. Ποιεῖ δὲ τοῦτο διὰ δύο ταῦτα· δι' ἓν μέν, ἵνα ἐκ περιουσίας ἐπιστομίσῃ τὴν ἀναισχυντίαν τῶν λεγόντων εἶναί τι περιττὸν ἐν τῷ κόσμῳ καὶ ἄχρηστον· δι' ἕτερον δέ, ἵνα δείξῃ, ὅση τῷ Θεῷ τῶν ἀνθρώπων ἡ κηδεμονία, ὅπου γε τῶν δι' ἐκείνους γενομένων τοσοῦτον ποιεῖται λόγον. Τί ταύτης ἶσον γένοιτ' ἂν τῆς κηδεμονίας, ὅταν καὶ τὰ δου-

λεύοντα ἡμῖν οὕτω τρέφῃ, καὶ μὴ συγχωρῇ πονεῖσθαι περὶ πάντα; Οὔτε γὰρ εἴασε τὸν ἄνθρωπον, οὔτε βαρύνει τοῖς πόνοις αὐτόν, ποικίλλων αὐτοῦ τὴν σωτηρίαν. Ἐνταῦθα καλὸν εἰπεῖν πρὸς τὸν τοὺς ὁμογενεῖς καταδουλούμενον· μία δουλεία τῶν ἀνθρώπων τὰ ἄλογα· σὺ δὲ ταῦτα ὀλιγωρεῖς· διὸ τὴν φύσιν δουλείας καὶ κυριότητος σχίσας αὐτὴν ἑαυτῇ δουλεύειν καὶ ἑαυτῇ κυριεύειν ἐποίησας. Τὸν καθ' ὁμοιότητα Θεοῦ ὄντα καὶ πάσης γῆς ἄρχοντα τίς ὁ ἀπεμπολῶν; τίς ὁ ὠνούμενος; μόνου Θεοῦ τὸ δυνηθῆναι τοῦτο, μᾶλλον δὲ οὐδὲ αὐτοῦ τοῦ Θεοῦ· ἀμεταμέλητα γὰρ αὐτοῦ τὰ χαρίσματα. Εἰ δὲ ὁ Θεὸς οὐ δουλοῖ τὸ ἐλεύθερον, τίς ὁ ὑπερτιθεὶς τοῦ Θεοῦ τὴν ἑαυτοῦ δυναστείαν; Πλὴν ἀρκεῖ δουλεύειν τοῖς ἐλευθέροις, καὶ τοσοῦτον εἶναι τὸ διάφορον, ὥστε τοῦ αὐτοῦ χοὸς τὸ μὲν κρατεῖν, τὸ δὲ ἄρχεσθαι. Μὴ βαρυνέσθω δὲ ὁ ζυγός, μηδὲ τῆς πρώτης ἡμῶν ἁμαρτίας τὸ ἐπιτίμιον. Ἐξανατέλλει δὲ ἐν τούτοις ὑπερφυέσι καὶ ὑψηλοτάτοις λόγοις αὐτοῦ ὄρεσιν οὖσι χόρτον· ὃν φέρεσθαι τροφὴν οἷοί τέ εἰσιν οἱ ἀλογώτεροι. Ἔστι δὲ ὁ ἐν τούτοις τοῖς ὄρεσι χόρτος ὁ περὶ τῶν αἰσθητῶν λόγος καὶ τὸ γράμμα τῆς Γραφῆς· ἀλλὰ καὶ ὁ ἠθικώτερος, οὗ μεταλαβεῖν καὶ οἱ πολλοὶ δυνήσονται, ἑκάστου τῶν τοιούτων λέγοντος· «Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν· ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με.[1]» Ὑπερβάντες δέ ποτε τὴν τοιαύτην κατάστασιν, οὐκέτι ἐν δουλείᾳ τῶν ἀνθρώπων ὄντες, ἀλλ' ἄνθρωποι γεγενημένοι, ἐροῦσι πάλιν ἕκαστος· «Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν ἐξεναντίας τῶν θλιβόντων με· ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου καὶ τὸ ποτήριόν μου μεθύσκον ὡς κράτιστον. Καὶ τὸ ἔλεός σου καταδιώξεταί με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν.[2]»

«Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου· τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.» Ἄξιον ἐνταῦθα ζητῆσαι τίνος χάριν εἰπὼν ὁ Δαυΐδ, ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν, ἐπήγαγε· «Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς», ἀπὸ τοῦ σίτου δηλαδὴ κατασκευαζόμενον. Τί ποτέ ἐστιν ὅπερ αἰνίξεσθαι βούλεται; Ὅτι τὸ αὐτὸ σπέρμα κοινὴ γίνεται ἐδωδὴ καὶ ἀλόγοις καὶ ἀνθρώποις, οὐ κατὰ τὸ αὐτό. Καὶ τοῦτο δὲ τῆς τοῦ Θεοῦ σοφίας. Σκόπει δέ· Καταβάλλεται σῖτος, τέως μὲν ἀνθρώπων ἐστὶ τροφὴ μόνον· ἐπειδὰν δὲ βλαστάνῃ, ἄνεισι καὶ τὴν τῶν ἀλόγων ἔχων τροφήν. Ὥσπερ γὰρ αὐτὸ τὸ εἶναι δι' ἡμᾶς ἔλαβε τὰ ζῷα, οὕτω καὶ ἡ τροφὴ αὐτῶν ἐκ τῆς ἡμετέρας τροφῆς ἔχει τὴν ἀρχήν. Ἡ γὰρ χλόη διὰ τοῦτο προηγουμένως γέγονεν, ἵνα τὸν σῖτον διατηρῇ. Εἶδες οὖν τὰ ἄλογα οὐ μόνον ἡμῖν δουλεύοντα, ἀλλὰ καὶ τὴν τροφὴν τῶν ἀλόγων τῇ ἡμετέρᾳ τροφῇ ὑπηρετουμένην,

1. Ψαλμ. 22, 1-2. 2. Ψαλμ. 22, 5-7.

καὶ τῇ τάξει πάλιν τὸ αὐτὸ τοῦτο μιμουμένην. Ὥσπερ γὰρ πρότερον ἄλογα, καὶ τότε ἄνθρωπος, ἐπειδὴ διὰ τὸν ἄνθρωπον τὰ ἄλογα· οὕτω καὶ πρῶτον χλόη, καὶ τότε σῖτος ἐν τῇ βλάστῃ, ἐπειδὴ διὰ τὸν σῖτον ἡ χλόη. «Καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.» Οὐ πᾶς, ἢ μόνος ὁ τὴν γένεσιν ἔχων ἐκ τοῦ εἰπόντος· «Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή.[1]» Ἀλλ' ἐπεὶ τὰ αἰσθητὰ πάντα γῆ διὰ τὸ ὑλικὸν ὀνομάζεται, εἰς τοῦτον δὲ λαβεῖν ἐστι λόγον ἀναβιβάζοντα διά τινος ἀναλογίας ἐπὶ τὰ νοητά· καὶ οὗτος ὁ λόγος ἄρτος ἐστὶν ἐκ τῆς γῆς ἐξαγόμενος, ἐπὶ τὸ τρέφειν τὸν ἔνδον καὶ ἐν κρυπτῷ ἄνθρωπον, καὶ ἀπὸ τῶν σωματικῶν δὲ τῆς γραφῆς διηγημάτων διὰ τὸ ἱστορικὸν γῆ εἰρημένον. Ἄρτος ἐξαγόμενος ὁ μυστικός ἐστι λόγος. «Τοῦ ἐξιλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.» Ἱλαρύνεται δὲ καὶ φαιδρύνεται τὸ πρόσωπον τοῦ ἔσω ἀνθρώπου ἐλαίῳ τῷ θρεπτικῷ τοῦ θείου φωτός, καὶ λύοντι τὰς νόσους καὶ τοὺς πόνους τῆς ψυχῆς, ἐπινοίᾳ μόνῃ διαφέρον τοῦ ἀποδοθέντος οἴνου. Ὁ γὰρ τοῦ Θεοῦ λόγος ὥσπερ ἄμπελος, οὕτω καὶ ἐλαία ἐστίν· «Ἐγώ», φησίν, «ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ.[2]» Ἡ γὰρ αὐτοῦ διδασκαλία κατὰ διάφορον σχέσιν οἶνός τε καὶ ἔλαιόν ἐστι καὶ ἄρτος.

Στίχ. ις'-ιη'. «Χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας· ἐκεῖ στρουθία ἐννοσσεύσουσι. Τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν· ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις.»

Ὁ Ἑβραῖος καὶ οἱ λοιποί, «ξύλα τοῦ Κυρίου», τεθείκασι. Διεξελθὼν τὰ κάρπιμα, ἀναγκαίως μνημονεύει καὶ τῶν ἀκάρπων, ὡς ἀναγκαίαν ἀνθρώποις καὶ αὐτῶν παρεχόντων χρείαν. Διὰ τοῦτο καὶ Κυρίου αὐτὰ προσηγόρευσεν, ὡς αὐτοφυᾶ καὶ οὐ χειρόκμητα, ἀλλὰ τῷ θείῳ λόγῳ βλαστήσαντα. «Αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.» Καλῶς τῷ Θεῷ προσέγραψε τῶν κέδρων τὴν φυτείαν· ὅτι ἐκτὸς ἀνθρωπίνης ἐπιμελείας ἐπὶ τοσοῦτον ηὐξήθησαν. Οὐ γὰρ ἀλσοκόμος τις τούτων γέγονε φυτουργός· ἀλλ' ὁ θεῖος Λόγος, ἀμφιλαφεῖς τὰς τῶν ὀρῶν εἰργάσατο κορυφάς. Εἰ δὲ αὐτὸς ἐφύτευσε, πάντως ὅτι χρήσιμα· πάντα γὰρ ὅσα ἐποίησεν ὁ Θεός, καλὰ λίαν. Τοῦ μὲν Λιβάνου ὡς ἐπισήμου μνημονεύσας, καὶ τῶν ἐν αὐτῷ κέδρων, καὶ τὰ ἄλλα ὄρη καὶ δένδρα διὰ τούτων ἐδήλωσεν. «Ἐκεῖ στρουθία ἐννοσσεύσουσι. Τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.» Ὁ Ἀκύλας οὕτως ἔχει· «Ἐκεῖ ὄρνεα νοσσεύσουσιν. Ἐρωδιῷ ἐλάται οἶκος αὐτῷ.» Τὰ γὰρ αὐτὰ δένδρα ἄλλην μὲν ἀνθρώποις χρείαν, ἄλλην δὲ τοῖς ὀρνέοις παρέχει.

Στίχ. ιθ'. «Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.»

---

1. Ἰω. 15, 1. 2. Ψαλμ. 51, 10.

Τὰ κατὰ γῆν ἅπαντα διεξελθών, καὶ τῶν ἀοράτων φύσεων τὴν δημιουργίαν δείξας, καὶ τῶν οὐρανῶν ὑποδείξας τὴν ποίησιν, νῦν καὶ τῶν φωστήρων ποιεῖται τὴν μνήμην, οἳ κατὰ τὴν τετάρτην ἡμέραν ἐγένοντο. Οὐκ ἀσκόπως δέ, οἶμαι τὰ δόξαντα ἐν τοῖς ἄνω παραλελεῖφθαι, ὅτε τὰ κατ' οὐρανὸν καὶ τὰ περὶ νεφῶν καὶ ἀνέμων ἐλέγετο, νῦν ὁ λόγος ἐπαναλαμβάνει, μετὰ τοσαῦτα μνημονεύσας αὐτῶν, ἀλλ' ὑπὲρ τοῦ διδάξαι, ὅτι καὶ ταῦτα χρείας ἕνεκεν ὑπέστη. Τάχα γάρ, εἰ πρῶτον αὐτῶν ἐμνημόνευσεν, ἀφορμή τις κατελείπετο τοῖς ὡς θεῖα δεῖν αὐτὰ σέβειν ἡγουμένοις, καὶ ὡς αἴτια τῆς τῶν ἐπὶ γῆς ζῴων τε καὶ καρπῶν συστάσεως. Τοῦτο γοῦν οἱ τῆς εὐσεβείας ἀλλότριοι νομίσαντες ὡρμήθησαν σέβειν ὡς θεοὺς ἥλιον καὶ σελήνην, ὡς ἂν τῆς ἡμετέρας γενέσεώς τε καὶ τροφῆς καὶ αὐξήσεως αἰτίους. Ἀλλ' οὐκέτι ὁ θεῖος λόγος τοῦτο παρίστησιν, ἀλλ' ὅτι καὶ τούτων ἐκτὸς ἡ καθόλου πρόνοια τοῦ Θεοῦ οὐ μόνον τὰ κατ' οὐρανόν, ἀλλὰ καὶ τὰ ἐπὶ γῆς συνεστήσατο ζῷά τε καὶ φυτά. Τοῦτο καὶ Μωσῆς διδάξαι βουληθείς, πρῶτον εἰσήγαγε τὴν τῶν ἀπὸ γῆς φυτῶν γένεσιν, εἶθ' οὕτως τὴν τῶν φωστήρων σύστασιν. Καὶ νῦν δὲ ὁ Δαυῒδ ανατρέχει πάλιν ἐπὶ τὴν ἐν οὐρανοῖς πρόνοιαν, δι' οὐδὲν ἕτερον τὴν σελήνην γεγενῆσθαι λέγων, ἢ πρὸς ἀριθμὸν καὶ διάγνωσιν μηνῶν τε καὶ ἡμερῶν· τὸ γάρ, «εἰς καιρούς», τοῦτο δηλοῖ· τουτέστιν, εἰς τὸ διαγινώσκειν διὰ τῶν ἐν αὐτῇ τροπῶν τὰς τῶν καιρῶν μεταβολάς, εἰς τὸ μῆνας ἀριθμεῖν καὶ ἐνιαυτούς. Αἱ γὰρ τῆς σελήνης ἀλλοιώσεις μετρεῖσθαι τὸν χρόνον παρασκευάζουσι· τοῦ γὰρ μηνὸς τὸ μέτρον αὕτη ποιεῖ ἐν τοσαύταις ἡμέραις αὐξάνουσά τε καὶ φθίνουσα· ὥστε ἡ τῆς σελήνης δημιουργία διὰ τὴν τῶν καιρῶν διδασκαλίαν γέγονεν· Οὐχ ἡ τυχοῦσα δὲ χρεία ἐντεῦθεν ἀνύεται ἐκ τοῦ καιροὺς εἰδέναι καὶ παρασκευάζεσθαι πρὸς ἅπαντα· ὡς, εἰ μὴ τοῦτο ἦν, πάντα ἂν ἀπολώλει, οὔτε γεωργοῦ, οὔτε ναύτου, τοῦ μὲν τὴν γῆν ἀνατέμνειν, τοῦ δὲ τὴν θάλασσαν εἰδότος ἐν καιρῷ τῷ προσήκοντι. Αὕτη ἡ ἐκ τῶν καιρῶν τούτων γνῶσις οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ἀλόγοις ἐπιτηδεία καὶ χρησιμωτάτη. Περὶ τῶν φωστήρων καὶ ἐν τῇ Γενέσει εἴρηται· «Ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιρούς, καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς·[1]» εἰς σημεῖα μὲν ἐπομβρίας, αὐχμῶν, πνευμάτων κινήσεως· εἰς καιροὺς δέ, τὰς τῶν ἀέρων ἐναλλαγάς, χειμῶνος, ἔαρος, θέρους, μετοπώρου· ἃς εὐτάκτως ἡμᾶς περιοδεύειν τὸ τεταγμένον τῆς κινήσεως τῶν φωστήρων παρέχει· εἰς ἡμέρας δέ, οὐχ ὥστε ἡμέρας ποιεῖν· ἡμέρα γὰρ καὶ νὺξ πρεσβύτερα τῆς τῶν φωστήρων γενέσεως· ἀλλ' ὥστε κατάρχειν τῶν ἡμερῶν· εἰς ἐνιαυτοὺς δέ, ὅτι σελήνη μέν, ἐπειδὰν δωδεκάκις τὸν ἑαυτῆς ἐκτελέσῃ δρόμον, ἐνιαυτοῦ ἐστι ποιητική· ἡλιακὸς δέ ἐστιν ἐνιαυτὸς ἡ ἀπὸ τοῦ αὐτοῦ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον τοῦ ἡλίου ἀποκατάστασις.

1. Γεν. 1, 14.

Στίχ. κ'-κδ'. «Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συναχθήσονται, καὶ ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε! πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.»

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ, τουτέστι τὴν ὑπὸ τοῦ κρείττονος αὐτῷ διατεταγμένην. Μόνον γὰρ φωτίζειν ἔμαθεν ἥλιος· Οὐδ' ἀεὶ καὶ διαπαντός, τῆς δὲ ἡμέρας ἀρχήν, ἀλλὰ καὶ ἐν νυκτὶ τοῖς ἐν ταύτῃ φαίνουσιν ἄστροις παραχωρεῖν τὸν οἰκεῖον ἀποτελεῖν δρόμον· ὅπως νυκτὸς γενομένης, καὶ ἐπιπολάσαντος τοῦ σκότους τῇ γῇ, ὑποσταλῆναι μὲν καὶ ἀναχωρῆσαι τὰ ἥμερα τῶν ζῴων, ὅσα δέ ἐστιν ἄγρια θηρία, ταῦτα προσέλθοι ἐπὶ τὴν οἰκείαν τροφήν· ἐν οἰκείῳ γὰρ ἁρμόζοντι αὐτοῖς χρόνῳ, τῷ τῆς νυκτὸς διαστήματι. «Σκύμνοι ὠρυόμενοι ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τοῦ Θεοῦ βρῶσιν αὐτοῖς·» ὅτι μὴ καὶ αὐτοῖς ἐξανέτειλεν ἡ γῆ χόρτον ὥσπερ τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Ὁ Θεὸς ὡς τῶν ἁπάντων κηδεμών, καὶ τῆς τῶν πάντων διαμονῆς τε καὶ ζωῆς πρόνοιαν εἰσφέρων, τὰ μὲν ἐλαύνεσθαι ὑπὸ τῶν τοῦ ἡλίου μαρμαρυγῶν, καὶ ὥσπερ ἐχθρὸν φεύγειν τὸ φῶς ᾠκονομήσατο· τὰ δὲ ὡς τοῦ φωτὸς συγγενῆ ἐν ἡμέρᾳ προϊέναι, καὶ τὸν βίον αὐτῶν ἐν τῷ φωτὶ διάγειν συνεχώρησε· τῶν μὲν θηρίων εἰς τὰς μάνδρας αὐτῶν κοιταζομένων, τοῦ δὲ λογικοῦ ζῴου ἐν ἡμέρᾳ καὶ φωτὶ προϊόντος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Στίχ. κε', κς'. «Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός· ζῷα μικρὰ μετὰ μεγάλων.»

Ἐν τούτοις παρίστησιν, ὅτι, ὥσπερ τὸ τῆς γῆς στοιχεῖον πολλῶν ἐστι ζῴων γεννητικὸν καὶ θρεπτικόν, τὸν αὐτὸν τρόπον καὶ ἡ ὑγρὰ οὐσία παμπληθῆ γένη ζῴων τρέφει. Οὐ γὰρ κενοὺς τοὺς χώρους ὁ Θεὸς ἐποίησεν, ἀλλὰ ζῴων πάντα ἐνέπλησε τὸν ἀέρα, τὴν γῆν, τὴν θάλασσαν· τὸν μὲν ὀρνίθων μόνον, τὴν δὲ τετραπόδων καὶ πτερωτῶν, τὴν δὲ ἀπείρων ἰχθύων· ὧν οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, καὶ τροφὴ τοῖς μείζοσιν οἱ ἐλάττονες, καὶ τὸ γένος οὐ δαπανᾶται. Καὶ τοῦτο δὲ τῆς θείας κηδεμονίας τεκμήριον, τὸ τὰ σμικρὰ γένη, τοῖς μεγάλοις συνδιαιτᾶσθαι, καὶ μὴ παντελῶς ὑπ' ἐκείνων καταναλίσκεσθαι· βόσκονται γὰρ οἱ δυνατώτεροι τοὺς καταδεεστέρους, καὶ οὐκ ἀνηλώκασιν, ἀλλὰ νικᾷ τὴν δαπάνην ἡ πρόσοδος. Τούτοις ἐοίκασιν ὅσοι τῶν ἀνθρώπων τοὺς καταδεεστέρους καταπίνουσιν. Ἀλλ' ἐκεῖ μὲν οὐκ ἔγκλημα τὸ γινόμενον· φύσεως γάρ ἐστι τὸ συμβαῖνον· σὺ δὲ οὐδὲ μίαν ἕξεις ἀπολογίαν, ὁ λόγῳ καὶ νόμῳ τετιμημένος καὶ πρὸς τὴν τῶν ἀλόγων σύγχυσιν ἑαυτὸν ἐξάγων. Ἑρπετά γε μὴν τοὺς ἰχθύας ὀνομάζει, διὰ τὸ ἄποδας αὐτοὺς οἱονεὶ ἐπισύρεσθαι τῷ ὕδατι, ὡς τὰ ἑρπυστικὰ τῇ γῇ.

«Ἐκεῖ πλοῖα διαπορεύονται·» Ἐν τῇ θαλάσσῃ δηλαδή. Εἰπὼν ὅσην ἡ θάλασσα ἐκτρέφει γονήν, καὶ ὅτι οὔτε τὰ ζῷα ἀριθμεῖται, οὔτε αὐτὴ μετρεῖται, λέγει καὶ ὅσον αὐτῆς χρήσιμον εἰς ἀνθρώπους. Διὰ ναυπηγικῆς γὰρ τέχνης καὶ κυβερνητικῆς ἐπιστήμης παρ' ἀλλήλων κομιζόμεθα τὰ ἐνδέοντα, καὶ τὸν παρ' ἡμῖν φυόμενον καρπὸν χορηγοῦμεν ἑτέροις, καὶ δεχόμεθα τὸ παρ' ἐκείνοις γινόμενον· ὥστε μὴ τὸ περιττεῦον εἶναι ἀνόνητον, μήτε τὸ ἐνδέον ἀνεπινόητον. Ὑψηλότερον δὲ πλοίῳ παρεικάζει τὴν Ἐκκλησίαν, θαλάττῃ δὲ τὸν ἀνθρώπινον βίον, διὰ τὸ ἀστάθμητον καὶ ἀεικίνητον τῶν ἐν αὐτῷ πραγμάτων. Ἑρπετῶν δὲ τὸ γένος τὸ ἀναρίθμητον τὴν πολυειδῆ καὶ οἱονεὶ πολυπρόσωπον τῶν ἀνθρώπων λέγει πληθύν, εἰς τὴν τῆς ἕξεως ποικιλίαν νοουμένης τῆς ἐξαλλαγῆς. Φύσις μὲν γὰρ πᾶσιν ἡ αὐτή, καὶ ὁ τῆς γενέσεως τρόπος οὐχ ἑτεροῖος, πολυσχιδὴς δὲ νοῦς, καὶ πολυγνώμων ἐν ἡμῖν καρδία. Καὶ τοῦτο εἰδώς τις ἔφασκεν· Ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις, οὕτως οὐδὲ αἱ διάνοιαι τῶν ἀνθρώπων. Πλοῖα δὲ εἶναί φαμεν, ἃ καὶ ἐν τῇδε τῇ νοητῇ θαλάσσῃ διαπορεύεται [1], κατὰ τὸ γεγραμμένον, τὰς ἁγίας τοῦ Σωτῆρος ἡμῶν Ἐκκλησίας οὔσας μὲν ἐν κόσμῳ, πλὴν ἀνωτέρω τοῦ κόσμου, καθάπερ ἀμέλει καὶ τὰς ὁλκάδας ἐστὶν ὁρᾶν, οὔσας μὲν ἐν ὕδατι, πλὴν ὑδάτων ἀνωτέρας. Αἱ τοίνυν ὑδάτων πλοίων ἐκκλησίαι, τὴν νοητὴν διανηχόμεναι θάλασσαν, δέχονται μὲν τοὺς πιστεύοντας, ἀποκομίζουσι δὲ καθάπερ εἰς ἑτέραν τινὰ γῆν ἢ χώραν τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ ἐλπίδα τὴν ἐν Χριστῷ καὶ εἰς ἁγιασμὸν τὸν διὰ τοῦ Πνεύματος, καὶ εἰς τὴν τῶν ἁγίων πατρίδα τὴν ἀρετήν. Πάροικοι γὰρ ὄντες καὶ παρεπίδημοι, κατὰ τὸ γεγραμμένον, ἐπὶ τῆς γῆς, οὐκ ἔχουσιν ὧδε μένουσαν πόλιν· [2] ἐπείγονται δὲ πρὸς ἐκείνην, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.[3] Ἐν σχήματι οὖν θαλάσσης τοῦδε τοῦ καθ' ἡμᾶς νοουμένου κόσμου, σκάφος ἢ πλοῖον ἡ Ἐκκλησία νοηθήσεται, πλωτῆρας ἔχουσα τοὺς ἡγιασμένους, οἳ καὶ διὰ τοῦ καταδέξασθαι τὴν πίστιν συνόντα διὰ παντὸς ἔχουσι τὸν Χριστὸν εὐδίαν ἀπλοῦντα τὴν ἁπαλήν. Ἑτέρως δὲ πλοῖα ὀνομάζει τοὺς διὰ τῶν σωμάτων ἐν τῷ ἁλμυρῷ κλύδωνι τοῦ βίου τούτου σαλευομένους. Καὶ ἔστιν ἐπαινούμενα πλοῖα τὰ διαβαίνοντα τὴν θάλασσαν, ἀλλὰ μὴ ἐναπομένοντα αὐτῇ, μηδὲ καταβαπτιζόμενα τοῖς κύμασιν. Οἱ γὰρ ἐν σαρκὶ ὄντες, καὶ μὴ κατὰ σάρκα στρατευόμενοι, καταπατοῦντες τὸν κλύδωνα τοῦ βίου, καὶ ὑψηλότεροι αὐτοῦ ὄντες, ποιοῦσιν ἐργασίαν ἐν ὕδασι πολλοῖς, συγκαταβαίνοντες ἐπὶ τῷ κερδῆσαί τινας τῶν βεβυθισμένων. Ἔτι τὸν τῇδε τοῦ βίου περισπασμόν, καὶ τὴν ἐν αὐτῷ τῶν πραγμάτων πικρὰν ἀνάχυσιν καὶ τὸν ἀναφυρμόν, σημαίνων ἡμῖν ἀστείως ὁ μελῳδός, «Αὕτη ἡ θάλασσα», φησίν, «ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.» Ἰχθῦσι γὰρ παρεικαστέον εὖ μάλα τοὺς

---

1. Α' Κορ. 10, 1. 2. Ἑβρ. 13, 14. 3. Ἑβρ. 11, 10.

ἐπ' οὐδενὶ μὲν ἔσθ' ὅτε τῶν ἀναγκαίων εἰς ὄνησιν τῇδε κἀκεῖσε διάττοντας, καὶ μόνα συλλέγοντας τὰ ὅσαπερ ἂν ἀποφῆναι σαρκικούς, καὶ εἰκαίους ἀνατλῆναι παρασκευάζει πόνους. Οὐκοῦν ἰχθύων διανηχόμεθα δίκην τὴν πλατεῖαν ταύτην καὶ εὐρύχωρον θάλασσαν, τουτέστι τὸν κόσμον· διάφορος γάρ πως ὁ ἑκάστου βίος.

Στίχ. κζ'-κη'. «Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσι· ἀνοίξαντος δέ σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος.»

Ὅρα εἰ δυνήσῃ καθολικὸν ἀπὸ τούτου ἐκλαβεῖν δόγμα, ὡς πάντων τῶν γενητῶν πενομένων, λειπομένων τε καὶ δεομένων τῆς παρὰ τοῦ Θεοῦ χορηγίας, ἧς μεταλαβόντα δυναμοῦται καὶ ἰσχύει, ὥσπερ διὰ τροφῆς ζωούμενα. «Πάντα πρὸς σὲ προσδοκῶσιν, δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον.» Τὰ πάντα δὲ φήσας ὁ λόγος περιείληφεν ὁμοῦ τὰς νοητὰς καὶ ἁγίας δυνάμεις, τάς τε αἰσθητὰς καὶ τὰς ἐν θνητοῖς σώμασιν. Οὕτω γὰρ μᾶλλον μειζόνως ἡ ἀγαθότης διαλάμπει, τῷ καὶ ἀξίοις καὶ μὴ ἀξίοις τῆς παρ' αὐτοῦ χρηστότητος μεταδοῦναι.

Στίχ. λ'. «Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.»

Περὶ ἀνθρώπων δὲ ὁ λόγος, καὶ οἶμαί γε διὰ τούτων τὴν τοῦ παρόντος αἰῶνος δηλοῦσθαι συντέλειαν, καὶ τὴν τοῦ μέλλοντος ἀνανέωσιν· ὡς ἂν μή τις ὑπονοήσῃ εἰς ἄπειρον κατατείνειν τὴν παροῦσαν τοῦ κόσμου σύστασιν, ἀλλ' ἔχοιμεν ἐλπίδας εἰς ἐκεῖνον τὸν νέον αἰῶνα καὶ τὴν ἀνάστασιν, ἣν ὁ λόγος παρίστησι μετὰ τὸ φάναι, «Εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν», ἐπαγαγών· «Ἐξαποστελεῖς τὸ πνεῦμά σου» τὸ ζωοποιόν, «καὶ κτισθήσονται», ἐκ γῆς ἀνιστάμενοι, «καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς», τὸ κάλλος τῆς γῆς, δηλαδὴ τοὺς ἀπὸ γῆς πλασθέντας ἀνθρώπους. Ἐνταῦθα σαφῶς ἡμῖν καὶ τὴν ἀνάστασιν προεκήρυξε, καὶ τὴν διὰ τοῦ παναγίου Πνεύματος ἀναβίωσιν, καὶ τὸν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς τῶν ἀνθρωπίνων σωμάτων, ἀναπλασμόν· τήν τε εἰς τὸ αὖθις εἶναι παραγωγήν. Καὶ δείκνυσιν, ὡς αὐτός ἐστιν ὁ καὶ θανάτου καὶ ζωῆς δεσπότης. Οὐ γὰρ βούλεται τοῖς σκυθρωποῖς ἐνδιατρίβειν, ἀλλὰ τοσοῦτον εἰπὼν ὅσον φοβῆσαι, πάλιν ἐπὶ τὰ χρηστὰ ἐπανάγει τὸν λόγον, καὶ ὅπερ ἀλλαχοῦ εἴρηται, ὅτι καὶ θανάτου καὶ ζωῆς αὐτός ἐστι Κύριος, τοῦτο ἐνταῦθα δηλοῖ, καί φησι τοὺς εἰς τὸν χοῦν ἐπιστρέψαντας ὑπὸ τοῦ Πνεύματος κτίζεσθαι, καὶ ἀνακαινίζεσθαι τῶν ἀνθρώπων τὸ γένος· ἡ γὰρ ἀνάστασις εἰς τὸ ἀρχαῖόν ἐστιν ἀποκατάστασις. Ἀποστολὴν δὲ καλεῖ τοῦ Πνεύματος τὴν πρὸς τὸ ἐνεργεῖν αὐτοῦ συγκατάβασιν, οὐ τὴν ἐκ τόπου εἰς τόπον μετάβασιν· ὅτι «Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην», ὑφ' οὗ τὸ πρόσωπον τῆς γῆς ἀνακαινίζεται. Τοῦτο γὰρ κάλλος, τῆς οἰκουμένης τὰ ζῷα τὰ ἐν αὐτῇ, τὰ φυτά, τῶν ἀνθρώπων

τὸ γένος· ὥστε δὲ ταῦτα συστῆναι, τῆς παρ' αὐτοῦ διδομένης χρεία πνοῆς καὶ ζωῆς· ἣν καὶ δοῦναι καὶ λαβεῖν αὐτῷ ῥᾴδιον, καὶ πάντα μετὰ τάχους καὶ εὐκολίας. Καὶ τοῦτο μάλιστα δείκνυσιν αὐτοῦ τὴν ἰσχύν. Ὁρᾷς καὶ ἐν τῷ παρόντι βίῳ μελετωμένην τὴν ἀνάστασιν ἐν τοῖς σπέρμασιν, ἐν τοῖς φυτοῖς, καὶ ἐν αὐτῷ τῷ γένει τῶν ἀνθρώπων. Καὶ ζῷα γὰρ καὶ φυτὰ κατ' ἔσχατον ἀπήχημα τῆς ζωῆς ἔχουσι τὸ εἶναι, ἧς ἀνταναιρουμένης κατὰ τὸ λόγιον, ἐκλείπει πᾶσα ζωή, καὶ πρὸς ἓν τὰ ἐκλελοιπότα τῇ πρὸς τὸ μετέχειν αὐτῆς ἀσθενείᾳ πάλιν ἐπιστρεφόμενα, πάλιν ζῷα γίνεται. Τὸ δὲ θειότατον, ὅτι καὶ ὅλως ἡμᾶς, ψυχάς φημι καὶ τὰ συζυγῆ σώματα, πρὸς παντελῆ ζωὴν καὶ ἀθανασίαν ἐπήγγελται μεταθήσειν· πρᾶγμα τῇ παλαιότητι μὲν ἴσως παρὰ φύσιν δοκοῦν, τῇ δὲ ἀληθείᾳ καὶ θεῖον καὶ ὑπὲρ φύσιν τὴν καθ' ἡμᾶς, οὐ τὴν πανσθενῆ· αὐτῇ γὰρ οὐδὲ μία ζωὴ παρὰ φύσιν, ἢ ὑπὲρ φύσιν, ὥστε οἱ περὶ τούτων τῆς παροινίας Σίμωνος ἀντιρρητικοὶ λόγοι ἀπεληλάσθωσαν. Τινὲς δὲ οὕτω νοοῦσι τοὺς στίχους· Ἀποστελεῖς τὸ Πνεῦμά σου, τὸ διὰ τοῦ ἁγίου βαπτίσματος ἐπιφοιτῶν, καὶ κτισθήσονται εἰς καινὴν κτίσιν, εἰς νέον λαόν· ὡς νοεῖσθαι τὴν μὲν προτέραν ἑρμηνείαν περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, ὅτε καὶ ἡ γῆ ἀνακαινισθήσεται καὶ ἀπαλλαγήσεται τῆς φθορᾶς, τὴν δὲ δευτέραν περὶ τῆς ἐκ βαπτίσματος παλιγγενεσίας.

Στίχ. λα'-λγ'. «Ἤτω ἡ δόξα Κυρίου εἰς τὸν αἰῶνα· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.»

Ἐπειδὴ ταῦτα δεδίδαγμαι, φησί, τούτου χάριν πᾶσαν τὴν ζωήν μου εἰς ὕμνον καταναλώσω τῷ δημιουργῷ· καὶ ἕως ἂν ζῶ καὶ ὑπάρχω ἐν τῷ βίῳ τούτῳ τὸν ὀφειλόμενον ψαλμὸν ἀποδώσω τῷ Θεῷ μου. Πολλὴν δὲ ἐμφαίνει διάθεσιν καὶ οἰκείωσιν πρὸς τὸν Θεὸν ἡ προσθήκη. Οὐ γὰρ εἶπε, «ψαλῶ τῷ Θεῷ», ἀλλά, «τῷ Θεῷ μου.» Ἔοικε γὰρ φάσκειν, τῷ κτίσαντί με καὶ θρέψαντι καὶ πάντων αἰτίῳ μοι γεγονότι τῶν ἀγαθῶν. Ὠδὴν δὲ ἐνταῦθα λέγει οὐ τὴν διὰ τῶν ῥημάτων, ἀλλὰ καὶ τὴν διὰ τῶν ἔργων. Ἐπειδὴ γὰρ εὗρεν ἑαυτὸν πολλῶν ὄντα ὑπεύθυνον τῷ Θεῷ, καὶ ἀντίδοσιν οὐδεμίαν ἀξίαν δυνάμενον καταβαλεῖν, ἣν ἔχει, ταύτην κατατίθησι, τὸ διηνεκῶς ὑμνεῖν, τὸ πᾶσαν εἰς τοῦτο δαπανῆσαι τὴν ζωήν. Ἀκουέτωσαν οἱ πραγματείαις καὶ καπηλείαις διὰ πάσης κατασηπόμενοι τῆς ἡμέρας, καὶ οὐδὲ ἅπαξ εἰς εὐχὴν τρεπόμενοι, ὅσον εἰσὶν ὑπεύθυνοι τῷ Θεῷ· τοῦτο τῆς ζωῆς τὸ κέρδος, τὸ εὐλογεῖν τὸν Θεόν, ἐπὶ τούτῳ καὶ ζῆν ἄξιον. Εἰκότως δὲ προσέθηκε, «ἐν τῇ ζωῇ μου», καὶ τό, «ἕως ὑπάρχω, ψαλῶ τῷ Θεῷ.» Οὐ γάρ ἐστιν ἐν θανάτῳ ὁ μνημονεύων αὐτοῦ, ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεται; Οὕτως ἀπεκλείσθη ταῖς μωραῖς παρθένοις τοῦ νυμφῶνος ἡ θύρα, τὸν τῆς λαμπαδηφορίας καιρὸν εἰς ἀγορασίαν ἐλαίου δαπανώσαις.

Στίχ. λδ΄. «Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου· ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.»

Εἴη, φησί, τοιαῦτά με ᾆσαι καὶ ψάλαι, ὡς ἡδυνθῆναι αὐτῷ τὸν ἐμοῦ καρπόν, τὴν διαλογήν μου· τουτέστι τὴν διάλεξίν μου, τὴν ὁμιλίαν μου, τὴν αἴνεσιν· ὁ γὰρ ψάλλων Θεῷ διαλέγεται. Τί δέ ἐστιν, «Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου;» εὐπρόσδεκτος γένοιτο, ἀρέσαι δεχθείη, ἡδίστη καὶ τερπνοτάτη ὀφθείη τῷ Θεῷ. Ἄρα ἡ εὐχὴ οὐδὲν ἕτερόν ἐστιν ἢ διάλεξις πρὸς Θεόν. Ἐννόησον τοίνυν τὴν ψαλμῳδίαν, ἐν αὐτῇ τὴν ἀμοιβὴν ἔχουσαν. Τί γὰρ ἴσον γένοιτ' ἂν τοῦ Θεῷ διαλέγεσθαι; Ἡ τοιαύτη θορύβων ἀπαλλάττεται ψυχή, εἰς τὸν οὐρανὸν μεθίσταται, τῶν συνδέσμων τοῦ σώματος ἀπολύεται, πτεροῦται, κουφοτέρα καθίσταται, ἀποτίθεται τὰ πάθη, ἀποδύεται τὰ νοσήματα. Εἰ γὰρ ἀνθρώπῳ τις συνετῷ καὶ νοῦν ἔχοντι διαλεγόμενος, ἀπὸ τῆς ὁμιλίας τι κερδάνας ἀπέρχεται, ὁ πρὸς τὸν Θεὸν ὁμιλῶν, ἐννόησον πόσην καρπώσεται τὴν ἀρετήν. Ἄρα ὕμνος τοῦτό ἐστιν ἡ πρὸς Θεὸν ὁμιλία. Πῶς δ' ἂν αὕτη ἡδυνθείη τῷ Θεῷ; Εἰ βίος εἴη καθαρός, εἰ ψυχὴ φιλοσοφοῦσα. Ὅταν γὰρ πᾶσαν ἀναλώσῃς τὴν ἡμέραν εὐχόμενος, τῆς πολιτείας ἀντιπραττούσης, οὐκ ἀκουσθήσῃ ῥᾳδίως, οὐ μόνον αὐτός, ἀλλ' οὐδ' ἕτερος ὑπὲρ σοῦ τοῦτο ποιῶν. Ταῦτα δὲ λέγω, οὐχ ἵνα μὴ προσευχώμεθα, οὐδ' ἵνα μὴ ψάλλωμεν, ἀλλ' ἵνα μετὰ τοῦ ψάλλειν καὶ βίου καὶ πολιτείας ἐπιμελώμεθα. Νοήσεις δὲ τὸν στίχον καὶ οὕτως· Πολλοὶ κατὰ συναρπαγὴν παρηλλαγμένως τὰς κρίσεις ἐκφέρουσι, πρὸ καταλήψεως τῆς ἐξ ἱκανοῦ λόγου, καὶ ἐπιπλεῖον ἐρευνηθέντος, ἐγγινομένης, ἀβασανίστως κατὰ προπέτειαν τὰς περὶ ἑκάστου δόγματος ῥιπτοῦντες συγκαταθέσεις. Ἡ δὲ τῆς διαλεκτικῆς φύσις μάλιστα πεπίστευται ταῦτα παρέχειν δύνασθαι, διαιρεῖν ἀκριβῶς τὰς τῶν πραγμάτων φύσεις καὶ τὰ ὅμοια γνωρίζειν, καὶ τὰ ἑαυτῆς διακρίνειν. Διόπερ συνειδὼς ἑαυτῷ τὴν θείαν διαλεκτικὴν ἔχοντι, ἔλεγεν ὁ Δαυῒδ τό, «Ἡδυνθείη σοι ἡ διαλογή μου.» Ἡ γὰρ τῶν ἐριστικῶς καὶ φιλονείκως ἐπεμβαινόντων τοῖς πράγμασι διαλεκτική, οὐχ ἡδεῖα, ἀλλὰ παραπικραίνουσά τίς ἐστιν. Ὅτι μὲν οὖν ἡδὺς Θεῷ λόγος ὁ εἰς ὀρθότητα βλέπων, αὐτὸς ἐν τῷ ᾄσματι λέγει· «Κηρίον ἀποστάζουσι χείλη σου, ἀδελφή μου νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου.[1]» Ὅτι δὲ ὁ ψυχρολογεῖν εἰωθὼς ἀκαλλής, ἡ ψαλμῳδία παρίστησι· «Τάφος» γάρ, φησίν, «ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. Ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.[2]» Εὔχομαι, φησί, ταύτην μου τὴν ὑμνῳδίαν καὶ διάλεξιν ἡδίστην ὀφθῆναι τῷ Θεῷ. Τούτου γὰρ γενομένου, ἐγὼ τὴν ἐντεῦθεν εὐθυμίαν καρπώσομαι, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ, τουτέστιν ἐπὶ τῇ λατρείᾳ, ἐπὶ τῇ προσκυνήσει καὶ τοῖς ἐπιτάγμασι τοῖς αὐτοῦ, ἐπὶ τῷ τοιοῦτον ἔχειν δεσπότην. Καλὰ μὲν γὰρ καὶ τὰ ὁρώμενα, καὶ τέρπει ὁ οὐρανός, καὶ

1. Ἄσμ. 4, 11. 2. Ψαλμ. 5, 10.

εὐφραίνει ὁ ἥλιος, καὶ γῆ ἀνίησι σπέρματα καὶ φυτά· ἀλλ' ἐγὼ τούτων πάντων ἐπὶ τῷ ποιήσαντι πλέον εὐφραίνομαι. Τοῦτό μοι τρυφή, τοῦτό μοι εὐφροσύνη, τοῦτο ἡδονή, τοῦτο τὰ μύρια ἀγαθά.

Στίχ. λε΄. «Ἐκλίποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.»

Ἐν ἐκείνῳ δηλονότι τῷ καιρῷ, ἀκούσονται γάρ, «Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι, εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψασα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· γυμνός, καὶ οὐ περιεβάλετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με·[1]» καὶ οὐκ ἔσονται ἐν τῇ μερίδι τῶν εὐλογούντων τὸν Θεόν. Ἀλλ' ἐρεῖ τις τυχόν· Ἆρ' οὖν ὁ μακάριος Προφήτης κατεύχεται τῶν ὄντων ἐν ἁμαρτίαις, καὶ πάντας ἀπολέσθαι καὶ ἀφανισθῆναι βούλεται; Καίτοι μᾶλλον ἐχρῆν ἅγιον ὄντα καὶ πνευματοφόρον ὑπερεύχεσθαι τῶν ἠσθενηκότων. Ἄκουε λοιπόν, ἐρῶ γὰρ διὰ βραχέων· πρὸ μὲν τῆς τοῦ Σωτῆρος ἐπιδημίας ἅπαντες ἦμεν ἐν ἁμαρτίαις, κατεκράτει τῆς ὑπ' οὐρανὸν ὁ Σατανᾶς, οὐκ ἦν ὁ ποιῶν χρηστότητα, οὐκ ἦν ἕως ἑνός· πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. Ἕλληνες μὲν γὰρ οἱ τῶν εἰδώλων προσκυνηταί, τοὺς τῆς ἐπιεικείας οὐκ ᾔδεισαν τρόπους, τῆς εὐζωΐας τὴν ὁδὸν οὐκ ἠπίσταντο· μᾶλλον δὲ οὐδὲ αὐτὸν ἐγίνωσκον ὅλως τὸν τῶν ὅλων γενεσιουργὸν καὶ Σωτῆρα Χριστόν· Ἰουδαῖοι δὲ πάλιν εἶχον μὲν νόμον τὸν παιδαγωγόν· ἀλλ' οὐκ ἦν ἐν νόμῳ δικαιωθῆναι τὸν ἄνθρωπον. Οὐκοῦν ἅπαντες ἦμεν ἐν ἁμαρτίαις, ἀνομίας ἦν πλήρης ἡ γῆ. Ἐπειδὴ δὲ ἐπέφανεν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, καὶ γέγονεν ἄνθρωπος, ἐξέλιπον οἱ ἁμαρτωλοί, ἐκλελοίπασιν οἱ ὄντες ἐν ἀνομίαις. Πῶς ἢ τίνα τρόπον; δεδικαίωκε γὰρ ἅπαντας, ἀπήλλαξε τῶν πεπλημμελημένων, ἐλευθέρους ἀπέφηνε καὶ διεσμηγμένους. Οὐκοῦν ὀλίγοι γεγόνασιν οἱ ἐν ἁμαρτίαις, πολλοὶ δὲ λίαν οἱ δεδικαιωμένοι· ὥστε ἐνταῦθα οὐ τὴν οὐσίαν ἀφανισθῆναι εὔχεται, οὔτε τοὺς ἀνθρώπους πανωλεθρίᾳ παραδοθῆναι· ἀλλὰ τὴν πονηρίαν ἐκλίποι ἁμαρτωλός, ὥστε μὴ εἶναι ἁμαρτωλός, ἀλλὰ μετατεθῆναι· μὴ ὑπάρχοι ὁ ἄνομος, ἀλλὰ μεταβληθῆναι. Τοιαύτας γὰρ αἱ τῶν ἁγίων ψυχαὶ οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης τὰς δεήσεις ἀναφέρουσι. Καὶ νῦν τοίνυν ὁ Δαυΐδ, τὸ θεῖον κάλλος κατὰ τὸν ἀπόρρητον πλοῦτον, ὡς ἐνῆν ἀνθρωπείᾳ φύσει διεξελθών, πάντας ἀνθρώπους ἱμείρετο τῆς αὐτῆς μεταλαχεῖν γνώσεως, καὶ τὴν τῶν ἁμαρτωλῶν πάμπαν ἐκλεῖψαι συμμορίαν ἱκετεύει· οὐκ αὐτοὺς ἀπολέσθαι παρακαλῶν, ἀλλὰ μεταβληθῆναι δεόμενος, καὶ παύσασθαι αὐτῶν τὸ στίφος ἀντιβολῶν, μεταταξαμένων καὶ μεταμαθόντων τὰ θεῖα. Ὥστε μάτην οἱ ἐριστικοὶ εἰς συνηγορίαν τῆς ἑαυτῶν πικρίας τὰς τοιαύτας φωνὰς παρατίθενται· τὸν Δαυΐδ ἐκλείπειν τὸν

1. Ματθ. 25, 41-43.

ἁμαρτωλὸν ποθοῦντα, καὶ αἰσχύνην καὶ ἐντροπὴν τῶν ἐχθρῶν κατευχόμενον· τὸν Ἱερεμίαν ἰδεῖν τὴν παρὰ τοῦ Θεοῦ ἐκδίκησιν ἐκ τῶν ἐναντίων ἐπιθυμοῦντα· τὸν Ὠσηὲ μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηροὺς δοθῆναι τοῖς ἐχθροῖς δεόμενον· καὶ πολλὰ τοιαῦτα σποράδην ἐγκείμενα ταῖς θείαις Γραφαῖς ἀναλέγονται, συνιστάμενοι τῷ δεῖν τῶν ἐναντίων κατεύχεσθαι, καὶ τῆς ἑαυτῶν πικρίας συνεργὸν ποιεῖσθαι τὴν τοῦ Θεοῦ ἀγαθότητα.

Ἀλλ' οὐδεὶς τῶν ἀληθῶς ἁγίων, ὧν αἱ ῥήσεις κατὰ θείαν οἰκονομίαν εἰς νουθεσίαν τῶν ἐφεξῆς ἀνεγράφησαν, ἐπί τινι κακῷ τὴν σπουδὴν ἔχων ἐπιδειχθήσεται, ἀλλὰ πᾶς αὐτοῖς ὁ σκοπὸς τῶν λόγων πρὸς διόρθωσιν τῆς ἐμπολιτευομένης τῇ φύσει κακίας βλέπει. Ὥσπερ τοίνυν ὁ εὐχόμενος μὴ εἶναι νοσοῦντας, μὴ εἶναι πτωχεύοντας, οὐ τῶν ἀνθρώπων ἀναίρεσιν, ἀλλὰ τῆς νόσου καὶ τῆς πτωχείας ἀφανισμὸν ἐπιθυμεῖ γενέσθαι· οὕτω καὶ τῶν ἁγίων ἕκαστος τὸ τῇ φύσει πολέμιον, εἰς ἀφανισμὸν ἐλθεῖν εὔχονται. Ὅταν γὰρ ὁ Ψαλμῳδὸς εἴπῃ· «Ἐκλίποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς», τὴν ἁμαρτίαν ἐκλιπεῖν καὶ τὴν ἀνομίαν εὔχεται. Οὐ γὰρ ἄνθρωπος ἀνθρώπῳ πολέμιος, ἀλλ' ἡ κατὰ κακίαν τῆς προαιρέσεως κίνησις εἰς ἐχθροῦ τάξιν τὸ τῇ φύσει συνημμένον κατέστησε. Τὸ κακὸν τοίνυν ἐκλιπεῖν εὔχεται· ὁ δὲ ἄνθρωπος κακὸν οὐκ ἔστι. Πῶς γὰρ ἂν εἴη κακὸν τοῦ ἀγαθοῦ τὸ ὁμοίωμα; Οὕτως κἂν αἰσχύνην καὶ ἐντροπὴν τῶν ἐχθρῶν κατεύχηται, δείκνυσί σοι τὸ στίφος τῶν ἐναντίων, ἐκ τοῦ ἀοράτου τῇ ἀνθρωπίνῃ προσπολεμούντων ζωῇ. Ὅτι δὲ οὐκ ἀνθρώπων, ἀλλὰ δαιμόνων κατεύχεται, δηλοῖ τῆς εὐχῆς τὸ εἶδος· «Αἰσχυνθήτωσαν» γάρ, φησίν, «οἱ ζητοῦντες τὴν ψυχήν μου, τοῦ ἐξᾶραι αὐτήν. Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ ἐντραπήτωσαν οἱ θέλοντές μοι κακά. Κομισάσθωσαν παραχρῆμα αἰσχύνην αὐτῶν οἱ λέγοντές μοι, Εὖγε, εὖγε. Ἀγαλλιάσαιντο καὶ εὐφρανθείησαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, Κύριε, καὶ εἰπάτωσαν διαπαντός, Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου.[1]» Μόνοι γὰρ οἱ δαίμονες εἰς ψυχὴν ἐπιβουλεύουσι· ψυχῆς δὲ ἐπιβουλὴ Θεοῦ ἀλλοτρίωσις διὰ τῆς ἐμπαθοῦς γινομένης διαθέσεως. Ὡς ἂν οὖν μὴ τοῦτο πάθοι, αἰσχύνην τῶν ἀντιπαλαιόντων εὔχεται. Τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ ἑαυτῷ νίκην κατὰ τῶν πολεμίων ἐπεύξασθαι· οἱ δὲ πολέμιοι τὰ πάθη εἰσίν. Οὕτως Ἱερεμίας ζῆλον τῆς θεοσεβείας ἔχων, εἰδωλολατροῦντος τοῦ βασιλέως καὶ τοῦ λαοῦ, οὐκ ἴδιόν τι θεραπεύει πάθος, ἀλλ' ὑπὲρ τοῦ κοινοῦ τῶν ἀνθρώπων προσάγει τῷ Θεῷ τὴν δέησιν, τῇ κατὰ τῶν ἀσεβησάντων ὁρμῇ ἅπαν σωφρονισθῆναι ἀξιῶν τὸ ἀνθρώπινον. Καὶ Ὠσηὲ δὲ πολυγονοῦσαν τότε τὴν κακίαν ἐν τοῖς Ἰσραηλίταις τῇ ἀτεκνίᾳ καταδικάζει, καὶ τὰς πικρὰς θηλὰς τῆς ἁμαρτίας ξηρανθῆναι βούλεται [2], ὡς ἂν μήτε τίκτοιτο ἐν τοῖς ἀνθρώποις

1. Ψαλμ. 39, 15-17. 2. Πρβλ. Ὠσ. 9, 14.

τὸ κακόν, μήτε τρέφοιτο. Καὶ εἴ τις ἄλλος τοιοῦτος ἐν τοῖς ἁγίοις εὑρεθῇ λόγος θυμοῦ ἔμφασιν ἔχων, πρὸς τὴν τοιαύτην πάντως διάνοιαν βλέπει, ἢ ἐξορίζει τὸ κακόν· οὐκ ἐπιτρίβει τὸν ἄνθρωπον.

Εἰ δέ τις ἑτέρως τὰ τοῦ Δαυῒδ νοεῖν βούλεται, ὡς τοῦ Προφήτου τοὺς δυσσεβείᾳ συζῶντας ἀραῖς ὑποβάλλοντος· καὶ οὕτως εὑρήσει τῇ ἀποστολικῇ διδασκαλίᾳ τὴν προφητείαν συμβαίνουσαν. Παῦλος γὰρ Κορινθίοις ἐπιστέλλων, τοιοῦτον ἀκροτελεύτιον τέθεικεν· «Εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν, ἤτω ἀνάθεμα.[1]» Ἴδιον γὰρ τῶν θερμῶς ἀγαπώντων τὸ μισεῖν τοὺς μισοῦντας τὸν ἀγαπώμενον. Τάχα δὲ καὶ τὴν μετὰ τὴν ἀνάστασιν διὰ τούτων ὁ Δαυῒδ σημαίνει κατάστασιν, ὅτε καὶ εὐφραίνεσθαι τὸν Κύριον ἐπὶ τοῖς ἔργοις αὐτοῦ λέγει, ἐκλιπόντων τῶν ἁμαρτωλῶν ἀπὸ τῆς γῆς. Πῶς γάρ τις ἐξ ἁμαρτίας ὀνομασθήσεται, τῆς ἁμαρτίας οὐκ οὔσης; Τοιαῦτα εὔχου καὶ σύ· Ἄνοιξον, Κύριε, τὴν πλουσίαν σου χεῖρα εἰς χορηγίαν πνευματικῆς εὐεργεσίας· ἵνα ἡ πικροτάτη καὶ ἀπηνής μου ψυχὴ πλησθῇ χρηστότητος. Ἀπόστειλον τὸ Πνεῦμά σου τὸ ἅγιον, καὶ ἀνακαίνισον τὴν κατεφθαρμένην μου γῆν, ἵνα τότε εὐφρανθῶ ἐπὶ τοῖς ἔργοις σου,τῶν δαιμονικῶν μαγγανευμάτων ἐκλιπόντων ἀπὸ τῆς καρδίας μου.

«Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.» Ἐνταῦθα καταλύσας τὸ πᾶν εἰς δοξολογίαν, εἰς εὐφημίαν τῷ αὐτῷ στίχῳ συγκλείει τὸν ψαλμόν, ἀσφαλῆ μετὰ τοῦ θεμελίου τὸν ὄροφον ἐπιθεὶς τῷ λόγῳ, καὶ τῷ προοιμίῳ ἐοικὸς τὸ τέλος ἐπαγαγών. Σὺ γάρ, φησίν, ὦ ψυχή, ἐνδελεχῶς τὸν σὸν ὕμνει δημιουργὸν καὶ Σωτῆρα. Αὐτὸς γὰρ καὶ τοῦ τῶν πονηρῶν ἀποστήσει κλήρου, καὶ τῶν ἁγίων ἀξιοῦσθαι ποιήσει. Καὶ ἀρχὴν τοῦ λόγου καὶ τέλος τὴν εἰς αὐτὸν εὐλογίαν ποιοῦ. Εὐλογία γὰρ Θεοῦ διηνεκὴς εἰς εὐζωΐαν ῥυθμίζει τὸν ἡμέτερον βίον.

## ΑΛΛΗΛΟΥΪΑ. ΡΔ΄.

Στίχ. α΄, β΄. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ· ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ, διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.»

Τῶν ἐπιγεγραμμένων «Ἀλληλούϊα» πρῶτος ὁ παρὼν τυγχάνει ψαλμός. Ἔστι δὲ τὸ Ἀλληλούϊα παρακέλευσις μυστικὴ πρὸς τὴν τοῦ Θεοῦ ὑμνῳδίαν τὴν ἀκοὴν ἐπεγείρουσα· ἵνα τοιοῦτον ᾖ τούτου τὸ σημαινόμενον, «Αἰνεῖτε τὸν Κύριον.» Ἐν οἷς γὰρ μέρεσι τῆς ἁγίας Γραφῆς αὕτη πρόσκειται ἡ φωνή, ἡ λέγουσα, «Αἰνεῖτε τὸν Κύριον», διὰ τοῦ «Ἀλληλούϊα» ἐν ταῖς Ἑβραϊκαῖς φωναῖς τὸ τοιοῦτον σημαίνεται. Τὸ μὲν «Ἀλληλού» αἶνος νοεῖται, ὃς εἰς Θεὸν τὴν ἀναφορὰν ἔχει· τὸ δὲ «Ἴα» ἓν τῶν ἑρμηνευτικῶν τῆς φύσεως τῆς θείας ἐστὶν ὄνομα. Ὅλον δὲ κοινῇ τό, «Ἀλληλούϊα, Αἶνος Θεοῦ»

1. Α΄ Κορ. 16, 21.

ἑρμηνεύεται. Ὅταν τοίνυν τοῦτο τὸ ῥῆμα προγεγραμμένον ᾖ τῆς ψαλμῳδίας, νοητέον ἂν εἴη τὸ δεῖν πάντως τὸ ὑποκείμενον εἰς δοξολογίαν ἄγειν Θεοῦ. Οὕτω καὶ τοῖς τελευταίοις μάλιστα τῆς βίβλου τῶν ψαλμῶν αἱ πολλαὶ τῶν τοιούτων ἐπιγραφαὶ ἐφευρίσκονται, δι' ὧν ἔστιν ἐννοεῖν, ὅτι τοῖς ἤδη πρὸς τὸ τέλειον φθάσασι τῆς κατ' ἀρετὴν πολιτείας, καὶ διὰ τῶν προλαβόντων σῆς ψαλμῳδίας τμημάτων κατὰ τὴν νοηθεῖσαν ἐπ' αὐτῶν θεωρίαν ἐκκαθαρθεῖσιν, ἁρμόζει τὸ αἰνεῖν τὸν Θεόν, καὶ ἐν τούτοις εἶναι, ἐν οἷς καὶ ἡ τῶν ἀγγέλων φύσις εἶναι πεπίστευται. Οὔτε γὰρ ἐκείνων μεμαθήκαμεν ἀσχολίαν ἄλλην τινὰ πλὴν τοῦ αἰνεῖν τὸν Θεόν, οὔτε τοῖς κατ' ἀρετὴν τελείοις ἕτερόν τι σπουδάζεται ἢ τὸ τὴν ζωὴν ἑαυτοῦ αἶνον εἶναι Θεοῦ παρασκευάσαι. Ἐπεὶ τοίνυν οἱ τὴν ἐπιγραφὴν ἔχοντες τοῦ «Ἀλληλούϊα», πάντες σχεδὸν τῷ τελευταίῳ τμήματι τῆς ψαλμῳδίας εὑρίσκονται, σαφῶς ἔστι κατανοῆσαι, καὶ ὅτι πάσης ὑπέρκειται τῆς ὑψηλῆς διὰ τῶν ψαλμῶν ἀναβάσεως τὸ τελευταῖον τμῆμα τῆς ψαλμῳδίας, ἐν ᾧ τὸ πλεῖστον Θεοῦ αἶνός ἐστιν, ἤτοι εἰς τὸ αἰνεῖν τὸν Θεὸν παρακέλευσις. Προστάττει μέντοι ἐν τῷ μετὰ χεῖρας ψαλμῷ τοῖς ἁγίοις ἀποστόλοις τὸ Πνεῦμα τὸ ἅγιον τῷ ἐξ ἐθνῶν λαῷ φανερὰς ποιῆσαι πάσας τὰς θαυματουργίας, ἃς πεποίηται ἐπὶ τῆς αὐτοῦ παρουσίας ὁ Κύριος· καὶ μὴν καὶ ὅσα εὐηργέτησε τὸν πάλαι λαόν, καὶ οἷον ἀνθ' οἵου ἐποίησεν. Ἔτι δὲ ἐν τούτῳ καὶ μνήμη τῶν πρὸς τοὺς πατριάρχας ὑπὸ τοῦ Θεοῦ γεγενημένων ὑποσχέσεων, καὶ τῶν δι' ἐκείνους ὑπ' αὐτοῦ παρασχεθέντων ἀγαθῶν τοῖς ἐκείνων ἐκγόνοις. Ἱκανὴ γὰρ τούτων ἡ μνήμη τοὺς τοσούτων εὐεργεσιῶν ἀπολαύσαντας εἰς ζῆλον τῆς τῶν προγόνων ἀρετῆς ἐρεθίσαι. Διδάσκει δὲ κατὰ ταὐτὸ καὶ τὸν νέον λαόν, ἤγουν τοὺς ἐξ ἐθνῶν ὡς οὐκ ἀδίκως τὸν ἀχάριστον ἐκεῖνον λαὸν τῆς οἰκείας κηδεμονίας ἐγύμνωσεν, ὡς ὁμοῦ ἐκ τῆς κατ' ἐκείνων ἐξενεχθείσης ψήφου τὸ δίκαιον καταμάθοιεν, καὶ τῆς ἀχαριστίας ὁρῶντες τὰ ἐπίχειρα, μὴ τὴν αὐτὴν Ἰουδαίοις βαδίζοιεν, ἀλλὰ τὴν εὐθεῖαν ὁδὸν ὁδεύοιεν.

«Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ.» Διπλῆς οὔσης ἐν τῇ γραφικῇ συνηθείᾳ τῆς κατ' ἐξομολόγησιν σημασίας, καὶ νῦν μὲν τὴν ἐξαγόρευσιν, αὖθις δὲ τὴν εὐχαριστίαν ἐνδεικνυμένης, ἐνταῦθα κατ' ἀμφοτέρας τὰς ἐννοίας πρὸς τὸν κατ' ἀρετὴν βίον χειραγωγούμεθα· ἥ τε γὰρ ἐξαγόρευσις χωρισμόν τινα καὶ ἀλλοτρίωσιν τῶν κακῶν ἀπεργάζεται, τό τε πρὸς τὴν εὐχαριστίαν πρόθυμον πλεονάζει, καὶ τὴν περὶ τοῦ εὐεργέτου χάριν ἐπὶ τῶν εὐαισθήτως δεχομένων τὰς εὐποιΐας. Παρακελεύεται τοίνυν ὁ λόγος τὴν εὐχαριστήριον ὑμνῳδίαν προσφέρειν, καὶ διηγεῖσθαι τὰς θείας εὐεργεσίας. Τὸ γὰρ «ἐπικαλεῖσθε», «κηρύσσετε» ὁ Σύμμαχος ἡρμήνευσεν· ἕτερος δὲ ἑρμηνευτής φησι, «Καὶ ἐπικαλεῖσθε ἐν ὀνόματι αὐτοῦ·» μέγα τι αἰνιττόμενος. Ἂν γὰρ ἐξομολογήσῃ, φησί, καὶ ἀποθῇς τὰ ἁμαρτήματα, δυνήσῃ, μετὰ παρρησίας τὸ ὄνομα αὐτοῦ

καλέσας, μεγάλα ἐργάσασθαι ἀγαθά. Οὐ μάτην δὲ ἐξομολογεῖσθαι πρότερον, καὶ δεύτερον ἐπικαλεῖσθαι βούλεται· ἀλλ' ἵνα, καθαροὶ διὰ τῆς ἐξαγορεύσεως γενόμενοι, ἐκ καθαροῦ ὀργάνου τὸν ὕμνον προσενέγκωμεν.

«Ἐπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ.»

Ὁ μετὰ χεῖρας αἶνος τὴν ἱστορίαν ἐπιτέμνεται τὴν ἀπὸ Ἀβραὰμ καὶ ἐπὶ ἔξοδον τῶν υἱῶν Ἰσραὴλ τὴν ἀπὸ Αἰγύπτου· ἣν καὶ ἐπαγγέλλειν τοῖς ἔθνεσι τὸ θεῖον Πνεῦμα παρακελεύεται, ὥστε διὰ τούτων δηλῶν ἐστιν, ὡς ὄνησιν οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐθνῶν πραγματεύεται, τοῦ Πνεύματος τοὺς τῶν ἐθνῶν διεγείροντος κήρυκας εἰς τὸ ζητεῖν τὸν Κύριον καὶ κηρύσσειν τὰ περὶ αὐτοῦ διηγήματα. Καὶ ταῦτα μεθ' ὕμνων· φησὶ γοῦν· «Ἄσατε αὐτῷ καὶ ψάλατε αὐτῷ· διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ.» Βούλεται ἀπαγγελθῆναι τοῖς ἔθνεσιν, ὡς ἀγνοοῦσι καὶ μηδέπω μεμαθηκόσιν, ὁποίας πάλαι πρότερον εὐεργεσίας ὁ Θεὸς τῷ προτέρῳ λαῷ παρέσχετο· καὶ ὅπως, μυρίων ἀγαθῶν παρὰ τοῦ Θεοῦ τετυχηκότες, παρέβησαν ἀσεβήσαντες· καὶ ὡς διὰ τὰς παρανομίας αὐτῶν τῆς θείας ἐπισκοπῆς ἐκπεπτώκασι. Κελεύει δὲ καὶ ἑρμηνέας γίνεσθαι καὶ σαφηνιστὰς τῶν ἐν τοῖς θείοις λογίοις ἀπορρήτων· ἅπερ ἂν εἴη τὰ θαυμάσια αὐτοῦ· καὶ ἁπλῶς ὑμνῳδίας αὐτὸν ἀμείβεσθαι καὶ τὰ παρ' αὐτοῦ γενόμενα τοὺς ἀγνοοῦντας διδάξαι θαυμάσια.

Στίχ. γ', δ'. «Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ· εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. Ζητήσατε τὸν Κύριον, καὶ κραταιώθητε· ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.»

Ἔπαινος γὰρ καὶ δόξα τοῖς τὴν ἀρετὴν τοῦ Θεοῦ διηγουμένοις. Ὁ δὲ Ἀκύλας ἀντὶ τοῦ «ἐπαινεῖσθε», «καυχᾶσθε» τέθεικε. Παρακελεύεται δὲ ὁ λόγος τοῖς ἀποστόλοις καὶ τοῖς διαδόχοις αὐτῶν, μὴ ἐπὶ πλούτῳ, μὴ ἐπὶ ῥώμῃ, μὴ ἐπὶ δυναστείᾳ, μέγα φρονεῖν· ἀλλ' ἐν τῇ τοῦ ἀληθινοῦ Θεοῦ γνώσει καὶ προμηθείᾳ καὶ τῷ καλεῖσθαι Χριστιανούς. Τοῦτο παρηγγύησε καὶ ὁ θεῖος Ἀπόστολος· «Ὁ καυχώμενος» γάρ, φησίν, «ἐν Κυρίῳ καυχάσθω· οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν ἐκεῖνος δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησι.[1]» Ταῦτα καὶ Ἱερεμίας καὶ ἡ σοφωτάτη Ἄννα διέξεισι· «Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν, ὅτι ἐγώ εἰμι ὁ Κύριος ὁ ποιῶν ἔλεος καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς.[2] Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον·» τουτέστιν ἐπικαλουμένων αὐτὸν εἰς βοήθειαν, ἢ δι' ἀρετῆς πρὸς αὐτὸν ὁδευόντων, οἷς καὶ εὑρίσκεται. Διδάσκει δὲ πόσον ὄφελος ἐκ τοῦ ἐξομολογεῖσθαι γενήσεται. Ὃ γὰρ ἐζητήσατε, φησί, τοῦτο συμβήσεται ὑμῖν, ἡ περὶ τὸν νοῦν εὐφροσύνη· τῆς γὰρ εἰς Θεὸν ἐλ-

1. Β' Κορ. 10, 17-18. 2. Ἱερ. 9, 23-24.

πίδος αὕτη καρπός. Θέα δὲ ὅπως ἀπὸ ἐξομολογήσεως ἤρξατο, καὶ κατέληξεν εἰς εὐφροσύνην. Ἀρχὴ μὲν γὰρ τῆς κατὰ Θεὸν προκοπῆς ἐξομολόγησις· τέλος δὲ ἡ κατὰ Θεὸν εὐφροσύνη· πλεῖστα δὲ τὰ μεταξὺ τούτων. Δεήσει τοίνυν πρῶτον ἐξομολογεῖσθαι τῷ Κυρίῳ διὰ γνησίας μετανοίας, καὶ καρπῶν πρεπόντων τῇ ἐξομολογήσει· ἔπειτα βελτιωθέντας θαρρεῖν καὶ ἐπικαλεῖσθαι τὸ ὄνομα αὐτοῦ, καὶ οὕτως μετὰ τὴν ἐξομολόγησιν ἐπικαλουμένους καταξιοῦσθαι τῶν παρὰ τοῦ Θεοῦ χαρισμάτων· εἶτα τούτων τυχόντες, ἑτέρους ὠφελεῖν διὰ τοῦ ἀπαγγέλλειν εἰς ἅπαντας, ἅπερ μεμαθήκασιν ἔργα αὐτοῦ· καὶ ἐπὶ τούτοις ὡς ἂν καταξιωθέντας τῆς κατὰ Θεὸν θυμηδίας, ᾄδειν αὐτῷ καὶ ψάλλειν· καὶ μετὰ ταῦτα σαφηνιστὰς γίνεσθαι τῶν ἐν τοῖς θείοις λογίοις ἀπορρήτων· εἶτ᾽ ἤδη κατωρθωκότας τὰ τοσαῦτα ἐπαινεῖσθαι ἐν τῷ ὀνόματι αὐτοῦ· καὶ τέλος μετὰ πάντα, εὐφραίνεσθαι κατὰ διάνοιαν, καρδίαν ὀνομαζομένην. Αὕτη, τὸν Κύριον ἐκζητοῦσα, ἐξ αὐτῆς τῆς ζητήσεως καὶ τῆς ἐπιγινομένης τῇ ζητήσει εὑρέσεως, ἀπολαυέτω τῆς κατὰ Θεὸν εὐφροσύνης.

Ταῦτα δὲ πάντα ἡγοῦμαι εἰς πρόσωπον τῶν ἀποστόλων ὑπὸ τοῦ ἁγίου Πνεύματος ἀναφέρεσθαι. Τὸ γάρ, «Ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ», οὐκ ἄλλοις ἁρμόζει λέγεσθαι ἢ αὐτοῖς. Μαρτυρεῖ δὲ τῷ λόγῳ τὸ ἀποτέλεσμα· μόνοι γὰρ ἀπήγγειλαν τοῦ Θεοῦ τὰ ἔργα ἐν τοῖς ἔθνεσι τοῖς δι᾽ αὐτῶν τὸν τῶν ὅλων Θεὸν ἐπεγνωκόσιν, οὓς ἀνωτέρω καινὴν γενεὰν καὶ λαὸν κτιζόμενον προσηγόρευσε. Δεῖ τοίνυν τὸν μέλλοντα ζητεῖν τὸν Κύριον ἐξομολογεῖσθαι πρότερον δι᾽ εἰλικρινοῦς μετανοίας καὶ τῶν ταύτης καρπῶν· ὁ γὰρ τοιοῦτος καὶ ζητεῖν δύναται, καὶ ζητῶν εὑρεῖν. Εἰ γὰρ ἐπὶ λίθων τιμίων τῶν εἰδότων χρεία, καὶ ἐπὶ κολυμβητῶν πολλῆς τῆς ἐπιστήμης δεῖ, πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. Πολλὰ γάρ ἐστι τὰ κωλύοντα αὐτὸν εὑρεῖν, καὶ πραγμάτων ὄχλος, καὶ σαρκὸς ἐπαναστάσεις, καὶ νοσήματα ψυχῶν, καὶ δαιμόνων ἐπιβουλαί, καὶ ῥαθυμία γνώμης. Κἂν ἀπαλλαγῶμεν τούτων ἁπάντων, ταχέως αὐτὸν εὑρήσομεν, καὶ τὴν κακίαν ἀποδυσόμεθα, καὶ τὴν ἀρετὴν ἑλώμεθα. Αὕτη γάρ ἐστιν ἡ ἐκεῖ φέρουσα ὁδός. Τί οὖν ἐστι ζήτησις; τὸ συνεχῶς ἐκεῖνον ἐννοεῖν καὶ λογίζεσθαι· ὁ γὰρ ζητῶν ἐπὶ διανοίας ἔχει τὸ ζητούμενον.

Στίχ. δʹ. «Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε· ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός.»

Τί ἐστι τὸ ζητεῖν τὸν Κύριον; τὸ τὰ ἐκείνου φρονεῖν, τὸ ἀεὶ αὐτὸν λογίζεσθαι, τὸ ἀεὶ ἐν διανοίᾳ ἔχειν, τὸ μηδέποτε παύεσθαι ὁμιλοῦντα αὐτῷ διὰ τῆς προσευχῆς καὶ τῶν ἀγαθῶν πράξεων. Ἄμαχοι δὲ οἱ ζητοῦντες ἔσονται καὶ ἀήττητοι. Παρορμήσας μέντοι ὁ λόγος τοὺς τῶν ἐθνῶν κήρυκας ἐπὶ τὸ προθύμως ἐκζητῆσαι τὸν Κύριον, ἔτι μᾶλλον αὐτοὺς ἐπιρρώννυσι λέγων, «Κραταιώθητε», τουτέστι, Μὴ χαυνοῦσθε εἰς τὸ ζητεῖν αὐτόν. Τοῦτο δὲ προσφωνεῖ αὐτοῖς, ὡς δεομένοις κράτους καὶ δυνάμεως εἰς τὸ ἰσχῦσαι τὸ προστε-

ταγμένον ποιῆσαι· ὅπερ ἦν τὸ ἔθνεσι κηρύξαι, Ἕλλησί τε καὶ βαρβάροις, κατὰ τό, «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ.[1]» Διδάσκων δὲ πῶς δεῖ τὸ ζητεῖν ποιεῖν, καὶ ὅτι οὐχ ἅπαξ ἢ δίς, ἀλλὰ παρὰ πάντα τὸν βίον τὴν ἄνωθεν ἐπικουρίαν προσήκει ζητεῖν καὶ τὴν ὠφέλειαν καρποῦσθαι, ἐπήγαγε· «Ζητήσατε τὸ πρόσωπον αὐτοῦ διαπαντός·» οὐ τρίτον τοῦ ἐνιαυτοῦ, κατὰ τὸν ὑπὸ Μωϋσέως δοθέντα νόμον ἐνώπιον αὐτοῦ φαινόμενοι, ἀλλὰ παρὰ πάντα τὸν βίον. Πρόσωπον δὲ ἐνταῦθα τὴν ἐπιφάνειαν αὐτοῦ φησί, τὴν ἐπισκοπήν, τὴν πρόνοιαν, τὴν κηδεμονίαν, τὴν βοήθειαν, τὴν συμμαχίαν, τὴν ἔννοιαν τὴν περὶ αὐτόν. Τὸ γὰρ τῆς οὐσίας πρόσωπον οὐδεὶς ὄψεται καὶ ζήσεται. Πρόσωπον δὲ αὐτοῦ καὶ ὁ Υἱός.

Στίχ. ε΄. «Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησε, τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ.»

Εἴτε τῶν ἐν τῇ Παλαιᾷ Γραφῇ, εἴτε τῶν ἐν τοῖς Εὐαγγελίοις. Ταῦτα γὰρ δεήσει ὑμᾶς τοὺς τῶν ἐθνῶν κήρυκας εἰς πάντα τὰ ἔθνη διαδοῦναι· ἐπεὶ μὴ πρότερον αὐτὰ παρά τινος ἄλλου μεμαθήκασιν. Ὅσα τοίνυν ἐνανθρωπήσας ὁ Λόγος διεπράξατο τοῖς παλαιοῖς ὁμοῦ συνάψαντες, μνήσθητε παραδοῦναι τοῖς ἔθνεσιν. Ἐνταῦθά μοι δοκεῖ τὴν ὁδὸν δεικνύναι δι' ἧς δυνατὸν καὶ ζητεῖν καὶ εὑρεῖν τὸν Θεόν. Τίς δὲ ἡ ὁδός; τὸ διηνεκῶς ἐπὶ μνήμης φέρειν τὰ παράδοξα αὐτοῦ ἔργα, καὶ τοὺς νόμους καὶ τὰς ἐντολάς· διὸ ἐπάγει, «Τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος αὐτοῦ·» τέρατα μὲν τὰς θεοσημείας λέγων, κρίματα δὲ τὰς ἀποφάσεις, τὰς ἐντολάς, ἢ τὰ ἐνδίκως καὶ κρίσει δικαίᾳ ὑπὸ τοῦ Θεοῦ γεγενημένα θαύματα. Ποῖα δὲ τέρατα, εἰπέ μοι; Τὰ ἐν Αἰγύπτῳ, τὰ μετὰ τὴν Αἴγυπτον, τὰ πρὸ τῆς Αἰγύπτου, τὰ μετὰ τὴν παρουσίαν τὴν αὐτοῦ. Πάντα γὰρ ταῦτα θαυμαστὰ καὶ παράδοξα πράγματα, καὶ ἀκολουθίαν ἀνθρωπίνην ὑπερβαίνοντα. Ἢ τέρατα μὲν τὰ γεγενημένα θαύματα, ὡς τὸ περιπατῆσαι ἐπὶ τῆς θαλάσσης, καὶ νεκρὸν ἀναστῆσαι, καὶ τὰ τοιαῦτα· κρίματα δὲ τοῦ στόματος αὐτοῦ τοὺς λόγους οὓς ἔλεγεν, ἐλαύνων τῶν ἀνθρώπων τοὺς ἀκαθάρτους δαίμονας, ἢ καὶ τὰς ἐντολὰς τῆς Καινῆς Διαθήκης. Μᾶλλον δὲ ἐνταῦθά μοι δοκεῖ κρίματα τοὺς νόμους λέγειν, τοὺς ἐν οὐρανῷ, τοὺς ἐν γῇ, τοὺς ἐν θαλάσσῃ. Οὐ γὰρ δὴ μόνος ἄνθρωπος ἔλαβε νόμον, ἀλλὰ τὰ ὁρώμενα ἅπαντα· ἡ θάλασσα τὸ μὴ ὑπερβαίνειν τοὺς αἰγιαλούς· τὰ ὄρη τὸ πεπηγέναι, ἡ γῆ τὸ ἑστάναι, ὁ ἥλιος τὸ τρέχειν, ἡ σελήνη τὴν ἰδίαν εὐταξίαν, ὁ ποικίλος τῶν ἀστέρων χορός, ἡ φύσις τῶν σωμάτων, ἡ τῶν φυτῶν, ἡ τῶν ἀλόγων, ἡ τῶν ἄλλων ἁπάντων· οἰκείοις γὰρ ἅπαντα διοικεῖται νόμοις. Καὶ ταῦτα ἅπαντα ἐπιτάγμασι γέγονεν, ὅπερ δηλοῦται διὰ τοῦ στόματος. Ὅσα τοίνυν τὸ στόμα αὐτοῦ ἔκρινεν, εἴτε διὰ τῆς Παλαιᾶς, εἴτε διὰ τῆς Νέας Διαθήκης ἔκρινε, ἐπισυνάψατε, φυλάττειν ὡς νόμους βασιλικοὺς τὰ

1. Ψαλμ. 67, 12.

κρίματα αὐτοῦ τοῖς ἔθνεσι παραγγέλλοντες. Νοήσεις δὲ κρίματα τὰ δικαίᾳ ψήφῳ θαυματουργηθέντα. Ἐπειδὴ γὰρ τὰ ἐν Αἰγύπτῳ μέλλει διηγεῖσθαι, προδιδάσκει τῆς Αἰγυπτίων τιμωρίας τὸ δίκαιον. Ἔδει γὰρ πάντας τοὺς ἐπὶ γῆς ἀνθρώπους ὑποκειμένους τοῖς αὐτοῦ κρίμασι μὴ ἀγνοεῖν μήτε τὰ ἔργα αὐτοῦ μήτε τὰ κρίματα αὐτοῦ. Δι' ὧν κριμάτων οὐ μόνον τὸ Ἰουδαίων ἔθνος, ἀλλὰ καὶ πάντας τοὺς ἐπὶ γῆς ἀνθρώπους ἔκρινε τῆς αὐτοῦ κλήσεως καταξιῶσαι.

Στίχ. ς', ζ'. «Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν.»

Ἐπεὶ «μὴ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, μηδὲ ὅσοι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα [1]», εἰκότως μὲν ὁ Σωτὴρ ἡμῶν τοῖς ἐκ σπέρματος εἶναι Ἀβραὰμ αὐχοῦσιν Ἰουδαίοις ἔλεγεν· «Οἶδα, ὅτι σπέρμα Ἀβραάμ ἐστε· [2]» καὶ πάλιν· «Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ποιεῖτε· [3]» ὡς τινων τέκνα μὲν ὄντων τοῦ Ἀβραὰμ διὰ μιμήσεως, οἳ καὶ ἐκλεκτοὶ εἴρηνται· τινῶν δὲ σπέρμα μόνον ὄντων αὐτοῦ, καὶ διὰ τοῦτο ἐκλεκτῶν οὐκ ὄντων. Οὐ γὰρ τὸ σπέρμα ἐκλεκτὸν ἐλέχθη, ἀλλ' οἱ υἱοί. Τὸ δὲ σπέρμα δοῦλοι αὐτοῦ. Ἐπεὶ τοίνυν οἱ τοῦ Σωτῆρος μαθηταί, οἱ τῶν ἐθνῶν γενόμενοι κήρυκες, ἀμφότερα εἶχον, ἅτε καὶ δοῦλοι ὄντες καὶ ἐκλεκτοί· ὅθεν πρὸς αὐτοὺς λέλεκται· «Σπέρμα Ἀβραὰμ δοῦλοι αὐτοῦ, υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ.» Πρὸς δὲ τό, «Ἐκλεκτοὶ αὐτοῦ», παραθήσεις τό, «Τούτους τοὺς δώδεκα ἐξελέξατο ὁ Ἰησοῦς, καὶ ἀποστόλους ὠνόμασε· [4]» καὶ τό, «Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; [5]» Τὸ δὲ ἐξαίρετον τῶν ἐκλεκτῶν νοήσομεν ἀπὸ τοῦ· «Πολλοὶ κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί· [6] Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν, ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ.» Οὐκ ἀγνοητέον, φησίν, ὅτι αὐτός ἐστι Κύριος ὁ Θεὸς ἡμῶν, ὃς προνοίᾳ τὸν σύμπαντα κόσμον θείοις κρίμασι διοικεῖ, ὡς μηδὲν ἀκρίτως, μηδὲ ἄνευ τῆς τοῦ Θεοῦ προνοίας γίγνεσθαι.

Στίχ. η'-ιε'. «Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς, ὃν διέθετο τῷ Ἀβραάμ, καὶ τοῦ ὅρκου αὐτοῦ τῷ Ἰσαάκ· καὶ ἔστησεν αὐτὸν τῷ Ἰακὼβ εἰς πρόσταγμα, καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον, λέγων· Σοὶ δώσω τὴν γῆν Χαναάν, σχοίνισμα κληρονομίας ὑμῶν. Ἐν τῷ εἶναι αὐτοὺς ἀριθμῷ βραχεῖς, ὀλιγοστοὺς καὶ παροίκους ἐν αὐτῇ. Καὶ διῆλθον ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε.»

Ἐπιστήσας ἀκριβῶς τίς ἦν ὁ λόγος ὃν ἐνετείλατο εἰς πολλὰς γενεὰς ἐξικνούμενον, οὐ γὰρ ἐτῶν ἀριθμόν, ἀλλὰ τὸ διηνεκὲς αἰνίττεται καὶ τὸ πλῆθος, ὡς τὸ ἑπτάκις, «Στεῖρα ἔτεκεν ἑπτά [7]», τουτέστι

1. Ῥωμ. 9, 6, 7. 2. Ἰω. 8, 37. 3. Ἰω. 8, 39. 4. Λουκ. 6, 13. 5. Ἰω. 6, 71. 6. Ματθ. 20, 16. 7. Α' Βασ. 2, 5.

πολλά, καί, «Ἑπτάκις πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται·[1]» εὑρήσεις αὐτὸν εἰρημένον οὕτως πρὸς Ἀβραάμ, «Καὶ ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη τῆς γῆς.[2]» Καί, «Ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου.[3]» Εὕροις δ' ἂν τὰ παραπλήσια καὶ τῷ Ἰσαὰκ ἐπηγγελμένα καὶ ὁμοσθέντα περί τε τῆς γῆς καὶ τοῦ πληθυσμοῦ τοῦ σπέρματος. Ταῦτα δὲ μετὰ πλείστας ὅσας γενεὰς ἐπληροῦτο διὰ τῆς ἐπιφανείας Χριστοῦ τοῦ ἐκ σπέρματος Ἀβραάμ, γενομένου Σωτῆρος ἡμῶν. Εἰσέτι τε νῦν ἐνεργεῖ καὶ διαμένει ἡ ἐπαγγελία, μέχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ. Οὗτος οὖν μετὰ μακρὸν αἰῶνα, καὶ μετὰ πλείστας σφόδρα γενεάς, τὰς γὰρ χιλιάδας ἀντὶ τῶν πολλῶν παρείληφε, καὶ ταύτας ἐπλήρου τὰς πρὸς τοὺς πατριάρχας ἐπαγγελίας, διὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ καὶ διὰ τῆς αὐτοῦ διδασκαλίας πᾶσι τοῖς ἔθνεσι τὴν τοῦ Ἀβραὰμ εὐλογίαν δεδωρημένος.

Στίχ. ιϛ'. «Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν, πᾶν στήριγμα ἄρτου συνέτριψεν.»

Ἐν τούτοις ὁ λόγος καὶ ἄλλο τι λεληθὸς τοὺς πολλοὺς διδάσκει. Τὴν γὰρ αἰτίαν τοῦ κληθῆναι δίκην ἐμψύχου ζῴου τὸν λιμὸν ἐπὶ τὴν γῆν, λέγω δὴ τὴν ἐνεργητικὴν δύναμιν τοῦ λιμοῦ, καὶ τοῦ συντριβῆναι πᾶν στήριγμα ἄρτου, παρίστησιν, ἵνα καὶ φανιεῖ που ἄρτος μὴ στηρίζοι τοὺς ἐμπιπλαμένους ἐξ αὐτοῦ, κατὰ τό, «Ἄρτος στηρίζει καρδίαν ἀνθρώπου.[4]» Τοῦτο γάρ ἐστιν ὃ μάλιστα συμβαίνει ἐν τοῖς λιμοῖς, κατ' ὀργὴν Θεοῦ γιγνόμενον, τὸ καὶ τοὺς ἐσθίοντας μὴ στηρίζεσθαι.

Στίχ. ιζ'-κβ'. «Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον, εἰς δοῦλον ἐπράθη Ἰωσήφ. Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ, σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ, μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ.»

Πάντα ταῦτα ὑπέμεινε μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ, ὃν ἐπὶ τοῖς ὁράμασιν ἰδὼν ἐξεῖπε τῷ ἑαυτοῦ πατρὶ καὶ τοῖς ἀδελφοῖς φήσας, ἑωρακέναι αὐτὸν δράγματα καὶ τοὺς ἀδελφοὺς ὁμοίως ἀναλέγοντας, ἔπειτα τὰ ἐκείνων τὸ ἑαυτοῦ προσκεκυνηκέναι δράγμα· ὁμοίως δὲ τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἕνδεκα ἀστέρας προσκυνεῖν αὐτῷ. «Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ. Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν.» Τό, «Λόγιον Κυρίου ἐπύρωσεν αὐτόν», ὅμοιον τῷ «Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν;[5]» Οὐκ ἂν γὰρ ἔλυσε τοὺς ὀνείρους τῷ Φαραώ, μὴ τοῦ Θεοῦ παρασχόντος τὸ δύνασθαι συνιέναι αὐτούς. «Ἀπέστειλε βασιλεὺς καὶ ἔλυσεν αὐτόν, ἄρχων λαοῦ καὶ ἀφῆκεν αὐτόν. Κατέστησεν αὐτὸν κύριον τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης τῆς κτήσεως αὐτοῦ, τοῦ παιδεῦσαι τοὺς ἄρχοντας αὐτοῦ, ὡς ἑαυτόν, καὶ τοὺς πρεσβυτέρους αὐτοῦ σοφίσαι.» Ὅτε αὐτάρκως

---

1. Παρμ. 24, 16. 2. Γεν. 12, 3. 3. Γεν. 22, 18, 17. 4. Ψαλμ. 103, 15. 5. Γεν. 40, 8.

ἐπυρώθη ὑπὸ τῶν πειρασμῶν ὁ Ἰωσήφ, τότε Θεοῦ ὑποβαλόντος τῷ Φαραώ, ὃν καὶ βασιλέα καὶ ἄρχοντα νῦν ὁ λόγος καλεῖ, λύεται τῶν δεσμῶν, καὶ ἄρχων τοῦ οἴκου τοῦ βασιλέως καὶ πάσης τῆς κτήσεως αὐτοῦ καθίσταται. Ἐξήνεγκε γὰρ αὐτόν, ὡς μὲν εἴποι ἂν ὁ πολὺς ἄνθρωπος, διὰ τὸ συναγαγεῖν τὰ γεννήματα τῆς εὐθηνίας, καὶ φυλάξαι αὐτὰ εἰς καιρὸν τοῦ λιμοῦ. Ὁ δὲ παρὼν λόγος διδάσκει οὐ τοσοῦτον τῆς τῶν καρπῶν φυλακῆς ἕνεκα εἰς τὴν ἀρχὴν προῆχθαι, ὅσον τῆς κατὰ ψυχὴν ὠφελείας τῶν μελλόντων ὑπ' αὐτοῦ σοφίζεσθαι καὶ παιδεύεσθαι. Ἦσαν δὲ οὗτοι ἄρχοντες Φαραὼ καὶ πρεσβύτεροι· ὧν ὠφελουμένων, εἰκὸς ἦν καὶ τοὺς ὑπηκόους ἅπαντας τῆς παρ' αὐτῶν μετασχεῖν βελτιώσεως.

Στίχ. κγ΄, κδ΄. «Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον, καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ. Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.»

Τίς δὲ εἰσῆλθεν, ἀλλ' ἢ Ἰσραήλ; Καὶ τίς παρῴκησεν ἐν γῇ Χάμ, ἀλλ' ἢ Ἰακώβ; Δηλοῦται δὲ διὰ τούτων αὐτός τε ὁ πατὴρ καὶ οἱ τούτου παῖδες. Ἐπεὶ γὰρ οὐ μόνος εἰσῆλθε Ἰακώβ, ἀλλὰ καὶ ἑβδομήκοντα ψυχαὶ σὺν αὐτῷ, κατὰ τό· «Ἐν ἑβδομήκοντα ψυχαῖς κατέβη Ἰσραὴλ εἰς Αἴγυπτον·[1]» διὰ τοῦτο καὶ οἱ παῖδες καὶ ὁ πατὴρ ἐδηλώθησαν διὰ τῶν προκειμένων. «Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα, καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ.» Οὐκ ἂν ηὐξήθησαν οὐδὲ ἐκραταιώθησαν, εἰ μὴ ἔτυχον προστάτου Ἰωσήφ, καὶ τῆς παρὰ τοῖς Αἰγυπτίοις τιμῆς διὰ τοῦ Ἰωσὴφ αὐτοῖς παρασχεθείσης.

Στίχ. κε΄-λς΄. «Μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ, τοῦ δολιοῦσθαι ἐν τοῖς δούλοις αὐτοῦ. Ἐξαπέστειλε Μωϋσῆν τὸν δοῦλον αὐτοῦ, Ἀαρὼν ὃν ἐξελέξατο ἑαυτῷ. Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ, καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ. Ἐξαπέστειλε σκότος καὶ ἐσκότασε, ὅτι παρεπίκραναν τοὺς λόγους αὐτοῦ. Μετέστρεψε τὰ ὕδατα αὐτῶν εἰς αἷμα, καὶ ἀπέκτεινε τοὺς ἰχθύας αὐτῶν. Ἐξῆρψεν ἡ γῆ αὐτῶν βατράχους ἐν τοῖς ταμείοις τῶν βασιλέων αὐτῶν. Εἶπε, καὶ ἦλθε κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν. Ἔθετο τὰς βροχὰς αὐτῶν χάλαζαν, πῦρ καταφλέγον ἐν τῇ γῇ αὐτῶν. Καὶ ἐπάταξε τὰς ἀμπέλους αὐτῶν καὶ τὰς συκᾶς αὐτῶν, καὶ συνέτριψε πᾶν ξύλον ὁρίων αὐτῶν. Εἶπε, καὶ ἦλθεν ἀκρὶς καὶ βροῦχος, οὗ οὐκ ἦν ἀριθμός, καὶ κατέφαγε πάντα χόρτον ἐν τῇ γῇ αὐτῶν, καὶ κατέφαγε πάντα τὸν καρπὸν τῆς γῆς αὐτῶν. Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν τῇ γῇ αὐτῶν, ἀπαρχὴν παντὸς πόνου αὐτῶν.»

Ὥσπερ τὸν Ἰωσὴφ πρῶτον συγχωρεῖ δουλεῦσαι, καὶ πέδαις καὶ σιδήρῳ ταπεινωθῆναι· εἶτα μετὰ ταῦτα δοκιμὴν δεδωκότα τῆς οἰκείας ἀρετῆς, προάγει ἐπὶ βασιλείαν· οὕτω καὶ νῦν, βουλόμενος τῆς αὐτοῦ

1. Γεν. 46, 27. Πράξ. 7, 14.

ἐπισκοπῆς καταξιῶσαι τὸν λαόν, πρῶτον αὐτὸν πειρατηρίοις ἐκδίδωσιν, ἵν' ὕστερον λεχθῇ τό· «Καὶ ἐστέναξαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐκέκραξαν πρὸς Κύριον τὸν Θεὸν αὐτῶν, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν Θεὸν ἀπὸ τῶν ἔργων. Καὶ εἰσήκουσεν ὁ Θεὸς τὸν στεναγμὸν αὐτῶν· καὶ ἐμνήσθη ὁ Θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ. Καὶ ἐπεῖδεν ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγνώσθη αὐτοῖς.[1]» Ἐπειδὴ δὲ εἴρηται, ὅτι «μετέστρεψε τὴν καρδίαν αὐτῶν», δηλονότι τῶν Αἰγυπτίων, «τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ», ἐρεῖς, ὅτι δικαίως ἔπραξεν ὁ Θεός. Ἐπειδὴ γάρ, ἐν πολλῇ γεγονότες ἀνέσει καὶ ἐλευθερίᾳ καὶ τιμῇ παρὰ τοῖς Αἰγυπτίοις, εἰς λήθην ἦλθον τοῦ πατρῴου Θεοῦ, ἐξέδωκαν δὲ ἑαυτοὺς ταῖς τῶν Αἰγυπτίων εἰδωλολατρείαις· διὰ τοῦτο δικαίως αὐτοῖς ἐπανέστησε τοὺς Αἰγυπτίους, ἐπειδὴ πεποιθότες ἑαυτοῖς κατωλιγώρησαν τοῦ Θεοῦ, ὅπως θλιβέντες ὑπ' αὐτῶν μάθωσι μὲν μὴ προσέχειν ἐκείνοις, μηδὲ τῇ πολυθέῳ αὐτῶν δεισιδαιμονίᾳ, ἐπιστρέψωσι δὲ ἐπὶ τὸν Θεὸν τῶν πατέρων αὐτῶν.

Στίχ. λζ'-λη'. «Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ, καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν. Εὐφράνθη Αἴγυπτος ἐν ἐξόδῳ αὐτῶν, ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς.»

Ὁ Θεὸς προστάττει τῷ λαῷ διὰ Μωϋσέως σκυλεῦσαι τοὺς Αἰγυπτίους ὡς νενικημένους, καὶ μισθὸν παρ' αὐτῶν εἰσπράξασθαι τῆς μακροχρονίου δουλείας, ἧς αὐτοὺς κατεδουλώσαντο. «Καὶ οὐκ ἦν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν.» Τὸ γὰρ πολλῷ παραδοξότερον τοῦτο ἦν, ὅτι μετὰ τὸν πόνον, μετὰ τὴν πλινθείαν, μετὰ τὴν τοσαύτην ταλαιπωρίαν καὶ τὰς μάστιγας, οὐδὲ εἷς ἦν ὁ ἀσθενῶν, καὶ τοῦτο τοσούτων πληγῶν ἐν Αἰγύπτῳ κατενεχθεισῶν. Τοῦτο καὶ τῆς φύσεως αὐτῆς τὴν ἀκολουθίαν ὑπερέβαινεν.

Στίχ. λθ'. «Διεπέτασε νεφέλην εἰς σκεπὴν αὐτοῖς, καὶ πῦρ τοῦ φωτίσαι αὐτοῖς τὴν νύκτα.»

Διελθὼν τὰς κατὰ τῶν Αἰγυπτίων μάστιγας, ἀκολούθως μεταβαίνει ἐπὶ τὰς γενομένας τῷ Ἰσραὴλ εὐεργεσίας· ὁμοῦ μὲν καὶ ἡμᾶς προτρέπων φεύγειν τὸν Αἰγύπτιον τρόπον, ὡς ἂν μὴ τοῖς ἴσοις περιπέσωμεν· εὔχεσθαι δὲ εἶναι τῆς μερίδος τοῦ Θεοῦ, ἣ παρεῖχε τὰς ἐξ αὐτοῦ εὐεργεσίας· ὁμοῦ καὶ ὧν ἠξιώθησαν παραδόξων Θεοῦ οἱ ἐκ περιτομῆς μνημονεύων, εἰς ἔλεγχον μὲν τοῦ αὐτῶν ἐκείνων τρόπου, ἀπολογίαν δὲ τῆς μετὰ ταῦτα αὐτῶν ἀποβολῆς.

Στίχ. μ'-με'. «Ἤτησε, καὶ ἦλθεν ὀρτυγομήτρα, καὶ ἄρτων οὐρανοῦ ἐνέπλησεν αὐτούς. Ἀνέρρηξε πέτραν, καὶ ἐρρύησαν ὕδατα, ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί· ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ.» Καὶ ὁ Μωϋσῆς δὲ ἐν Δευτερονομίῳ πρὸς αὐτούς φησι· «Μὴ εἴπῃς· Διὰ τὰς δικαιοσύνας

1. Ἔξ. 2, 25.

μου ἐξήγαγέ με Κύριος ἐκ γῆς Αἰγύπτου, ἀλλὰ διὰ τὸν ὅρκον ὃν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν. Καὶ γνώσῃ σήμερον, ὅτι οὐχὶ διὰ τὰς δικαιοσύνας σου, Κύριος ὁ Θεός σου δίδωσί σοι τὴν γῆν τὴν ἀγαθὴν ταύτην κληρονομῆσαι, ὅτι λαὸς σκληροτράχηλος εἶ. Καὶ ἐξήγαγε τὸν λαὸν αὐτοῦ ἐν ἀγαλλιάσει, καὶ τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐν εὐφροσύνῃ.[1]»

Ἕκαστον γὰρ τῶν γενομένων εἰς θαῦμα μέγιστον ἦν, καὶ πολλὴν εἶχε τὴν παραδοξοποιίαν, τὸ ἀπαλλαγῆναι μεθ' ἡδονῆς τῶν ὠθούντων ἐκείνων, καὶ μετ' εὐπορίας ἁπάσης, τὸ ἐν ὑγείᾳ καθαρᾷ. «Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν, καὶ πόνους λαῶν κατεκληρονόμησαν.» Οὐ γὰρ δὴ μόνον τῶν προτέρων ἀπήλλαξεν, ἀλλὰ καὶ τὰ τῶν ἑτέρων ἔδωκεν αὐτοῖς, οὐδαμοῦ πονεῖν συγχωρῶν, «ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσι.» Ταῦτα ἐπηγγείλατο, ἐπειδὴ ἐφύλαξαν τὰ δικαιώματα αὐτοῦ. Τοιοῦτος γάρ ἐστιν ὁ Θεός, ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσιν αὐτόν. Τούτοις δὲ τοῖς ἐκείνων ἀπογόνοις τὰ τοσαῦτα παρέσχε καὶ ἐχαρίσατο, προτρέπων αὐτοὺς καὶ παρορμῶν εἰς τὸ φυλάττειν τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητεῖν. Ἀλλ' ὅτι τῶν τοσούτων ἠξιωμένοι οὐκ ἐφύλαξαν τὰ εἰρημένα, τὸ τηνικαῦτα ἤρθη ἀπ' αὐτῶν ἡ χάρις, καὶ οὐ μόνον τὴν γῆν ἀπώλεσαν, ἀλλὰ καὶ τοῦ Θεοῦ ἐκπεπτώκασι, δοῦλοί τε τῶν ἐθνῶν καὶ πολεμίων γεγόνασι.

## ΑΛΛΗΛΟΥΙΑ. ΡΕ'.

Στίχ. α'-ε'. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; Μακάριοι οἱ φυλάσσοντες κρίσιν, ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου, ἐπίσκεψαι ἡμᾶς ἐν τῷ σωτηρίῳ σου, τοῦ ἰδεῖν ἐν τῇ χρηστότητί σου τῶν ἐκλεκτῶν, τοῦ εὐφρανθῆναι ἐν εὐφροσύνῃ τοῦ λαοῦ σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου.»

Αἶνον καὶ ὕμνον πρὸς τὸν Θεὸν καὶ ὁ παρὼν ψαλμὸς περιέχει· διὸ ἐπιγέγραπται, «Ἀλληλούϊα·» ὅπερ ἑρμηνεύεται, «Αἰνεῖτε τὸν Κύριον.» Προστάττει δὲ εὐθὺς ἀρχόμενος τοῖς ἁμαρτημάτων ὁρμωμένοις ὥσπερ ἰατρῷ καὶ σωτῆρι προσιέναι τῷ θεραπευτικῷ τοῦ Θεοῦ Υἱῷ, καὶ τὰ τραύματα τῆς ψυχῆς ἀπογυμνοῦν αὐτῷ, διὰ τὸ ἐξομολογεῖσθαι τὰς οἰκείας ἁμαρτίας. Ὁ δὲ τοῦτο πράττων γνησίως, καὶ ἀποκλαιόμενος ἐφ' οἷς ἥμαρτε πρότερον, ὅτι μὴ λόγοις μόνοις τοῦτο πρᾶξαι, ἀλλὰ τῇ διαθέσει καὶ αὐτοῖς τοῖς πράγμασι, παρὰ τοῦ Ψαλμῳδοῦ κομίζεται τὴν εἰσήγησιν. Προτρέπει δὲ προθύμως ἐπὶ

---

1. Δευτ. 9, 4-6.

τὴν ἐξομολόγησιν, διὰ τοῦ ἐπαγγέλλεσθαι, Ὅτι «χρηστὸς» ὁ Κύριος, «ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.» Διὰ ταῦτα γάρ, φησί, προθύμως ἐξομολογεῖσθε, ὅτι καὶ αὐτὸς ἕτοιμός ἐστιν εἰς φιλανθρωπίαν, εἰδὼς ὅτι ἐλέου δεῖται τὰ τοῦ ἐνεστῶτος αἰῶνος πράγματα θνητὰ ὄντα καὶ ἐπίκηρα.

Στίχ. ϛ'. «Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν, ἠνομήσαμεν, ἠδικήσαμεν.»

Οὐ μόνοι, φησίν, ἡμάρτομεν· ἀλλ' εἴ τις ἐξετάσειεν ἄνωθεν ἀπὸ τῶν πρώτων χρόνων, εὕροι ἂν ἀεὶ καὶ ἐκ τοῦ παντὸς ἁμαρτητικὸν τυγχάνον τὸ ἡμέτερον γένος. Τοσούτων γὰρ θαυμασίων διὰ Μωϋσέως ἐπιτελουμένων, οὐ συνῆκαν, ἀλλὰ καὶ σωτηρίας τυχόντες, καὶ τῆς ὑπ' Αἰγυπτίοις δουλείας ἐλευθερωθέντες, οὐκ ἔγνωσαν, ὅτι οὐ διὰ τὰς αὐτῶν δικαιοσύνας, οὔτε διὰ τὸ εἶναι ἐπισκοπῆς Θεοῦ ἀξίους, διὰ δὲ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ τούτων τετυχήκασι.

Στίχ. ζ'-η'. «Οἱ πατέρες ἡμῶν ἐν Αἰγύπτῳ οὐ συνῆκαν τὰ θαυμάσιά σου, οὐκ ἐμνήσθησαν τοῦ πλήθους τοῦ ἐλέους σου. Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.»

Ταῦτα μὲν ὁ πρὸ τούτου διείληφε ψαλμός, ἐπετέμνετο δὲ αὐτὸς καὶ τὰς ἐπὶ τῆς ἐρήμου παραδοξοποιίας, μηδὲν κατηγορήσας τοῦ λαοῦ. Ὁ δὲ παρὼν ἐπαναλαμβάνει τὴν διήγησιν, καὶ πάσας τοῦ λαοῦ τὰς δυσσεβείας διέξεισιν. Ἔστι δὲ καὶ ὁ πᾶς λόγος τοῦ Ἰουδαίων λαοῦ κατηγορικός. «Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ.» Προσελθόντες Μωϋσῇ καὶ φήσαντες, «Ὄφελον μὲν ἀπεθάνομεν ἐν γῇ Αἰγύπτῳ, ἢ ἐπὶ τῆς ἐρήμου ταύτης·» καί, «Παρὰ τὸ μὴ εἶναι μνήματα ἐν Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς, θανατῶσαι ἐν τῇ ἐρήμῳ; Τί τοῦτο ἐποίησας ἡμῖν ἐξαγαγὼν ἐξ Αἰγύπτου; Οὐ τοῦτο ἦν τὸ ῥῆμα ὃ ἐλαλήσαμεν πρὸς σὲ ἐν Αἰγύπτῳ λέγοντες· Πάρες ἡμᾶς, ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις; Κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν τοῖς Αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ.[1]» Καὶ ὅσον μὲν ἐπ' αὐτοῖς πικρὸν αὐτοῖς ἀντὶ χρηστοῦ τὸν Θεὸν κατεστήσαντο. Ὁ δὲ ἀγαθὸς Θεὸς πλουτῶν ἐλέῳ καὶ φιλανθρωπίᾳ, πάλιν «ἔσῳζεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ·» ὅπως μὴ εἴπωσιν οἱ ἀσεβεῖς, «Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; [2]» διὰ τοῦτο παρεῖχεν αὐτοῖς καὶ τότε τὴν σωτηρίαν, πανταχόθεν αὐτοὺς συνελαύνων ἐπὶ τὴν σωτηρίαν αὐτῶν. Οἱ δὲ νικηθέντες πρὸς μὲν ὀλίγον ἐπίστευσαν τοῖς λόγοις αὐτοῦ, διελθόντες τὴν Ἐρυθρὰν θάλασσαν.

Στίχ. θ'. «Καὶ ἐπετίμησε τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐξηράνθη, καὶ ὡδήγησεν αὐτοὺς ἐν ἀβύσσῳ ὡς ἐν ἐρήμῳ.»

Ὁ ἐπιτιμήσας τῇ Ἐρυθρᾷ θαλάσσῃ πᾶσι Θεὸς ἀνωμολόγηται. Εἰ οὖν καὶ Ἰησοῦς κλονουμένῃ ἐπιτάσσει τῇ θαλάσσῃ, πᾶσι Θεὸς ἀνωμολόγηται, ἵνα ἐκ τρικυμίας ἢ κλύδωνος γαλήνη γένηται. Θεὸς

1. Ἔξ. 14, 11-12. 2. Ψαλμ. 113, 10.

ὢν αὐτὸς ὁ ἐπιτιμήσας τῇ Ἐρυθρᾷ θαλάσσῃ καὶ ξηραίνων αὐτήν, ὡς διοδεύσιμον αὐτὴν γενέσθαι, τὴν πάλαι θάλασσαν καὶ ἄβυσσον διὰ τὸ τῶν ὑδάτων πλῆθος οὕτω καλουμένην.

Στίχ. ι΄, ια΄. «Καὶ ἔσωσε αὐτοὺς ἐκ χειρὸς μισοῦντος, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς ἐχθροῦ. Ἐκάλυψεν ὕδωρ τοὺς θλίβοντας αὐτούς, εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.»

Ζητήσῃ τις ἂν περὶ τῶν ἐπιμίκτων Αἰγυπτίων, τῶν διελθόντων τὴν θάλασσαν, καὶ εἰς τὴν ἔρημον ἅμα τῷ λαῷ γενομένων. Πρὸς ὃν ἐροῦμεν, ὅτι μὴ τῶν θλιβόντων ἦσαν τὸν Ἰσραήλ. Περὶ δὲ τῶν θλιβόντων εἴρητο τό, «Εἷς ἐξ αὐτῶν οὐχ ὑπελείφθη.» Ὁ δὲ ἐπίμικτος λαὸς Αἰγύπτιος μὲν ἦν, πιστεύων δὲ ταῖς Μωϋσέως φωναῖς, σωτηρίας ἔτυχεν.

Στίχ. ιβ΄, ιγ΄. «Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἦσαν τὴν αἴνεσιν αὐτοῦ. Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ.»

Σὺν τῷ Μωϋσῇ καὶ Ἀαρὼν τὴν ᾠδὴν τὴν ἐν τῇ ἐξόδῳ παραυτίκα καὶ παραχρῆμα μεταβαλλόμενοι ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ.

Στίχ. ιδ΄-ιη΄. «Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν, ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. Καὶ παρώξυναν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, τὸν Ἀαρών, τὸν ἅγιον Κυρίου.»

Ὅτε μὲν τὸν Θεὸν ἐπείρασαν ἐν ἀνύδρῳ, ἀπείραστος, ὢν ἀμνησίκακος, οὐκ ἀμειψάμενος αὐτοὺς ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν. Ἀλλὰ καὶ ὅτε παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, καὶ τότε ἐγνώρισεν αὐτοῖς τὴν δυναστείαν αὐτοῦ· ὅτε δὲ παρώργισαν τὸν Μωϋσῆν καὶ τὸν Ἀαρὼν ἐν τῇ παρεμβολῇ, τὸ τηνικαῦτα ἠνοίχθη ἡ γῆ, καὶ κατέπιεν αὐτούς· οὐκ ἔδει γὰρ καταφρονηθῆναι τοὺς θεράποντας. Ἀλλὰ καὶ ἐπείπερ χρηστότης ἐστὶ καὶ ἀποτομία παρ' αὐτῷ, πρῶτα τὰ τῆς χρηστότητος αὐτοῖς παρέσχετο· ὡς δὲ οὐκ ὤναντο δι' αὐτῆς, ἀκολούθως καταλλήλῳ μετέρχεται αὐτοὺς φαρμάκῳ κολαστηρίῳ· «Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε Δαθάν, καὶ ἐκάλυψεν ἐπὶ τὴν κεφαλὴν Ἀβειρών. Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς.» Μωϋσῆν μὲν οὖν παρώργισαν οἱ περὶ Δαθὰν καὶ Ἀβειρὼν εἰπόντες· «Μὴ Μωϋσῇ μόνῳ λελάληκεν ὁ Θεός, οὐχὶ καὶ ἡμῖν;[1]» τὸν δὲ Ἀαρὼν Κορὲ καὶ ἡ συναγωγὴ αὐτοῦ πῦρ ἀλλότριον προσαγαγεῖν, καὶ θυσίας τῷ Θεῷ ἐν χώρᾳ τῶν ἱερέων τολμήσαντες, παρώργισαν· ἀλλὰ τοὺς μὲν καταλαλήσαντας τοῦ Μωϋσέως, τὸν Δαθὰν παγγενεῖ ἀνοιχθεῖσα ἡ γῆ κατέπιε, καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών· τὸν δὲ Κορὲ καὶ τοὺς σὺν αὐτῷ μέλλοντας προσφέρειν τὰ θυμιατήρια αὐτῶν φλὸξ ἀπὸ τῆς σκηνῆς προελθοῦσα κατέφλεξεν.

---

1. Ἀριθμ. 12, 2.

Στίχ. ιθ΄-λα΄. «Καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ, καὶ προσεκύνησαν τῷ γλυπτῷ, καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον. Ἐπελάθοντο τοῦ Θεοῦ τοῦ σῴζοντος αὐτούς, τοῦ ποιήσαντος μεγάλα ἐν Αἰγύπτῳ, θαυμάσια ἐν γῇ Χάμ, φοβερὰ ἐπὶ θαλάσσης Ἐρυθρᾶς. Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς, εἰ μὴ Μωϋσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς, καὶ ἐξουδένωσαν γῆν ἐπιθυμητήν. Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ, καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν, οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ᾽ αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ, καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι, καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ, καὶ ἔφαγον θυσίας νεκρῶν. Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν, καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις· καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος.»

Κεῖται ἐν τοῖς Ἀριθμοῖς ἡ ἱστορία, ὅπως λαβὼν ὁ Φινεὲς τὸν σειρομάστην διέπειρε τὴν Μαδιανῖτιν ἅμα τῷ σὺν αὐτῇ πεπορνευκότι, καὶ ἐκόπασε παραχρῆμα ἡ κατ᾽ αὐτῶν ὀργὴ ἅμα τῇ τοιαύτῃ πράξει. Παρίστησι δὲ ὁ λόγος, πόσον ἰσχύει παρὰ Θεῷ ἑνὸς ἀνδρὸς δικαιοσύνη, ὡς κοπάσαι τὴν ὀργήν, καὶ ἀνακρουσθῆναι τὴν κατὰ τῶν ἡμαρτηκότων θραῦσιν, διὰ τὸν Φινεὲς ὑπὲρ τοῦ Θεοῦ ζῆλον.

Στίχ. λβ΄-μ΄. «Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι᾽ αὐτούς, ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ. Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ, οὐκ ἐξωλόθρευσαν τὰ ἔθνη ἃ εἶπε Κύριος αὐτοῖς. Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν, καὶ ἐδουλεύσαντο τοῖς γλυπτοῖς αὐτῶν, καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν τοῖς δαιμονίοις. Καὶ ἐξέχεαν αἷμα ἀθῶον, αἷμα υἱῶν αὐτῶν καὶ θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χαναάν. Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ ἐμιάνθη ἐν τοῖς ἔργοις αὐτῶν, καὶ ἐπόρνευσαν ἐπὶ τοῖς ἐπιτηδεύμασιν αὐτῶν. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ.»

Εἰ διὰ ταῦτα πάντα ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ, πῶς ἀνωτέρω εἴρηται· «Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου, τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου;» Ἀλλὰ ὅρα εἰ μὴ σαφῶς καὶ τὴν βδελυχθεῖσαν κληρονομίαν τοῦ προτέρου λαοῦ παρέστησεν ὁ λόγος, καὶ περὶ ἑτέρας κληρονομίας θεσπίζει, ὡς καὶ περὶ ἑτέρου λαοῦ μεθ᾽ ὧν εὔχεσθαι καταριθμηθῆναι διδάσκει.

Στίχ. μα΄-μγ΄. «Καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας ἐχθρῶν, καὶ ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς.»

Οὐ παραδίδωσι δὲ Κύριος τὸν λαὸν αὐτοῦ, ἐὰν μὴ πρότερον

βδελύξηται αὐτόν· βδελύσσεται δὲ αὐτὸν διὰ τὰς προλελεγμένας πράξεις. Ἐπειδὰν δὲ ὁ Κύριος παραδῷ, τίς οὐ δύναται τῶν αὐτοῦ κυριεύσειν; «Καὶ ἔθλιψαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν, καὶ ἐταπεινώθησαν ὑπὸ τὰς χεῖρας αὐτῶν· πλεονάκις ἐρρύσατο αὐτούς. Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν, καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν.» Αὐτὸς μέν, φησίν, ἐρρύετο, χρηστὸς ὢν αὐτοῖς καὶ γλυκὺς γενόμενος· οἱ δὲ παρεπίκραναν, πικρὸν ἑαυτοῖς ποιοῦντες αὐτόν· καὶ πάλιν αὐτὸς ἔσωζεν οἷα σωτήρ· οἱ δὲ ἀπώλλυντο, ἔργοις ἀπωλείας ἑαυτοὺς περιπείροντες· καὶ τοῦτο πλεονάκις ἐγίνετο, ἕως οὗ αὐτοὶ ἑαυτοὺς ἐταπείνωσαν ἐν ταῖς αὐτῶν ἀνομίαις.

Στίχ. μδ΄-μς΄. «Καὶ εἶδε Κύριος ἐν τῷ θλίβεσθαι αὐτούς, ἐν τῷ αὐτὸν εἰσακοῦσαι τῆς δεήσεως αὐτῶν. Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ, καὶ μετεβλήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς.»

Καὶ τοῦτο ἐπληροῦτο, ὅτε ἐνέβαλεν ὁ Θεὸς εἰς τὴν καρδίαν Κύρου τοῦ βασιλέως, καὶ μετὰ ταῦτα Δαρείου καὶ Ἀρταξέρξου φιλανθρώπως χρήσασθαι τῷ Ἰουδαίων ἔθνει, κατὰ τὰ ἐν τῇ Γραφῇ τοῦ Ἔσδρα φερόμενα. Ἀλλὰ καὶ εἰσέτι νῦν τῇ ἀρχῇ τῶν Ῥωμαίων δουλεύοντες ἐν οἰκτιρμοῖς τυγχάνουσι, τοῦ Θεοῦ τοῦτο αὐτοῖς δεδωρημένου· οὐχ ὅτι ἦσαν ἄξιοι, ἀλλὰ πάλιν διὰ τὸ πλῆθος τοῦ ἐλέους. «Καὶ μετεβλήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ.» Μεταμέλειαν δὲ καλεῖ τῆς παιδείας τὴν παῦλαν. Ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ἔχει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται, ἀλλὰ σοφῶς ἅπαντα πρυτανεύων, καὶ παιδείας ἐπάγει καὶ φιλανθρωπίας ὀρέγει.

Στίχ. μζ΄, μη΄. «Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν, τοῦ ἐξομολογεῖσθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. Καὶ ἐρεῖ πᾶς ὁ λαός, Γένοιτο, γένοιτο.»

Διδάσκονται εὔχεσθαι τυχεῖν τῆς ἀπὸ τῶν ἐθνῶν συναγωγῆς, ἵν' ἤδη ποτὲ τῆς διασπορᾶς ἀπαλλαγέντες ἐπὶ τὸ αὐτὸ συναχθῶσιν· ὅπερ Ἰουδαῖοι μὲν φαντάζονται μέλλειν ἔσεσθαι ἐν τῷ παρόντι βίῳ, ἐπιστάντος αὐτοῖς τοῦ ἠλειμμένου· ἡμεῖς δέ, ἤδη τοῦ Σωτῆρος ἡμῶν ἐπιλάμψαντος ἀνθρώποις, ὁρῶμεν ἐκ πάντων τῶν ἐθνῶν τὸ πλῆθος τῶν ὁσημέραι ὑπὸ τὸν τοῦ Θεοῦ Υἱὸν ἐπισυναγομένων ψυχῶν, ἐντεῦθέν τε παρασκευαζομένων ἐπὶ τὴν κρείττονα ἐπισυναγωγὴν τῆς τῶν οὐρανῶν βασιλείας, ἥντινα ἀληθῶς ἁγίαν ἐπαγγέλλεται. «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. Καὶ ἐρεῖ πᾶς ὁ λαός, Γένοιτο, γένοιτο.» Ἀκολούθως τῷ Ἀποστόλῳ φήσαντι· «Ἐν παντὶ εὐχαριστεῖτε [1]», καὶ νῦν ὁ λόγος διδάσκει, πάντοτε εὐλογεῖν τὸν Κύριον, καὶ ἐφ' οἷς ἐλεεῖ καὶ ἐφ' οἷς παιδεύει, καὶ ἐφ' οἷς σῴζει.

---

1. Α΄ Θεσσ. 5, 18.

## ΑΛΛΗΛΟΥΙΑ. ΡϚ΄.

Στίχ. α΄-δ΄. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλύτρωσεν ἐκ χειρὸς ἐχθρῶν, καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς, ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ βορρᾶ καὶ θαλάσσης· ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ, ἐν ἀνύδρῳ.»

Τῷ Κυρίῳ ἐξομολογεῖσθαι δεῖ κατά τε τὸ ὁμολογεῖν τὰ ἑαυτῶν πλημμελήματα ὡς ἰατρῷ, κατά τε τὸ εὐχαριστεῖν αὐτῷ ἐπὶ ταῖς εἰς ἡμᾶς εὐεργεσίαις, τὸ ἐχέγγυον τῆς παρ' αὐτοῦ θεραπείας ἔχοντας· ὅτι μὴ μόνον χρηστός ἐστιν, ἀλλὰ καὶ παρατείνει τὸ ἔλεος αὐτοῦ εἰς πάντα τὸν παρόντα αἰῶνα. «Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθρῶν, καὶ ἐκ χωρῶν συνήγαγεν αὐτούς.» Εἰκότως καὶ ἐπὶ τοῦ παρόντος ἡ κλῆσις τῶν ἐθνῶν, ἡ διὰ τοῦ Σωτῆρος ἡμῶν εἰς ἔργον χωρήσασα, προφητεύεται μετὰ τὴν ἀποβολὴν τοῦ Ἰουδαίων ἔθνους, τὴν διὰ τοῦ πρὸ τούτου ψαλμοῦ δηλωθεῖσαν· ἐν ᾧ μετὰ τὸν μακρὸν κατάλογον τῶν ἀσεβειῶν αὐτῶν ἐλέγετο· «Καὶ ὠργίσθη Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ· καὶ ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ. Οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθρῶν·» τοὺς πάλαι ὑπὸ τῶν ἐχθρῶν καὶ πολεμίων τῶν ἀνθρώπων, τουτέστι τοῦ διαβόλου καταδεδουλωμένους. «Καὶ ἀπὸ χωρῶν συνήγαγεν αὐτοὺς ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ βορρᾶ καὶ θαλάσσης.» Ἐπισυνάγει δὲ αὐτοὺς εἰς τὴν αὐτοῦ Ἐκκλησίαν ἐκ παντὸς ἔθνους· πᾶσαν γὰρ τὴν οἰκουμένην διὰ τῶν τεσσάρων ἐδήλωσε κλιμάτων. Ἐκ τούτων γὰρ ἔθνος καινὸν καὶ κληρονομία τοῦ Θεοῦ νέα συνέστη. Εἰκὸς μὲν οὖν τινα νομίσαι τὴν τῶν Ἰουδαίων ἐκ τῶν ἐθνῶν συναγωγὴν διὰ τοῦ παρόντος δηλοῦσθαι ψαλμοῦ, ὡς μελλόντων τῶν καθ' ὅλης τῆς οἰκουμένης Ἰουδαίων ἀποχωρίζεσθαι τῶν ἐθνῶν, καὶ τῆς κατὰ τὴν ἀλλοδαπὴν διατριβῆς ἀπαλλάττεσθαι, συνάγεσθαι δὲ ἐπὶ τὴν Ἰουδαίαν γῆν. Τοιαῦτα γὰρ εἰσέτι καὶ νῦν παῖδες Ἰουδαίων φαντάζονται. Ἀλλ' ἐπεὶ μὴ ταῦτα περὶ αὐτοὺς τοῖς ἔργοις ὁρᾶται γεγενημένα, ἤδη που χιλίοις ἐγγὺς ἔτεσι τῆς ἀπὸ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας αὐτῶν μηδενὸς τοιούτου περὶ αὐτοὺς πραχθέντος· ὥρα τῇ τῶν πραγμάτων ἐκβάσει τοὺς λόγους ἐφαρμόττειν, καὶ ἐπὶ τὴν τῶν ἐθνῶν κλῆσιν ἀνάγειν τὴν προφητείαν.

Στίχ. δ΄-ε΄. «Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ καὶ ἀνύδρῳ, ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον· πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν.»

Ἡμεῖς μὲν οἱ πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν θεοσεβείας καὶ ἐν ἀκάρπῳ, ἀνύδρῳ τε καὶ ἀγόνῳ ζωῇ πάλαι πρότερον πεπλανημένοι, ὅτε ἦμεν ἔθνη ἄλογα, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ἀπαγόμενοι, οἱ μηδέποτε ὁδὸν πόλεως κατοικητηρίου εὑρόντες· ὅτε ἦμεν ἀλλότριοι τῆς πολιτείας τοῦ Ἰσραήλ, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ·

οἱ μεμισημένοι πάλαι, ἐν λιμῷ καὶ δίψει τὴν ψυχὴν ἐκλείποντες, διὰ τὸ ἐστερῆσθαι λογικῆς καὶ ἐπουρανίου τροφῆς ποτοῦ τε πνευματικοῦ, κατὰ τό· «Ἐξαποστελῶ οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. Καὶ σαλευθήσονται ὕδατα ἀπὸ τῆς θαλάσσης ἕως τῆς θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν, περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσι·[1]» διὸ καὶ ἐν ἐρήμῳ τῶν ἀρετῶν ὄντες ἐπλανώμεθα, ποδηγὸν καὶ ἡγεμόνα μὴ ἔχοντες, ᾧ ἑπόμενοι εὑρεῖν οἷοί τε ἦμεν μετὰ τὴν ὁδὸν πόλιν εὖ διατεταγμένην ἱερῷ νόμῳ, ἐν ᾗ κατοικεῖν ἠδυνάμεθα μὴ ἀναχωροῦντες· αὕτη δέ ἐστιν ἀρετὴ καὶ Θεοῦ σοφία.

Στίχ. ϛ΄. «Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐρρύσατο αὐτούς.»

Τῶν ἐθνῶν ἁπάντων πλανωμένων ἐν γῇ ἐρήμῳ καὶ ἀνύδρῳ, καὶ τῆς ψυχῆς αὐτῶν ἐκλειπούσης ἐξ ἀτροφίας σωτηρίων λόγων, ἐβόων πρὸς τὸν Θεὸν ἱκετεύοντες, κοινὸν ἅπασι καταπεμφθῆναι Σωτῆρα. «Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς.» Τοὺς ἐγκεχειρισμένους αὐτοὺς ὑπερπάσχοντες καὶ ὑπεραλγοῦντες αὐτῶν καὶ διψώντων καὶ τὴν ψυχὴν ἤδη δι᾽ ἀτροφίαν ἐκλειπόντων, ἐβόων αὐτοὶ καὶ ἔκραζον πρὸς Κύριον, ὑπὲρ τῶν οἰκείων ἕκαστος πρεσβεύοντες.

Στίχ. ζ΄, η΄. «Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν, τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων.»

Οἱ μὲν γὰρ ἐπλανήθησαν ἐν γῇ ἐρήμῳ καὶ ἀνύδρῳ, τοῦτο πρῶτον νόσημα νενοσηκότες τὸ τῆς πλάνης· καὶ δευτέρῳ κακῷ περιπεσόντες ὁδὸν πόλεως κατοικητηρίου αὐτῶν οὐχ εὗρον· καὶ τρίτον δὲ αὐτοὺς περιέσχε κακόν, ἐπείπερ ἦσαν πεινῶντες καὶ διψῶντες, ὡς τὴν ψυχὴν αὐτῶν ἐκλείπειν ἐν αὐτοῖς. Ὁ δὲ φιλάνθρωπος Θεὸς καὶ ἀγαθὸς Σωτὴρ πρῶτον μὲν ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν· ἔπειτα ἔδειξεν αὐτοῖς πῶς χρὴ βαδίζειν τὴν φέρουσαν εἰς τὴν πόλιν τοῦ κατοικητηρίου. Καὶ τίς ἂν εἴη ἡ εὐθεῖα ὁδὸς ἢ ὁ σωτήριος λόγος ὁ εὐαγγελικός, ὁ μόνος ἡμᾶς ἄγων εἰς τὴν ἐπουράνιον πόλιν· ἐν ᾗ γενόμενοι τὸ κατοικητήριον ἡμῶν εὑρήσομεν; «Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων·» κηρύσσοντες εἰς πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὅπως οἱ πάντες, τὴν χάριν τὴν εἰς ἡμᾶς γεγενημένην καὶ τὰ ἐλέη τοῦ Θεοῦ μαθόντες, σπεύσωμεν ἐπὶ τὴν αὐτῶν σωτηρίαν.

Στίχ. θ΄-ια΄. «Ὅτι ἐχόρτασε ψυχὴν κενήν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθῶν, καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου, πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Κυρίου, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν.»

---

1. Ἀμ. 8, 11-12.

Σκιὰν θανάτου οὐκ ἂν ἁμάρτοις λέγων τὴν εἰδωλολατρείαν καὶ τὰς ἐν ἀθεότητι πράξεις. Αὗται γάρ εἰσιν αἱ χωρίζουσαι ἡμᾶς τῆς ἀληθινῆς ζωῆς. Ἐν ταύταις δὲ ἦμεν πρότερον, διὰ τὸ παραπικραίνειν τὸν Θεόν, καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παροξύνειν. Δέον γὰρ ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων τὸν γενεσιουργὸν τῶν ὅλων θεωρεῖν, καὶ τὴν ἀΐδιον αὐτοῦ δύναμιν καὶ θειότητα ἀπὸ κτίσεως κόσμου νοεῖν· ἡμεῖς δὲ οἷα τυφλοὶ ἐν σκότῳ καὶ σκιᾷ θανάτου διάγοντες, καὶ τὰς λογικὰς τῆς ψυχῆς δυνάμεις πεπεδημένοι καὶ πεπηρωμένοι, ἐνηλλάττομεν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν.

Στίχ. ιβ΄-ιδ΄. «Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν· ἠσθένησαν καὶ οὐκ ἦν ὁ βοηθῶν.»

Ἐτηρεῖτο γὰρ τὸ μέγα τοῦτο κατόρθωμα μόνῳ τῷ Λόγῳ τοῦ Θεοῦ, περὶ οὗ ἑξῆς εἴρηται· «Ἀπέστειλε τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐλυτρώσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Καὶ ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς αὐτῶν διέρρηξε.» Πῶς γὰρ οὐκ ἦμεν ἐν ἀνάγκαις, πονηροῖς δαίμοσι καὶ πνεύμασιν ἀκαθάρτοις δεδουλωμένοι; Ἀλλ' ὁ φιλάνθρωπος καὶ ἐλεήμων Θεός, ταῖς τῶν ἁγίων αὐτοῦ προφητῶν τε καὶ θεοφιλῶν ἀνδρῶν εὐχαῖς ἐπακούσας βοώντων ὑπὲρ ἡμῶν πρὸς αὐτόν, οὐ μόνον ἐξήγαγεν ἡμᾶς ἐκ τούτων, ἀλλὰ καὶ τούτων τὰ δεσμὰ διέρρηξεν. Δηλοῖ δὲ τοῦτο τὴν ἀθρόαν τῶν ἁμαρτωλῶν ἄφεσιν, ἧς κατηξίωσεν ἡμᾶς ἡ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χάρις.

Στίχ. ιε΄-ιζ΄. «Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων· ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν. Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν· διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν.»

Καὶ νῦν τὸ αὐτὸ λέγεται ἐπὶ ταῖς δευτέραις εὐεργεσίαις αὐτοῦ. Ἡγοῦμαι δὲ διὰ τούτων τὴν μέχρι θανάτου κατάπτωσιν τῶν ἀνθρωπίνων ψυχῶν δηλοῦσθαι· δι' ἃς καὶ μέχρι θανάτου ἐδέησε τῷ λυτρωτῇ πάντων καὶ Σωτῆρι κατελθεῖν. Ἔνθα γενόμενος μόνος τῶν πώποτε ὁ Χριστὸς τοῦ Θεοῦ, τὰς ἐξ αἰῶνος σιδηροδέτους πύλας, καὶ τὰς μηδενὶ θνητῷ ἀνοιχθείσας, καὶ διὰ τοῦτο χαλκᾶς γενομένας, συνέτριψε, καὶ τοὺς τούτων ἀρρήκτους μοχλοὺς συνέκλασεν.

Στίχ. ιη΄-κγ΄. «Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν, καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου.»

Διὰ κακοεξίαν τῶν ἀποστρεφομένων πᾶσαν λογικὴν καὶ ψυχῶν σωτήριον τροφήν, εἰκότως ἀποσταλεὶς ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς μέχρι τῶν τοῦ θανάτου πυλῶν ἔφθασε, σαρκωθεὶς καὶ ἐνανθρωπήσας, χεῖρα σωτηρίας ὀρέξας καὶ τοῖς μέχρι τούτου καταπεπτωκόσι, καὶ πρὸς αὐτὸν ἀναβοήσασι. «Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ

θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς. Ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει, οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς.» Μνημονεύσας ὁ λόγος τῆς ἀφίξεως τοῦ Λυτρωτοῦ καὶ Σωτῆρος, δι' οὗ τὰ προλεγόμενα πάντα κατώρθωται, ἑξῆς συνάπτει τὴν περὶ τῶν ἀποστόλων αὐτοῦ προφητείαν. Αὐτοὶ γὰρ ἦσαν οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις ῥητῶς καὶ κατὰ λέξιν· ὥσπερ οὖν ἡ θεία Γραφὴ τῶν Εὐαγγελίων μαρτυρεῖ. Τοιγαροῦν τῶν ἀποστόλων καὶ τῶν ἅμα αὐτοῖς ἡ παροῦσα προφητεία τὴν μνήμην σφόδρα ἀκολούθως συνῆψε τῇ τοῦ Θεοῦ Λόγου εἰς ἀνθρώπους παρουσίᾳ. Αὐτοῖς τοιγαροῦν τούτοις τὰ νέα μυστήρια τῆς Καινῆς Διαθήκης πράττειν παρεκελεύετο λέγων· «Καὶ θυσάτωσαν θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει.»

Στίχ. κε΄-μ΄. «Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος, καὶ ὑψώθη τὰ κύματα αὐτῆς. Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων, ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐξήγαγεν αὐτούς. Καὶ ἐπάταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν, καὶ ἐσίγησαν τὰ κύματα αὐτῆς.»

Ταῦτα προφητικῶς θεσπιζόμενα ἐπληροῦτο ῥητῶς καὶ πρὸς λέξιν· τῶν γὰρ μαθητῶν τοῦ Σωτῆρος ἡμῶν ἐμπλεόντων σὺν αὐτῷ, «σεισμός», φησίν, «ἐγένετο μέγας ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων.[1]» Οἱ δὲ προσπεσόντες εἶπον αὐτῷ· «Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα.» Ὁ δὲ πρὸς αὐτοὺς φήσας· «Τί δειλοί ἐστε, ὀλιγόπιστοι; ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη.[2] Καὶ εὐφρανθήτωσαν, ὅτι ἡσύχασαν, καὶ ὡδήγησεν αὐτοὺς εἰς λιμένα θελήματος αὐτοῦ. Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν.»

Ὁδηγηθέντες ἐπὶ λιμένα θελήματος αὐτοῦ· ἐφ' οἷς ὁ λόγος ἀναγκαίως προστάττει τέταρτον οὕτω τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ τὰ ἐλέη αὐτοῦ διὰ στόματος φέρειν· παρεγγυᾷ πᾶσί τε τοῖς υἱοῖς τῶν ἀνθρώπων ἀπαγγέλλειν τὰ θαυμάσια αὐτοῦ. «Ἔθετο ποταμοὺς εἰς ἐρήμωσιν, καὶ ἐξόδους ὑδάτων εἰς δίψαν, γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Ἔθετο

1. Ματθ. 8, 24. 2. Ματθ. 8, 25-26.

ἔρημον εἰς λίμνας ὑδάτων, γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο πόλεις κατοικεσίας. Καὶ ἔσπειραν ἀγροὺς καὶ ἐφύτευσαν ἀμπελῶνας, καὶ ἐποίησαν καρπὸν γεννήματος. Καὶ εὐλόγησεν αὐτοὺς καὶ ἐπληθύνθησαν σφόδρα, καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμίκρυνεν. Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν, καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ.» Τὸ μὲν γὰρ πλῆθος τοῦ Ἰουδαίων ἔθνους εἰς τοσαύτην ἤλασεν ἀγαθῶν σπάνιν, ὡς ὀλίγους εὑρίσκεσθαι ἐν αὐτοῖς τοὺς κατὰ Θεὸν εὐδοκιμοῦντας. Καὶ τὸ μὲν πᾶν ἔθνος ταύτην ὑπέμεινε τὴν πρόρρησιν· οἱ δ' ἐν αὐτοῖς ἄρχοντες, πατριάρχαι τινὲς καὶ ἀρχιερεῖς καὶ νομοδιδάσκαλοι, Σαδδουκαῖοί τε καὶ Γραμματεῖς καὶ Φαρισαῖοι αἰσχύνην κατεχέαντο, ἐξουδενώσει παραδοθέντες· ἅτε δὴ κληθέντες ἐπὶ τὴν εὐθεῖαν ὁδὸν καὶ παραιτησάμενοι αὐτήν.

Στίχ. μα'. «Καὶ ἐβοήθησε πένητα ἐκ πτωχείας.»

Καὶ ἐν τούτοις συνήθως ὁ Σύμμαχος ἐξέδωκεν εἰπών· «Καὶ ὀχυρώσει πένητα ἀπὸ κακώσεως.» Ἐκείνοις μὲν γὰρ ἔσται τὰ προδηλωθέντα, φησί· τὸν δὲ πένητα λαὸν ὀχυρώσει· τὸν ἐξ ἐθνῶν δηλαδὴ συστησόμενον· ὃν καὶ μακαρίζων ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔλεγε· «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.[1]» «Καὶ ἔθετο ὡς πρόβατα πατριάς·» ὁ δὲ Ἀκύλας, «Καὶ θήσει», φησίν, «ὡς ποίμνιον συγγενείας·» ὁ δὲ Σύμμαχος, «Καὶ τάξει», φησίν, «ὡς ποίμνην συγγενείας», τὰς κατὰ πόλιν καὶ κατὰ χώραν Ἐκκλησίας ἐκ διαφόρων συγγενειῶν συνεστώσας.

Στίχ. μβ', μγ'. «Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται, καὶ πᾶσα ἀνομία ἐμφράξει τὸ στόμα αὐτῆς.»

Τί δὲ ὄψονται ἀλλ' ἢ τὴν ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττω μεταβολήν; Διὸ τοῖς τὰ τέλη τῶν προφητειῶν τεθεαμένοις ἔλεγεν ὁ Σωτήρ· «Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι·» καί, «Πολλοὶ προφῆται ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον.[2]» «Καὶ πᾶσα ἀδικία ἐμφράξει τὸ στόμα αὐτῆς·» λυττῶσα ὑπὸ φθόνου διαρρηγνυμένη, μηδὲν δὲ πράττειν διὰ τὸν ταῦτα βουληθέντα Θεὸν δυναμένη. Τοῦτο δὲ πάρεστιν ἐναργῶς ὁρᾶν, ὡς κατὰ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἡ τῶν ἀπίστων καὶ εἰδωλολατρῶν ἀνδρῶν ἀνομία λυττῶσα καὶ πολλάκις ἐπιμήνασα, τέλος διὰ τὸ μηδὲν δύνασθαι, τὸ στόμα ἑαυτῆς ἔφραξεν ὑπὸ τοῦ θείου λόγου φιμουμένη, τοῦ καὶ αὐτῇ κατὰ τοὺς τῶν διωγμῶν καιροὺς φάσκοντος· «Σιώπα, πεφίμωσο.[3]» Ἀνομίαν δὲ νοήσεις τὸν διάβολον, καὶ πάντα τὸν κατ' αὐτὴν πεποιημένον, κατὰ τό· «Ἐνεφράγη τὸ στόμα λαλούντων ἄδικα.[4]» «Τίς σοφός, καὶ φυλάξει ταῦτα, καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου;[5]»

1. Ματθ. 5, 3. 2. Ματθ. 13, 16, 17. 3. Μάρκ. 4, 39. 4. Ψαλμ. 62, 12. 5. Ψαλμ. 106, 43.

## ΩΔΗ ΨΑΛΜΟΥ ΤΩ ΔΑΥΙΔ. ΡΖ΄.

Στίχ. β΄-ε΄. «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. Ἐξεγέρθητι, ἡ δόξα μου, ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου. Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν. Ὅτι μέγα ἐπάνω τῶν οὐρανῶν τὸ ἔλεός σου, καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου.»

Ὁ τοῦ σωτηρίου μακαρισμοῦ γενόμενος ἄξιος, δι' οὗ εἴρηται· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται[1]», εἴποι ἂν θαρρῶν· «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός.» Ὁ Προφήτης οὖν, τὰ φίλα καὶ συγγενῆ τῷ ἁγίῳ Πνεύματι δι' ἐναρέτων ἔργων ἐπιτελέσας, τῷ τοιούτων δοτῆρι Θεῷ τὴν προκειμένην εὐχὴν ἀναπέμπει. «Ἄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου·» ἀπολαβὼν τὴν ἐμαυτοῦ δόξαν, τουτέστι τὴν προφητικὴν χάριν. «Ἐξεγέρθητι, ἡ δόξα μου, ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα, ἐξεγερθήσομαι ὄρθρου.» Μήποτε τὰς δυνάμεις τῆς ἑαυτοῦ ψυχῆς καὶ τοῦ σώματος διεγείρει διὰ τὴν μέλλουσαν εἰς αὐτὸν γενέσθαι τοῦ θείου Πνεύματος ἐπίπνοιαν· καὶ κατὰ διάνοιαν μὲν ἐκλαμβανόντων ἡμῶν τὰ μέλη τοῦ σώματος καὶ τὰ αἰσθητήρια, δι' ὧν ὁ νοῦς ἀνακρούεται ὅτε δ' ἂν βούληται· ψαλτήριον δὲ τὰς ἀσωμάτους καὶ λογικὰς τῆς ψυχῆς δυνάμεις, ἃς δὴ παρασκευάζων εἰς τὴν τοῦ Πνεύματος ὑποδοχὴν φησιν· «Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα.»

Στίχ. ϛ΄-η΄. «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου, ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου. Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ· Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.»

Ἱκετεύω καὶ δέομαι τάχος ἐπιστῆναι τὴν χάριν, καὶ σὲ τὸν ὕψιστον Θεὸν τὸν ἐν τοῖς οὐρανοῖς ὑμνούμενον γνωσθῆναι, καὶ τὴν σαυτοῦ δόξαν φανερὰν ποιῆσαι ἐπὶ πᾶσαν τὴν γῆν. Τούτου γὰρ γενομένου, ῥυσθήσονται οἱ ἀγαπητοί σου ἀπὸ τῆς πικρᾶς δουλείας καὶ αἰχμαλωσίας ἣν πεπόνθασιν ὑποχείριοι γενόμενοι. «Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ.» Τίς ἦν ἅγιος αὐτοῦ ἢ ὁ μονογενὴς Παῖς, ὁ ὢν ἀληθῶς ἅγιος καὶ ἀγαπητός, δι' οὗ τὴν ἀπόκρισιν ἐποιήσατο πρὸς τὴν ἀποδοθεῖσαν εὐχὴν αὐτοῖς ὁ Θεός· πρὸς μὲν οὖν τὴν εὐχὴν τὴν φήσασαν· «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός», ἀποκρίνεται λέγων, «Ὑψωθήσομαι», πρὸς δὲ τό· «Καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου», πάλιν ἀποκρίνεται τὰ ἀκόλουθα ἀπὸ τοῦ, «Ὑψωθήσομαι καὶ διαμεριῶ Σίκιμα, καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω.» Ταύτην τοίνυν, φησί, τὴν κοιλάδα, τουτέστι πᾶσαν τὴν τῶν ἀνθρώπων οἰκουμένην, εἰς σκηνὰς διαμετρήσω, ὥσπερ χωρο-

1. Ματθ. 5, 8.

μετρῶν καὶ καταγράφων αὐτούς· διαμετρήσω εἰς σκηνὰς κατὰ πᾶσαν πόλιν, καὶ χώραν καὶ κώμην· καὶ πάλιν, σκηνὰς ἐμαυτῷ διαμετρῶν καὶ χωρομετρῶν, τουτέστι τὰς ἁπανταχοῦ Ἐκκλησίας.

Στίχ. θ'-ι'. «Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆς· καὶ Ἐφραὶμ ἀντίληψις τῆς κεφαλῆς μου. Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.»

Ἐπειδὴ Ἐφραῒμ καὶ Μανασσῆς υἱοὶ γεγόνασιν Ἰωσήφ, κατέσχον δὲ οἱ ἐκ τούτων τὴν καλουμένην χώραν Γαλαάδ, καὶ τὴν Συχὲμ καὶ τὴν Σαμάρειαν, ἔνθα τὸ βασίλειον συνειστήκει τοῦ Ἰσραήλ· διὰ τοῦτο ἑαυτοῦ φησιν εἶναι καὶ τούτους, τὸν δὲ Ἐφραῒμ κατ' ἐξαίρετον διὰ τὴν ἐξ αὐτοῦ συστᾶσαν βασιλείαν, κραταίωσιν ὀνομάζει τῆς κεφαλῆς ἑαυτοῦ. «Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.» Τὸν Ἰούδαν βασιλέα ἑαυτοῦ εἶναι, λέγει. Πρόδηλον δὲ ὅτι κατὰ τὸν Ἀπόστολον ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἐξ οὗ συνέστη τὸ βασίλειον γένος. Συνάγει δὲ ἐν τούτοις ὁ λόγος τὸν Ἐφραῒμ καὶ τὸν Ἰούδαν, ἐπειδὴ τὸ παλαιὸν διῃρεῖτο τὸ πᾶν Ἰουδαίων ἔθνος εἰς δύο βασιλείας, προφητεύων μηκέτι ἔσεσθαι τὴν διάσπασιν ταύτην, ἀλλ' ἕνωσιν τοῦ παντὸς ἔθνους. Ἐπληροῦτο δὲ καὶ ταῦτα κατὰ τὴν ἐπιφάνειαν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἥνωτο γοῦν κατ' ἐκείνους τοὺς χρόνους τὸ πᾶν ἔθνος τῶν Ἰουδαίων, οὐκέτι ἐκ δύο βασιλειῶν διῃρημένων. Διὸ καὶ ὁμοίως ἐκήρυττεν ὁ Σωτὴρ τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ εἰς πάσας τὰς φυλὰς αὐτῶν τοὺς ἑαυτοῦ μαθητὰς ἐξαπέστειλεν. «Ἰούδας βασιλεύς μου, Μωὰβ λέβης τῆς ἐλπίδος μου.» Τούτων δέ, φησίν, ἐν πρώτοις καὶ ἐν ἀρχῇ τῆς κλήσεως παραλαμβανομένων, οὐδὲ οἱ τῶν ἀλλοφύλων χείρους ἀλλότριοί μου καταστήσονται, ἀλλὰ καὶ αὐτὸν ἐκεῖνον τὸν Μωάβ, τὸν ἀπηγορευμένον παραβάλλειν εἰς Ἐκκλησίαν Κυρίου προσλήψομαι καὶ ὑποδέξομαι. Τοῦτο γὰρ ἐλπίζω. «Μωὰβ λέβης τῆς ἐλπίδος μου.» Λευκότερον δὲ καὶ σαφέστερον τὴν διάνοιαν ἡρμήνευσεν ὁ Ἀκύλας καὶ ἡ πέμπτη ἔκδοσις· παρ' οἷς εἴρηται, «Μωὰβ λέβης τοῦ λουτροῦ μου», τουτέστι, «δοχεῖον τοῦ λουτροῦ μου·» ὁ δὲ Σύμμαχος, «Ἔσται», φησίν, «ὁ Μωὰβ λέβης ἀμεριμνίας μου.» Οἶδα δὲ ἐγὼ ἀκούσας λόγον ἐν ἀπορρήτῳ παραδεδομένον ὑπό τινος Ἑβραίου εἰς τοὺς τόπους· μυστικῶς γὰρ ἔφασκε δηλοῦσθαι διὰ τῶν προκειμένων τὴν κατὰ σάρκα τοῦ Χριστοῦ γέννησιν ἀπὸ τοῦ γένους τοῦ Μωὰβ παραληφθεῖσαν διὰ τὴν Μωαβῖτιν Ῥούθ, ἀφ' ἧς γίνεται καὶ Δαυῒδ ὁ βασιλεύς, οὗ ἐκ σπέρματος τὸ κατὰ σάρκα ὁ Χριστὸς τοῦ Θεοῦ γεγέννηται, ὁ καὶ ἐπὶ τοῦ Ἰωάννου βάπτισμα καὶ τὸ λουτρὸν τὸ ἐν τῷ Ἰορδάνῃ παρεληλυθώς. «Μωὰβ λέβης τῆς ἐλπίδος μου.» Δοκεῖ μοι ὁ Θεὸς διὰ τούτων καὶ τῷ Μωὰβ ἐπαγγέλλεσθαι τὴν χάριν τῆς κλήσεως, οὐκ ἄλλως ἢ διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας. Ἐπειδὰν δὲ τῷ Μωὰβ τοιαῦτα ἐπαγγέλληται, ἡμῖν καταλιμπάνει νοεῖν καὶ περὶ τῶν λοιπῶν ἐθνῶν τὰ ὅμοια.

Ὅτε γὰρ ἡ προφητεία τοὺς Μωαβίτας προσίεται, τοὺς πάλαι ἀπηγορευμένους, δῆλον, ὅτι δι' ἐκείνων καὶ τοῖς λοιποῖς ἔθνεσιν ἀγαθὰς ἐλπίδας ὑπογράφει.

Στίχ. ια'-ιδ'. «Ἐπὶ τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου, ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς, ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; Οὐχὶ ὁ ἀπωσάμενος ἡμᾶς, καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν; Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς.»

Τουτέστιν, Ἐπιβήσομαι καὶ ἐμπεριπατήσω τοῖς ἔθνεσιν. Ἰδουμαῖοι γὰρ ἦσαν οἱ ἀπὸ τοῦ μεμισημένου Ἠσαῦ, περὶ οὗ λέλεκται· «Οὐκ ἀδελφὸς ἦν Ἠσαῦ τοῦ Ἰακώβ; λέγει Κύριος·[1]» καί, «Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα.[2]» Ἐπιβαλῶ οὖν, φησί, τὸ ὑπόδημά μου, οὐκέτι ἐπὶ τὸν Ἰσραήλ, οὐδὲ ἐπὶ τὴν Ἰουδαίας γῆν, οὐδὲ ἐπὶ μόνα τὰ Ἱεροσόλυμα, ἀλλ' ἐπ' αὐτὴν ἐκείνην τὴν τοῦ μεμισημένου χώραν. Ἐπιβήσομαι οὖν τοῖς πάλαι ἐχθροῖς, ἐν χώρᾳ φίλων κατατάσσων αὐτούς. «Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.» Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας φησίν, «Ἐπὶ Φιλισταίους συνεταιρισθήσομαι·» ἡ δὲ πέμπτη ἔκδοσις, «Ἐπὶ τοὺς ἀλλοφύλους ἐντιμωθήσομαι·» ὁ δὲ νθ' ψαλμός, «Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν.» Γνώσεως δὲ Θεοῦ καὶ φιλίας καὶ ἑταιρείας καὶ ἀγάπης σημεῖον τὸ ὑποταγῆναι αὐτῷ τοὺς πάλαι ἀνυποτάκτους, καὶ ἀλλοτρίους μὲν τοῦ Θεοῦ, ὑποχειρίους δὲ δαίμοσι πονηροῖς.

## ΕΙΣ ΤΟ ΤΕΛΟΣ, ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ. ΡΗ'.

Στίχ. β', γ'. «Ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.»

Συνήθως καὶ ἐν τούτῳ ἀντὶ τοῦ, «εἰς τὸ τέλος», ὁ μὲν Ἀκύλας, «τῷ νικοποιῷ», ἐκδέδωκεν· ὁ δὲ Σύμμαχος «ἐπινίκιον» εἴρηκε· μονονουχὶ διδάσκοντος ἡμᾶς τοῦ ἁγίου Πνεύματος, ὅτι δὴ ἐπὶ τοῖς ἐπινικίοις τοῦ Σωτῆρος ἡμῶν, καὶ τοῖς κατὰ τοῦ θανάτου τροπαίοις, καὶ τὰς παρούσας φωνὰς ἐγκαταλέγειν προσήκει, ἐν αἷς ὁ ἀνθρώπινος αὐτοῦ παρίσταται βίος, καὶ ἡ ὑπομονὴ τῶν παθημάτων. «Ὁ Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς· ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν.» Ὁ παρὼν ψαλμὸς ἀναφέρεται εἰς πρόσωπον τοῦ Χριστοῦ, τά πάθη περιέχων αὐτοῦ. Μαρτυρεῖ δὲ τῷ λόγῳ ἡ Γραφὴ τῶν Πράξεων τῶν

---

1. Μαλ. 1, 2. 2. Μαλ. 1, 3.

ἀποστόλων, ἔνθα ὁ Πέτρος, τῆς τοῦ προδότου Ἰούδα ἐκπτώσεως μνημονεύσας, καὶ παραινέσας ἕτερον δεῖν παραληφθῆναι εἰς τὸν τῶν ιβ' ἀποστόλων ἀριθμόν, μαρτυρίᾳ κέχρηται προφητικῇ ἐν τῷ προκειμένῳ ψαλμῷ φασκούσῃ· «Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος·[1]» ὥστε κατὰ τὴν Πέτρου διδασκαλίαν περὶ τοῦ Ἰούδα αὐτὴν ταύτην εἰρῆσθαι τὴν φωνήν, καὶ τὰς λοιπὰς ἐν τῷ ψαλμῷ φερομένας. Ὁ τοίνυν Σωτὴρ διὰ τῶν προκειμένων ἀρχόμενος ἀνθρωπίνως, ὡς γενόμενος ἄνθρωπος, μείνας δὲ Θεός, ὅπερ ἦν, ἱκετεύει τὸν ἑαυτοῦ Πατέρα μὴ κατορθῶσαι τοὺς ἐπιβουλεύοντας τῇ ἑαυτοῦ σπουδῇ. Σπουδὴ δὲ αὐτοῦ πᾶσα ἦν σβέσαι μὲν ἐξ ἀνθρώπων πᾶσαν εἰδωλολατρείαν, αἴνεσιν δὲ τῷ Πατρὶ καταστήσασθαι ἐπὶ τῆς γῆς· ὃ δὴ ἐν ἑτέροις διδάσκει λέγων· «Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε.[2]» Οἱ δὲ εἰς θάνατον αὐτῷ ἐπιβουλεύοντες κατασιγάσαι ταύτην αὐτὴν τὴν αἴνεσιν καὶ κατασιωπῆσαι σπουδὴν ἐποιοῦντο. Ἀλλὰ σύ, φησίν, ὦ Πάτερ, μὴ συγχωρήσῃς ἀποσιωπηθῆναι τὴν αἴνεσίν μου, τὴν εἰς τὴν σὴν τιμὴν καὶ δόξαν σπουδαζομένην. «Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη.» Στόμα δὲ ἁμαρτωλοῦ καὶ στόμα δολίου μάλιστα μὲν καὶ πᾶν τὸ τῶν Φαρισαίων καὶ Γραμματέων ἐτύγχανε, τῶν μεθ' ὑποκρίσεως αὐτὸν Διδάσκαλον καὶ Ῥαββὶ ἀποκαλούντων, ἐξαιρέτως δὲ τοῦ Ἰούδα, ὃς τὸν ἑαυτοῦ Σωτῆρα καὶ Κύριον φιλήματι προεδίδου.

Στίχ. γ', δ'. «Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην.»

Δέον γὰρ ἀγαπᾶν ὡς εὐεργέτην, καὶ μὴ μόνον τῶν σωμάτων, ἀλλὰ καὶ τῶν ψυχῶν ἰατρόν· οἱ δὲ διαβολὰς ἔρραπτον κατ' αὐτοῦ.

Στίχ. δ', ε'. «Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με· ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.»

Μονουνουχὶ καὶ τοὺς ἐμοὶ μαθητευομένους ἔργῳ διδάσκων ὁποίους καὶ αὐτοὺς εἶναι προσήκει, εἴ ποτε τοῖς ὁμοίοις περιπίπτοιεν. Ἐπεὶ δὲ μέσως εἴρηται τό· «Ἐγὼ δὲ προσηυχόμην·» τίνα δὲ ἦν ἃ προσηύχετο καὶ ὑπὲρ ἐκείνων, οὐκ ἐμφέρεται· εἴποι δ' ἄν τις εἰκότως, ὅτι ταῦτα προσηύχετο καὶ ὑπὲρ ἐκείνων, ἃ δὴ σύμφωνα ἦν ταῖς αὐτοῦ διδασκαλίαις, δι' ὧν ἔφασκε· «Προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς.[3]» — «Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου.» Περὶ τούτων οὐδὲν δεῖ λέγειν, τῆς ἐν τοῖς Εὐαγγελίοις ἱστορίας περιεχούσης τὸ πλῆθος τῶν εὐεργεσιῶν ὧν ἐνανθρωπήσας αὐτοῖς παρεῖχε, θεραπεύων αὐτῶν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

---

1. Πράξ. 1, 20. 2. Ψαλμ. 21, 23. 3. Ματθ. 5, 44.

Στίχ. ς΄-ι΄. «Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ.»

Ὁ καὶ σκελίσας αὐτόν, πάντα ἃ πρότερον ἐδόκει κεκτῆσθαι δεξιᾷ τῆς αὐτοῦ ψυχῆς ἀποσυλήσας. «Ἐν τῷ κρίνεσθαι ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοί, καὶ ἡ γυνὴ αὐτοῦ χήρα· σαλευόμενοι μετανάστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν· ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν.» Εἰκὸς καὶ ῥητῶς κατὰ ψιλὴν τὴν λέξιν ταῦτα πάντα πεπληρῶσθαι κατὰ τοῦ προδότου μετὰ τὴν ἀνάρτησιν αὐτοῦ, ἅμα μὲν ὀρφανῶν γενομένων αὐτοῦ τῶν παίδων, ἅμα δὲ καὶ τῆς γυναικὸς ἐν χηρείᾳ καταστάσης, καὶ τῶν ἑξῆς καταλεχθέντων ἁπάντων πρὸς λέξιν τέλος εἰληφότων, ὡς ἀληθεῦσαι τὴν πρόρρησιν τοῦ Σωτῆρος ἡμῶν διὰ τοῦ ψαλμοῦ ταῦτα ἔσεσθαι. Νοήσεις δὲ ταῦτα καὶ ἐπὶ τοῦ λαοῦ τοῦ Ἰουδαίων ἔθνους κατὰ λέξιν πεπληρωμένα μετὰ τὴν εἰς τὸν Χριστὸν ἐπιβουλήν· Ὀλίγων γὰρ μετὰ τὸν σταυρὸν διελθόντων ἐτῶν, ἄστατον ἅπαν τὸ ἔθνος ἐγένετο· καὶ οἱ μὲν ἀνῃρέθησαν, αἱ δὲ τούτων γυναῖκες μετὰ τῶν παίδων ἐξηνδραποδίσθησαν.

Στίχ. ια΄-ιγ΄. «Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ· καὶ διαρπασάτωσαν ἀλλότριοι τὸν πλοῦτον αὐτῶν. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ.»

Ὁ δὲ Σύμμαχος οὕτω, «Συγκρούσαι πράκτωρ, πάντα τὰ ὑπάρχοντα αὐτῷ.» Πράκτορες δὲ καὶ οἱ Ῥωμαίων βασιλεῖς τὸν ἐπικείμενον εἰσπραττόμενοι φόρον. Οὗτοι δὲ τὰ Ἰουδαίων διήρπασαν, ἅπαντα ἀκριβῶς ἐρευνήσαντες, ὡς καὶ τὰ κεκρυμμένα εὑρεῖν τε καὶ σφετερίσαι. Τούτων δὲ γενομένων, καὶ τῶν πολεμίων τὰ τούτοις προσήκοντα διανεμομένων, οὐδεὶς αὐτοῖς ἐπίκουρος ἔσται, οὐδὲ φειδοῦς αὐτῶν οἱ παῖδες ἀξιωθήσονται. Εἶτα μ΄ οὐ διελθόντων ἐτῶν, πανωλεθρίαν ὑπέμεινεν ὁ Ἰουδαίων λαός.

Στίχ. ιδ΄-ις΄. «Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Γενηθήτω ἐναντίον Κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν, ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος.»

Πατέρων ἀρετὴ πολλάκις καὶ πλημμελήσαντας ὤνησε παῖδας, ὡς τοὺς Ἰουδαίους τοῦ Ἀβραὰμ ἡ πίστις, ὡς τὸν Σολομῶντα τοῦ Δαυῒδ ἡ εὐσέβεια· πονηρία δὲ πατέρων τοῖς ὁμοίοις παισὶν ἐπαύξει τὴν τιμωρίαν· οὐδεμία γὰρ οὐδαμόθεν εὑρίσκεται φειδοῦς ἀφορμή. «Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου.» Πατέρας δὲ αὐτῶν καλεῖ τοὺς ἐν τῇ ἐρήμῳ τῇ δυσσεβείᾳ χρησαμένους, τοὺς ἐπὶ τῶν κριτῶν, τοὺς ἐπὶ τῶν βασιλειῶν, τοὺς μετὰ τὴν

ἀπὸ Βαβυλῶνος ἐπάνοδον παρανομίᾳ συζήσαντας. «Καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη.» Μητέρα δὲ τὴν Ἱερουσαλήμ, ἐν ᾗ τῆς κατὰ τοῦ Δεσπότου Χριστοῦ μιαιφονίας ἐτολμήθη τὸ μῦσος. «Γενηθήτω ἐναντίον Κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν, ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος.» Πάντα, φησί, τὰ ὑπ' αὐτῶν τολμηθέντα παράνομα ἀεὶ θεώμενος ὁ Θεός, οὐδεμιᾶς αὐτοὺς ἀξιώσει φειδοῦς, ἀλλὰ πανωλεθρίᾳ παραδώσει. Καὶ ἐντεῦθεν μέντοι δῆλον, ὡς οὐ περὶ μόνου τοῦ Ἰούδα, ἀλλὰ περὶ πάντων τῶν ἠπιστηκότων Ἰουδαίων λέγει· ἀπὸ γὰρ ἑνικοῦ προσώπου ἐπὶ τὸ πληθυντικὸν τὸν λόγον μετήνεγκεν· οὐκέτι γὰρ εἶπεν, «αὐτοῦ», ἀλλ' αὐτῶν.

Στίχ. ιζ'-κ'. «Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι.»

Τουτέστι πεπληγμένον δι' ἃς ἑώρα ἐν αὐτοῖς παρανομίας. Ὅθεν καὶ πρὸς τὴν Ἱερουσαλὴμ ἔλεγε κλαίων αὐτήν· «Εἰ ἔγνως καὶ σὺ τὰ πρὸς εἰρήνην σοι· νῦν δὲ ἐκρύβη ἀπὸ τῶν ὀφθαλμῶν σου.[1]» Ἐθανάτωσε δὲ αὐτόν, αἴτιος γενόμενος τοῦ εἰς θάνατον παραδοθῆναι. «Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ· καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ. Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον, καὶ εἰσῆλθεν ὡς ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ, καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη ἣν διαπαντὸς περιζώννυται. Τοῦτο τὸ ἔργον τῶν διαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου.» Τῆς προφητείας λεγούσης εἰς πρόσωπον τοῦ Σωτῆρος· «Οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται[2]», ὅπως μὲν οἱ καθ' ὅλης τῆς οἰκουμένης τὸν Θεὸν δι' αὐτοῦ ἐπιγνόντες, καὶ πιστεύσαντες εἰς αὐτόν, τῆς ἐκ Θεοῦ καταξιοῦνται εὐλογίας, ὡς πληθύνειν καὶ αὔξειν, καὶ τὰ σύμπαντα πληροῦν τὴν Χριστοῦ Ἐκκλησίαν, τοῖς πᾶσι τυγχάνει πρόδηλον· ὅπως δὲ Ἰουδαῖοι, ἀρώμενοι αὐτὸν καὶ βλασφημοῦντες ἐφ' ἑκάστης ἡμέρας, τὴν ἐκ Θεοῦ κατάραν εἰς ἑαυτοὺς ἐπισπῶνται, καὶ τοῦτο δῆλον ἀπὸ τοῦ μὴ ἆραι κεφαλήν, μηδὲ ἀνανεῦσαι αὐτοὺς ἀπὸ τῶν χρόνων τῆς κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλῆς.

Στίχ. κα'-κδ'. «Καὶ σύ, Κύριε, ποίησον μετ' ἐμοῦ ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί με, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ, καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανηρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον.»

Φροντίζων περὶ τῆς ἀπωλείας τῶν ψυχῶν αὐτῶν, αὐτοῦ τε ἐκείνου τοῦ προδότου καὶ τῶν τὴν ἐπιβουλὴν αὐτῷ συνεσκευασμένων,

---

1. Λουκ. 19, 42. 2. Γεν. 27, 29.

περί τε τῆς ἀποβολῆς καὶ ἀποπτώσεως τοῦ παντὸς Ἰουδαϊκοῦ ἔθνους, ταράττεσθαι ὡς φιλάνθρωπος ὑπὲρ αὐτῶν ὁμολογεῖ· Διό φησι· «Καὶ ἡ καρδία μου τετάρακται ἐντός μου.»

Στίχ. κε΄-κθ΄. «Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, καὶ ἐσάλευσαν κεφαλὰς αὐτῶν. Βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη, καὶ σύ, Κύριε, ἐποίησας αὐτήν.»

Ἐν τῇ ἐκ νεκρῶν ἀναστάσει γνωστὴ γέγονεν ἡ χεὶρ τοῦ Θεοῦ, τουτέστιν ὁ μονογενὴς αὐτοῦ Λόγος, καὶ ὁ τέως τοὺς πολλοὺς λανθάνων, ἐφανερώθη, ὡς αὐτὸς ἑκὼν «ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας[1]», καὶ αὐτὸς τὸ ἑαυτοῦ ἀνέστησε σῶμα, δεξιὰ καὶ δύναμις ὢν τοῦ Πατρός. «Γνώτωσαν» τοίνυν, φησίν, «ὅτι ἡ χείρ σου αὕτη», ἣν ὀνειδίζουσι καὶ χλευάζουσι, «καὶ σύ, Κύριε, ἐποίησας αὐτήν», τῷ εὐδοκῆσαι σῶμα αὐτὴν ἀναλαβεῖν. Χεὶρ γὰρ τοῦ Θεοῦ ἡ ποιητικὴ ἁπάντων δύναμις αὐτοῦ, οὐχ ἑτέρα οὖσα τοῦ δι' οὗ γέγονε τὰ πάντα τοῦ Θεοῦ Λόγου. «Καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν· ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.» Μέχρι καὶ σήμερον διέμειναν οἱ Ἰουδαῖοι ταῖς κατὰ τοῦ Σωτῆρος χρώμενοι βλασφημίαις· ἀλλ' ἐκείνων βλασφημούντων, περιφανέστερον ὁσημέραι τὸ κήρυγμα γίνεται. «Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡσεὶ διπλοΐδα τὴν αἰσχύνην αὐτῶν.» Οἱ γὰρ Ἰουδαῖοι μετὰ τὴν κατὰ Χριστοῦ ἐπιβουλήν, ἔρημοι τῆς τοῦ Θεοῦ ἐπισκοπῆς γενόμενοι, αἰσχύνην περιεβάλοντο· ὁ δὲ Σωτὴρ καὶ Κύριος ἡμῶν εὐφροσύνης εἰσέτι καὶ νῦν πληροῦται, διὰ τοῦ ὀνόματος αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης καθεστώσης Ἐκκλησίας, «Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται.» Οὐδὲ τοῦτο ἡμᾶς τὸ ῥῆμα λαβεῖν εἰς ἑτέραν ὑπόθεσιν ἀναγκάσει· ἀκούομεν γὰρ καὶ τοῦ θεσπεσίου Παύλου λέγοντος, ὅτι «Ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών·[2]» καὶ αὐτὸς δὲ διὰ Ἡσαΐου βοᾷ· «Οὕτω λέγει Κύριος ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ.[3] Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα τὴν αἰσχύνην αὐτῶν.» Καὶ τοῦτο μάθοις ἂν ἐπιστήσας ποίας ἄρα Ἰουδαίων παῖδες κέκτηνται διανοίας ὁρῶντες τὰ μὲν ἑαυτῶν σεμνὰ καὶ ἅγια ἐκ βάθρων ἠφανισμένα, τοῦ δὲ πρὸς αὐτῶν ἀτιμίᾳ περιβληθέντος, σταυρῷ τε καὶ θανάτῳ παραδοθέντος, τὸ μὲν τοῦ θανάτου μνῆμα σπουδαῖς τε καὶ φιλοτιμίαις τετιμημένον, τὰς δὲ διὰ τῆς αὐτοῦ δυνάμεως καθ' ὅλης τῆς οἰκουμένης ἱδρυθείσας Ἐκκλησίας αὐξούσας ὁσημέραι, καὶ πληθυνούσας, καὶ ἔτι μετὰ δόξης προϊούσας. Ταῦτα γὰρ ὁρῶντες ὀφθαλμοῖς Ἰουδαίων παῖδες, πῶς οὐκ ἐντροπὴν καὶ αἰσχύνην εἰκότως περιβάλλονται;

Στίχ. λ΄-λα΄. «Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στό-

1. Ἑβρ. 12, 2. 2. Φιλιπ. 2, 7. 3. Ἡσ. 49, 5.

ματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν· ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.»

«Πολλῶν·» τίνων ἢ πάντων τῶν εἰς αὐτὸν πεπιστευκότων ἐθνῶν, καὶ τῶν καθ' ὅλης τῆς οἰκουμένης 'Εκκλησιῶν; Αὐτὸς γάρ ἐστιν ὁ εἰπών· «Ὅπου δύο ἢ τρεῖς συνηγμένοι ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.[1]» Διὸ καθ' ὅλης τῆς οἰκουμένης ἐν μέσῳ τῶν 'Εκκλησιῶν παρὰ τοῦ Κυρίου τῷ Πατρὶ μεγίστη πρόεισιν εὐχαριστία.

## ΨΑΛΜΟΣ ΤΩ ΔΑΥΙΔ. ΡΘ΄.

Στίχ. α΄. «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.»

Σφόδρα ἀκριβῆ καὶ ἀληθῆ λόγον ἐπεσημήνατο ὁ Σωτὴρ ἡμῶν εἰρηκώς· «Εἰ οὖν Δαυῒδ ἐν πνεύματι καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν;[2]» οὐ γὰρ ἐκτὸς Πνεύματος ἁγίου οἷός τε ἦν ὁ Δαυῒδ εἰπεῖν τό· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.» Πόθεν γὰρ παρῆν ἀνθρωπίνῳ λογισμῷ ἡ γνῶσις τοῦ Πατρὸς πρὸς τὸν ὠνομασμένον αὐτοῦ Κύριον κοινολογίας; Ὁ μὲν οὖν θρόνος τὴν βασιλικὴν αὐτοῦ ἀξίαν κατασημαίνει, ἡ δὲ κάθισις τὸ βέβαιον καὶ ἑδραῖον καὶ ἀσάλευτον τῆς ἐν τῇ βασιλείᾳ διαμονῆς· τό δέ, «ἐκ δεξιῶν», εἶναι καὶ δεξιῶν τοῦ Πατρὸς δωρημάτων κοινωνόν. Πάντα γὰρ τὰ δεξιά, φαιδρά τε καὶ ἀγαθὰ καὶ σωτήρια χορηγεῖ ὁ Υἱὸς ὡς παρὰ Πατρός. 'Εχθροὺς δὲ φησὶ τοὺς διὰ τοῦ προτεταγμένου ψαλμοῦ δεδηλωμένους· καὶ οὐ μόνον, ἀλλὰ καὶ πάσας τὰς ἀντικειμένας δυνάμεις. Πάντας γὰρ ὑπὸ τοὺς πόδας αὐτοῦ θήσειν ὁ Πατὴρ διαγγέλλεται διὰ τοῦ προκειμένου ψαλμοῦ.

Στίχ. β΄. «Ῥάβδον δυνάμεως ἐξαποστελεῖ Κύριος ἐκ Σιών, καὶ κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου.»

Ῥάβδον δυνάμεως ἐν τούτοις ἡγοῦμαι τὸν εὐαγγελικὸν λόγον εἰρῆσθαι.'Επίστησον δὲ μήποτε καθ' ἕτερον τρόπον ῥάβδος δυνάμεως εἴρηται ἐνταῦθα ἡ ἐν τῷ δευτέρῳ ψαλμῷ κεκλημένη ῥάβδος σιδηρᾶ. Ὁ μὲν οὖν εὐαγγελικὸς λόγος, ὁ τῆς τοῦ Σωτῆρος ἡμῶν δυνάμεως, καὶ τῆς κατ' αὐτὸν οἰκονομίας ἀπαγγελτικός, ἡ παιδευτικὴ καὶ σωτήριος εἴη ἂν ῥάβδος· ἡ δὲ κατὰ τῶν ἐχθρῶν αὐτοῦ καὶ πολεμίων τῆς αὐτοῦ 'Εκκλησίας καθαιρετικὴ λεγομένη σιδηρᾶ, δι' ἧς ὡς σκεύη κεραμέως συντρίψειν λέγεται τοὺς ἐχθροὺς αὐτοῦ. 'Επεὶ τοίνυν ὁ Χριστὸς τὰς 'Εκκλησας ἐν μέσαις ταῖς πόλεσι καὶ ἐν αὐτοῖς μέσοις ἔθνεσι μεταξὺ τῶν ἐχθρῶν καὶ πολεμίων συνεστήσατο, ἀναγκαίως λέλεκται ὅτι, «Ῥάβδον δυνάμεώς σου ἐξαποστελεῖ Κύριος, ἵνα κατακυριεύσῃς ἐν μέσῳ τῶν ἐχθρῶν σου.»

1. Ματθ. 18, 20. 2. Ματθ. 22, 45.

Στίχ. γ'. «Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.»

Ἀκύλας, «Ἀπὸ μήτρας ἐξωρθρισμένης σοι δρόσος παιδιότητός σου·» ὁ δὲ Σύμμαχος· «Ὡς κατ' ὄρθρον σοι δρόσος ἡ νεότης σου·» ἡ δὲ πέμπτη ἔκδοσις, «Ἐκ μήτρας ἀπὸ ὄρθρου σοι δρόσος νεότητός σου.» Καὶ ἔοικέ γε διὰ τούτων τῆς ἐνσάρκου γεννήσεως αὐτοῦ τὴν οἰκονομίαν σημαίνειν. Ἀπὸ γὰρ μήτρας, φησί, γενήσεται δρόσος ἐξωρθρισμένη τῆς παιδιότητός σου· ἢ ἐκ μήτρας γενήσεταί σοι δρόσος σου ὄρθρου ἐν τῇ νεότητί σου. Σημαίνεσθαι δὲ διὰ τούτων ἡγοῦμαι τὸ μὴ ἐκ σπέρματος ἀνδρός, ἀλλ' ἐξ ἁγίου Πνεύματος συστῆναι τὴν ἔνσαρκον γέννησιν. Οἷα γὰρ δρόσος ἄνωθεν ἐξ οὐρανοῦ φερομένη, οὕτω πως ἐν τῇ μήτρᾳ τῆς κυοφορούσης αὐτὸν μητρὸς ἡ τῆς σαρκὸς ὑπέστη σύστασις ἐν τῇ παιδιότητι αὐτοῦ. Ἀντὶ δὲ τοῦ, «ἐκ γαστρός», ἤ, «ἀπὸ μήτρας», τὸ Ἑβραϊκὸν ἔχει, «Μαριάμ.» Οἶδα δὲ εἰς τοῦτο τινὸς ἀκούσας, ὡς τῆς Ἑβραϊκῆς φωνῆς ἐνταῦθα τῆς Μαρίας μνημονευσάσης· τὸ γάρ, «Μαριάμ,», τὸ Μαρίας ὄνομα σημαίνει, ὡς ὀνομαστὶ διὰ τούτων τῆς Θεοτόκου μνημονευθείσης.

Στίχ. δ'-ζ'. «Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται, Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Κύριος ἐκ δεξιῶν σου συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. Κρινεῖ ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα, συνθλάσει κεφαλὰς ἐπὶ γῆς. Ἐκ χειμάρρου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν.»

Σφόδρα μοι δοκεῖ ἀκολούθως τῇ προγεγραμμένῃ λέξει συνήφθη τὰ προκείμενα. Εἰ γὰρ καὶ τὰ μάλιστα γένεσιν τὴν ἀπὸ μήτρας ὑπέμεινας, φησί, καὶ γεγένησαι οἷα δρόσος ἐξ ἁγίου Πνεύματος ἐν τῇ παιδιότητί σου σάρκα ἀναλαβών, ἀλλ' οὐχ ὁμοίως τοῖς λοιποῖς ἀνθρώποις καὶ τὴν καταστροφὴν τοῦ βίου ποιήσεις· διαμενεῖς δὲ εἰς τὸν αἰῶνα ἱερώμενος τῷ Θεῷ καὶ Πατρί. Τοῦτο γὰρ ὥρισται, καὶ μεθ' ὅρκου βεβαιώσεως τοῦτο ἀποπέφανται πρὸς τοῦ σοῦ Πατρός.

## ΑΛΛΗΛΟΥΙΑ. ΡΓ'.

Στίχ. α'-γ'. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ.»

Τὰ τῆς προγραφῆς τοῦ προκειμένου καὶ τῶν ἐφεξῆς αὐτῷ παρίστησι μὴ διὰ ψαλτηρίου εἰρῆσθαι τὰ προκείμενα, μηδὲ ᾠδῆς ἐπέχειν τόπον, ἀλλὰ μηδὲ προσευχῆς, μηδέ τινος τῶν ἄλλων προγραφῶν, εἶναι δὲ ὕμνους εὐχαριστηρίους· διὸ καὶ ἐπιγεγραμμένοι εἰσίν, «Ἀλληλούϊα», ὅπερ μεταβαλλόμενον εἰς τὴν Ἑλλάδα φωνὴν «αἶνον Θεοῦ» σημαίνει. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ

αἰῶνος.» Σφόδρα δὲ ἀκολούθως μετὰ τὴν ἀποδοθεῖσαν περὶ τοῦ Σωτῆρος ἡμῶν προφητείαν εὐχαριστήριος ὕμνος διὰ τῶν προκειμένων συνάπτεται, ἐκ προσώπου λελεγμένος αὐτοῦ τοῦ Σωτῆρος, εὐχαριστοῦντος τῷ ἑαυτοῦ Πατρὶ ἐπὶ τῇ πάντων τῶν ἀνθρώπων σωτηρίᾳ. Ἡ γὰρ ἐξομολόγησίς ἐστι ὅτε κατὰ τὴν συνήθειαν τῆς Γραφῆς ἁμαρτιῶν ὁμολογίαν σημαίνει, ἔστι δὲ ὅτε εὐχαριστίαν παρίστησιν. Αὐτίκα δ' οὖν ἐν Εὐαγγελίοις αὐτὸς ὁ Σωτὴρ ἡμῶν λέγει· «Ἐξομολογοῦμαι σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. Πάντα παρεδόθη μοι ὑπὸ τοῦ Πατρός, καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ, καὶ τίς ἐστιν ὁ Πατὴρ εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι.[1]» Ἐν βουλῇ τῶν ἁγίων καὶ συναγωγῇ. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. Οὐκέτι σκολιῶν ἀνδρῶν οὐδὲ διαστρόφων, ἀλλ' ἀγαθῶν καὶ εὐθειῶν ψυχῶν τὸν εὐχαριστήριον ὕμνον δώσω σοι τῷ ἐμαυτοῦ Πατρί. Σημαίνει δὲ διὰ τούτων τὴν καθ' ὅλης τῆς οἰκουμένης ἱδρυθεῖσαν διὰ τῆς αὐτοῦ χάριτος Ἐκκλησίαν. Βουλὴν δὲ εὐθέων ὠνόμασε τὰ τάγματα τῶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ ἁγίων· συναγωγὴν δὲ δεύτερον τάγμα μετὰ τὴν βουλὴν τῶν εὐθέων σημαίνει, τὸ ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ δεύτερον τοῦ πλήθους ἄθροισμα.

Στίχ. γ'-ι'. «Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ· ἐλεήμων καὶ οἰκτίρμων ὁ Κύριος, τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ· ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ, τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν· ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πεποιημέναι ἐν ἀληθείᾳ καὶ εὐθύτητι. Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ, ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ· ἀρχὴ σοφίας φόβος Κυρίου.»

Μήποτε, ἐπεὶ ὁ φοβούμενος οὔτε τελείωται, ἡ μὲν εἰσαγωγὴ διὰ φόβου κατορθοῦται, τὸ δὲ τέλος δι' ἀγάπης; «ἡ» γὰρ «τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον.[2]» Τοιοῦτος δ' ἂν εἴη ὁ ἐξ ὅλης καρδίας καὶ ψυχῆς καὶ δυνάμεως ἀγαπῶν Κύριον τὸν Θεόν. «Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.» Καὶ ἡ σύνεσις τότε ἀγαθὴ τυγχάνει, ὅτε ἔργοις ἐπιτελεῖται· διὸ τὴν σύνεσιν οὐχ ἁπλῶς ἀγαθὴν εἶπεν, ἀλλὰ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. «Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.» Τέλος γὰρ τῶν μακαρίων τὸ πρὸς τὸν Θεὸν εἶναι καὶ παρεστάναι αὐτῷ, καὶ μόνῃ αὐτοῦ θεολογίᾳ καὶ αἰνέσει σχολάζειν.

---

1. Λουκ. 10, 21, 22. 2. Α' Ἰω. 4, 18.

## ΑΛΛΗΛΟΥ·Ι·Α. ΡΙΑ'.

Στίχ. α'-γ'. «Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ, γενεὰ εὐθέων εὐλογηθήσεται. Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.»

Οὕτως εἴωθε καλεῖν πάντα τὸν ἐξ ἐθνῶν προσιόντα τῷ Θεῷ. Παρίσταται δὲ τοῦτο ἀπὸ τοῦ διεσταλμένως μετὰ τὸν Ἰσραὴλ καὶ μετὰ τὸν οἶκον Ἀαρών, καὶ μετὰ τὸν οἶκον Λευΐ, τοὺς φοβουμένους τὸν Κύριον ἐπὶ τὸν ὕμνον τοῦ Θεοῦ καλεῖσθαι, ὡς ἐν ἑτέροις εἴρηται. Τίνες γὰρ ἂν εἶεν μετὰ τούτους οἱ φοβούμενοι τὸν Κύριον ἀλλ' ἢ οἱ ἐξ ἐθνῶν ἀλλόφυλοι καὶ ἀλλογενεῖς; Οὐκοῦν ἐν τῷ μετὰ χεῖρας ψαλμῷ οὐκ ἄλλος τις ἂν εἴη ὁ μακαριζόμενος τοῦ ἐξ ἐθνῶν προσεληλυθότος τῷ Θεῷ λαοῦ· ὅντινα ὀνομάζει φοβούμενον τὸν Κύριον. Οὐ μὴν ἤδη που μακάριος ὁ τοιοῦτος, εἰ μὴ καὶ τὸ ἑξῆς αὐτῶν ἐποιεῖτο· τουτέστι τὸ ἐν ταῖς ἐντολαῖς αὐτοῦ θέλειν σφόδρα, ἀσφαλῶς δὲ τὸ θέλειν κέκτηται, ὡς ἂν μὴ ἐπάναγκες μηδὲ παρὰ προαίρεσιν φυλάττοιτό τις τὰς ἐντολάς, ἀλλ' ἐθελοντής, καὶ μετὰ τοῦ στέργειν σὺν πάσῃ προθυμίᾳ καὶ γνησίως ἀγαπᾶν τὴν τῶν ἐντολῶν τοῦ Θεοῦ φυλακήν.

Στίχ. δ'-ς'. «Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν, ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος.»

Ὁ μακαριζόμενος τὸ οἰκεῖον φῶς οὐ διαλείπει, ἐξανατέλλων οὐ πᾶσι, τὴν διδασκαλίαν δὲ τοῖς εὐθέσιν αὐτοῦ, καὶ τὸ τῆς γνώσεως φῶς ἔνδον ἐν τῇ τῶν εὐθέων γενεᾷ παρέχων, καὶ τοὺς εὐθεῖς φωτίζων. «Χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν.» Οὐκ ἀποκλείει τὰ ἑαυτοῦ σπλάγχνα, ἀλλὰ μεταδίδωσι τῶν ὑπαρχόντων τοῖς δεομένοις, διὰ τὸ φυλάττειν ἐντολὴν τὴν λέγουσαν· «Τίς ἄρα πιστὸς καὶ φρόνιμος οἰκονόμος, ὃς ἐν καιρῷ δώσει τὸ σιτομέτριον τοῖς συνδούλοις; Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν.[1] Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει, ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται.» Ὁ τοιοῦτος, φησί, καὶ τοιαῦτα πράττων, οὔτε πεσεῖται, οὔτε σαλευθήσεται τῆς ἐπὶ τὴν πέτραν στάσεως. Οὔτε γὰρ ἀπειλαῖς ἀρχόντων πτήξει, οὔτε τῶν θορυβεῖν καὶ ταράττειν αὐτὸν πειρωμένων ἐν καιροῖς περιστατικοῖς.

Στίχ. ζ', η'. «Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος, ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται.»

Οὐδ' ἐκ λόγων ψευδῶν, ἐπαγγελλομένων μὲν ἀλήθειαν, ἐπηρμένων δὲ κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, πείσεταί τι δεινόν, ἅτε δὴ τεθεμελιωμένος ἐπὶ τὴν πέτραν, καὶ μηδενὸς αὐτὸν χωρίζοντος

---

1. Λουκ. 12, 43-44.

ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ. «Ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον, ἐστήρικται ἡ καρδία αὐτοῦ· οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ.» Διὰ ταῦτα φησίν, οὐ σαλευθήσεται, ἀλλ' οὐδὲ «ἀπὸ ἀκοῆς πονηρᾶς» φοβηθήσεται, ἐπειδὴ «ἑτοίμη ἡ καρδία αὐτοῦ ἐλπίζειν ἐπὶ Κύριον.» Ἀνθ' οὗ ὁ Σύμμαχος ἐποίησεν· «Ἑδραία ἡ καρδία αὐτοῦ ἀμέριμνος ἐν Κυρίῳ.» Διὰ τοῦτο τῶν τοιούτων θορύβων καταφρονεῖ· καὶ οὐ μόνον οὐ δέδιε τοὺς δυσμενεῖς, ἀλλὰ καὶ τὴν ἐκείνων ἧτταν διὰ τὴν εἰς Θεὸν ἐλπίδα παραμένει.

Στίχ. θ,' ι'. «Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται, ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται.»

Ἐπειδὴ περὶ τῶν διὰ πίστεως τελειουμένων ὁ πᾶς λόγος, καὶ περὶ τοῦ ἐξ ἐθνῶν λαοῦ τοῦ κατὰ τὴν θείαν διδασκαλίαν θεοσεβοῦντος, εἴρηται, ἀκολούθως μνημονεύει καὶ τῶν ἐκ περιτομῆς διαπριομένων ἐπὶ τῇ προκοπῇ τῶν ἐξ ἐθνῶν. Διὸ λέλεκται· «Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται, τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται», ὡς τοῦ παρανόμου μὲν εἰληφότος νόμον, παραβεβηκότος δὲ αὐτόν. Τοιοῦτος δὲ πᾶς ὁ ἐκ περιτομῆς, ὃς ἐπὶ τῇ ἡμετέρᾳ σωτηρίᾳ τοὺς ὀδόντας αὐτοῦ βρύχει. Ἀλλὰ καὶ οἱ τῶν ἐθνῶν ἄπιστοι ταὐτὸν πάσχουσιν ἐπὶ τῇ προκοπῇ τῶν ἐξ αὐτῶν μεταβεβηκότων ἐπὶ τὴν κατὰ Θεὸν πολιτείαν. Πλὴν ἀμφότερα τὰ τάγματα διαπριόμενα κατὰ τῶν ἐν Χριστῷ τελειουμένων ἐκτακήσεται, τῆς ἐπιθυμίας αὐτῶν ἀπολλυμένης.

## ΑΛΛΗΛΟΥΪΑ ΑΓΓΑΙΟΥ ΚΑΙ ΖΑΧΑΡΙΟΥ. ΡΙΒ'.

Στίχ. α', β'. «Αἰνεῖτε, παῖδες, τὸν Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.»

Πάντα τὸν διὰ τὸ φοβεῖσθαι Κύριον μακάριον γεγενημένον ἄνδρα ὑποτυπωσάμενος ὁ λόγος ἐν τῷ πρὸ τούτου ψαλμῷ, τόν τε βίον τῶν τοιούτων καὶ τὴν κατὰ Θεὸν πολιτείαν, καὶ τὸ ἐπὶ τούτοις παρὰ Θεῷ τέλος ὑπογράψας ἐν τῷ προκειμένῳ, τίνες ποτέ εἰσιν οὗτοι, καὶ τίνων τυγχάνουσι παραπλήσιοι διδάσκει, παῖδας αὐτοὺς καλῶν διὰ τὸ νεαρὸν καὶ ἀρτιγενὲς τῆς κατὰ ψυχὴν ἡλικίας, καὶ τούτους ἐπὶ τὸν αἶνον καλεῖ τοῦ Θεοῦ. Ἀντὶ τοῦ, «παῖδες», ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος «δούλους» ὠνόμασαν φήσαντες· «Ὑμνεῖτε, δοῦλοι, Κύριον, ὑμνεῖτε τὸ ὄνομα Κυρίου.» Δούλων γὰρ οὐδὲν διενηνόχασιν οἱ παῖδες, φόβῳ δουλείας παιδαγωγούμενοι. «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.» Ὡς ἀγνοοῦσι τοῖς παισὶν ὅπως χρὴ τὸν Κύριον ὑμνεῖν τὸ προφητικὸν Πνεῦμα δίκην παιδαγωγοῦ καὶ διδασκάλου τὰς φωνὰς αὐτὰς παραδίδωσιν. Εὐχὴ δὲ αὕτη ἐστὶν ὑπὲρ ἡμῶν αὐτῶν τῶν παίδων ἀναπεμπομένη, ὡς ἂν διαμείνῃ ἡμῖν τὸ τοῦ

Κυρίου ὄνομα εἰς τὸ διηνεκές, μὴ φεῦγον ἡμᾶς, ἀλλ' ἀναπτυόμενον τῷ ἡμετέρῳ βίῳ.

Στίχ. γ'. «Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου. Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη ὁ Κύριος, ἐπὶ τοὺς οὐρανοὺς ἡ δόξα αὐτοῦ.»

Καὶ πότε τέλους ἔτυχεν ὁ λόγος ἀλλ' ἢ μετὰ τὴν ἐπιφάνειαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ; Πρὸ γοῦν ταύτης ἐν τῇ Ἰουδαίᾳ μόνῃ ἐλέγετο γνωστὸς εἶναι Θεός, καὶ ἐν μόνῳ τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ, τῶν ἔξω τῆς Ἰουδαίας ἐθνῶν δαίμοσι καταδεδουλωμένων καὶ πνεύμασιν ἀκαθάρτοις, καὶ τοῖς τῆς εἰδωλολατρείας ἀντεχομένοις τοῦ ὀνόματος τοῦ Κυρίου μηδὲ εἰς ἔννοιαν ἥκοντος. Ὅτε γε μὴν ἐπιφανεὶς αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοὺς αὐτοῦ μαθητὰς ἐπὶ πάντα διεπέμψατο τὰ ἔθνη, τηνικαῦτα πληροῦται ὁ διὰ τῶν προκειμένων φωνῶν τοῖς πᾶσι παραδοθεὶς ὕμνος.

Στίχ. ε', ς'. «Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ;»

Διδάσκεται δὲ διὰ τούτων ὁ νέος λαός, ὡς εἰ καὶ ἀνελήφθη ὁ Κύριος ἡμῶν, καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Πατρός, ἀλλ' οὖν καὶ οὕτω πλήρης ἐστὶ πᾶσα ἡ γῆ καὶ ἀπολαύει τῆς ἐπισκοπῆς αὐτοῦ. Ἆρα οὐ δοκεῖ μέγα εἶναι τὸ εἰρημένον; Ἀλλ' ὅταν ἐννοήσῃς περὶ τίνος εἴρηται, σφόδρα ἐστὶ καταδεές. Πῶς γὰρ ἐν οὐρανοῖς κατοικεῖ ὁ τὸν οὐρανὸν καὶ τὴν γῆν πληρῶν, ὁ πανταχοῦ παρών, ὁ λέγων· «Θεὸς ἐγγίζων ἐγώ, καὶ οὐ Θεὸς πόρρωθεν, ὁ μετρήσας τὸν οὐρανὸν σπιθαμῇ καὶ τὴν γῆν δρακί, ὁ κατέχων τὸν γῦρον τῆς γῆς;[1]» Ἀλλ' ἐπειδὴ πρὸς Ἰουδαίους ἦν αὐτῷ ὁ λόγος, διὰ τοῦτο τέως οὕτω κέχρηται τῷ λόγῳ, συγκαταβαίνων τῇ παχύτητι αὐτῶν· εἶτα κατὰ μικρὸν ἀνάγων αὐτῶν τὴν διάνοιαν καὶ πτερῶν τὴν γνώμην καὶ ἀναβιβάζων, ἠρέμα ἐπάγει ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, τουτέστι καὶ ἄνω καὶ κάτω. Τοῦτο δὲ εἶπε διὰ τὴν ἀσθένειαν τὴν Ἰουδαϊκήν, τὴν πρὸς τὰ εἴδωλα ἐπτοημένην, καὶ θεοὺς προσκυνοῦσαν τοὺς ἐν τόποις καὶ ναοῖς συγκεκλεισμένους. Εἰπὼν γοῦν, «ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ», δίδωσι νοεῖν, ὅτι πανταχοῦ ἐστι, κἀκεῖ καὶ ἐνταῦθα, καὶ διὰ πάντων ἥκει. Οὐ γὰρ ὡς ἄν τις ἐν οὐρανῷ συγκεκλεισμένος πόρρωθεν βλέπει τὰ ἐν τῇ γῇ, ἀλλὰ πανταχοῦ παρὼν καὶ ἀχώρητος ὢν καὶ ἀπερίγραπτος καὶ πᾶσι περιιστάμενος. Εἶδες πῶς κατὰ μικρὸν πτεροῖ τὴν διάνοιαν τῶν ἀκουόντων; Οὐ γὰρ ζητεῖ ὅπως ἄν τις τῆς δόξης εἴποι τοῦ Θεοῦ τέως ἐπάξιον, ἀλλ' ὅπως ἐκείνοις χωρητόν. Καὶ ἀλλαχοῦ δὲ θρόνος Θεοῦ λέγεται ὁ οὐρανὸς ἐκ τοῦ τὰς οὐρανίας δυνάμεις παγίως ἐν αὐταῖς τὴν τοῦ Θεοῦ δόξαν ἐνιδρυμένην ἔχειν· καὶ ἡ γῆ ὑποπόδιον, διὰ τὸ ἐπὶ γῆς τοὺς ἀνθρώπους τὰ τελευταῖα τῶν περὶ Θεοῦ μόλις χωρῆσαι δύνασθαι. Ἐνταῦθα δὲ ἀναστήσας ἀπὸ τῆς γῆς τὸν ἀκροατὴν ὁ

1. Ἱερ. 23, 23. Ἡσ. 40, 12.

Δαυΐδ, ἐφ' ἕτερον ἔρχεται τῆς δυνάμεως τοῦ Θεοῦ δεῖγμα λέγων·

Στίχ. ζ'-θ'. «Ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα, τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων λαοῦ αὐτοῦ· ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην.»

Ὑμνεῖ τὴν δύναμιν τοῦ Θεοῦ, ῥᾳδίως μεταβάλλουσαν ἃ βούλεται. Οὐ μόνον γάρ, φησί, πλουτίζει τὸν πένητα καὶ δοξάζει, ἀλλὰ καὶ τοῖς ἄρχουσι τοῦ λαοῦ συγκαθίστησι, καὶ εἰς ἀρχὴν ἀνάγει. Μεγάλης γὰρ δυνάμεως καὶ ἀφάτου τὸ τὰ μικρὰ ἐπαίρειν. Δύναται δὲ ὁ στίχος καὶ περὶ τοῦ ἀπὸ τῶν ἐθνῶν λαοῦ λέγεσθαι, περὶ οὗ φησιν ὁ προφήτης· «Καί διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτωχός, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε. Ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθός, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη· ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς· σκέπη διψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων.[1]» Τοῦτον γὰρ τὸν πτωχὸν καὶ πένητα λαόν, ἀπὸ τῶν χαμαιζήλων πραγμάτων ἐγείρας, καὶ τῆς ἀτιμίας τῶν παθῶν καὶ τῆς κοπρίας τῶν Ἑλληνικῶν μυσαγμάτων, καθίσει μετὰ τῶν ἀρχόντων τοῦ Ἰσραήλ, ὄντος λαοῦ αὐτοῦ. Εἰσὶ δὲ οἱ ἀπόστολοι ἄρχοντες τοῦ Ἑβραίων λαοῦ, ἢ καὶ οἱ πατριάρχαι, μεθ' ὧν κατασκηνώσουσιν οἱ ἐξ ἐθνῶν πιστεύσαντες. Καὶ τοῦτό φησιν ὁ Κύριος· «Πολλοὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραάμ, καὶ Ἰσαὰκ. καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.[2]» Ἔστι μὲν οὖν ὁ λόγος καθολικός. Εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν αὐτὸν βουληθείη, ὄψεται τοῦτο πάλιν ἐπὶ τῆς παρουσίας τοῦ Χριστοῦ γενόμενον. Τί γὰρ τῆς ἡμετέρας φύσεως πτωχότερον; Ἀλλ' ὅμως αὐτὴν ἤγειρε καὶ ἀνήγαγε τὴν ἀπαρχὴν ἡμῶν, καὶ εἰς οὐρανὸν ἐκάθισε τὸν ὑψηλότερον. Κοπρίαν δὲ ἐνταῦθα τὸ εὐτελὲς λέγει, καὶ τὴν ἐκεῖθεν ἀθρόον γινομένην μεταβολήν, δεικνὺς ὅτι πάντα αὐτῷ ῥᾴδια καὶ εὔκολα. Ταῦτα δὲ καὶ ἡ μακαρία Ἄννα εἴρηκε, τὸν χαριστήριον ὕμνον προσφέρουσα τῷ Θεῷ· «Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ, ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχόν, καθίσαι μετὰ δυναστῶν λαοῦ, καὶ θρόνον δόξης κατακληρονομῶν αὐτοῖς.[3]» Ὁρῶμεν δὲ αὐτὰ διηνεκῶς ὑπὸ τοῦ τῶν ὅλων Θεοῦ γινόμενα. Οὕτω τὸν μακάριον Δαυΐδ, ποιμένα ὄντα, βασιλέα πεποίηκε· οὕτω τὸν Ἰωσήφ, εἰς δουλείαν μεταπεσόντα, ἐπὶ τὸν βασιλικὸν ἐκάθισε θρόνον· οὕτω τὸν Μωσέα, προβατέα γενόμενον, δημαγωγὸν ἀπέφηνε τοῦ λαοῦ, καὶ θεὸν ἐχειροτόνησε τοῦ Φαραώ· οὕτω τὰ ἔθνη, τῇ δουλείᾳ τῆς ἀσεβείας δουλεύοντα καὶ τῇ κόπρῳ τῆς ἁμαρτίας καὶ βδελυγμίας ἐπικαθήμενα, τῶν τοῦ Ἰσραὴλ δεδωρημένων ἠξίωσεν ἀγαθῶν· οὕτω τὴν ἀνθρωπείαν φύσιν εἰς αὐτὸν καταπεσοῦσαν τὸν τοῦ ᾅδου πυθμένα, ἀνέλαβε καὶ ἀνήγαγε, καὶ ἐκάθισεν ἐπάνω πάσης ἀρχῆς

---

1. Ἡσ. 35, 3-4. 2. Ματθ. 8, 11. 3. Α' Βασ. 2, 7-8.

καὶ ἐξουσίας καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.

## ΑΛΛΗΛΟΥ·Ι·Α. ΡΙΓ'.

Στίχ. α', β'. «Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.»

Ὕμνος καὶ οὗτός ἐστι τὰς Ἰουδαίοις ὑπὸ τοῦ Θεοῦ παρασχεθείσας εὐεργεσίας διεξιών, καὶ τοῦ Θεοῦ τὴν δύναμιν διηγούμενος, καὶ τῶν εἰδώλων κωμῳδῶν τὴν ἀσθένειαν. Ἁρμόττει δὲ καὶ οὗτος ὁ ὕμνος τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι, καὶ τῆς τῶν εἰδώλων πλάνης ἀπηλλαγμένοις· μανθάνουσι γὰρ ὅσον τὸ μέσον τῶν οὐκ ὄντων πρὸς τὸν ὄντα, καὶ ὡς εἷς ἐστι Θεὸς Παλαιᾶς καὶ Καινῆς Διαθήκης. Ἀντὶ δὲ τοῦ, «Ἐκ λαοῦ βαρβάρου», ὁ μὲν Ἀκύλας, «Ἀπὸ λαοῦ ἑτερογλώσσου·» ὁ δὲ Σύμμαχος, «Ἐκ λαοῦ ἀλλοφώνου», ἐκδέδωκεν. «Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ.» Πάλαι μὲν γάρ, ὅτε διὰ Μωϋσέως τὴν ἐξ Αἰγύπτου πορείαν ἐποιήσαντο οἱ ἀπὸ τοῦ προτέρου λαοῦ, βραχύ τι μόριον τῆς γῆς καὶ σφόδρα εὐτελὴς γωνία τῆς ἁπάσης οἰκουμένης, Ἰουδαία, ἐξείλεκτο τῷ Θεῷ, καὶ ἔθνος ἓν τὸ Ἰουδαίων· ἐπεὶ δέ, τῆς σωτηρίου ἐπιφανείας τῆς χάριτος ἁπλωθείσης καθ' ὅλης τῆς οἰκουμένης, ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου, καὶ ὑψηλὸς οὐκ ἐπ' ἔθνος τὸν Ἰσραήλ, ἀλλ' ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη γέγονεν ὁ Κύριος.

Στίχ. γ'-η'. «Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω· τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡσεὶ ἀρνία προβάτων. Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες, καὶ σοί, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοί, ὡσεὶ ἀρνία προβάτων; Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ, τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων.»

Δοκεῖ μοι πάλιν ἐντεῦθεν ὁ λόγος τὴν προφητείαν ποιεῖσθαι τῆς τῶν ἐθνῶν ἁπάντων κλήσεως. Πάλαι μὲν γάρ, φησὶ κατὰ τὴν ἐξ Αἰγύπτου πορείαν, Ἰουδαία μόνη γέγονεν ἁγίασμα τοῦ Θεοῦ, καὶ μόνος Ἰσραὴλ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ. Καὶ πάλαι μὲν μερική τις γέγονεν αἴσθησις θαλάσσης, καὶ ποταμοῦ καὶ ὀρῶν καὶ βουνῶν· νῦν δὲ τὸ πᾶν στοιχεῖον τῆς γῆς κινείσθω καὶ σαλευέσθω· μᾶλλον δὲ κατὰ τὸν Ἀκύλαν, «ὠδινησάτω», ὅπως πληρωθῇ τὸ εἰρημένον ὑπὸ Ἡσαΐου προφήτου· «Τίς ἤκουσε τοιαῦτα, καὶ τίς ἑώρακεν οὕτως; Εἰ ὤδινε γῆ ἐν μιᾷ ἡμέρᾳ, καὶ ἐτέχθη ἔθνος εἰσάπαξ;[1]» Τῆς γὰρ κλήσεως τῶν ἐθνῶν καὶ τῆς τοῦ Θεοῦ χάριτος μελλούσης χεῖσθαι καθ'

---

1. Ἡσ. 66, 8.

ὅλης τῆς ὑπὸ τῶν ἀνθρώπων οἰκουμένης, ἀνάγκη πᾶσα ἦν τὰ ἐξ αἰῶνος ἱδρυμένα σεβάσματα τῶν ἐθνῶν σάλον καὶ κλόνον παθεῖν, καὶ τοὺς ἐν αὐτοῖς δαίμονας φυγεῖν, ἵνα τῷ Θεῷ γεννηθῇ καθ' ὅλης τῆς οἰκουμένης ὁ ἐξ ἐθνῶν λαός.

Στίχ. θ'-ιβ'. «Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν· ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, μή ποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα τῶν χειρῶν ἀνθρώπων.»

Ἐνταῦθά μοι δοκεῖ τὸ Πνεῦμα τὸ ἅγιον αἰνίττεσθαι τοῦ ἐκ περιτομῆς λαοῦ τὴν ἀποβολήν. εὐχήν τε αὐτοῖς παραδιδόναι εἰς ἐξομολόγησιν, ἐκ προσώπου τε αὐτῶν τὰ παράπονα φάσκειν, δι' ὧν παρίστανται μηκέτι ἔχοντες τὴν ἐπισκοποῦσαν αὐτοῖς θείαν δύναμιν· δι' ὧν διδάσκονται δέεσθαι καὶ παρακαλεῖν διὰ τοῦ λέγειν· Ἡμεῖς μὲν ἀνάξιοι τῆς χάριτος, ἧς κατηξίωνται πάντα τὰ ἔθνη· ἀλλὰ μὴ ἡμῖν ποιήσῃς Δέσποτα· ἀλλὰ διὰ τὸ ὄνομά σου τὸ ἐξ ἀρχῆς ἐπικληθὲν ἐφ' ἡμᾶς, καὶ μὴ ταῖς ἡμῶν δικαιοσύναις, ἀλλὰ τῷ σῷ ἐλέει χάρισαι καὶ τῇ σῇ ἀληθείᾳ. Εἰ γὰρ μὴ ἐλεήσειας, ἐροῦσι τὰ ἔθνη· «Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;» Ἀλλ' ἵνα μή ποτε τοῦτον εἴπωσι τὸν λόγον, χάρισαι ἡμῖν καὶ δώρησαι ἔλεός σου. Κἂν γὰρ μὴ ἡμᾶς μηκέτι ἡ σὴ ἐπισκοπὴ διακυβερνᾷ, ἀλλὰ πεπείσμεθά σε εἶναι ἐν τῷ οὐρανῷ, καὶ ταῦτα ποιεῖν ἅπερ ἠβουλήθης.

Στίχ. θ'-κς'. «Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν· ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, μή ποτε εἴπωσι τὰ ἔθνη· Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν. Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται· ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται, ῥῖνας ἔχουσι καὶ οὐκ ὀσφρανθήσονται· χεῖρας ἔχουσι καὶ οὐ ψηλαφήσουσι, πόδας ἔχουσι καὶ οὐ περιπατήσουσιν, οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπιζεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς. Εὐλόγησε τὸν οἶκον Ἰσραήλ, εὐλόγησε τὸν οἶκον Ἀαρών· εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.»

Διέσταλται καὶ ἰδίως ἀφώρισται τοῦ ριγ΄ ψαλμοῦ ἔν τισι τῶν ἀντιγράφων τὰ προκείμενα, ὥστε εἶναι ριδ΄ ψαλμὸν τὸν μετὰ χεῖρας. Ἐπειδὴ δέ, ἐγκύψας αὐτῇ τῇ Ἑβραίων βίβλῳ, τοὺς αὐτῶν χαρακτῆρας συνημμένους εὗρον καὶ τὰς λέξεις, ἐπέστησα καλῶς ἀκολουθῆσαι τῇ Ἑβραίων βίβλῳ, συνάψαι τε τοῖς προτέροις τὰ προκείμενα, ὥστε εἶναι μέρος αὐτὰ τοῦ ριγ΄ ὕμνου. Δοκεῖ οὖν τὰ προκείμενα ἀνηρτῆσθαι τῶν προτέρων· παιδεύονται γὰρ οἱ παῖδες οἷς ἐλέγετο· «Αἰνεῖτε, παῖδες, Κύριον», τουτέστιν ὁ νέος λαός, ποῖον Κύριον προσήκει αἰνεῖν· δῆλον δὲ αὐτὸν ἐκεῖνον τὸν ἐν τῇ ἐξόδῳ Ἰσραὴλ τῇ ἐξ Αἰγύπτου τὰ τοσαῦτα θαυμάσια διαπραξάμενον. Ἐκείνοις οὖν ἀκολούθως οἱ αὐτοὶ διδάσκονται τοὺς πάλαι νενομισμένους αὐτῶν θεοὺς ὁποῖοί τινες ἦσαν μὴ ἀγνοεῖν, ὅτι ἄψυχοι καὶ πάσης αἰσθήσεως ἐστερημένοι, ὅτι νεκρά, καὶ κωφὰ καὶ τυφλὰ εἴδωλα, οὐδὲν ὅμοιον ἔχοντα, οὐ φημὶ τῷ μεγάλῳ καὶ παραδοξοποιῷ ποιητῇ τῶν ὅλων, ἀλλ' οὐδὲ τοῖς ἐσχάτοις τῶν ἐμψύχων, οἷς μέτεστιν αἰσθήσεως· πάντη δὲ ἄψυχος ὕλη καθέστηκεν. Κἀκεῖνα μέν, λέγω δὴ τὰ ἔμψυχα ζῷα, Θεοῦ Λόγῳ συνέστηκεν· οἱ δὲ τῶν ἐθνῶν νενομισμένοι θεοὶ ἀνθρωπίνων ἔργων ἀναπλάσματα τυγχάνουσιν.

## ΑΛΛΗΛΟΥΙΑ. ΡΙΔ΄.

Στίχ. α΄, β΄. «Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου, ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.»

Ὁ πάλαι φοβούμενος τὸν Κύριον, ἤδη προκόψας ἀπὸ τοῦ φόβου, καὶ μεταβὰς ἐπὶ τὴν ἀγάπην τοῦ Θεοῦ, εἴποι ἄν, «Ἠγάπησα·» τίνα δέ, ἢ δηλαδὴ Κύριον τὸν Θεὸν ἐξ ὅλης καρδίας, καὶ δυνάμεως καὶ ψυχῆς, ὥστε ἕνεκεν αὐτοῦ καὶ μέχρι θανάτου ἀγωνίζεσθαι ὑπὲρ ἀληθείας, πάντα τε ὑπομεῖναι πειρασμόν, καὶ πάντα κίνδυνον ὑποστῆναι προθύμως διὰ τὴν πρὸς Θεὸν ἀγάπην; «Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.»

Στίχ. γ΄-η΄. «Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με· θλῖψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην. Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου· ἐλεήμων καὶ δίκαιος ὁ Κύριος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. Φυλάσσων τὰ νήπια ὁ Κύριος, ἐταπεινώθην, καὶ ἔσωσέ με. Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε· ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων, καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.»

Πάντα γὰρ ταῦτα, φησί, διὰ τὸν Θεὸν ὑπομείνας ἠγάπησα. Οὐ γὰρ παρὰ προαίρεσιν, οὔτε φεύγων, προθύμως δὲ ἐμαυτὸν τούτοις ἅπασιν ἐπιδιδούς, ἔστερξα διὰ τὴν πρὸς τὸν Θεὸν ἀγάπην· ὡς δύνασθαι λέγειν· «Ἕνεκεν σου θανατούμεθα ὅλην τὴν ἡμέραν.[1]» Πάντα γὰρ

1. Ψαλμ. 43,22.

ταῦτα ἠγάπησα διὰ τὸν Κύριον, καὶ ἀγαπήσας τὸ ὄνομα Κυρίου ἐπεκαλεσάμην.

Στίχ. θ'. «Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων».

Ὁ κόσμος οὗτος αὐτός τέ ἐστι θνητός, καὶ χωρίον ἀποθνησκόντων ἐστίν. Ἐπειδὴ γὰρ σύνθετός ἐστι τῶν ὁρωμένων ἡ σύστασις· τὸ δὲ σύνθετον ἅπαν διαλύεσθαι πέφυκεν· ἐν τῷ κόσμῳ ὄντες, μέρος ὄντες τοῦ κόσμου, ἀναγκαίως τῆς τοῦ παντὸς φύσεως ἀπολαύομεν· ἐκεῖ δὲ οὐκ ἔστιν ἀλλοίωσις, οὔτε σώματος, οὔτε ψυχῆς. Οὐδὲ γάρ ἐστι λογισμοῦ παρατροπή, οὐδὲ μετάθεσις γνώμης, οὐδεμιᾶς περιστάσεως τὸ εὐσταθὲς καὶ ἀτάραχον τῶν λογισμῶν ἀφαιρουμένης. Χώρα ἐστὶν ἐκείνη τῶν ἔτι ζώντων, ἐν ᾗ μάλιστα εὐαρεστήσειν τῷ Θεῷ ὁ προφήτης κατεπαγγέλλεται, ὡς ὑπ' οὐδενὸς μέλλων τῶν ἔξωθεν διακόπτεσθαι ζώντων. Ἐκείνη χώρα ἐν ᾗ οὐκ ἔνι νύξ, οὐκ ἔνι ὕπνος τὸ τοῦ θανάτου μίμημα, οὐκ ἔνι βρῶσις, οὐκ ἔνι πόσις τὰ τῆς ἀσθενείας ἡμῶν ὑπερείσματα, οὐ τῶν ἔξωθέν τι περιστατικῶν· ἀλλὰ χώρα ζώντων, οὐκ ἀποθνησκόντων διὰ τῆς ἁμαρτίας, ἀλλὰ ζώντων τὴν ἀληθινὴν ζωὴν τὴν ἐν Χριστῷ Ἰησοῦ.

## ΑΛΛΗΛΟΥΙΑ. ΡΙΕ'.

Στίχ. α'-γ'. «Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;»

Συνῆπται καὶ ταῦτα τοῖς πρὸ αὐτῶν ἐν τῷ Ἑβραϊκῷ ἀντιγράφῳ, ὥστε ἀπηρτῆσθαι τὴν ἐν αὐτοῖς διάνοιαν τῶν προλελεγμένων, καὶ μέρος εἶναι αὐτῶν. Ἐπεὶ μὲν γὰρ εἰρήκει· «Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου·» καὶ πάλιν· «Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων·» ἐνταῦθα δὲ ἐπισυνάπτει λέγων· «Ἐπίστευσα, διὸ ἐλάλησα.» Εἶναι γὰρ χώραν ζώντων ἑτέραν παρὰ τὸ ἀνθρώπινον βίον ἐπίστευσα, καὶ εἶναι τῆς ψυχῆς ἀνάπαυσιν ἑτέραν παρὰ τὴν ἐπὶ γῆς διατριβήν· «Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.» Ἐταπείνωσα ἐμαυτόν, καὶ σφόδρα ἐκάκωσα· οὕτω γὰρ ἡρμήνευσεν ὁ Σύμμαχος εἰπών· «Ἐκακώθην σφόδρα.» Τοῦτο δὲ ἐποίησα, ἐπειδήπερ ἠπιστάμην, ὅτι πᾶς ἄνθρωπος ψεύστης· διόπερ ἀγωνιῶν καὶ φροντίζων, μὴ ἄρα καὶ αὐτός, ὡς ἄνθρωπος ἀποφηνάμενος περὶ ἐμαυτοῦ καὶ εἰπών· «Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων», ψεύσωμαι· τούτου χάριν πιστεύσας τῇ μελλούσῃ ζωῇ καὶ τῇ τῆς ψυχῆς ἀναπαύσει, καὶ τῇ χώρᾳ τῶν ζώντων, καὶ διὰ τοῦ πιστεῦσαι λαλήσας ταῦτα αὐτά, ἵνα μήποτε ἐκπέσω τῆς ἐπαγγελίας, καὶ ψευσθῶ τῆς ἐλπίδος, ἐταπείνωσα ἐμαυτὸν σφόδρα.

«Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· Πᾶς ἄνθρωπος ψεύστης.» Λογισμοὶ γὰρ ἀνθρώπων δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν.

Φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα· καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ τῆς γῆς, καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου. Τὰ δ' ἐν οὐρανοῖς τίς ἐξιχνίασεν; Ὅμως οὐχ ὡς ἄνθρωπος ἐλάλησα· ἦ γὰρ ἂν καὶ ἐψευσάμην· ἀλλ' ἐπίστευσα τοῖς τοῦ Θεοῦ λόγοις, καὶ ταῖς τοῦ Θεοῦ ἐπαγγελίαις.

Στίχ. γ'-ζ'. «Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; Ποτήριον τοῦ σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ· τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ. Ὦ Κύριε, ἐγὼ ὁ δοῦλος σός, ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. Διέρρηξας τοὺς δεσμούς μου.»

Υἱὸν παιδίσκης φησὶν ἑαυτόν, τῆς Ἐκκλησίας. Δεσμοὺς δὲ οἷς σειραῖς τῶν ἑαυτοῦ ἁμαρτημάτων κατεσφίγγετο. Ἐλευθερωθεὶς δὲ τῆς ἁμαρτίας, καὶ υἱὸς τῆς σῆς παιδίσκης γινόμενος τῆς Ἐκκλησίας, τῶν προτέρων ἀνέθην ἁμαρτημάτων διὰ τῆς σῆς χάριτος.

Στίχ. η-ι'. «Σοὶ θύσω θυσίαν αἰνέσεως, καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ, ἐν αὐλαῖς οἴκου Κυρίου, ἐν μέσῳ σου, Ἱερουσαλήμ.»

Προκοπὴν σημαίνει τῷ ταῦτα λέγοντι, φημὶ δὲ τῷ ἐξ ἐθνῶν λαῷ. Τῷ γάρ, «Σοὶ θύσω θυσίαν αἰνέσεως», τοῦ σώματος καὶ τοῦ αἵματος, φησί, μεταλήψομαι, καὶ ἐν τῇ τούτων μεταλήψει τὸ ὄνομά σου ἐπικαλέσομαι, καὶ τὰς εὐχαριστηρίους εὐχάς σοι τῷ Κυρίῳ ἀποδώσω ἔνδον ἐν μέσῳ τῆς ἀληθοῦς Ἱερουσαλήμ, καὶ ἐναντίον παντὸς τοῦ λαοῦ, καὶ τὰς ἐπαγγελίας ἅς ποτε ἐποιησάμην.

## ΑΛΛΗΛΟΥΪΑ. ΡΙϚ'.

Στίχ. α', β'. «Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί· ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.»

Ἀνακαλεῖται τοίνυν ὁ λόγος εἰς τὸν ὕμνον τοῦ Θεοῦ πάντα τὰ ἀλλογενῆ καὶ ἀλλόφυλα ἔθνη· εἶτα ἀποδιαστείλας τῶν ἐθνῶν τοὺς λαοὺς ἐπιλέγει· «Ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοί.» Νοήσεις δὲ τὴν διαφορὰν ἐπιστήσας τῇ προφητείᾳ τῇ λεγούσῃ παρὰ τῷ Ζαχαρίᾳ· «Χαῖρε καὶ εὐφραίνου, θύγατερ Σιών· ἰδοὺ ἐγὼ ἔρχομαι καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον, καὶ ἔσονται αὐτῷ εἰς λαόν, κἀγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν.[1]» Τέως μὲν γὰρ ἔθνη τυγχάνοντα, οὔπω λαὸς ἦν αὐτοῦ, μεταβαλόντα δὲ τοῦ προτέρου βίου, καὶ μετασχόντα τῶν τοῦ Θεοῦ μυστηρίων δι' ἀναγεννήσεως καὶ λουτροῦ παλιγγενεσίας, γίνονται αὐτοῦ λαοί. Ὃ δὴ εἰσέτι καὶ νῦν πληροῦται καθ' ὅλης τῆς τῶν ἀνθρώπων οἰκου-

1. Ζαχ. 2, 14-15.

μένης, μυριάνδρων λαῶν ὥσπερ κατὰ χορούς ἱσταμένων καὶ τὸν παρ' Ἑβραίοις προφητῶν Θεὸν ὑμνούντων, καὶ τὰ αὐτὰ ἀναγνώσματα, μαθήματά τε καὶ δόγματα διδασκομένων. Ταῦτα γοῦν ὀφθαλμοῖς ὁρώμενα, οὐκ ἄλλως ἢ διὰ μόνης τῆς σωτηρίου δυνάμεως καθ' ὅλης συνέστη τῆς τῶν ἐθνῶν οἰκουμένης.

## ΑΛΛΗΛΟΥΪΑ. ΡΙΖ'.

Στίχ. α'-δ'. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτω δὴ ὁ οἶκος Ἰσραήλ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ· εἰπάτω δὴ οἶκος Ἀαρών, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.»

Καὶ ἐν τοῖς προκειμένοις, τῆς εὐαγγελικῆς χάριτος ἐπὶ πάντα τὰ ἔθνη χυθείσης, ὧν ἐθνῶν μέρος τι ἦν καὶ ὁ ἐκ περιτομῆς λαός, καὶ μέρος τὸ πρώτιστον, εἰκότως πρώτους αὐτοὺς ὁ λόγος ἐπὶ τὴν ἐξομολόγησιν καλεῖ· ἔπειτα τοὺς ἐξ ἐθνῶν προσεληλυθότας τῷ Εὐαγγελίῳ, κατὰ τό· «Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.[1]» Εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ὑπὲρ τῆς παρουσίας αὐτῆς τοῦ Χριστοῦ μάλιστα τοὺς Ἰουδαίους εὐχαριστεῖν δεῖ. Εἰ γὰρ καὶ τὰ ἐναντία ὑπέμειναν, ἀλλ' οὐ παρὰ τὸν παραγενόμενον, ἀλλὰ παρὰ τὴν οἰκείαν ἀγνωμοσύνην. Αὐτὸς μὲν γὰρ πρὸς αὐτοὺς ἀφικνεῖτο, καὶ συνεχῶς ἔλεγεν· «Οὐκ ἦλθον ἀλλ' εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ·[2]» εἰ δὲ ἀνάξιοι τῆς εὐεργεσίας ἐφάνησαν, ταῖς ἑαυτῶν λογιζέσθωσαν παρανομίαις καὶ τῇ τῆς ἀγνωμοσύνης ὑπερβολῇ.

Στίχ. ε'-ιε'. «Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. Κύριος ἐμοὶ βοηθός, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον· ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχουσι. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐξεκαύθησαν ὡσεὶ πῦρ ἐν ἀκάνθαις, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν. Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων.»

Ὠφελήθην δὲ καὶ ὀφθαλμοῖς παραλαβὼν τὰ τέλη τῶν ἀσεβῶν. Ἔγνων γάρ, ὅτι ἐξεκαύθησαν « ὡς πῦρ ἐν ἀκάνθαις», ἢ ἐπεσβέσθησαν ὡς «πῦρ ἐν ἀκανθῶν» ὡς μηκέτι με ταράττεσθαι, εἴ ποτε

---

1. Ῥωμ. 1, 16. 2. Ματθ. 15, 24.

ὁρῶν ἀσεβεῖς ἐπαιρομένους, καὶ τῷ λαῷ Θεοῦ ἐπανισταμένους. Πεπαίδευμαι γὰρ ὁποῖον τέλος αὐτοὺς περιμένει.

Στίχ. ιϛ'-ιη'. «Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, δεξιὰ Κυρίου ὕψωσέ με, δεξιὰ Κυρίου ἐποίησε δύναμιν. Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα Κυρίου. Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με.»

Ὅτι μὴ εἰς ἄχρηστον οἱ διωγμοί, ἀλλ' ἐπ' ὠφελείᾳ καὶ δοκιμῇ τῶν πεπειρασμένων γεγόνασι, διδάσκει λέγων· «Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.» Ἔγνων γὰρ τὴν ἐμαυτοῦ ἀσθένειαν, καὶ τὴν ἐκ Θεοῦ μοι παρασχεθεῖσαν δύναμιν οὐκ ἠγνόησα. Ἐπαιδεύθην δὲ ὁποία τις ἦν ἡ δεξιὰ τοῦ Κυρίου, ἡ τοὺς πολεμίους ταπεινώσασα.

Στίχ. ιθ'-κα'. «Ἀνοίξατέ μοι πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ· αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.»

Τὸ μὲν οὖν γενικὸν ὄνομα πασῶν τῶν ἀρετῶν τῇ δικαιοσύνῃ προγράφεται· κατ' εἶδος δὲ λοιπὸν διαιρῶν τις, εἴποι ἀναλόγως τό, «Ἀνοίξατέ μοι πύλας δικαιοσύνης», καὶ πύλας φρονήσεως, καὶ τῶν λοιπῶν τῶν κατὰ Θεὸν πράξεων. Ἐπειδὰν διὰ πασῶν παρέλθῃ τῶν πυλῶν, λοιπὸν ἐπὶ τὸ τέλος τῶν, ὡς ἂν εἴποι τις, ἐνδοτάτω ἁγίων ἐλθών, οὐκέτι πολλάς, ἀλλὰ μίαν ὄψεται πύλην τὴν αὐτοῦ τοῦ Κυρίου, δι' ἧς πάντες εἰσελεύσονται οἱ δίκαιοι. Εἴποι δ' ἂν τις ταύτην τὴν ὑστάτην καὶ τελευταίαν, ἧς ἐπέκεινα οὐκέτι οἷόν τε εἶναι προσελθεῖν. Ὑστάτη δὲ πύλη τοῦ Κυρίου ἡ θεωρία ἂν εἴη αὐτοῦ, κατὰ τό, «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.[1]»

Στίχ. κβ'-κϛ'. «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες· οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.»

Ἐπειδὴ εἶδε τῆς οἰκουμένης τὴν εὐεργεσίαν καὶ τὴν τῶν πραγμάτων μεταβολήν, καὶ πρὸς τὸ βέλτιον μετάστασιν, συγχαίρων τοῖς ἀπολαύουσί φησιν· «Ὦ Κύριε, σῶσον δή· ὦ Κύριε, εὐόδωσον δή.» Τουτέστι, διάσωσον τοὺς ἀπολαύοντας, ὥστε ἐμπλησθῆναι, καὶ καρποὺς ἀξίους διαδείξασθαι τῆς χάριτος· ῥᾳδίαν αὐτοῖς ποίησον τὴν ὁδόν, ὥστε, μετὰ τὸ τυχεῖν, μὴ ἐκπεσεῖν τῶν τοιούτων καλῶν.

Στίχ. κζ'. «Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.»

Ὁμολογοῦντες, ὅτι ταῦτα αὐτοῖς οὐδεὶς ἄλλος ἢ αὐτὸς ὁ Κύριος ἐπέφανέ τε καὶ ἔδειξε· διό φασιν, «Εὐλογήκαμεν ὑμᾶς·» ὅτι ἐπέφανε τὴν ὑμετέραν δείξας σωτηρίαν. Ἐπευξάμενοι καὶ τὰ μέλλοντα προθεω-

1. Ματθ. 5, 8.

ρήσαντες τῷ ἁγίῳ Πνεύματι τὰ προκείμενα οἱ προφῆται, μακαρίζουσι τοὺς μέλλοντας τῶν ἀποτελεσμάτων ποτὲ καταξιοῦσθαι. «Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου», ὑμεῖς οἱ ἐξ ἐθνῶν ἐν τοῖς πυκάζουσι. Τοῦτο δὲ ὁ μὲν Ἀκύλας ἡρμήνευσεν εἰπών· «Δήσατε ἑορτὴν ἐν πιμελέσιν·» ὁ δὲ Σύμμαχος· «Συνδήσατε ἐν πανηγύρει πυκάσματα ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου.» Προστάττει δὲ διὰ τούτων πολλοῖς κειμηλίοις πληροῦν τὸν οἶκον τοῦ Θεοῦ καὶ ἀναθήμασι πυκνοῖς στεφανοῦν αὐτὸν κατὰ τοὺς τῶν ἑορτῶν καιρούς.

Στίχ. κη', κθ'. «Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε.»

Προστάττεται δὲ ὁ συγκροτηθεὶς ἐν Χριστῷ λαὸς ἔκ τε τοῦ Ἰσραὴλ καὶ ἐκ τοῦ οἴκου Ἀαρών, καὶ ἐκ τῶν φοβουμένων τὸν Κύριον ἐξομολογεῖσθαι καὶ λέγειν ἐν τῇ ἐξομολογήσει τό, «Θεός μου εἶ σύ, καὶ ἐξομολογήσομαί σοι· Θεός μου εἶ σύ, καὶ ὑψώσω σε. Ἐξομολογήσομαί σοι, ὅτι ἐπήκουσάς μου, καὶ ἐγένου μοι εἰς σωτηρίαν.» Τίνι δὲ ταῦτα λέγει ἢ τῷ ἀνωτέρω δεδηλωμένῳ Κυρίῳ τῷ καὶ ἐκ θλίψεως ῥυσαμένῳ αὐτόν, τῷ καὶ τοὺς ἐχθροὺς αὐτοῦ ταπεινώσαντι, τῷ καὶ τὸν λίθον τὸν ἀποβληθέντα πρὸς τῶν οἰκοδόμων ὑψώσαντι, τῷ καὶ εὐοδώσαντι καὶ σώσαντι τοὺς εἰς αὐτὸν πιστεύοντας. «Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.»

## ΑΛΛΗΛΟΥ·Ι·Α. ΡΙΗ'.

Στίχ. α'-η'. «Μακάριοι οἱ ἄμωμοι ἐν τῇ ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ ἐν ὅλῃ τῇ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. Σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα. Ὤφελον κατευθυνθείησαν αἱ ὁδοί μου τοῦ φυλάξασθαι τὰ δικαιώματά σου. Τότε οὐκ αἰσχυνθῶ ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας, ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης σου. Τὰ δικαιώματά σου φυλάξω, μή με ἐγκαταλίπῃς ἕως σφόδρα.»

Ἄμωμοι δ' ἂν εἶεν οἱ τέλειοι ἐν ὁδῷ, οὓς καὶ μακαρίους ἀποφαίνειν διδάσκεται ὁ ἐν ἀρχαῖς τυγχάνων τῶν θείων μαθημάτων· ὡς ἂν μὴ ἐπιτρίβοιτο αὐτὸς χαυνούμενος, ὡς ἤδη μακάριος· γινώσκῃ δέ, ὅτι μακρὰ ἀφυστερεῖ τῶν μακαριζομένων. «Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ, ἐν ὅλῃ τῇ καρδίᾳ ἐκζητήσουσιν αὐτόν.» Περὶ τῶν μαρτυρίων ἤδη διηγησάμεθα· ὁδὸς οὖν μαρτυρίων τούτων εἴη ἂν τὸ ὁδεῦσαι κατὰ τὸ βούλημα αὐτῶν, οὐκ ἐκ λύπης ἢ ἐξ ἀνάγκης, ἀλλὰ μετὰ πάσης εὐφροσύνης, καθὸ ὁ Προφήτης φησίν· «Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.[1]»

---

1. Ψαλμ. 118, 32.

Στίχ. θ΄-ις΄. «Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε, μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ. Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω, καὶ κατανοήσω τὰς ὁδούς σου. Ἐν τοῖς δικαιώμασί σου μελετήσω· οὐκ ἐπιλήσομαι τῶν λόγων σου.»

Τοὺς δικαιοκρισίας σου, φησί, λόγους ἀναλαμβάνων τῇ μνήμῃ τὰ μέγιστα ὠφελοῦμαι. Φοβοῦμαι δὲ μήποτέ τις αὐτῶν λήθη ἐν ἐμοὶ γένηται· διόπερ εὐχὴν ἐποιησάμην· τὸ δι' ἁπάσης τῆς ἐμαυτοῦ ζωῆς, καὶ ἐν παντὶ καιρῷ τῆς σῆς μνημονεύειν κρίσεως· ἢ καὶ ἄλλως, τῆς σῆς καθ' ὅλου προνοίας, ὦ Κύριε, τὰ κρίματα εἰδέναι ἐπεθύμησεν ἡ ψυχή μου.

Στίχ. ιζ΄-κδ΄. «Ἀνταπόδος τῷ δούλῳ σου· ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου. Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσιά σου ἐκ τοῦ νόμου σου. Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ, μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν, ὅτι τὰ μαρτύριά σου ἐξεζήτησα. Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν, ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου. Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί, καὶ αἱ συμβουλίαι μου τὰ δικαιώματά σου.»

Ποτὲ μὲν ὠνείδιζόν με, φησί, παλαιὰ εἰ τύχοι ἁμαρτήματα· ποτὲ δὲ ἐξουδένουν ἐξευτελίζοντες, ὡς οὐδενὸς ἄξιον λόγου. Ἐγὼ δὲ καταμόνας καθήμενος, καὶ τοῖς θείοις λόγοις προσανέχων, καὶ μηδένα κεκτημένος σύμβουλον, μηδ' ἄλλην ἔχων παραμυθίαν, τοῖς σοῖς δικαιώμασιν ἀντὶ συμβούλων ἐχρώμην.

Στίχ. κε΄-κθ΄. «Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου· δίδαξόν με τὰ δικαιώματά σου. Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με.»

Ὥσπερ ἀρχὴ κοιμήσεώς ἐστι νυσταγμός, οὕτως ποτὲ καὶ ψυχὴ ἐν ἀρχῇ γενομένη ἁμαρτημάτων λέγεται νυστάζειν, καθελκομένη μὲν ὥσπερ εἰς ὕπνον, τὸ ἁμάρτημα, ἀνανεύουσα δὲ καὶ ἐγειρομένη διὰ τῆς τῶν κρειττόνων μνήμης. Ἀναγκαίως δὲ συνετισθῆναι ἀξιῶ, καὶ φωτισθῆναι τοὺς ὀφθαλμούς μου εἰς κατανόησιν τῶν νόμων, ἵνα πᾶσα ὁδὸς ἀδικίας ἀποστῇ ἀπ' ἐμοῦ. Ἀντὶ δὲ τοῦ, «Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ», ὁ μὲν Ἀκύλας, «Ὁδὸν ψεύδους ἀπόστησον ἀπ' ἐμοῦ»,

εἴρηκεν· ὁ δὲ Σύμμαχος, «Ὁδὸν ψευδῆ περίελε ἀπ' ἐμοῦ·» ὡς ἀληθεύειν τὴν προειρημένην ἐξήγησιν. Εὔχεται γὰρ ἕκαστος ἐκτὸς γενέσθαι πάσης ψευδοδοξίας καὶ τῆς περὶ τὰς θείας Γραφὰς ψευδοῦς ὑπολήψεως.

Στίχ. λ'. «Ὁδὸν ἀληθείας ἡρετισάμην, τὰ κρίματά σου οὐκ ἐπελαθόμην.»

Τὸν στίχον τοῦτον ἐρεῖ μόνος ὁ καταφρονῶν μὲν τῶν βλεπομένων ὡς προσκαίρων, σκοπῶν δὲ τὰ μὴ βλεπόμενα ὡς αἰώνια, καὶ μόνα κυρίως ἀληθῆ, καὶ ἐπ' ἐκεῖνα σπεύδων. Οὐκ ἀληθείας γὰρ ὁδός, ἣν αἱρεῖται ὁ πραγματευόμενος τὸν κάτω πλοῦτον καὶ τὰς ἐπὶ γῆς δόξας. Ὁ οὖν ἑλόμενος ὁδεύειν, ὡς ἀποδεδώκαμεν, τὴν τῆς ἀληθείας ὁδόν, οὗτος οὐκ ἐπιλανθανόμενος τῶν κριμάτων τοῦ Θεοῦ καὶ τῶν ἀνταποδόσεων αὐτοῦ τὸ τοιοῦτον πράττει. Ὁ φιλαλήθης καὶ μήποτε προφέρων ψευδῆ λόγον διὰ στόματος εἴποι ἄν· «Ὁδὸν ἀληθείας ἡρετισάμην.» Ἀλλὰ καὶ ὁ διαπαντὸς πρὸ ὀφθαλμῶν τιθέμενος τὰ τοῦ Θεοῦ κρίματα καὶ ἐπὶ πάσῃ πράξει μεμνημένος αὐτῶν ἐρεῖ· «Τὰ κρίματά σου οὐκ ἐπελαθόμην.»

Στίχ. λα'-λβ'. «Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς.»

Κεκόλληται τοῖς μαρτυρίοις ὁ ἐπὶ λόγοις τοῖς περὶ οὐρανοῦ καὶ γῆς, ἤ τινος τῶν γεγραμμένων παραδεδομένοις ἑνῶν ἑαυτόν, καὶ μηδαμῶς αὐτῶν ἀφεστηκώς. Οὗτος καὶ θαρρείτω κἂν πρότερον ἔργα αἰσχύνης πεποιηκώς· ἢ καὶ αἰτείτω ἀπὸ Θεοῦ ἄφεσιν, καὶ λεγέτω· «Κύριε, μή με καταισχύνῃς. Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου.» Διέδραμον, φησίν, ἐν βραχεῖ χρόνῳ οὐ μιᾶς ἐντολῆς, ἀλλὰ πασῶν ἐντολῶν σου τὴν ὁδὸν ἔργοις ἐπιτελῶν, καὶ αὐταῖς πράξεσι τὰ ὑπὸ τῶν ἐντολῶν σου διηγορευμένα. Ὅθεν καὶ Παῦλος, τετελεκὼς τοῦτο, φησί· «Τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα.[1]»

Στίχ. λγ'. «Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου· καὶ ἐκζητήσω αὐτὴν διαπαντός.»

Τὰ μὲν γὰρ παρὰ τοῦ Θεοῦ αἰτεῖ, τὸ δὲ ἐπαγγέλλεται ἐξ ἑαυτοῦ συνεισφέρειν. Σὺ μὲν γάρ, φησίν, ὦ Κύριε, νομοθέτησόν με τὴν ὁδὸν τῶν δικαιωμάτων σου· ἐγὼ δὲ τὸν τῆς ζωῆς μου ἅπαντα χρόνον ἐπιδώσω ἐν αὐτῷ εἰς ἀναζήτησιν αὐτῆς.

Στίχ. λδ'. «Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου.»

Βούλεται ἐξερευνῆσαι τὸν νόμον τοῦ Θεοῦ ὁ προφήτης ἐπιστάμενος, ὅτι οὐκ ἔστι σαφὴς καὶ εὐκαταφρόνητος. Συνέτισόν με τοίνυν, ἵνα ζητήσω αὐτὸν μετὰ τῆς πρεπούσης ἐρεύνης καὶ ἐπιστασίας, ὡς ἐξ αὐτοῦ λαβεῖν τῶν πρακτέων καὶ θεωρητῶν τὴν χρῆσιν καὶ κατάληψιν·

1. Β' Τιμ. 4, 7.

οὕτω γὰρ δυνήσομαι φυλάξαι αὐτὸν ἐν ὅλῃ καρδίᾳ ἀνενδοιάστως αὐτῷ προσερχόμενος. Εἰ δὲ συνέσεως δεῖται ἵνα μόνον ἐρευνήσῃ τὸν νόμον, τίνος δεῖται, συνέσεως ἀπὸ Θεοῦ διδομένης, ἵνα εὕρῃ τὸ τέλος;

Στίχ. λε'. «Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὅτι αὐτὴν ἠθέλησα.»

Ἵνα εἴπῃ τὸν νόμον, ἤτοι τὴν τρίβον· ἔστι γὰρ ἐντολῶν τρίβος. Τρίβος δὲ λέγεται ἡ τετριμμένη ὁδός, ἣν πολλοὶ πρὸ ἡμῶν ἐπορεύθησαν τῶν δικαίων. Ἐὰν δέ τις μὴ ὁδηγῷ χρήσηται τῷ δικαίῳ, οὐ δύναται ὁδεῦσαι κατὰ τὰς ἐντολὰς τοῦ Θεοῦ. Χριστοῦ γὰρ ἡμᾶς δεῖ γίνεσθαι μιμητάς, καὶ αἴρειν τὸν σταυρόν, καὶ ἀκολουθεῖν ὀπίσω αὐτοῦ.

Στίχ. λς'-μ'. «Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με. Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου. Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με.»

Πάντα ἐπὶ τὸν Θεὸν ἀναφέρουσιν οἱ ἅγιοι, διδάσκοντες ἡμᾶς, ὅτι χωρὶς Θεοῦ οὐδὲν δυνάμεθα. «Ἐὰν γὰρ μὴ ἐν ἐμοί», φησί, «μένητε, οὐδὲν δύνασθε ποιεῖν.[1]» Ἀλλ' ἴσως τις ἐρεῖ· Εἰ πάντα ἀναφέρεται ἐπὶ τὸν Θεόν, ποῦ τὸ ἐπ' ἐμοί; Εἰ δὲ μή, πανταχοῦ ἐπέπλεξε τοῖς ἀπὸ τοῦ Θεοῦ τὰ ἐφ' ἡμῖν. Ἀπὸ τοῦ Θεοῦ τό· «Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου·» τὸ δ' ἐφ' ἡμῖν· «Καὶ ἐκζητήσω αὐτὴν διαπαντός.» Ἀπὸ Θεοῦ αἰτῶ πάλιν· «Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου.» Τὸ δ' ἐπ' ἐμοί· «Καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ.» Καὶ τρίτον ἀπὸ Θεοῦ αἰτῶ λέγω· «Ὁδήγησόν με ἐν τρίβῳ τῶν ἐντολῶν σου·» τί τὸ ἐπ' ἐμοί; «Ὅτι αὐτὸν ἠθέλησα·» δῆλον δὲ ὅτι τὸν ἀνωτέρω εἰρημένον νόμον, ὥστε αἰτῶμεν τὰ ἀπὸ Θεοῦ προσγενέσθαι ἡμῖν, ἐπαγγελλόμενοι καὶ τὰ ἐφ' ἡμῖν καὶ μὴ ψευδόμενοι, ἵνα μὴ τὰς πρὸς Θεὸν ἀθετῶμεν συνθήκας.

Στίχ. μα'-μη'. «Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, Κύριε, τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον, ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι ἐπὶ τοῖς κρίμασί σου ἐπήλπισα. Καὶ φυλάξω τὸν νόμον σου διαπαντὸς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην.»

Χαριέντως ἁρμόσειε τοῦτο τῷ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀγομένῳ ἕνεκεν τοῦ ὀνόματος Χριστοῦ μαρτυρεῖν. «Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα. Καὶ ἦρα τὰς χεῖράς πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα, καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.»

---

1. Ἰω. 15, 4.

Ἆραι χεῖρας πρὸς ἐντολάς ἐστι τὸ πᾶσαν πρᾶξιν πρὸς ἐντολὰς θείας ἁρμοζομένην ἐργάζεσθαι. Οὐκοῦν ἑκάτερον μὲν ὁ Ψαλμῳδὸς ἑαυτῷ μαρτυρεῖ· ὁμοῦ δὲ ἡμῖν νομοθετεῖ ταῖς ἐντολαῖς τοῦ Θεοῦ παρέχειν τὴν κατόρθωσιν, παρέχειν δὲ καὶ τὴν ἐπὶ πολὺ μελέτην καὶ θεωρίαν· οὕτω γὰρ αὐτοί τε κατορθοῦν ἀκριβέστερον, καὶ τοὺς ἄλλους ἐνάγειν εἰς κατόρθωσιν ἕξομεν.

Στίχ. μθ΄-να΄. «Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ᾧ ἐπήλπισάς με. Αὕτη με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με. Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα.»

Τῶν ἑτεροδόξων ἀλαζονευομένων κατὰ τοῦ νόμου τῷ διαβάλλειν αὐτόν, ἐγὼ σφόδρα τῆς φυλακῆς αὐτοῦ περιειχόμην, μηδὲ κατ' ὀλίγον κλονῆσαι τὴν πρὸς αὐτὸν συγκατάθεσιν ἀνεχόμενος.

Στίχ. νβ΄-νς΄. «Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην. Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου. Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.»

Στίχ. νζ΄. «Μερίς μου εἶ, Κύριε· εἶπα φυλάξασθαι τὸν νόμον σου.»

Ὁ ἀποταξάμενος τοῖς βιωτικοῖς πράγμασι, καὶ μηδεμίαν ἔχων μερίδα ἐπὶ γῆς, μηδ' ἐν τῷ θέλειν τὰ τοιαῦτα, ἀλλ' ἀρκούμενος ἀντὶ πάντων τῷ Κυρίῳ, ἐρεῖ. «Μερίς μου Κύριος.» Τούτῳ δὲ ἀκολουθεῖ λέγειν· «Εἶπα φυλάξασθαι τὸν νόμον σου», τουτέστι τὸν πνευματικόν, περὶ οὗ ὁ Παῦλος λέγει· «Οἴδαμεν ὅτι πνευματικός ἐστι νόμος», καὶ τὰ ἑξῆς.[1] Πῶς γὰρ οὐ φυλάξουσι τὸν νόμον ἢ τὰς ἐντολὰς τοῦ Κυρίου οἱ μερίδα αὐτὸν ἔχοντες κατὰ τοὺς Λευΐτας, οἷς διηγόρευται μηδὲν κεκτῆσθαι κατὰ τὸν βίον; Λέλεκται γάρ· «Τοῖς Λευΐταις καὶ τοῖς ἱερεῦσιν υἱοῖς Ἀαρών, οὐκ ἔστι μερίς, οὐδὲ κληρονομία ἐν τοῖς υἱοῖς Ἰσραήλ, διότι Κύριος μερὶς αὐτῶν.[2]»

Στίχ. νη΄-ξδ΄. «Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου· ἐλέησόν με κατὰ τὸ λόγιόν σου. Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Μεσονύκτιον οὐκ ἐξεγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.

Ἐὰν κατανοήσῃς τὸ πλῆθος τῶν ἁμαρτανόντων, τῶν ἀσεβούντων, τῶν ἀδικίαν εἰς Ὕψος λαλούντων, καὶ ἴδῃς τοῦ Θεοῦ τὴν μακροθυμίαν

1. Ῥωμ. 7, 14. 2. Ἀριθ. 18, 20.

ἐπὶ τὰ τοσαῦτα ἁμαρτήματα, πῶς καὶ μετὰ τοσαῦτα πάντα ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους[1], ἐρεῖς· «Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ, τὰ δικαιώματά σου δίδαξόν με.»

Στίχ. ξε', ξς'. «Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα.»

Ἀντὶ τοῦ· «Χρηστότητα ἐποίησας, εὐηργέτησας τὸν δοῦλόν σου», ἐξέδωκεν ὁ Σύμμαχος. Διδάσκεται δὲ ὁ τὰ θεῖα πεπαιδευμένος μὴ ἀναισθήτως ἔχειν τῆς εἰς αὐτὸν γεγενημένης τοῦ Θεοῦ εὐεργεσίας· εἰδέναι δέ, ὅτι, χρηστότητος Θεοῦ φθανούσης εἰς αὐτόν, κατηξίωται δοῦλος χρηματίσαι Θεοῦ, κατὰ τὸν λόγον αὐτοῦ γενόμενος.

Στίχ. ξζ'. «Πρὸ τοῦ ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα, διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα.»

Διὰ τὰς προτέρας, φησί, πραχθείσας ἁμαρτίας παραδοθεὶς ἐταπεινώθην, κρίσει Θεοῦ ταῦτα παθών. Οὗ δὴ καὶ χάριν παιδείᾳ παραδοθείς, δέομαι διδασκαλίας, ὡς ἂν γνῶ ὅτι ἡ ταπείνωσις ἡ γενομένη μοι κατὰ χρηστότητα καὶ παιδείαν ἐγένετο.

Στίχ. ξη'. «Χρηστὸς εἶ σύ, Κύριε, καὶ τῇ χρηστότητί σου δίδαξόν με τὰ δικαιώματά σου.»

Δικαίου ἔργον ἐστίν, ἐπὶ πᾶσι τοῖς συμβαίνουσιν εὐαρεστούμενον καὶ κατακληρούμενον ἀπὸ τῆς Προνοίας, ἱλαρῶς δεχομένου λέγειν, καὶ ἐπὶ τοῖς πικροτέροις νομιζομένοις, τῷ Θεῷ τό· «Χρηστὸς εἶ σύ», καὶ τό· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ», τῆς αὐτῆς ἐχόμενον προαιρέσεως. Ἀντὶ τοῦ, «Χρηστὸς εἶ σύ», αἱ λοιπαὶ ἐκδόσεις· «Ἀγαθὸς εἶ σύ», ἡρμήνευσαν. Οἶδα μὲν οὖν, φησί, καὶ οὐκ ἀμφιβάλλω περὶ τῆς σῆς οὐσίας, ὅτι δὴ αὐτοάγαθον πέφυκεν· ἀλλὰ δέομαι διδασκαλίας τῶν δικαιωμάτων σου, ἣν ἀξιῶ διδάξαι με· διδασκαλίας γάρ μοι δεῖ, εἰς τὸ γνῶναι τοὺς περὶ τῶν ὑπερηφάνων λόγους.

Στίχ. ξθ'. «Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου.»

Ὅσῳ δίκαιός τίς ἐστι, προστιθέμενος ἐπὶ πλεῖον τῷ Θεῷ, καὶ πληθύνεται ἐν αὐτῷ ἡ εἰρήνη τοῦ Θεοῦ, τοσούτῳ, ὡς ἐπὶ ἀθλητὴν μείζονα ἐπ' αὐτῷ πληθύνεται, ἢ τῶν ἀδικεῖν αὐτὸν θελόντων ὑπερηφάνων, εἴτε δυνάμεων ἀντικειμένων, εἴτε ἀνθρώπων. Τούτου δὲ γινομένου, οὐδὲ κατὰ τὸ ποιὸν ἐνδίδωσιν τοῦ μὴ ἐν ὅλῃ καρδίᾳ ἐξερευνᾶν τὰς ἐντολὰς τοῦ Θεοῦ πρὸς τὸ καὶ ποιῆσαι αὐτάς.

Στίχ. ο'-οβ'. «Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου.»

---

1. Ματθ. 5, 45.

Πρὸ μὲν γὰρ τῆς ὑπερηφανίας εὔεκτοί τινες καὶ ἁπαλοὶ ἦσαν τὴν καρδίαν, καὶ πότιμοι ὡς τῷ γάλακτι αὐτὴν παραβάλλεσθαι τροφιμωτάτῳ· ἡνίκα δὲ τὴν ὑπερηφανίαν ἐνεδύσαντο πάντες, καὶ σκληρυνθέντες, οἱονεὶ ἀπὸ γάλακτος εἰς τυρὸν μεταβεβλήκασιν. Ἀντὶ δὲ τοῦ, «ἐτυρώθη», ὁ μὲν Ἀκύλας φησίν· «Ἐλιπάνθη ὡς στέαρ ἡ καρδία αὐτῶν· » ὁ δὲ Σύμμαχος· «Ἐμυαλώθη ὡς στέαρ ἡ καρδία αὐτῶν.» Πλὴν ἀλλ' εἰ κἀκεῖνοι ἐν τούτοις ἦσαν, ἐγὼ τῶν ἐμοὶ προκειμένων οὐκ ἀνεχώρουν, ἐν ὅλῃ καρδίᾳ ἐξερευνῶν τὰς ἐντολάς σου, ἀπὸ τῆς τούτων ἐρεύνης τὴν γνῶσιν τῆς σῆς προνοίας καὶ τῆς καθόλου διοικήσεως θηρώμενος, καὶ τῶν μὲν ἡ καρδία ἐλιπαίνετο ἐν τῇ παρούσῃ αὐτοῖς τροφῇ· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα.

Στίχ. ογ'. «Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου.»

Οὐρανὸν μὲν γὰρ καὶ γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς λόγῳ δημιουργήσας καὶ προστάγματι, ὅτε ἦλθεν ἐπὶ τὸν ἄνθρωπον εἶπεν· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἰδίαν καὶ καθ' ὁμοίωσιν.[1]» Τίνι δὲ ἄλλῳ λέγει, «Ποιήσωμεν ἄνθρωπον», ἢ τῷ Μονογενεῖ αὐτοῦ καὶ τῷ Πνεύματι ἁγίῳ, οὓς καὶ χεῖρας νῦν ἀποκαλεῖ; Καὶ ἐν τῷ Ἰὼβ δὲ γέγραπται· «Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με· μετὰ ταῦτα μεταβαλών με δεινῶς ὀλέκεις, ἐπανακαινίζων ἐπ' ἐμὲ τὴν ἔτασίν μου.[2]» Οὐκοῦν αἱ χεῖρες τοῦ Θεοῦ καὶ ἐποίησαν καὶ ἔπλασαν. Καὶ Ὠριγένης μὲν καὶ ἕτεροί τινες τό, «ἐποίησαν», ἐπὶ τῆς ψυχῆς εἰρῆσθαί φασιν, τὸ δέ, «ἔπλασαν», ἐπὶ τοῦ σώματος. Ἄλλοι δὲ τὸ μέν, «ἐποίησαν», ἐπὶ τῆς πρώτης δημιουργίας φασὶν εἰρῆσθαι, τὸ δέ, «ἔπλασαν», ἐπὶ τῆς τοῦ λουτροῦ παλιγγενεσίας καὶ ἀναπλάσεως.

Στίχ. οδ'-οζ'. «Οἱ φοβούμενοί σε ὄψονταί με, καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους ἐπήλπισα. Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με, κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μου ἐστίν.»

Εἰ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου, καὶ φθήσαιεν ἐμοὶ οἱ οἰκτιρμοί σου, οὐ καταποθήσομαι ὑπὸ τῆς ταπεινώσεως, ἀλλ' ἐγκαρτερήσας διὰ τῆς ὑπομονῆς, εὖ οἶδα ὅτι ζήσομαι. Τυχεῖν δὲ τοῦ ἐλέους σου καὶ τῶν οἰκτιρμῶν σου ἀξιῶ· ἐπεὶ καὶ αὐτὸς τὰ παρ' ἐμαυτοῦ πάντα πληρῶν οὐ διαλιμπάνω, καὶ ἐν αὐτῇ τῇ ταπεινώσει τὸν νόμον σου μελετήσω.

Στίχ. οη'-π'. «Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ, ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ.»

Πάντα γὰρ τὰ ἁμαρτήματα αἰσχύνης ἐστὶν ἄξια. Ἕως μὲν γὰρ καρδία ἀτελὴς τυγχάνει, πολλὴ φροντὶς καὶ ἀγωνία μή πῃ ἄρα καὶ

1. Γεν. 1, 26. 2. Ἰὼβ 10, 8, 17.

ἀσθενήσῃ καὶ χείρων ἑαυτῆς γένηται· ὅτε δὲ εἰς ἄκρον φθάσῃ τῆς τελειότητος, ἐν ἕξει ἀρετῆς καταστᾶσα, ἔξω γενήσεται παντὸς φόβου, οὐκέτι ἀμφιβάλλουσα μή ποτε ἄρα καταισχυνθῇ.

Στίχ. πα'. «Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου, εἰς τοὺς λόγους σου ἐπήλπισα.»

Σφόδρα ἀκολούθως ἑρμηνεύων τί ποτέ ἐστι τὸ σωτήριον ἐπιλέγει ἑξῆς· «Εἰς τὸν λόγον σου ἐπήλπισα», σημαίνων, ὅτι τὸ σωτήριον ὁ Υἱὸς τοῦ Θεοῦ ἐστι.

Στίχ. πβ'-πη'. «Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· Πότε παρακαλέσεις με; ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου, Κύριε. Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια, ἀδίκως κατεδίωξάν με, βοήθησόν μοι. Παρὰ βραχὺ ἐτέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. Κατὰ τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου.»

Τὸ κατὰ τὸ λόγιον τοῦ Θεοῦ ζῆν τὸ σὺν εὐσεβείᾳ ζῆν ἐστιν, οὐχ ἁπλῶς τὴν αἰσθητὴν ταύτην ζωήν. Τούτου γὰρ τυχών, ἐν εὐζωΐᾳ ἔσται, ὡς φυλάσσειν τὰ μαρτύρια τοῦ στόματος τοῦ Θεοῦ, μαρτυρηθέντα καὶ ἀποδειχθέντα ὑπὸ Λόγου τοῦ Θεοῦ, οὗ εἶπον αὐτοῦ στόμα εἶναι.

Στίχ. πθ'-ϟα'. «Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. Εἰς γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου, ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει. Τῇ διατάξει σου διαμένει ἡμέρα, ὅτι τὰ σύμπαντα δοῦλα σά.»

Ἀλήθειαν δὲ λέγει τὴν ἐπαγγελίαν ταύτην, ἣν οἶδε πάντως γενησομένην εἰς γενεὰν καὶ γενεάν. Καθ' ἑκάστην γὰρ γενεὰν μέρη τινὰ τῆς ἀληθείας ἀνθρώποις ἀποστέλλεις, καὶ τὰ σύμπαντα τοῦ κόσμου μέρη τά τε ὁρατὰ τῇ σῇ διατάξει συνέστηκεν, μὴ κινούμενα τῶν ὁρίων, μηδὲ τὸν νόμον τὸν ὁρισθέντα αὐτοῖς παραβαίνοντα. Αἴτιον δὲ τῆς τούτων ἁπάντων διαμονῆς τὸ σὲ μόνον Κύριον εἶναι τῶν ὅλων· τὰ δὲ λοιπὰ πάντα σὰ δοῦλα, καὶ ὡς δοῦλα ὑποτέτακται.

Στίχ. ϟβ'. «Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί, τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου.».

Εἴρηται ὡς ὁ καιρὸς τῶν πειρασμῶν καὶ τῶν περιστάσεων ταπείνωσις ὀνομάζεται. Μακαρίου τοίνυν ἐστὶν ἀνδρὸς τὸ γενέσθαι ἐν τῇ ταπεινώσει, καὶ μὴ ἀπολέσθαι· οἱονεὶ ἐλήλυθα εἰς πειρασμὸν μαρτυρίου· εἰ μὲν ὁ νόμος τοῦ Θεοῦ μελέτη μου ἦν ἀεὶ πρὸ τοῦ ἐμπεσεῖν, καὶ ἤσκουν αὐτόν, ἐλθὼν ἐπὶ τὴν ταπείνωσιν τὴν κατὰ τὸν πειρασμὸν τοῦ μαρτυρίου, οὐκ ἀπόλλυμαι. Οὕτως ἁρμόζει καὶ ἐπὶ παντὸς πειρασμοῦ εἰπεῖν· ἀλλὰ καὶ τῶν πονηρῶν λογισμῶν καὶ τῶν ἀντικειμένων δυνάμεων πολεμουσῶν ἐμοί. Εἶχον ἂν ἀπολεῖσθαι, εἰ μὴ ὁ σὸς νόμος ἀντιστήριγμά μου γένηται.

Στίχ. ϟγ'. «Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με.»

Ἀλλὰ μεμνήσομαι τῶν μαθημάτων σου, ὧν ἔμαθον ἐν τῷ βίῳ· δι' ἐκεῖνα γὰρ ἀπὸ γῆς εἰς οὐρανὸν μετελθὼν οἰκῶ μετ' ἀγγέλων. Ὥσπερ γὰρ ὁ ἐκ μεγάλης νόσου διά τινων ἰατρικῶν βοηθημάτων παγίαν καὶ βεβαίαν ἀναλαβὼν ὑγίειαν δι' αὐτοῦ τοῦ ὑγιαίνειν καὶ εὐεκτεῖν οὐκ ἐπιλανθάνεται τῶν ἰατρικῶν ἐκείνων οἷς ἠκολούθησε τὸ οὕτως αὐτὸν μετ' εὐεξίας ὑγιαίνειν· οὕτως ὁ ἅγιος οὗτος, ὑπὸ Θεοῦ ζωοποιηθεὶς ἐν οἷς ἔσχε παρ' αὐτοῦ δικαιώμασι λέγει παρ' ὅλον τὸν αἰῶνα μὴ ἐπιλανθάνεσθαι αὐτῶν, ἀποδιδοὺς τὴν αἰτίαν, τὸ ἐν αὐτοῖς τὸν Θεὸν αὐτὸν ἐζηκέναι.

Στίχ. ϟδ'-ϟς'. «Σός εἰμι ἐγώ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐμὲ ὑπέμειναν οἱ ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με, τὰ μαρτύριά σου συνῆκα. Πάσης συντελείας εἶδον πέρας, πλατεῖα ἡ ἐντολή σου σφόδρα.»

Στίχ. ϟζ'-ρ'. «Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν. Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τα μαρτύριά σου μελέτη μου ἐστίν. Ὑπὲρ πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα.»

Εἰ δὲ λέγοι που ὁ Σωτήρ· «Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον [1]», καὶ τὰ ἑξῆς, λεκτέον, ὅτι τοῦτ' εἴρηται τῷ Σωτῆρι προσδιαστειλαμένῳ, καὶ φάντι· «Μὴ καλέσητε διδάσκαλον ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὑμῶν ὁ διδάσκαλος ὁ ἐν τοῖς οὐρανοῖς.[2]» Ὡς πρὸς ἐκεῖνον οὖν τὸν διδάσκαλον οὐκ ἔστι μαθητὴς κρείττων. Οἱ δὲ ἐνταῦθα δηλούμενοι πολλοὶ διδάσκαλοι ἕτεροι τυγχάνουσιν, ὧν πολλάκις ὁ μαθητὴς κρείττων. Γίνεται δὲ πλείονος καὶ συνεχοῦς τῆς περὶ τοὺς θείους λόγους ἀσκήσεως.

Στίχ. ρα'-ρδ'. «Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου. Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς μοι. Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου· ὑπὲρ μέλι τῷ στόματί μου. Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα, διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας.»

Στίχ. ρε', ρς'. «Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου. Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.»

Ἐπεί, μηδενὸς ἐκβιασαμένου, οἰκείᾳ χρησάμενος ὁρμῇ καὶ προαιρέσει ἀγαθῇ, ὅρκῳ ἑαυτὸν κατεδήσατο καὶ ὤμοσε τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης τοῦ Θεοῦ, εὔχεται τὸν ὅρκον αὐτοῦ ἀποδοχῆς ἄξιον παρὰ τῷ Θεῷ γενέσθαι· δεῖται γὰρ πολλῆς διδασκαλίας καὶ ἡ γνῶσις τῶν κριμάτων τοῦ Θεοῦ.

---

1. Ματθ. 10, 24. 2. Ματθ. 23, 9, 10.

Στίχ. ρζ'-ριβ'. «Ἐταπεινώθην ἕως σφόδρα, Κύριε· ζῆσόν με κατὰ τὸν λόγον σου. Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. Ἡ ψυχή μου ἐν ταῖς χερσί μου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην.»

Ἡ ψυχή τινος ἐν χερσὶν αὐτοῦ ἐστιν, εἴ ποτε ἐν κινδύνοις γεγένηται, καὶ τοῦτο ἡ συνήθεια λέγει ὅτι· Τὴν ψυχήν μου εἶχον εἰς τὰς χεῖράς μου. Ἐγὼ οὖν, φησὶν ὁ δίκαιος, καθημέραν ἀποθνήσκω, ἀεὶ κινδυνεύω διὰ τὸν λόγον σου, διὰ τὴν ἀλήθειαν, διὰ τὸν ἔλεγχον διὰ τὴν βασιλείαν ἣν βασιλεύω· καὶ διὰ ταῦτα «ἡ ψυχή μου ἐν ταῖς χερσί μου διαπαντός.» Οὐ γὰρ ὁ κίνδυνος τοῦ θανάτου ἐποίει με ἐπιλαθέσθαι τοῦ νόμου σου. Δύναται δέ τις καὶ ὑψηλότερον νοῆσαι τὸ ῥητόν, καὶ εἰπεῖν, ὅτι «ἡ ψυχή μου ἐν ταῖς χερσί μου ἦν διαπαντός», ἀντὶ τοῦ, ἐν πράξεσιν ἀγαθαῖς· ἡ χεὶρ γὰρ ἐπὶ τῶν πράξεων πολλάκις παραδέδοται. Εἰ δὲ ἐν ταῖς χερσί σου εἴη, νοήσωμεν χεῖρας εἶναι τοῦ Θεοῦ τὴν δημιουργίαν αὐτοῦ, ᾗ προσιτέον διαπαντός. «Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν. Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.»

Στίχ. ριγ'-ρις'. «Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα. Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ, εἰς τοὺς λόγους σου ἐπήλπισα. Ἐκλίνατε ἀπ' ἐμοῦ, πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. Ἀντιλαβοῦ μου κατὰ τὸ ἔλεός σου καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.»

Εἰπών, «Ἐκκλίνατε ἀπ' ἐμοῦ, πονηρευόμενοι», ἀκολούθως τὸν Θεὸν καὶ εἰς τοῦτο ἐπικαλεῖται, ὡς ἂν τῇ αὐτοῦ δυνάμει ἀπελαθεῖεν τῆς ἑαυτοῦ ψυχῆς οἱ πονηρευόμενοι, σχολῆς τε τυχὼν τῆς κατὰ Θεὸν ζωῆς τε καὶ σωτηρίας τύχοι, καὶ μὴ ἀποπέσοι τῆς ἑαυτοῦ προσδοκίας· καὶ πάλιν ἀξιοῖ βοηθείας τυχεῖν εἰς τὸ διασωθῆναι.

Στίχ. ριζ'-ρκ'. «Βοήθησόν μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς, διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην.»

Στίχ. ρκα'. «Ἐποίησα κρῖμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με.»

Ὁ κατὰ τὴν ἀρχὴν στοιχειούμενος, ὡς ἂν ἤδη προκόψας ἐπὶ πολύ, καὶ τὰ μεγάλα κατορθώσας, εὔχεται μὴ ἐκπεσεῖν τῆς προκοπῆς. Εἶτα συνορῶν, ὅτι τοῖς καλοῖς πολλοὶ βασκαίνουσι, καὶ λέγειν μέν τι φαῦλον περὶ αὐτῶν οὐδὲν ἔχουσιν, περιπλέκουσι δὲ συκοφαντίας, ἱκετεύει καὶ δέεται τούτων ῥυσθῆναι. Ἀντὶ δέ, «τοῖς ἀδικοῦσί με», Ἀκύλας ἐξέδωκε· «Μὴ ἀφῇς με τοῖς συκοφαντοῦσί με.»

Στίχ. ρκβ'. «Ἐποίησα κρῖμα καὶ δικαιοσύνην, μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν, μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι.»

Ὁ μετανοήσας καὶ ἀπὸ τῶν ἐνεργησάντων εἰς αὐτὸν ἐξελθὼν καὶ τῆς αἰχμαλωσίας λυτρωθείς φησιν· «Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν·» οὗτοι γάρ με εἰς πονηρὸν ἐξεδέξαντο. Ἐὰν γὰρ μὴ ἐκδέξῃ με τὸν δοῦλόν σου ὑποχείριον γενόμενον τοῖς πολεμίοις, οὗτοι οἱ ὑπερήφανοι, αἱ ἀντικείμεναι δυνάμεις, μέλλουσί με συκοφαντεῖν. Πῶς δὲ συκοφαντοῦσιν; Αὗται ἐνήργησαν καὶ ἔπεισαν ἵν' ἁμαρτωλὸς γένωμαι· καὶ αὗταί μοι κατήγοροι γίνονται, ὅλην τὴν αἰτίαν τῶν ἁμαρτημάτων εἰς ἐμὲ ἀναφέρουσαι. Ἀναγκαίως παρακαλεῖ τὸν Θεὸν ἀνάδοχον αὐτοῦ γενέσθαι, ὥσπερ καὶ ἐγγυητήν· ἵν' αὐτὸς φύλαξ αὐτοῦ γένηται, τηρῶν ἑαυτῷ καὶ φυλάττων τὴν ἐγγύην, πρὸς τὸ μηδεμίαν λαβὴν παρασχεῖν τοῖς ἐφεδρεύουσιν αὐτῷ συκοφάνταις.

Στίχ. ρκγ'-ρκς'. «Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου, καὶ εἰς τὸ λόγιον τῆς δικαιοσύνης σου. Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ ἔλεός σου, καὶ τὰ δικαιώματά σου δίδαξόν με. Δοῦλός σου εἰμὶ ἐγώ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου. Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.»

Ἄνω βλέπων ἐπὶ τὸ σωτήριόν σου καὶ τὸν λόγον σου, πάσας, φησίν, ἀνήρτησα ἐπὶ ταῦτα τὰς ἐμαυτοῦ ἐλπίδας, ῥυσθῆναι δεόμενος ἀπὸ τῶν διαφθονούντων μου τῇ σωτηρίᾳ.

Στίχ. ρκζ' «Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον.»

Ἐγὼ μὲν ἐποίησα κρῖμα καὶ δικαιοσύνην, καὶ σοὶ δὲ τῷ Θεῷ ἔσται ποτὲ τοῦ ποιῆσαι καιρός, δηλονότι κρῖμα καὶ δικαιοσύνην διὰ τῶν κατασκεδασάντων τὸν νόμον σου. Τοῦτο οὖν εἰδὼς ἐγὼ καὶ φυλαττόμενος περιπεσεῖν τῷ καιρῷ ἐκείνῳ, ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ πάντα παρ' ἀνθρώποις τίμια νενομισμένα.

Στίχ. ρκη'. «Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα.»

Ἡ ἀνθρωπίνη ψυχὴ συμπληρώσασα τὸν λόγον, πάντως ἐν κακίᾳ γίνεται. Ἀδύνατον γὰρ ἅμα τῷ συμπληρωθῆναι τὸν νόμον τὸν φυσικὸν ἐν ἀνθρώποις μὴ ὑποστῆναι τὴν ἁμαρτίαν. Ἐπὰν οὖν γένηται ἡ κακία καὶ στρεβλωθῇ ἡ ψυχή, δεῖται κατορθώσεως. Τίνα οὖν ἐστι τὰ κατορθοῦντα; Μία ἐντολὴ δύναταί πως τὴν στρέβλαν τῆς ψυχῆς, τὴν γενομένην ἀπὸ κακίας, κατευθῦναι. Τὸ μέντοι ἄκρως κατορθωθῆναι τὴν ψυχὴν ἐνταῦθα ἀμήχανόν ἐστι χωρὶς πασῶν τῶν ἐντολῶν. Εἰ μέντοι γε σκολιὰ παραληφθῇ ἡ ψυχή, οὐκέτι ἐντολαῖς κατορθωθήσεται, ἀλλὰ πυρὶ ἢ σκότῳ, ἢ διχοτομίᾳ, ἤ τινι τῶν σκυθρωποτέρων προσαγομένων ὑπὸ Θεοῦ. Ἐὰν τοίνυν μὴ ποιήσωμεν πάσας τὰς ἐντολάς, οὐ κατορθούμεθα. Ὅθεν θαυμασίως εἴρηται· «Διὰ τοῦτο

πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμεθα, πᾶσαν ὁδὸν ἄδικον ἐμισήσαμεν.» Οὐ γὰρ ἔτι περισπώμενος ὑπὸ τῆς εἰς τὸ ἀδικεῖν ἐπιθυμίας, ἀπέχεται τῆς ἀδικίας, ἀλλ' ἀπέχεται μισήσας τὴν ἀδικίαν ὁ κατορθωθεὶς πρὸς πάσας τὰς τοῦ Θεοῦ ἐντολάς.

Στίχ. ρκθ΄-ρλα΄. «Θαυμαστὰ τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξερεύνησεν αὐτὰ ἡ ψυχή μου. Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ, καὶ συνετιεῖ νηπίους. Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.»

Ἡ πρώτη γνῶσις καὶ ἡ ἐν ἀρχῇ παραδιδομένη διδασκαλία τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους. Τὰ δὲ μαρτύριά σου θαυμαστά, καὶ ἐκπλήξεως πλήρη. Εἰκότως τὸ δοχεῖον τῆς ἐμαυτοῦ ψυχῆς ἀναπετάσας, καὶ ὥσπερ τὸ στόμα ἀνοίξας, τὸ παρὰ σοῦ θεῖον Πνεῦμα ὑπεδεχόμην πιστεύσας ἐπαγγελίᾳ λεγούσῃ· «Ἄνοιξον τὸ στόμα σου καὶ πληρώσω αὐτό.[1]» Καὶ τοῦτ' ἔπραττον ἐφελκόμενος εἰς ἑαυτὸν τὸ παρὰ σοῦ πνεῦμα, ἵνα καὶ τὰ μαρτύριά σου τὰ θαυμαστὰ γνῶ, καὶ τῶν λόγων σου τὸν φωτισμὸν κτήσωμαι, διὰ τοῦ σοῦ πνεύματος τὴν τούτων εἰληφὼς κατάληψιν. «Τὸ στόμα μου ἤνοιξα καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν·» αὐτῆς τῆς ὑποθέσεως τῶν ἐντολῶν ἐπισπωμένης καὶ ἐφελκομένης τὸ πνεῦμα. Περὶ τοῦ στόματος τοῦ κρυπτοῦ ἀνθρώπου φησί· καὶ δύναται εἶναι ψυχῆς στόμα ἡ διαβοητικὴ αὐτῆς δύναμις, ἣ διανοουμένη προφέρει τὸν ἐν διανοίᾳ λόγον. Οὐδὲν διαφέρει λαβεῖν λόγον καὶ ἑλκῦσαι πνεῦμα εἰπεῖν· ταυτὸν γὰρ τὸ πνεῦμα τῷ θείῳ λόγῳ. Διὸ καὶ ὁ Σωτήρ, περὶ οὗ ἔλεγε λόγου καὶ ῥημάτων εἴρηκε· «Τὰ ῥήματα ἃ λελάληκα ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστι.[2]»

Στίχ. ρλβ΄. «Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.»

Τῶν ὑπὸ Θεοῦ ἐλεουμένων, οἱ μὲν τυγχάνουσι τούτου διὰ μετανοίας, ἄρτι ἁμαρτιῶν ἀναχωροῦντες καὶ ἐξομολογούμενοι· οἱ δὲ πεῖραν ἐλέου Θεοῦ λαμβάνουσιν, ἐπὶ τῷ προκόπτοντας σπεῦσαι ἐπὶ τὸ τέλος αὐτὸ τῆς ἀρετῆς. Εὔχεται οὖν οὗτος ἐλεηθῆναι οὐ κατὰ τὸ κρῖμα τῶν μετανοούντων, ἀλλὰ τῶν ἀγαπώντων ὄνομα Κυρίου· τῶν γὰρ κατ' ἀρετὴν καὶ γνῶσιν τῆς ἀληθείας πολὺ προκοψάντων τὸ λέγον πρόσωπον· διὸ καὶ παρρησιάζεται ὀφθῆναι τῷ Θεῷ. Ἐπίβλεψον, γάρ φησιν, ἐπ' ἐμὲ καὶ ἐξ ἀνάγκης ἕψεται τὸ ἐλεηθῆναί με.

Στίχ. ρλγ΄. «Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.»

Κατὰ τὸ λόγιον τοῦ Θεοῦ κατευθύνει τὰ διαβήματά μου, ἐκ κακίας καὶ ἀγνοίας εἰς ἀρετὴν καὶ γνῶσιν τῆς ἀληθείας διαβαίνοντος. Εὐθυντὴρ γὰρ καὶ ἡγεμὼν τῶν τοιούτων διαβημάτων ὁ ὀρθὸς λόγος.

Στίχ. ρλδ΄. «Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.»

---

1. Ψαλμ. 80, 11. 2. Ἰω. 6, 63.

Μισθὸν τοῦ ἐλέου λελυτρῶσθαι ἀπὸ συκοφαντίας ἀνθρώπων ὑπισχνεῖται δώσειν τὴν τῶν ἐντολῶν Κυρίου φυλακήν· ἢ οὐδὲ μισθόν, ἀλλ' εὐχαριστίαν εἰς τὸ λυτρωθῆναί με ἀπὸ συκοφαντίας ἀνθρώπων. Καὶ τετυχήκασιν αἰσθητῶς τῆς αἰτήσεως Ἰωσὴφ καὶ Σουσάννα. Ῥηθεῖεν δὲ ἄνθρωποι τροπικῶς ὁ διάβολος καὶ αἱ κατ' αὐτὸν πονηραὶ δυνάμεις, ἀφ' ὧν τῆς συκοφαντίας μόνου τοῦ Θεοῦ λυτροῦσθαι.

Στίχ. ρλε', ρλς'. «Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.»

Τὴν δευτέραν τοῦ Σωτῆρος ἐπίλαμψιν ἰδεῖν ποθῶν ἀξιοῖ περὶ αὐτῆς, τῷ Πατρὶ φάσκων, «Τὸ πρόσωπόν σου», Κύριε, «ἐπίφανον·» ὅπερ ἰδών τις ἑώρακε καὶ τὸν Πατέρα. Αὐτὸς γὰρ περὶ ἑαυτοῦ λέγει· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα.[1] Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξαν τὸν νόμον σου.»

Στίχ. ρλζ'-ρμγ'. «Δίκαιος εἶ, Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου. Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό. Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· αἱ ἐντολαί σου μελέτη μου.»

Ὁ Σύμμαχος ἑτέραν παρέστησε διάνοιαν εἰπών, «Θλίψεις καὶ ἐγκακήσεις κατέλαβόν με· αἱ δὲ ἐντολαὶ ἔτερπόν με·» ὡς παντὸς θεοσεβοῦς βαρουμένου μὲν καὶ δυσχεραίνοντος ἐπὶ τοῖς τοῦ βίου πράγμασιν, ἀποκακοῦντός τε ἐκ τῆς τῶν ἀνθρώπων κακίας, μόνην δὲ ἔχοντος παραμυθίαν καὶ ἀνάκτησιν καὶ τέρψιν τὴν μελέτην τῶν ἐντολῶν τοῦ Θεοῦ.

Στίχ. ρμδ'. «Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι.»

Αὕτη ἡ δικαιοσύνη, ἣν ἀσκοῦμεν ἐπὶ τοῦ παρόντος, οὐκ ἀποδίδοται ἡμῖν ἐν ὀλίγαις ἡμέραις, ἀλλ' εἰς τὸν αἰῶνα. Ἐν τούτοις πᾶσιν αἰτεῖ ὁ Προφήτης ἀπὸ τοῦ Θεοῦ σύνεσιν, τὸ ἀναγκαιότατον τῶν τοῦ Θεοῦ δωρημάτων, καὶ λέγει· «Συνέτισόν με, ἵνα ζήσω·» ἐπ' ἐκείνην γὰρ τὴν μακαρίαν ζωὴν ἀνόητος οὐκ ἔρχεται ἢ ἀσύνετος, ἀλλὰ δεῖ αἰτῆσαι παρὰ τοῦ Θεοῦ σύνεσιν, τοῦ διδόντος πᾶσι τοῖς ἐξ ὅλης ψυχῆς αἰτοῦσιν αὐτόν, ἵνα λαβόντες σύνεσιν, δυνηθῶμεν εἰπεῖν· «Συνέτισόν με, καὶ ζήσομαι.»

Στίχ. ρμε'-ρμη'. «Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε, τὰ δικαιώματά σου ἐκζητήσω. Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου. Προέφθασα ἀωρίᾳ καὶ ἐκέκραξα, εἰς τοὺς λόγους σου ἐπήλπισα. Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον, τοῦ μελετᾶν τὰ λόγιά σου.»

---

1. Ἰω. 14, 9.

Ὁ ἐν ἀωρίᾳ προλαβὼν καὶ τὸν Θεὸν ἐπικαλούμενος ἐλευθεροῦται τῶν νυκτερινῶν ἐπιβουλῶν, καὶ ἐν τῷ ὄρθρῳ αὐτοῦ, τουτέστιν ἐν τῇ ἀνατολῇ τοῦ φωτὸς προφθάνοντος δηλαδή, τοὺς ὀφθαλμοὺς προαπαντῶντας κέκτηται, καὶ μελετᾷ τοῦ Θεοῦ σὺν παρρησίᾳ τὰ λόγια. Ἐκείνη γὰρ μάλιστα τῷ νόμῳ χαίρει ψυχή, ἥτις αὐτὴ σύνοιδεν ἑαυτῇ τὴν κατόρθωσιν.

Στίχ. ρμθ'-ρνβ'. «Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ· ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. Ἐγγὺς εἶ σύ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια. Καταρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά.»

Στίχ. ρνγ-ρνε'. «Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην. Κρῖνον τὴν κρίσιν καὶ λύτρωσαί με, διὰ τὸν λόγον σου ζῆσόν με.»

Κριθῆναι πρὸς τοὺς ἐχθροὺς αἰτεῖ τοὺς ἀφανῶς ἢ ἐμφανῶς πολεμοῦντας, καὶ λυτρωθῆναι· μόνος γάρ ἐστιν ὁ Θεὸς ὁ ἐξ ἑκατέρων λυτρούμενος, καὶ οὐ θανάτου μόνον ἡμᾶς ἀπαλλάττων, ὃν ἀπειλοῦσι καὶ ἐνεργοῦσιν οἱ δαίμονες, ἀλλὰ καὶ ζωὴν παρέχων διὰ τὸν αὐτὸν λόγον. «Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου οὐκ ἐξεζήτησαν. Οἱ οἰκτιρμοί σου πολλοί, Κύριε, κατὰ τὸ κρῖμά σου ζῆσόν με.» Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ· ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα, ὃς καὶ πάνυ δικαιότατος εἶναι δοκεῖ. Συγκρίσει γὰρ ἀνθρώπων ὡς πρὸς τὴν ἀκριβῆ κρίσιν τοῦ Θεοῦ, ἐλέου δεῖται τὸ δίκαιον. Πᾶν γὰρ ὃ δοκεῖ γεγονέναι κατ' ἔλεον, ἐλέῳ Θεοῦ γίνεται. Τί γάρ τις ἄξιον πεποίηκε αἰωνίου μακαριότητος καὶ βασιλείας οὐρανῶν, μὴ ὑπὸ Θεοῦ βοηθούμενος;

Στίχ. ρνζ'-ρξ'. «Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με. Ἀρχὴ τῶν λόγων σου ἀλήθεια· καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου.»

Στίχ. ρξα'-ρξδ'. «Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. Ἀδικίας ἐμίσησα καὶ ἐβδελυξάμην, τὸν δὲ νόμον σου ἠγάπησα. Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.»

Νοήσεις καὶ οὕτως ἐπιστήσας ὡς πρὸς ἡλίου διανιστάμενος τῆς κοίτης κατὰ τὸν λέγοντα· «Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σέ, ὁ Θεός·[1]» καί, «ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω[2]», τὸν πρῶτον ἀνέπεμπεν ὕμνον· εἶτ' ἐπιστάσης ἡμέρας, κατὰ τὴν πρώτην ὥραν, ὥσπερ ἕωθεν τὴν θυσίαν προσέφερε τῷ Θεῷ τὸν δεύτερον, καὶ κατὰ

1. Ἠσ. 26, 9. 2. Ψαλμ. 62, 2.

τὴν τρίτην ὡσαύτως τὸν τρίτον, καὶ πάλιν κατὰ τὴν ἕκτην τὸν τέταρτον, κατὰ δὲ τὴν ἐνάτην ὥραν τὸν πέμπτον, κατὰ δὲ τὴν δωδεκάτην τὸν ἕκτον, εἶθ' ἑσπέρας μετὰ τὴν τοῦ σώματος θεραπείαν, ἐπὶ κοίτην μέλλων τρέπεσθαι τὸν ἕβδομον ὕμνον ἀπεδίδου, καὶ οὕτως ἐπλήρου τό· «Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε.»

Στίχ. ρξε'. «Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσιν τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον.»

Τοῖς τοῦ Θεοῦ ὄνομα ποθοῦσιν εἰρήνη τυγχάνει πολλή, οὐ τοσοῦτον ἡ ἔξωθεν· οὐ γὰρ ἐφ' ἡμῖν αὕτη· ἀλλ' ἡ ἐν τοῖς λογισμοῖς, καθ' ἣν συμβαίνει ἀταραξίαν καὶ ἀνενοχλησίαν τῆς ἐξ ἀπαθείας ἔχειν. Ταύτην ἅμα τῇ καταλλήλῳ χάριτι εἰλήφασιν οἱ ἔχοντες ἀπὸ Θεοῦ καὶ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. Κεκτημένοι γοῦν αὐτὴν διὰ τὸ ὄνομα τοῦ Θεοῦ, ὑπερβαλλόντως ὑπάρχοντες τέλειοι, σκάνδαλον οὐκ ἔχουσιν ἐν ἑαυτοῖς· μικρῶν γὰρ ἀλλ' οὐ μεγάλων τὸ ἔχειν τοῦτο, ὥς φησιν ὁ Σωτήρ· «Ὁρᾶτε μὴ σκανδαλίσητε ἕνα τῶν μικρῶν τούτων.[1]» Εἰ δὲ εἴη εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον τοῦ Θεοῦ, εἰρήνην ἔχει πολλήν, πόλεμος οὐχ ἅπτεται τῆς ψυχῆς αὐτοῦ· οὐδὲν γὰρ τῶν ἁμαρτημάτων ἐκκαίει τὴν ψυχὴν αὐτοῦ, καὶ ἅτε εἰρήνην ἔχων τοιοῦτος γεγένηται ὡς ὑπὸ μηδενὸς ἔτι σκανδαλισθῇ λέγων· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία[2]», καὶ ἑξῆς.

Στίχ. ρξς'. «Προσεδόκων τὸ Σωτήριόν σου, Κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα.»

Προσδοκῶν τὴν ἀπὸ σοῦ σωτηρίαν τὴν ἀληθινήν, οὐ μόνον ἐτήρησα, ἀλλὰ καὶ ἠγάπησά σου τὰς ἐντολάς. Τῆς γὰρ μετ' ἀγαπήσεως τῶν ἐντολῶν κατωρθωμένης ἐνεργείας ὑπαρξάσης, εὐθὺς ἀκολουθήσει τὸ προσδοκώμενον Σωτήριον, οὐχ ἕτερον ὂν τῆς τῶν σῳζομένων σωτηρίας. Εἰ δὲ καὶ τὸν Σωτῆρα προσδοκᾷ, περὶ οὗ εἴρηται· «Πᾶσα σὰρξ ὄψεται τὸ Σωτήριον τοῦ Θεοῦ[3]», ἀκολούθως ἀγαπᾷ τὰς ἐντολὰς τοῦ Θεοῦ, οὗ καὶ τὸ Σωτήριον προσεδόκησεν, ἵνα καὶ τὴν πρᾶξιν ᾖ καθαρῶς, καὶ τὴν προσδοκίαν θεωρητικῶς, προσδοκῶν ἀεὶ καὶ θεωρῶν ἐληλυθότα τὸν Θεὸν Λόγον ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

Στίχ. ρξζ'-ρξη'. «Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν αὐτὰ σφόδρα.»

Οὐ μόνον τὰς ἐντολάς σου ἠγάπησα, ἀλλὰ καὶ τὰ μαρτύριά σου σφόδρα ἠγάπησεν ἡ ψυχή μου, καὶ ἐφύλαξεν αὐτά. Πρότερον μὲν κατὰ ἕν, «ἠγάπων», καί, «ἠγάπησα τὰς ἐντολάς σου·» δεύτερον· «Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου·» κατὰ δὲ τὸ τρίτον συναγαγὼν ἀμφότερα εἰς ἕν, φησίν·. «Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου, ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε.» Ὁ ἁμαρτωλὸς οὐκ ἐρεῖ· «Πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου·» αἱ γὰρ ὁδοὶ τοῦ ἁμαρτωλοῦ οὐκ εἰσὶν ἐν ὀφθαλμοῖς τοῦ Θεοῦ, ἀλλὰ μόνον αἱ τοῦ δικαίου· ἵν'

---

1. Ματθ. 18, 10. 2. Ῥωμ. 8, 55. 3. Ἡσ. 40, 5.

οὖν καὶ αἱ ἡμέτεραι γένωνται πᾶσαι αἱ ὁδοὶ ἐναντίον τοῦ Θεοῦ, οἱ νόμοι, οἱ προφῆται, ἡ ἐπὶ πᾶσι τελεία, ἀληθινὴ καὶ ἀγαθὴ ὁδός, ὁ εἰπών· «Ἐγώ εἰμι ἡ ὁδός[1]», Χριστὸς Ἰησοῦς, εὐξώμεθα ἐν τῇ ὁδῷ μέχρι τέλους ὁδεύοντας φθάσαι πρὸς τὸν Θεὸν καὶ Πατέρα τῶν ὅλων διὰ Χριστοῦ Ἰησοῦ.

Στίχ. ρξθ΄-ροβ΄. «Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου συνέτισόν με. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με. Ἐξηρεύξαντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου· φθέγξαιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.»

Σφόδρα ἀκολούθως μετὰ τοῦ εὔξασθαι περὶ τῆς διανοίας· τὸ γὰρ συνετισθῆναι τὰ λόγια τοῦ Θεοῦ οὐκ ἦν χειλέων οὐδὲ γλώσσης, ἀλλὰ τοῦ κατὰ ψυχὴν διανοητικοῦ· τὰ ἡγούμενα τοίνυν αἰτήσας ἐπὶ τὰ δεύτερα μέτεισι, καὶ ἀξιοῖ τὰ τοῦ ἐν αὐτῷ λόγου ὄργανα τὰ χείλη καὶ τὴν γλῶτταν ἀφιερωθῆναι, ὡς ἂν διαπαντὸς τὰ μὲν χείλη ὕμνον διερεύγοιντο, δικασκομένου τοῦ νοῦ ὑπ' αὐτοῦ τοῦ Θεοῦ τὰ δικαιώματα αὐτοῦ· ἡ δὲ γλῶττα φθέγγοιτο μηδὲν ἕτερον ἢ τὰ λόγια τοῦ Θεοῦ, καὶ τοῦτο πράσσοι, «ὅτι πᾶσαι αἱ ὁδοὶ αὐτοῦ δικαιοσύναι.»

Στίχ. ρογ΄. «Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ἡρετισάμην.»

Συνιδὼν τὸ μέγεθος τοῦ ἑτοίμου, βοηθείας δεῖται τῆς παρὰ τοῦ Θεοῦ εἰς τὸ κατορθῶσαι τὰ προλελεγμένα· μεγάλα δὲ αἰτῶν παρὰ τοῦ Θεοῦ, καὶ τὸ παρ' ἑαυτοῦ, συνεισφέρει λέγων· «Ὅτι τὰς ἐντολάς σου ἡρετισάμην.» Ὅπερ γὰρ ἦν ἐπὶ τῇ ἐμῇ ἐξουσίᾳ, τοῦτ' ἐξ ἐμοῦ πεπλήρωται. Τὰς ἐντολάς σου ἡρετισάμην, ἠγαπήσας αὐτὰς κατὰ τὰ πρόσθεν εἰρημένα.

Στίχ. ροδ΄. «Ἐπεπόθησα τὸ Σωτήριόν σου, καὶ ὁ νόμος σου μελέτη μου ἐστί.»

Οἱ πολλοὶ τῶν ἀνθρώπων ἐπιποθοῦσι σωτηρίαν, ἀλλ' οὐ τὸ τοῦ Θεοῦ, ἀλλὰ τὸ σαρκὸς σωτήριον τὸ ἐν κόσμῳ. Ἔργον δέ ἐστιν ἐπιποθῆσαι τὸ τοῦ Θεοῦ Σωτήριον, ὥστε ἐν Θεῷ σωθῆναι, ἐν αὐτῷ ἀναπαύεσθαι, κληρονομῆσαι τὰ ἅγια· τὸ γὰρ Σωτήριον τοῦ Θεοῦ τοῦτό ἐστιν ἡ αἰώνιος ζωή. Ἐὰν θέλῃς ἐπαναβῆναι τῷ λόγῳ, τὸ Σωτήριον τοῦ Θεοῦ ὁ Χριστός ἐστιν· Ἰησοῦς γὰρ ἑρμηνεύεται, Θεοῦ Σωτηρία. Οὗτος ἡμῖν ἐπέμφθη. Ὁδὸς τοῦ ἐπιποθοῦντος τὸ Σωτήριον τοῦ Θεοῦ, τὸ τὸν νόμον εἶναι μελέτην τῷ ἐπιποθοῦντι, προαναφωνοῦντα τὴν δεῦρο αὐτοῦ ἄφιξιν. Νόμον δὲ ἐνταῦθα καλεῖ πᾶσαν παλαιὰν καὶ θείαν Γραφήν.

Στίχ. ροε΄-ρος΄. «Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.»

Εἰς τὸν μέλλοντα χρόνον ἐνέκλειεν τὴν ζωὴν τῆς ψυχῆς. «Ἡ» γὰρ

1. Ἰω. 14, 6.

«ζωὴ ἡμῶν κέκρυπται σὺν Χριστῷ ἐν τῷ Θεῷ.[1]» Τότε ὑμνήσει κυρίως τὸν Θεόν. «Καὶ τὰ κρίματά σου βοηθήσει μοι.» Ἐπὶ βοηθείᾳ τῶν κρινομένων τὰ κρίματα τοῦ Θεοῦ γίνεται. Ἀλλὰ ἄλλη παρρησία βοηθείας κριμάτων πρὸς τὸν δίκαιον, ἡ χωρὶς βασάνων καὶ πόνων· ἄλλη ὁδὸς βοηθείας κριμάτων πρὸς τὸν διὰ πόνων καὶ βασάνων ἀχθησόμενον. «Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.»

Κανόνες Ἡμερινοὶ Ψαλμῶν.

| | | |
|---|---|---|
| Ὀρθρινοὶ γ′. | | ξβ′. ρμ′. ρμα′. |
| ὡρ. α′. | Ψαλμὸς | η′. |
| ὡρ. β′. | Ψαλμὸς | κθ′. |
| ὡρ. γ′. | Ψαλμὸς | α′. |
| ὡρ. δ′. | Ψαλμὸς | μα′. |
| ὡρ. ε′. | Ψαλμὸς | ν′. |
| ὡρ. ς′. | Ψαλμὸς | ο′. |
| ὡρ. ζ′. | Ψαλμὸς | ξθ′. |
| ὡρ. η′. | Ψαλμὸς | πδ′. |
| ὡρ. θ′. | Ψαλμὸς | ρια′. |
| ὡρ. ι′. | Ψαλμὸς | ρμ′. |
| ὡρ. ια′. | Ψαλμὸς | ρη′. |
| ὡρ. ιβ′. | Ψαλμὸς | ρκ′. |

Κανόνες Νυκτερινοὶ τῶν Ψαλμῶν.

| | | |
|---|---|---|
| Λυχνικοὶ γ′. | | ρκθ′. ρμ′. ιβ′. |
| ὡρ. α′. | Ψαλμὸς | οδ′. |
| ὡρ. β′. | Ψαλμὸς | κθ′. |
| ὡρ. γ′. | Ψαλμὸς | νδ′. |
| ὡρ. δ′. | Ψαλμὸς | ς′. |
| ὡρ. ε′. | Ψαλμὸς | δ′. |
| ὡρ. ς′. | Ψαλμὸς | μ′. |
| ὡρ. ζ′. | Ψαλμὸς | να′. |
| ὡρ. η′. | Ψαλμὸς | π′. |
| ὡρ. θ′. | Ψαλμὸς | πζ′. |
| ὡρ. ι′. | Ψαλμὸς | ϟε′. |
| ὡρ. ια′. | Ψαλμὸς | κα′. |
| ὡρ. ιβ′. | Ψαλμὸς | νς′. |

1. Κολ. 3, 3,

# ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ
# ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ ΑΠΟ ΡΙΘ' ΕΩΣ ΡΝ'

## ΨΑΛΜΟΣ ΡΙΘ'.

Στίχ. α'. «Ὠδὴ τῶν ἀναβαθμῶν».

Οἱ καταπεσόντες ἀπὸ τῶν τοῦ Θεοῦ καλῶν, ἀναβαίνουσιν ἐπὶ ταῦτα, παρασκευάσαντες εἰς τὴν ἀνάβασιν ἑαυτούς· τὴν οὖν παρασκευὴν ἱκανῶς ἐπιδείξας ὁ Ψαλμῳδὸς διὰ τοῦ πρώτου ψαλμοῦ εἰσάγει τὴν ἀνάβασιν τὴν διὰ τῶν θλίψεων.

Στίχ. β'. «Ἀπὸ γλώσσης δολίας.»

Τουτέστιν ἀπὸ πάσης ψευδοδοξίας καὶ ἀπάτης· δεῖται γὰρ ὁ ἐν ἀρχῇ προκοπῆς τυγχάνων ὅπως μηδεὶς αὐτὸν παραλογίζηται ἐν πιθανολογίᾳ.

Στίχ. γ'. «Τί δοθείη σοι;» κ.τ.λ.

Ἐπακούσας ὁ Λόγος τοῦ προσευξαμένου, κατὰ τό, «Ἔτι λαλοῦντός σου, ἰδοὺ πάρειμι [1]», ἀποκρίνεται αὐτῷ καί φησι· Θάρσει, ὦ οὗτος, εἰδὼς ὅτι προστάτην καὶ ὑπέρμαχον ἔχεις δυνατόν, ὅπλοις χρώμενον ὑπὲρ σοῦ κατὰ τῶν σῶν πολεμίων· βέλη τε γὰρ ἠκόνησεν κατ' αὐτῶν, καὶ ἄνθρακας ἡτοίμασεν ἐρημοποιοὺς εἰς αὐτούς, μετελεύσεται ἐν ταῖς κατ' αὐτῶν τιμωρίαις· τί οὖν πλέον αἰτεῖς δοθῆναί σοι; ἢ τί θέλῃς προστιθέναι σοι μετὰ τὴν τοσαύτην τοῦ Δυνατοῦ κατὰ τῶν ἀσεβῶν παρασκευήν;

Στίχ. δ'. «Μετὰ τῶν σκηνωμάτων Κηδάρ».

Κηδὰρ πάγος γενεᾶς δύναται καὶ σκοτασμός· Κατεσκήνωσα οὖν, φησί, μετὰ τῶν σκηνωμάτων τοῦ σκοτασμοῦ, ὅπερ ἐστὶ τοῦ σώματος τοῦ θανάτου· καὶ ἡ ψυχή μου αὐτή, φησί, πολλὰ πλεονάκις παρῴκησεν.

## ΨΑΛΜΟΣ ΡΚ'.

Στίχ. α'. «Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη».

Ὁ τῆς δουλείας ὑπὸ τοῖς ἐχθροῖς ἀπαλλαγείς, καὶ κατ' αὐτὴν ἤδη γεγονὼς τὴν ὁδὸν τὴν ἄγουσαν ἐπὶ τὴν τοῦ Θεοῦ πόλιν, ἄνω τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε εἰς τὰ ὄρη ἐπαίρει, κατανοῶν καὶ πολυπραγμονῶν πόθεν αὐτῷ ἥξει βοήθεια· τὰ μέρη δὲ πάντα τοῦ κόσμου καὶ τὰ ὕψη περιαθρήσας, ἐν οὐδενὶ τῶν αἰσθητῶν εὑρίσκει τὸ ζητούμενον· νῷ δὲ καὶ ψυχῆς ὀφθαλμοῖς ἐπὶ τὸν ποιητὴν καὶ δημιουργὸν τῶν ὅλων ἀναδραμών, ἐνταῦθα ἵσταται, καὶ τὴν δευτέραν ᾠδὴν ᾄδει

1. Ἠσ. 58, 9.

λέγων· «Ἡ βοήθειά μου παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.[1]»

Στίχ. ε'. «Κύριος φυλάξει σε.»

Τὸν διαπαντὸς εἰς τὸν Θεὸν ἀφορῶντα αὐτὸς ὁ ἄϋπνος φυλάττει Θεός, καὶ τούτου τὴν δεξιὰν χεῖρα σκέπει, ἅτε δεξιαῖς πράξεσι χρωμένου, καὶ τοὺς ἐχθροὺς ἐλαύνοντος τῇ ἑαυτοῦ δεξιᾷ· μάλιστα γὰρ τῇ δεξιᾷ τῶν θεοφιλῶν ἐπιβουλεύειν πειρῶνται οἱ ἐχθροί· οὕτω γοῦν εἴρηται· «Καὶ Ἰησοῦς ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρά, καὶ ὁ διάβολος ἑστήκει ἐκ δεξιῶν αὐτοῦ.[2]» — Μάλιστα δὲ Θεὸς ἀπὸ κακίας φυλάττει, κἂν τὰ ἐκτὸς ἢ τὸ σῶμα λυπῇ· περὶ γοῦν Ἰὼβ παρήγγειλε· «Μόνην τὴν ψυχὴν αὐτοῦ διαφύλαξον·[3]» δεῖται δὲ φυλακῆς ἡ ψυχὴ κατὰ τὸν τῆς ἐξόδου τοῦ βίου καιρόν, καὶ κατὰ τὴν εἴσοδον τὴν εἰς τὴν τοῦ Θεοῦ πόλιν· τί γὰρ ὄφελος εἰ ἐν μέσῳ τῆς ὁδοῦ πεσών τις ἀπώλετο; διὸ μὴ μακαρίσῃς ἄνθρωπον πρὸ τῆς τελευτῆς αὐτοῦ.

Στίχ. ς'. «Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε.»

Νεφέλη φωτεινὴ οὐκ ἐᾷ συγκαίεσθαι ὑπὸ ἡλίου τοὺς κατὰ τὸν Θεὸν ὁδεύοντας· καὶ ἀναλογοῦντι ταύτης βοηθεῖ εἰς τὸ μηδὲ ὑπὸ νυκτερινοῦ φωστῆρος παθεῖν αὐτούς.

## ΨΑΛΜΟΣ ΡΚΑ'.

Στίχ. α'. «Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι», κ.τ.λ.

Τὴν ὁδὸν βαδίζων τὴν ἐπὶ τὸν Θεὸν ἄγουσαν, παιδευόμενος περὶ τοῦ τέλους αὐτῆς, εὐφροσύνης ἐπ' αὐτῇ τῇ τῶν μελλόντων ἀκοῇ πληροῦται· διὸ καὶ ὁμολογεῖ καλῶν καὶ ἀγαθῶν διδασκάλων τυχὼν τῶν εἰρηκότων αὐτῷ· «Εἰς οἶκον Κυρίου πορευσώμεθα·» καὶ μᾶλλον ἐπείγεται, τὴν πορείαν μετ' εὐφροσύνης ποιούμενος. — Τῶν ἐπανιόντων ἀπὸ Βαβυλῶνος, ὁ μὲν πολὺς νέος ἦν λαὸς ἐν αὐτῇ γεννηθεὶς Βαβυλῶνι· βραχεῖς δέ τινες ἐν αὐτοῖς ὑπῆρχον παλαιοὶ ἄνδρες καὶ σφόδρα πρεσβύτεροι, οἱ ἀπὸ Ἱερουσαλὴμ καταβεβηκότες ἐκεῖ, καὶ παραμείναντες τὸν ἑβδομήκοντα ἔτι χρόνον, μεθ' ὃν ὑπέστρεφον ἅμα τῷ νέῳ λαῷ· τούτων τοίνυν ἐρωτωμένων παρὰ τοῦ νέου λαοῦ ὅπου τὴν πορείαν ποιοῖντο, ἀποκρινομένους οἱονεὶ καὶ λέγοντας· «Εἰς οἶκον Κυρίου πορευσώμεθα.» Ἐπὶ δὲ τοιαύτῃ ἀκοῇ τὸν νέον λαὸν εὐφρανθέντα, δεύτερον ἐξετάσαι πόθεν τοῖς λέγουσιν ἡ γνῶσις; Τοὺς δὲ ἀποκρίνασθαι πρὸς αὐτούς, καὶ εἰπεῖν· «Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς Ἱερουσαλήμ·» καὶ οἱ πόδες οὗτοι οἱ νῦν ἐνταῦθα ἅμα ὑμῖν βαδίζοντες, ἑστῶτές ποτε ἐτύγχανον ἐν ταῖς αὐλαῖς Ἱερουσαλήμ· ὅθεν ἀκριβῶς εἰδότες, ταῦτα ὑμᾶς εὐαγγελιζόμεθα, καὶ τὸν τρόπον δὲ τῆς οἰκοδομῆς τῆς πόλεως, καὶ τὸν τύπον αὐτόν, ὡς ἂν εἴποι τις καὶ τὸ σχῆμα, ἀκριβῶς φέρομεν διὰ μνήμης· ἦν γὰρ ὡς πόλις οὐ διεσπαρμένη ὧδε κἀκεῖσε, οὐδὲ

1. Ψαλμ. 120, 2. 2. Ζαχ. 3, 3. 3. Ἰὼβ 2, 6.

ἀπεσχισμένη καὶ διεστῶσα εἰς μέρη πολλά, ἀλλ' οὕτως ἦν ᾠκοδομημένη ὡς δοκεῖν ἕνα εἶναι οἶκον, διὰ τὴν συνάφειαν καὶ ἁρμονίαν τῶν ἐν αὐτῇ οἰκοδομημάτων· διὸ λέλεκται· «Ὡς πόλις ἦν ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό·» τοιαῦται δέ εἰσι κατὰ διάνοιαν πᾶσαι αἱ παρὰ Θεῷ ψυχαί, καὶ οἱ ζῶντες λίθοι δι' ὧν ᾠκοδόμηται ὁ ἀληθινὸς νεὼς τοῦ Θεοῦ, τῷ αὐτῷ νοῒ [καὶ] τῇ αὐτῇ γνώμῃ κατηρτισμένος.

Στίχ. δ'. «Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαί, φυλαὶ Κυρίου, μαρτύριον τῷ Ἰσραήλ, τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου.»

Ἐκεῖ γὰρ θύειν, εὔχεσθαι, πανηγυρίζειν, ἐκέλευσεν· ὡς ἂν μὴ πανταχοῦ πλανώμενοι, πρόφασιν ἔχωσιν ἐξόδους ποιεῖσθαι πρὸς εἴδωλα· Θεοῦ γὰρ τοῦτο «μαρτυρίαν» ἐκάλεσεν· τῆς γὰρ αὐτοῦ προνοίας τοῦτο μέγιστον τεκμήριον ἦν· καὶ γὰρ ἐκεῖ ὁ νόμος ἀνεγινώσκετο, διηγήματά τε κατορθωμάτων ἀρχαίων, καὶ σύνοδον ἐποιοῦντο τὴν πρὸς ἀλλήλους ἀγάπην συσφίγγουσαν.

Στίχ. ς'. «Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τὴν Ἱερουσαλήμ.»

Ἀεὶ γάρ, φησί, καὶ πάντοτε μνημονεύοντές σου, ὦ Ἱερουσαλήμ, τὰ περὶ τῆς σῆς εἰρήνης διαλεγόμεθα τοῖς ἀδελφοῖς τοῖς ἡμετέροις καὶ τοῖς πλησίον ἡμῶν, τουτέστι τῷ νέῳ λαῷ, εἰς πόθον αὐτοὺς ἄγοντες τὸν περὶ σὲ διὰ τῆς περὶ σοῦ διδασκαλίας· ἀλλὰ καὶ ἡ πᾶσα ἡμῶν εὐχὴ ἕνεκα τοῦ οἴκου τοῦ Θεοῦ ἡμῶν ἐγίνετο, ζητούντων ἀγαθά σοι τὰ παρὰ τοῦ Θεοῦ.

## ΨΑΛΜΟΣ ΡΚΒ'.

Στίχ. α'. «Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ.»

Ἐπείπερ οὐρανὸς θρόνος ἐστὶ τοῦ Θεοῦ, διὰ τοῦτο κατοικεῖν λέγεται ἐν τῷ οὐρανῷ· οὐδεὶς δὲ θησαυρίζων ἐπὶ γῆς, εἴποι τῷ Θεῷ· «Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ·» ὅπου γὰρ «ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου·[1]» οἱ μὲν οὖν ὀφθαλμοὶ τοῦ ἄφρονος, ἐπ' ἄκρα γῆς, ἢ ἐφ' ὁτιδήποτε οὗ ἐπιθυμεῖ· ἐμβλέπει γάρ ποτε γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς· οἱ δὲ τοῦ δικαίου, διαπαντὸς πρὸς τὸν Θεόν.

Στίχ. β'. «Ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν.»

Εὐαγγελισθεὶς ὁ νέος παρὰ τῶν πρεσβυτέρων λαὸς διὰ τῆς πρὸ ταύτης ᾠδῆς, Οὐκ ἐπ' ἄλλο τι, φησίν, ἐλπίζω, ἢ ἐπὶ σὲ τὸν οὐκ ἐν τῇ κάτω Ἱερουσαλήμ, ἀλλ' ἐν οὐρανῷ κατοικοῦντα· μόνοις δὲ τοῦτο λέγειν ἁρμόττει τοῖς ἀπηλλαγμένοις αἰχμαλωσίας, καὶ τὸ τῆς ψυχῆς διορατικὸν ἐρρωμένοις· ψυχῆς δὲ ὀφθαλμὸς ἄνω μὲν ὁρῶν, ὠφελεῖται· κάτω δέ, βλάπτεται.

---

1. Ματθ. 6, 21.

## ΨΑΛΜΟΣ ΡΚΓ'·

Στίχ. β'. «Ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς.»

Οἱ φήσαντες, «Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς[1]», νῦν ὡς ἐπακουσθέντες εὐχαριστοῦσι Θεῷ· τὰ δὲ παρόντα διδάσκεται λέγειν ὁ διορατικός, τὸν Θεὸν ἔχων πρὸ ὀφθαλμῶν· οὕτως γὰρ Ἰσραὴλ ἐπινίκιον ᾠδὴν τῷ νικοποιῷ προσάγων Θεῷ· διδάσκουσι δὲ τοὺς νέους οἱ γεγηρακότες, καὶ οἱ μαθηταὶ ὑπακούουσιν· Ἰσραὴλ δὲ τοῦ ἔχοντος ἐν ἑαυτῷ τὸν Θεόν, τὸ δύνασθαι λέγειν· «Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν.» Τοιοῦτος ἦν ὁ ὑπὸ Μωϋσέως γενόμενος Ἰσραήλ, ᾧ ἐλέγετο· «Σιώπα, καὶ ἄκουε, Ἰσραήλ· καὶ Κύριος πολεμήσει ὑπὲρ ὑμῶν, καὶ ὑμεῖς σιγήσεσθε.[2]»

Στίχ. γ'. «Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.»

Καὶ ὁ περιστατικὸς δὲ καιρός, εἰ καὶ σφοδρός, ἀλλὰ χειμάρρου δίκην ὀλιγοχρόνιος.

Στίχ. ς'. «Εὐλογητὸς Κύριος», κτ.λ.

Καὶ τίνα εὐλογεῖν καὶ ὑμνεῖ ἔδει ἐπὶ τῷ μὴ ἁλῶναι τοῖς βουλομένοις ζῶντας καταπιεῖν ἡμᾶς ἀνθρώποις, ἢ τὸν Κύριον τὸν ὄντα ἐν ἡμῖν; Οἱ ἐπὶ τὸ θηρεῦσαι ἡμᾶς ὁρμήσαντες, ἵνα καταφάγωσιν ἡμᾶς, οὐ δεδύνηνται ὡς ἔσπευδον διαθεῖναι· ἐξηγριωμένοι γὰρ οἱ ὠμόθυμοι λέοντες τοῖς ὀδοῦσιν αὐτῶν θηρεῦσαι ἡμᾶς ἐγλίχοντο· ἀλλ' οὐκ ἐπέτυχον τοῦ σπουδαζομένου, μὴ δόντος ἡμᾶς τοῦ Κυρίου· ὃν καὶ εὐλογοῦμεν ῥυσάμενον ἡμᾶς ἀπὸ τῶν φονικῶν καθ' ἡμῶν διατεθέντων.

## ΨΑΛΜΟΣ ΡΚΔ'.

Στίχ. β'. «Ὄρη κύκλῳ αὐτῆς.»

Ταῦτά φασιν οἱ μετὰ τὴν μακρὰν ἐπανελθόντες ὁδοιπορίαν ἐπὶ τὴν αἰσθητὴν Ἱερουσαλήμ, ὡς ἤδη λοιπὸν ἐν ἀσφαλείᾳ γενόμενοι, οὐ τῷ τόπῳ, τῇ δὲ πεποιθήσει τοῦ Κυρίου θαρροῦντες· ὃ δὴ κρεῖττον τοῦ κατοικεῖν Ἱερουσαλήμ· καὶ ἐπεὶ τοῦτο ποῦ κρείττων ἦν ὁ λαός; τοῦ μὲν τόπου ὄρη λέγεται κύκλῳ· τοῦ δὲ λαοῦ, δι' ὃν καὶ ὁ τόπος τετίμηται, ὄντως ὁ Θεός, ὁ καὶ τὸν τόπον φυλάττων, ὅτε ἄξιος ὁ λαός.

Στίχ. ε'. «Ἀπάξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν.»

Τὸ «ἀπάξει», τὸ «παραδώσει» δηλοῖ· εἰς τὴν ἀκαθαρσίαν ἣν εἵλοντο, εἰς πάθη τε ἀτιμίας καὶ ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα.

## ΨΑΛΜΟΣ ΡΚΕ'.

Στίχ. α'. «Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιών.»

Οἱ ἀπόστολοι ταῦτα προφητεύονται λέξειν περὶ ἑαυτῶν καὶ τῶν ἐν τοῖς ἔθνεσι, καὶ μετὰ ταῦτα ἀποφανεῖσθαι περὶ σπόρου καὶ θερισμοῦ·

1. Ψαλμ. 122, 3. 2. Ἔξ. 14, 14.

κατὰ τοὺς τοῦ Δαβὶδ χρόνους οὐκ ἦν ἡ αἰχμαλωσία· τάχα οὖν περὶ τῆς νοητῆς ταῦτά φησιν· ἐρεῖ δὲ ἄλλος, ὅτι προφητικῶς τὸ μέλλον δηλοῦται. — Μέρος τι τῆς αἰχμαλωσίας ἐπανελθὸν ἀπὸ τῆς Βαβυλῶνος, καὶ ἀπολαβὸν τὴν Ἱερουσαλήμ, περὶ τῶν ἀπομεινάντων ἐν Βαβυλῶνι τὴν προκειμένην ᾠδὴν ἐπ' ἀγαθαῖς προσδοκίαις ἀναπέμπει· φασὶ δέ, ὅτι οὔπω μὲν τελείως τὰ τῆς ἡμετέρας χαρᾶς πεπλήρωται· ἔσται δὲ τοῦτο ὅτε τὸ πᾶν ἔθνος ἀπὸ τῆς πολεμίας ἐπὶ τὴν οἰκείαν γῆν ἐπανέλθῃ· ταύτην δὲ τὴν διάνοιαν παρίστησιν ἡ τῶν λοιπῶν ἑρμηνεία· ἀντὶ γὰρ τοῦ, «ἐγενήθημεν ὡς παρακεκλημένοι», συμφώνως οἱ πάντες φασίν, «ἐγενήθημεν ὡς ἐνυπνιαζόμενοι», ἀλλ' οὐχ ὕπαρ τὴν ἐλευθερίαν ἡμῶν φανταζόμενοι· ἔσται δὲ ὕπαρ καὶ ἐναργὴς ἡμῶν ἡ χαρά, ἐπειδὰν καὶ οἱ λοιποὶ ἡμῶν ἀδελφοὶ ἀπὸ τῆς αἰχμαλωσίας ἐπανέλθωσιν· ἐφ' ᾧ καὶ τὰ ἔθνη μακαριοῦσιν ἡμᾶς, ὡς ἴδια μέλη κομισαμένους· ἓν γὰρ τὸ σῶμα τῶν σῳζομένων.

Στίχ. β'. «Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν.»

Τοὺς λέγοντας τὰ θεῖα ἐφ' οἷς καρπὸς πνεύματος, χαρὰ τοῖς ἀκούουσιν τὸ μὲν στόμα γίνεται καὶ ἐπληρώθη χαρᾶς, ἡ δὲ γλῶσσα ἀγαλλιάσεως, ἀφ' ὧν ῥεῖ χαρὰ καὶ ἀγαλλίασις· τούτων δὲ γινομένων, οἱ ἀπὸ τῶν ἐθνῶν διδασκόμενοι λέγουσιν· Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν· καὶ περὶ ἑαυτῶν δέ φασιν εὐχαριστοῦντες· «Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν·» ἐγενήθημεν εὐφραινόμενοι. «Ἐπὶ μὲν τῶν ποταμῶν Βαβυλῶνος ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν·[1]» ἐν δὲ τῷ ἐπιστρέψαι τὸν Κύριον τὴν αἰχμαλωσίαν, «ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν·[2]» «Ἐπὰν ποιήσωμεν τῷ στόματι φυλακήν·[3]» καὶ τό, «Στόμα δικαίου μελετᾷ σοφίαν·[4]» καὶ τό, «Ἄνοιγε σὸν στόμα, λέγει Θεός·[5]» καὶ ὅμοια· «Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι·[6]» τότε ἀληθεύοντες φήσομεν· «Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν.» Καὶ μετ' ὀλίγα· Ἐπὰν δὲ φυλάξωμεν τὰς ὁδοὺς τοῦ μὴ ἁμαρτάνειν, τότε πληρωθήσεται ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως· ἐπλήσθη δὲ χαρᾶς καὶ τὸ Φιλίππου στόμα, ὅτε ἀνοίξας τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τοῦ, «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη[7]», εὐηγγελίσατο τὸν Ἰησοῦν τῷ εὐνούχῳ Αἰθίοπι.[8]

Στίχ. γ'. «Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν.»

Ἀνωτέρω μὲν ὡς ἤδη ἐπιστροφῆς ἀπὸ τῆς αἰχμαλωσίας γινομένης, εἴρηνται οἱ δύο στίχοι· νῦν δὲ ὡς ἔτι ἐν αἰχμαλωσίᾳ ὤν, ταῦτά φησιν ὁ Προφήτης, τὸ μὲν πρότερον προφητεύων, οἶμαι, περὶ τῶν ἀποστόλων, τὸ δὲ δεύτερον ἐκ προσώπου λέγων τῶν ἐθνῶν· τῶν γὰρ ἐν τοῖς ἔθνεσίν ἐστιν τὰ ἀπὸ τοῦ, «Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν», ἕως τοῦ, «ὡς χειμμάρρους ἐν τῷ νότῳ»

Στίχ. δ'. «Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν.»

---

1. Ψαλμ. 136, 1. 2. Ψαλμ. 125, 2. 3. Ψαλμ. 38, 2. 4. Ψαλμ. 36, 30. 5. Ψαλμ. 80, 11. 6. Β' Κορ. 6, 11. 7. Ἠσ. 53, 7. 8. Πράξ. 8, 35.

Ἀκολούθως καὶ ταῦτα προσέθηκαν τοῖς πρώτοις· οὐ γὰρ ἀναισθητοῦντες, φησί, τῆς εἰς ἡμᾶς ἤδη γενομένης εὐεργεσίας, ταῦτά φαμεν, ἀλλ' ὁμολογοῦντες, ὅτι μεγάλα μὲν ἐποίησε μεθ' ἡμῶν ὁ Θεός, καὶ ἤδη γεγόναμεν ἐν εὐφροσύνῃ· οὕτω δὲ ἔχοντες, ὅμως ὑπὲρ τῶν καταλοίπων μελῶν ἡμῶν δεόμεθα καὶ ἱκετεύομεν λέγοντες· «Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάρρους ἐν τῷ νότῳ·» ἄτοπον γὰρ τοὺς μὲν τῆς θείας γνώσεως ἐστερημένους, τὴν εἰς ἡμᾶς γεγενημένην φιλανθρωπίαν θαυμάζειν, ἡμᾶς δὲ τοὺς τῆς εὐσεβείας τετυχηκότας, ἀχαριστίαν νοσεῖν.

Στίχ. ε'. «Οἱ σπείροντες ἐν δάκρυσιν», κ.τ.λ.

Ὁ σπείρων ἐν δάκρυσι, εἰς τὸ πνεῦμα σπείρει τῶν ἐπὶ τοῖς δάκρυσι μακαριζομένων· ἐν ἀγαλλιάσει δὲ θερίζει ζωὴν αἰώνιον, ὁ τυγχάνων ἤδη τοῦ γελᾶν τῷ πνεύματι.— Τοῖς περὶ τῶν λοιπῶν αἰχμαλώτων αἰτήσασι τὸ Θεῖον ἀποκρίνεται τό, «Μακάριοι οἱ κλαίοντες ὅτι αὐτοὶ γελάσονται·[1]» ὅπερ εἰ ποιήσουσιν οἱ ἐν Βαβυλῶνι, ἀγαθὰς ἐλπίδας δι' ὧν κλαίουσι σπείροντες, θεριοῦσιν ἀγαλλίασιν· ἀντὶ δακρύων ἅπερ ἔσχον ἀγαπώμενοι, δεξόμενοι τὴν τῆς ἐπανόδου χαράν· καὶ εἰ τότε βραχύ τι σπέρμα θεοσεβείας ἐφύλαττον, ἀλλὰ τὰς ἑαυτῶν ἐκεῖ ψυχὰς γεωργήσαντες, πολλοὺς ἐπανιόντες οἴσουσι τοὺς καρπούς. Μέχρι τῆς ζ' ᾠδῆς τὰ περὶ τῶν ἐκ περιτομῆς αἰχμαλώτων προεθεσπίσθη.

## ΨΑΛΜΟΣ ΡΚϚ'.

Κατὰ τὸ Ἑβραϊκὸν καὶ τοὺς ἑρμηνεύσαντας ἅπαντας, ἡ παροῦσα νῦν ᾠδὴ Σολομῶντός ἐστιν (ὥσπερ ἄλλοι ἄλλων εἰσὶν ἐπιγεγραμμένοι ψαλμοὶ) προφητικῶς ὑπ' αὐτοῦ λεχθεῖσα ὁπηνίκα τὸν ναὸν κατεσκεύαζε· τῶν γὰρ Ἰουδαίων μεγαλοφρονούντων ἐπὶ τῷ τῆς κατασκευῆς ὀχυρῷ, θείῳ Πνεύματι συνορῶν τὴν ἐσχάτην ἐρημίαν αὐτοῦ, καὶ τὴν ὑπὸ τοῦ Κυρίου μέλλουσαν Ἐκκλησίαν καθ' ὅλης οἰκοδομεῖσθαι τῆς οἰκουμένης, ἀντιπαρατιθεὶς τῇ παρ' αὐτοῦ κατασκευῇ τοῦ ναοῦ, ἐκείνην τε προκρίνει καὶ ὑπεράγαται, τὴν τότε παρουσίαν ἐλέγχων ὡς πρόσκαιρον καὶ μηδὲ πρὸς βραχὺ συνισταμένην ἄνευ φυλακῆς· ἅπερ νῦν εἰς καιρὸν ᾖσε τῶν ἐκ Βαβυλῶνος ἐπανιόντων, ἐσπουδακότων περὶ τὴν ἀνάκτισιν τοῦ ναοῦ, καὶ φρονούντων ἐπὶ τούτῳ μεγάλα μέν. Εἰ γάρ φησιν, «Ἕστ' ἂν ὁ Κύριος φυλάττῃ», τοῦ δὲ φύλακος ἀναχωρήσαντος, ἔρημος ἔσται, ματαίας ἐσομένης τῆς ἐξ ἀνθρώπων σπουδῆς· ἐπὶ μὲν τοῦ ναοῦ, οἰκοδόμον εἰσάγει τὸν Κύριον· ἐπὶ δὲ τῆς πόλεως, ἀνθρώπους μὲν οἰκοδόμους, φύλακα δὲ τὸν Θεόν· χρήσιμον τὸ ῥητὸν πρὸς τοὺς τῆς ὑπερηφανείας λογισμούς.

Στίχ. β'. «Οἱ ἐσθίοντες ἄρτον ὀδύνης.»

1. Λουκ. 6, 21.

Θεοδοτίων, καὶ ἡ ε' «ἄρτον εἰδώλων» ἐξέδωκαν εἰκότως· τὸ γὰρ Ἑβραϊκὸν τὸ «ἀσεβεῖν» ἔχει, ὅπερ καὶ ἐν ἑτέροις «εἴδωλον» ἑρμηνεύεται· προορᾷ δὲ τῷ πνεύματι Σολομῶν, ὡς οἱ μέλλοντες οἰκεῖν τὸν ὑπ' αὐτοῦ γινόμενον οἶκον, εἰδώλοις προσκείσονται, δαίμοσι λατρεύοντες ἐν αὐτῷ· λέγει τοίνυν, μετὰ τὴν ἀναχώρησιν αὖθις ἐπὶ τοῦτον ἐλθεῖν, καὶ τοῦτο συνεχῶς ἐκ διαλειμμάτων ποιεῖν· τί γὰρ ὄφελος τὸν τόπον τιμᾶν, τοῖς διὰ τῆς εἰδωλολατρείας μακρύνουσιν ἑαυτοὺς τοῦ Θεοῦ; Ὅθεν ὁ Σύμμαχος ἔφη· «Μάταιον ὑμῖν ἐξ ὄρθρου ἀνίστασθαι εἰς τὸ οἰκῆσαι, ἢ εἰς τὸ ὑμνῆσαι.»

## ΨΑΛΜΟΣ ΡΚΖ'.

Ἀκολούθως τῇ πρὸ ταύτης ᾠδῇ ἡ κλῆσις τῶν ἐθνῶν διὰ ταύτης κηρύσσεται· οἱ γοῦν φοβούμενοι τὸν Κύριον, ἕτεροι λέγονται εἶναι παρὰ τὸν Ἰσραήλ, καὶ παρὰ τὸ κρεῖττον ἐν τῷ Ἰσραὴλ τάγμα, λέγω δὲ τὸ ἱερατικόν· δηλοῖ δὲ τοῦτο ὁ φάσκων λόγος· «Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον·[1]» καὶ μετὰ ταῦτα· «Οἱ φοβούμενοι τὸν Κύριον ἤλπισαν ἐπὶ Κύριον·[2]» καὶ πάλιν· «Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς· εὐλόγησε τὸν οἶκον Ἰσραήλ· εὐλόγησε τὸν οἶκον Ἀαρών·[3] καὶ μετὰ ταῦτα· «Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον.[4]» Ἀκολούθως οὖν τούτοις νοήσεις τοὺς ἐπὶ τῆς παρούσης ᾠδῆς μακαριζομένους· οὗτοι δὲ ἦσαν πάντες οἱ φοβούμενοι τὸν Κύριον· κρείττων δέ ἐστιν, καὶ ἐπαναβεβηκὼς τοὺς φοβουμένους τὸν Κύριον, ὁ ἐν τελείᾳ γεγενημένος ἀγάπῃ· «Ἔξω γὰρ ἐκβάλλει ἡ τελεία ἀγάπη τὸν φόβον·[5]» καὶ οἱ μὲν φοβούμενοι, ἐν πολλαῖς ὁδοῖς πορεύσονται· τάχα δὲ ὁ ἀγαπῶν ἐν μιᾷ, τῷ εἰρηκότι, «Ἐγώ εἰμι ἡ ὁδός[6]», ἐφ' ἣν καὶ αἱ πολλαὶ ὥσπερ εἰς λιμένα καταντῶσιν· καὶ καλῶς εἶπεν· «Μακάριοι πάντες·» κἂν δοῦλος, κἂν δεσπότης, κἂν τὸ σῶμα ἀνάπηρος, κἂν ὁτιοῦν, οὐδὲν τούτων κωλύει τὸν μακαρισμὸν τοῦτον, ὃν αὐτός φησιν· ὁ δὲ παρὰ ἀνθρώποις μακαρισμός, ἐπισφαλής τε καὶ περίτρεπτος, καὶ λόγῳ μόνῳ πλαττόμενος, μυρίαις δὲ περιστάσεσι περιαντλούμενος· ἀλλ' οὐχ ὁ τὸν Θεὸν φοβούμενος τοιοῦτος, ἀλλὰ τῶν κυμάτων τούτων ἀπηλλαγμένος ἐν γαλήνῃ κάθηται καὶ λιμένι, τὴν ὄντως δρεπόμενος μακαριότητα.

Στίχ. β'. «Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι.»

Οἱ λοιποὶ «κόπον χειρῶν» ἐξέδωκαν· ὡς ἐπὶ γεωργοῦ δέ φασιν ἅπερ ἐγεώργησε καρπουμένου· καὶ τὸν ἐναθλοῦντα τῇ τῆς θεοσεβείας ὁδῷ, τροφὴν ἑαυτῷ θησαυρίζοντα πρὸς τὴν μέλλουσαν ζωὴν ἀναλογοῦσαν οἷς κατεβάλετο πόνοις· καὶ ἀρετὴ δὲ καὶ πόνος ὁ κατὰ Θεόν, ἔστι τροφὴ καὶ χαρὰ τῇ ψυχῇ· τοιοῦτος μὲν ὁ φοβούμενος τὸν Κύριον· ὁ δὲ ἀγαπῶν, ὡς ἤδη τέλειος φάγεται τὸν οὐράνιον ἄρτον· κατὰ τό, «Μακάριος ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ οὐρανῶν.[7]»

---

1. Ψαλμ. 113, 17. 2. Ψαλμ. 113, 19. 3. Ψαλμ. 113, 20. 4. Ψαλμ. 113, 21. 5. Α' Ἰω. 4, 18. 6. Ἰω. 14, 6. 7. Λουκ. 14, 15.

Στίχ. γ'. «Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα.»

Καὶ κατὰ τὸ ῥητόν, ὡς ἀτελεῖ δίδοται ταῦτα φοβουμένῳ τὸν Κύριον, ἀλλ' οὐχὶ τῷ ἀγαπῶντι αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης τῆς καρδίας καὶ τῆς δυνάμεως· «Ὀφθαλμὸς γὰρ οὐκ εἶδεν[1]», καὶ τὸ ἑξῆς· τῷ δὲ φοβουμένῳ τὸν Κύριον δίδοται σύζυγος, περὶ ἧς φησι τό, «Γυνὴ ἀγαθή, μερὶς ἀγαθή·[2]» καί, «Γυναῖκα ἀνδρείαν τίς εὑρήσει;[3]» τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη· οὕτως ἡ πονηρὰ σύζυγος εἴη ἂν ὀργὴ ἐκ Θεοῦ.

Στίχ. γ'. «Οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν.»

Οὕτω καὶ υἱοὶ ἐκ Θεοῦ δίδονται τῷ φοβουμένῳ τὸν Κύριον, οὐχ ὅμοιοι τοῖς πολλοῖς υἱοῖς, ἀλλὰ οἱ ὡς νεόφυτα ἐλαιῶν κυκλοῦντα καὶ στεφανοῦντα τὴν τράπεζαν αὐτοῦ· εἰ δέ τις μὴ φοβουμένους τὸν Κύριόν φησι, πολλάκις ἐν περιουσίᾳ υἱῶν ὑπάρχειν καὶ ἐν εὐθηνίᾳ γυναικός, ἀλλ' ἐροῦμεν ὅτι ὁ παρὼν μακαρισμὸς οὐχ ἁπλῶς γυναῖκα καὶ τέκνα ἐπαγγέλλεται, ἀλλ' ὅλον αὐτὸ τοῦτο, ἀμπέλῳ μὲν ἀπεικασμένην γυναῖκα, νεοφύτοις δὲ ἐλαιῶν τέκνα· οὐ τοιαῦτα δὲ τὰ τῶν ἀσεβῶν.

## ΨΑΛΜΟΣ ΡΚΗ'.

Στίχ. δ'. «Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν.»

Πάντες γὰρ οἱ διώξαντες κακοὶ κακῶς ἀπολοῦνται. — Συγκόπτει τὸν αὐχένα, ὃν οὐχ ὑποβάλλουσι τῷ χρηστῷ ζυγῷ, ὁ δίκαιος Κύριος· χρηστῇ δὲ προθέσει τοῦτο ποιεῖ, ὅπως ἀποβαλόντες τὴν πρὸς τὰ φαῦλα εὐτονίαν καὶ ἰσχύν, ὑποταγῶσι τῷ Κυρίῳ, ᾧ πάντα γυμνὰ καὶ τετραχηλισμένα ἐστίν. Ἀντὶ δὲ τοῦ, «συνέκοψεν αὐχένας ἁμαρτωλῶν», Ἀκύλας «κατέκοψεν βρόχους ἀσεβῶν·» ὁ δὲ Σύμμαχος, «κατέκοψεν βρόχους παρανόμων·» ἡ δὲ πέμπτη ἔκδοσις, «κλοιοὺς ἀνόμων», ἐκδεδώκασιν· δηλοῦντος τοῦ λόγου, τοὺς ὑπὸ τῶν ἀσεβῶν εἰς ἐπιβουλὴν τοῦ δικαίου κατεσκευασμένους· θεσπίζει δὲ καὶ διὰ τούτων ὁ λόγος τὰ ἔσχατα τέλη, καὶ τὸν ὄλεθρον τῶν κατὰ καιροὺς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τὸν λαὸν αὐτοῦ πολεμεῖν ἐπιχειρούντων.

## ΨΑΛΜΟΣ ΡΚΘ'.

Περὶ τοῦ λαοῦ οὐκ ἔστιν εἰπεῖν τοῦ Χριστοῦ τό, «Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀφέστηκεν ἀπ' ἐμοῦ.[4]» Οὐ γὰρ ὡς ὁ πρῶτος λαός, ἀλλ' ἐκ βαθέων ἐκέκραξεν, ἅτε δὴ μετέχων τοῦ Πνεύματος, ὅ, κατὰ Παῦλον, «πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ·[5]» ἐν ἐπαίνῳ δὲ τὸ «βαθὺ» κἂν τῇ συνηθείᾳ· ὁποῖον καὶ τό, «Ὦ βάθος πλούτου σοφίας καὶ γνώσεως Θεοῦ.[6]» Καὶ πρὸς Ἰεζε-

1. Α' Κορ. 2, 9. 2. Σοφ. Σειρ. 26, 3. 3. Παρμ. 29, 28. (Μασ. 31, 10).
4. Ἡσ. 29, 13. Ματθ. 15, 8. 5. Α' Κορ. 2, 10. 6. Ῥωμ. 11, 33.

κιὴλ δέ φησιν· «Οὐ πρὸς λαὸν βαθύχειλον καὶ βαρύγλωσσον ἐγὼ ἐξαποστελῶ σε.[1]» Ἀλλ' ὁ βαθὺς τῇ διανοίᾳ λαός, ὁ καὶ τὴν ᾠδὴν τὴν πρὸ ταύτης εἰπών, ἐκ τῶν στέρνων αὐτῶν στεναγμοῖς ἀλαλήτοις ὑπερεντυγχάνων βοᾷ πρὸς τὸν Θεόν, ἀλλ' οὐ χείλεσιν· ὥσπερ οὐδὲ Μωϋσῆς, πρὸς ὃν ἐρρέθη, καίτοι σιγῶντα, τό, «Τί βοᾷς πρός μέ; [2]» Ἡ δὲ νῦν εὐχὴ τοῦ αἰτοῦντος ἃ δεῖ, καὶ τοῖς αἰτουμένοις ἑαυτὸν ἑτοίμως παρέχοντος· μαρτυρῶν δὲ μάλιστα καὶ διὰ τῆς προλαβούσης εἶπεν ᾠδῆς· «Πλεονάκις ἐπολέμησάν με, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι·» οἳ καὶ λέξουσιν· «Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὦτα δὲ προσέχοντα» λέλεκται, ὡς τῆς μιᾶς τοῦ Θεοῦ δυνάμεως οὔσης ἀκουστικῆς καὶ ὁρατικῆς· κραυγὴν δὲ οὐ τόνον λέγει φωνῆς, ἀλλὰ γνώμης διάθεσιν.

Στίχ. γ'. «Ἐὰν ἀνομίας παρατηρήσῃ, Κύριε».

Ἐπειδὴ δὲ τῶν ἐν τῇ Ἐκκλησίᾳ οὐ πάντες δύνανται λέγει· «Πλεονάκις ἐπολέμησάν με, καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι [3]», περὶ τῶν ἀσθενεστέρων τὴν παροῦσαν ἀναπέμπει φωνήν, καὶ μὴ φερόντων τοὺς διωγμούς· εἰ μὴ ἄρα ὁ αὐτὸς περὶ τῶν πρὸ τῆς κλήσεως ἀνομιῶν αὐτοῦ ταῦτά φησιν.

Στίχ. ζ'. «Πολλὴ παρ' αὐτῷ λύτρωσις».

Τὸ γὰρ τίμιον αὐτοῦ αἷμα ὑπὲρ ἡμῶν δέδωκε λύτρον, γενόμενος Ἀμνὸς τοῦ Θεοῦ· οὗτος γὰρ τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται. «Ἐποίησε δὲ καὶ λύτρωσιν τῷ λαῷ αὐτοῦ», κατὰ τὸν Ζαχαρίαν· [4] καὶ κατὰ τὴν ἁγίαν Παρθένον, «Ἀντελάβετο Ἰσραήλ.[5]»

## ΨΑΛΜΟΣ ΡΛ'.

Ἀκολούθως ἡ ᾠδὴ ἡ παροῦσα καὶ ἡ πρὸ αὐτῆς τοῦ ἐν Κυρίῳ τετελειωμένου ταπεινοφροσύνης φωνὰς περιέχουσα, καὶ μάλιστα τοῦ δυναμένου λέγειν· «Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε.[6]» Ὁ δὲ Δαυΐδ ὡς εἰκὸς μεμαθηκὼς ἀπὸ τῶν τοῦ ἁγίου Πνεύματος φωνῶν, ὅτι τις ἱλασμὸς παρὰ τῷ Θεῷ, καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις εἰ πιστεύσειεν, ἀναγκαίως ἑαυτὸν προσφέρει τῷ Λυτρωτῇ· διὸ καὶ ἐπιγέγραπται·«Τοῦ Δαυΐδ εἰς παραίτησιν πλημμελημάτων, τὰς ἰδίας ἐξαριθμοῦντος ἀνδραγαθίας.» Οὐ πώποτε γάρ, φησίν, ἐπήρθην καθὼς ἄρχων ἐπ' ἔθνος αὐτοῦ· οὔτε μὴν ἐχαυνώθην βλέψας ἔξω Θεοῦ, καὶ τῆς πρὸς τὸν αὐτοῦ φόβον συστάσεως καθυφείς· οὔτε πάλιν ἐν τρυφῇ πλουσίως διεξῆγον τὸν βίον· οὐδέ τι μεῖζον ἐφρόνησα, φησί, περὶ ἐμαυτοῦ, τῶν προσόντων ἐμοί· ὁποῖοί τινές εἰσιν οἱ συνετοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.

Στίχ. γ'. «Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.»

1. Ἰεζ. 3, 5. 2. Ἔξ. 14, 15. 3. Ψαλμ. 128, 1, 2. 4. Λουκ. 1, 68. 5. Λουκ. 1, 54. 6. Ψαλμ. 129, 5.

Ὥσπερ ἐγώ, φησὶν ὁ βασιλεὺς Δαυΐδ, τοσοῦτος ὢν καὶ τοιοῦτος ἀνήρ, ταπεινὸν ἐμαυτὸν κατέστησα, καὶ προσήγαγον ἐμαυτὸν τῷ ἱλασμῷ καὶ τῷ Λυτρωτῇ καὶ Σωτῆρι, οὕτως καὶ τῷ λοιπῷ Ἰσραὴλ ἐπαγγέλλομαι θαρσούντως προσιέναι τῷ ἱλασμῷ· ἀκριβῶς εἰδώς, ὅτι αὐτὸς λυτρώσεται τὸν Ἰσραήλ, εἰ προσδράμοι αὐτῷ, ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΛΑ΄.

Στίχ. ια΄. «Ὤμοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν.»

Ὀμωμοκότι δὲ τῷ Δαυΐδ, ἀντώμοσεν ὁ Θεὸς ζητήσαντι τὸν τόπον μαθεῖν, δωρεὰν δοὺς τὸ καὶ ἐξ αὐτοῦ προελθεῖν· «Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων», ὥς ὁ Παῦλός φησιν, «ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν, ἰσχυρὰν παράκλησιν[1]», περὶ ὧν ηὔξατο, «λάβωμεν.»

Στίχ. ια΄. «Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.»

Ἐπειδὴ σύ, φησίν, οὕτω πιστεύσας τοιαῦτα ηὔξω γνῶναι, βουλόμενος μαθεῖν περὶ τοῦ τόπου τῆς εἰς ἀνθρώπους ἀφίξεως τοῦ Σωτῆρος, δέχου δὴ καὶ αὐτὸς τὴν ἐπαγγελίαν, καὶ γίνου διάκονος τῆς σωτηρίου γενέσεως. Σὸς γὰρ ἔσται καρπὸς ὁ γενησόμενος, ἐκ σῆς διαδοχῆς καὶ ἐκ σοῦ σπέρματος προελευσόμενος· διὸ καὶ αὐτῷ δοθήσεται ὡσεὶ ἐπηγγελμένος θρόνος, διὰ τὸ μηδένα ἕτερον ἢ μόνον τὸν ἐκ σοῦ προελευσόμενον, ἄξιον εἶναι τοῦ σοὶ ἐπηγγελμένου θρόνου. Τοιγαροῦν καὶ ὁ Γαβριὴλ πρὸς τὴν Μαριάμ φησι· «Καὶ δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαυΐδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τὸν αἰῶνα.[2]»

Στίχ. ιβ΄. «Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου.»

Καθεσθήσονται ἐπ᾽ αὐτὸν δηλαδὴ τὸν τοῦ Χριστοῦ θρόνον οἱ αὐτοῦ μαθηταὶ καὶ διάδοχοι· πλὴν οὐδεὶς φθόνος καὶ τοῖς σοῖς υἱοῖς, ὦ Δαυΐδ, τουτέστι τοῖς ἐκ περιτομῆς, καὶ εἰ παραδέξοιντο τὸν Χριστόν, καὶ εἰ φυλάξοιντο τὴν διαθήκην μου καὶ τὰ μαρτύριά μου, οὐ τὰ διὰ τῆς πρώτης νομοθεσίας δεδομένα, ἀλλὰ ταῦτα ἃ διδάξω αὐτούς, μέλλοντα αὐτοῖς ὕστερόν ποτε παραδοθήσεσθαι διὰ τῆς καινῆς διαθήκης· εἰ γὰρ φυλάξοιντο ταῦτα, καὶ αὐτοὶ καθευδοῦνται ἐπὶ τὸν θρόνον σου τὸν τῷ Χριστῷ ἡτοιμασμένον.

Στίχ. ιε΄. «Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω, τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων.»

Κατὰ δὲ ἀναγωγήν, θήρα Σιὼν οἱ δίκην ἰχθύων διὰ τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν δικτύων ὁσημέραι ζωγρούμενοι· πτωχοὶ δὲ αὐτῆς οἱ μακάριοι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν· οἳ τὸν ἄρτον σιτοῦνται τὸν ἐξ οὐρανοῦ καταβάντα· ἀλλὰ καὶ οἱ ταύτης

---

1. Ἑβρ. 6, 18. 1. Λουκ. 1, 32.

ἱερεῖς, πρῶτον ἑαυτοὺς δικαιοσύνην, ὡς εἶπεν, ἐνδύσαντες, ὑπὸ Θεοῦ περιβάλλονται σωτηρίαν· εἶτα λέγει περὶ τῶν ὁσίων, τῶν ἀρετῇ καὶ βίῳ διαπρεπόντων ἐν Ἐκκλησίᾳ· περὶ ὧν Ἀκύλας μὲν ἔφη· «Αἰνέσει αἰνέσουσιν·» ὁ δὲ Σύμμαχος, «Εὐφημοῦντες εὐφημήσουσιν.»

Στίχ. ιη'. «Ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.»

Τοῦτο περὶ Ἰωάννου φησί, κατὰ τὸ εἰρημένον παρὰ Κυρίου· «Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων.[1]» Ἔστι δὲ ταῦτα καὶ ἄλλως ἰδεῖν κατὰ τοὺς τῶν διωγμῶν καιρούς· ὁ δὲ Σύμμαχος, «ὁ ἁγιασμός», εἶπεν, «αὐτοῦ·» ἁγιάζει γὰρ καθ' ὅλης τῆς οἰκουμένης τὸ τοῦ Σωτῆρος ἡμῶν ἐν τῇ Ἐκκλησίᾳ ἁγίασμα.

## ΨΑΛΜΟΣ ΡΛΒ'.

Στίχ. α'. «Ἰδοὺ δὴ τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν», κ.τ.λ.

Οὐ πᾶν τὸ καλόν, ἤδη καὶ τερπνόν· οὐδὲ τὸ τερπνόν, πάντως καὶ καλόν· πολλὰ γὰρ ἡδέα μέν, φαῦλα δέ· ὡς καὶ ἕτερα ἐπίπονα μέν, ἀγαθὰ δέ· ὁμόνοια δὲ καὶ εἰρήνη ψυχῶν ὁμοφρονούντων καὶ ὁμοδοξούντων, ἄμφω κατὰ τὸ αὐτὸ καὶ τὸ τερπνὸν καὶ τὸ καλὸν ἔχειν ἐπαινεῖται· οὐ τὸ κατοικεῖν ἀδελφοὺς ἁπλῶς, ἀλλ' ὅταν ἐπὶ τὸ αὐτὸ ὦσι, κατὰ τὸν Ἀπόστολον λέγοντα· «Ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ εἶεν ἐν ὑμῖν σχίσματα· ἦτε δὲ κατηρτισμένοι τῷ αὐτῷ νοῒ καὶ τῇ αὐτῇ γνώμῃ·[2]» διδάσκει δὲ τὸ καλὸν καὶ τὸ τερπνὸν μὴ ἐν σώματι, μηδὲ ἐν ἡδονῇ σαρκῶν τίθεσθαι.

Στίχ. γ'. «Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών.»

Ὄρος ἐστὶν Ἀερμών, τὸ παρακείμενον τῷ Λιβάνῳ, ἐφ' ὃ χιὼν συνάγεται πολλή, ἥντινα ὁ Λόγος δρόσον ὠνόμασεν· ἐπειδὴ δὲ ἡ δρόσος ἐκείνη ἡ ἐκ πολλῶν συναγομένη σταγόνων, ὑφ' ἓν σωματοποιεῖται καὶ συμπήγνυται, εἰκότως τὴν τῆς Ἐκκλησίας ὁμόνοιαν καὶ συμφωνίαν ἀπείκασε δι' ἑτέρου παραδείγματος οὐ τῇ χιόνι τῇ ἀπομενούσῃ ἐν τῷ Ἀερμὼν ὄρει, ἀλλὰ τῇ καταβαινούσῃ ἐπὶ τὰ ὄρη Σιών· ἵνα μὲν γὰρ νοήσωμεν τὸ πλῆθος τῆς χιόνος, τὸ Ἀερμὼν ὄρος παρείληπται· ἵνα δὲ τοῦ κατὰ Θεὸν πολιτεύματος τὴν συμφωνίαν δηλώσῃ, ἐπὶ τὰ ὄρη Σιὼν ἔφη κατιέναι τὴν δρόσον.

Στίχ. γ'. «Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν.»

Ἐκεῖ λέγει παρὰ τοῖς κατοικοῦσιν ἀδελφοῖς ἐπὶ τὸ αὐτό· καὶ ζωὴν οὐ τὴν κοινήν, ἀλλὰ τὴν ἀθάνατον.

## ΨΑΛΜΟΣ ΡΛΓ'.

Στίχ. γ'. «Εὐλογήσαι σε Κύριος ἐκ Σιών.»

Ἤδη τῷ Ἀβραὰμ εἴρηται· «Οἱ εὐλογοῦντές σε, εὐλόγηνται·[3]»

---

1. Ἰω. 5, 35. 2. Α' Κορ. 1, 10. 3. Γεν. 12, 3.

δυνάμει δὲ ἑαυτὸν εὐλογεῖ ὁ τοῦτο ποιῶν· εἰ δὲ ἐπὶ τοῦ Ἀβραάμ, πόσῳ μᾶλλον ἐπὶ τοῦ Κυρίου; οὐ γὰρ δεῖται τῆς παρ' ἡμῶν εὐλογίας. Ἕκαστος δὲ ἑαυτῷ χαρίζεται, καὶ ἑαυτὸν εὐλογεῖ, ἀντευλογούμενος ὑπὸ τοῦ τῶν ὅλων Ποιητοῦ. Διὸ πρῶτον εἴρηται· «Εὐλογεῖτε τὸν Κύριον· εἶθ' ἑξῆς· Εὐλογήσαι σε Κύριος.»

## ΨΑΛΜΟΣ ΡΛΔ'.

Τῇ τῶν ᾠδῶν ἐσχάτῃ τὰς αὐτὰς ἔχων λέξεις, ὁ παρὼν αἶνος εἰκότως παράκειται· διὸ τὸ «ἀλληλούϊα» προγέγραπται· τοῦ μὲν «ἀλληλοὺ» δηλοῦντος τὸ «αἰνεῖτε», τοῦ δ' «ἴα», «τὸν Κύριον.» Εἴποι δ' ἄν τις ὕμνον εἶναι τὰ πρῶτα, ὡς ἐν προοιμίῳ διεγείροντα τοὺς προσταττομένους αἰνεῖν τὸν Θεόν· ἀρχομένους τοῦ αἴνου ἀπὸ τοῦ, «Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.» Κατηχεῖ δὲ ἀποστρέφων εἰδώλων, καὶ διδάσκει γνῶσιν Θεοῦ. Τοιαύτης γὰρ τοὺς νῦν ἐξ ἐθνῶν προσιόντας ἔδει τυχεῖν παραινέσεως· οὓς καὶ δούλους καλεῖ, μήπω τὸ πνεῦμα τῆς υἱοθεσίας ἀνειληφότας. Συμβαίνει δὲ τούτους πρὸ τῆς παλιγγενεσίας λουτροῦ, στάσιν ἔχειν ἐν οἴκῳ Θεοῦ τῶν αὐτοῦ προπύλων, ἀλλ' οὐ τῶν ἐνδοτάτω τυχόντας· εἰσαγωγὴν γὰρ ἔσχον, ἀλλ' οὐ τελείωσιν. Διάφοροί γε μὴν αὐλαί, ἐπεὶ καὶ διάφοροι τῶν εἰσαγομένων οἱ βίοι· προκοπῆς δέ, τὸ μετὰ τὸ αἰνεῖν τὸ ὄνομα Κυρίου, αὐτὸν δὴ αἰνέσαι τὸν Κύριον· δεῖ γὰρ πρῶτον μαθεῖν, ὅτι ἔστι Θεοῦ Λόγος, ἐφεστηκὼς τῷ παντὶ κόσμῳ, καὶ δεσπόζων αὐτοῦ· εἶτα περί τε οὐσίας αὐτοῦ μαθεῖν καὶ δυνάμεως, Υἱόν τε γνῶναι μονογενῆ τοῦ Θεοῦ.

Στίχ. γ'. «Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος», κ.τ.λ.

Ἐπεὶ ἀγαθὸς Κύριος, αἰνεῖτε αὐτόν. Αἰτία δὲ τοῦ αἰνεῖν, τὸ ἀγαθὸν οὐ κατὰ μέθεξιν εἶναι, ὡσαύτως δὲ τῷ Πατρί. Αἰνοῦμεν δὲ οὐ τῇ λέξει μόνον, ἀλλὰ καὶ μεθέξει τῶν ἀγαθῶν αὐτοῦ, ὡς δέον δὲ τῇ θεωρίᾳ καὶ τοῖς θεολογουμένοις ἔργοις πράττειν ἁρμόδια, τό, «Ψάλατε τῷ ὀνόματι αὐτοῦ», ἐπενήνεκται· τοῦτο γὰρ ἡδὺ καὶ ὑπὲρ πᾶσαν χρηστότητα· αἰνοῦμεν δὲ αὐτὸν ἐπεὶ ἐξελέξατο ἑαυτῷ τὸν πτερνίζοντα τὰ πάθη καὶ τὰς κακίας Ἰακώβ, ἐκλεκτὸν αὐτὸν τιθέμενος διὰ τὸ καταλελυκέναι τὰς ἐκ κακίας καὶ παθῶν πάλας· ἀλλὰ καὶ τὸν μετ' αὐτὸν τὸν Ἰακώβ, ἐκ προκοπῆς ἀποδειχθέντα Ἰσραήλ, εἰς περιουσιασμὸν ἑαυτῷ ἐξελέξατο· καὶ διὰ τοῦτο λαός ἐστι περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν περιουσίου γενομένου, πάντων περὶ τὴν οὐσίαν καὶ τὴν ὕπαρξιν καταγινομένου, τῷ μετέχειν αὐτῆς ὄντος καὶ σοφοῦ καὶ Λόγου Θεοῦ.

Στίχ. ς'. «Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις.»

Πάντα ὅσα ἐποίησεν ὁ Κύριος, καλά ἐστιν, ἅτε θελήματι Θεοῦ γεγενημένα· εἰ δέ τί ἐστιν ἐν οὐρανῷ, ὡς τὰ πνευματικὰ τῆς πονηρίας, ἢ ἐν τῇ γῇ ὡς οἱ ἁμαρτωλοὶ ἄνθρωποι, ἢ ἐν ταῖς θαλάσσαις, ὡς ἡ τοῦ δράκοντος κακία, ἢ ἐν ταῖς ἀβύσσοις ὡς ἡ πονηρία τῶν προστασσομένων

ἐκεῖ ἀπελθεῖν κακῶν, τοῦτο οὐχ ὁ Θεὸς ἐποίησε τῷ θελήματι αὐτοῦ· ἐκ γὰρ στόματος Κυρίου οὐκ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν.

Στίχ. ζ΄. «Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ.»

Τὸ εἰπεῖν ἐκ θησαυρῶν, οὐ τοῦτο δηλοῖ ὅτι θησαυροί τινές εἰσι ἀνέμων, ἀλλὰ τὸ ἕτοιμον τοῦ ἐπιτάττοντος, τὸ εὔκολον τῆς κτήσεως παρεσκευασμένον· ὥσπερ ἂν ὁ ἐν θησαυρῷ ἔχων μετὰ ἀδείας ἐξάγει πάντα καὶ ὅτε βούλεται, οὕτως καὶ ὁ τοῦ παντὸς Δημιουργὸς πάντα εὐκόλως ἐποίησε καὶ τῇ φύσει παρέδωκεν.

Στίχ. η΄. «Ὃς ἐπάταξε τὰ πρωτότοκα Αἰγύπτου.»

Ἐπειδὴ δὲ τὰ καθόλου καὶ οὐράνιά φασί τινες προνοίᾳ διοικεῖσθαι μόνῃ Θεοῦ, δείκνυσιν ὡς μέλει καὶ τῶν ἀνθρωπίνων αὐτῷ, καὶ νῦν τοὺς ἀσεβεῖς κολάζοντι καὶ τῶν εὐσεβῶν οἰκειουμένῳ τὸ γένος. Ἀλλὰ πάλαι μὲν ἦν μερὶς Κυρίου, δηλαδὴ τοῦ Θεοῦ Λόγου, λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ· ἐπειδὴ δὲ δι᾽ ἣν ἔδρασεν ἀσέβειαν ἐκεῖνος ἐκπέπτωκεν, ἐνανθρωπήσαντι λέλεκται· «Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.[1]»

Στίχ. ιγ΄. «Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα.»

Οὐδὲν οὕτω τῆς θείας Προνοίας, ὡς τὸ διδάξαι τοὺς ἀνθρώπους μὴ ἀδέσποτον εἶναι τὸ πᾶν· ὅθεν καὶ ἡ διηνεκὴς αὐτοῦ μνήμη καθέστηκε παρ᾽ ἡμῖν, οὗ τὸ μέγεθος διὰ τῶν προλαβόντων οἱ δοῦλοι μαθόντες αὐτοῦ, τὰ παρόντα λέγειν διδάσκονται καὶ παραθαρρύνονται, μαθόντες ὡς ἐπ᾽ αὐτοῖς παρακληθήσονται, τῆς κρίσεως ἀκολουθούσης τοῖς λοιποῖς τοῦ λαοῦ, τοῖς ἐπεγνωκόσι τὸ ὄνομα αὐτοῦ, καὶ τὸ μνημόσυνον ἔχουσιν· ἐπ᾽ ἐκείνοις δὲ ὡς ἂν ἐπὶ δούλοις συγγνώμης ἐπιδεομένοις παρακαλεῖται.

Στίχ. ιε΄. «Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον.»

Συντελέσας τὴν περὶ τοῦ Κυρίου θεολογίαν, καὶ τῆς προνοίας αὐτοῦ τὰς μεγαλουργίας καταλέξας, ὡς ἔτι δούλοις ὁμιλῶν τοῖς ἐκ τῆς πολυθέου πλάνης ἄρτι προσεληλυθόσιν, ἀντιπαραβάλλει τῶν πάλαι παρ᾽ αὐτοῖς νενομισμένων θεῶν τὸν ἔλεγχον, ἀκολούθως οἷς ἀνωτέρω εἰρήκει· ὅτι, «Ἐγὼ ἔγνωκα ὅτι μέγας Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς·[2]» ὁ μὲν γὰρ Κύριος ἡμῶν τάδε καὶ τάδε εἰργάσατο ἔν τε τοῖς καθόλου καὶ ἐν τοῖς ἐπὶ μέρους· οἱ δὲ τῶν ἐθνῶν θεοί, οὓς καὶ αὐτοὶ πεπλανημένως ἐνομίζετε πρότερον, οὐδὲν ἦσαν ἕτερον ἢ εἴδωλα νεκρὰ καὶ κωφά. Χαριέντως δὲ καὶ ὁ Σύμμαχος ἀντὶ τοῦ, «ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά», ἡρμήνευσεν εἰπών, «ὡς αὐτὰ γένοιντο οἱ ποιοῦντες αὐτά, καὶ πᾶς ὁ πεποιθὼς αὐτοῖς.» Καὶ γὰρ ὄντως οἱ τοῖς ἀψύχοις ὡς θεοῖς προσέχοντες, ὥσπερ ἀπολιθωθέντες τὴν ψυχήν, καὶ αὐτοὶ τὸ αὐτὸ πεπόνθασιν τοῖς προσκυνουμένοις ὑπ᾽ αὐτῶν, ὀφθαλμοὺς ἔχοντες καὶ οὐ βλέποντες, ὦτα ἔχοντες καὶ οὐκ ἀκούοντες.

---

1. Ψαλμ. 2, 8. 2. Ψαλμ. 134, 5.

Στίχ. ιη΄. «Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτά.»

Οἱ μὲν προειρημένοι ὅμοιοι γενήσονται, ἢ καὶ γεγόνασι τοῖς ἑαυτῶν θεοῖς· οἱ δὲ εἰς τὸν κλῆρον παραληφθέντες τοῦ Θεοῦ, καὶ λαὸς αὐτοῦ χρηματίσαντες, «Εὐλογήσατε», φησί, «τὸν Κύριον», τουτέστιν ἀνευφημήσατε, τὰ μεγάλα ἑαυτοὺς ὠφελοῦντες· καλεῖται δὲ πρῶτον ἐπὶ τὴν εὐλογίαν ὁ Θεοῦ λαός, ὁ καλούμενος οἶκος Ἰσραήλ, τὸ ὑποβεβηκὸς τάγμα τοῦ πλήθους· δεύτερον δὲ κατὰ ἀνάβασιν καὶ ὑπεροχὴν οἶκος Ἀαρών· καὶ τρίτον ἡ φυλὴ πᾶσα ἡ ἱερατικὴ καλουμένη οἶκος Λευΐ· καὶ μετὰ πάντας ἀνωτέρω οἱ φοβούμενοι τὸν Κύριον· οὗτοι δὲ ἦσαν πρὸς οὓς ὁ πᾶς ὕμνος προσπεφώνηται· οἱ δὴ ἐν ἀρχῇ τοῦ παντὸς ψαλμοῦ ὠνομασμένοι δοῦλοι, δηλαδὴ οἱ ἐξ ἐθνῶν προσιόντες τῇ πίστει. Εἰ γὰρ τὸ πᾶν Ἰουδαίων ἔθνος περιείληπται διὰ τῶν εἰρημένων τριῶν ταγμάτων, τοῦ τε Ἰσραήλ, καὶ τοῦ οἴκου Ἀαρών, καὶ οἴκου Λευΐ, ἕτεροι παρὰ τούτους τίνες ἂν εἶεν οἱ φοβούμενοι τὸν Κύριον, εἰ μὴ ἐξ ἐθνῶν τῷ τοῦ Θεοῦ λόγῳ προσεληλυθότες; οἳ καὶ διδάσκονται εὐλογεῖν· «Εὐλογητὸς Κύριος ἐκ Σιών, ὁ κατοικῶν Ἱερουσαλήμ», τὴν ἀεὶ μένουσαν τοῦ Θεοῦ πόλιν, ἐν ᾗ τὸ ἀληθὲς νοοῖτο ἂν κατοικητήριον τοῦ Θεοῦ.

## ΨΑΛΜΟΣ ΡΛΕ΄.

Στίχ. δ΄. «Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ.»

Θαυμαστὸν δὲ καὶ πρὸς λέξιν, εἰ οὐρανὸς μὲν καὶ μόνη θέᾳ τὴν σοφίαν δηλοῦν τοῦ Θεοῦ, μεγέθει τε καὶ κάλλει καὶ πολυχρονίῳ μονῇ· γῆ δὲ πανταχόθεν περικλυζομένη τοῖς ὕδασι καὶ σύστασιν τὴν ἰδίαν φυλάττουσαν· πᾶσι δὲ τὸν αἰώνιον ἔλεον ὁ μελογράφος συνέζευξεν, ἐπειδὴ οὐ διὰ χρείαν οἰκείαν ὁ Θεός, ἀλλὰ διὰ μόνην φιλανθρωπίαν ἐδημιούργησεν ἅπαντα.

Στίχ. ι΄. «Τῷ πατάξαντι Αἴγυπτον.»

Εἰ μὴ πέπεισαι, φησί, προνοίᾳ Θεοῦ καὶ δυνάμει τὸν σύμπαντα κόσμον καὶ τὰ τούτου μέρη διακυβερνᾶσθαι, ἐν ἀμφιβόλῳ δὲ ἔχεις μή πη τὰ κατὰ μέρος καὶ τὰ ἀνθρώπινα παροραται ὑπ᾿ αὐτοῦ, γνῶθι, ὅτι καὶ τῶν ἐπὶ γῆς οὐχ ἧττον ἢ τῶν κατ᾿ οὐρανὸν προνοεῖ· μετέρχεται γοῦν κατὰ χρόνους τῶν ἀνθρώπων καθ᾿ ὑπερβολὴν ἀθέους καὶ ἀσεβεῖς, ὥσπερ ποτὲ τοὺς Αἰγυπτίους μετῆλθεν, καὶ αὐτὴν τὴν Αἰγυπτίαν γῆν. Προΐσταται δὲ πάλιν καὶ ὑπερμαχεῖ τῶν θεοφιλῶν, καὶ οὐ μόνον αὐτῶν, ἀλλὰ καὶ τῶν τούτων ἀπογόνων, ὥσπερ τῶν διὰ Μωϋσέως ἠλευθερωμένων τότε τῆς παρ᾿ Αἰγυπτίοις δουλείας, οὓς ἠλευθέρωσεν αὐτὸς ὁ ἐπὶ πάντων Θεός, οὐκ ἄλλως ἢ ἐκτεταμένῃ χειρὶ καὶ ἰσχυρῷ βραχίονι χρησάμενος· εἴη δ᾿ ἂν οὗτος ὁ τοῦ Θεοῦ Λόγος, δι᾿ οὗ καὶ πάλαι καὶ νῦν τὰς εἰς ἀνθρώπους εὐεργεσίας ἡ φιλανθρωπία τοῦ παναγάθου Θεοῦ κατειργάσατο.

Στίχ. ιθ΄. «Τὸν Σηὼν βασιλέα τῶν Ἀμορραίων.»

Ἑρμηνεύονται δὲ Ἀμορραῖοι μὲν «λαλητοὶ παραπικραίνοντες», καὶ ὁ τούτων βασιλεὺς Σηών, «πειρασμὸς» καὶ «παροργισμός·» οἱ δεινοὶ γὰρ πρὸς ἀπάτην σοφιστικὴν καταπικραίνοντές εἰσιν λαλητοί, τοὺς ὅσοι τῆς ἀληθείας εἰσὶν ἐρασταὶ θέλοντες ἐπὶ ἀπάτης λαλεῖσθαι καὶ ἄδεσθαι, πειράζειν τε καὶ παροργίζειν ἔχοντες τὸν σκοπόν. Βασὰν δὲ «αἰσχύνην» μεθερμηνευομένη, τὴν τοὺς κακοὺς καταισχύνουσαν κακίαν δηλοῖ· ἧς ὁ βασιλεὺς Ὤν, σὺν τῷ Σηὼν ἀποκτίννυται· ὅπως τῷ Ἰσραὴλ ἡ γῆ, ἣν κακῶς ἐκράτουν, σοφιστικῶς καὶ μετὰ μοχθηρᾶς ἕξεως περὶ τὴν τῶν πραγμάτων διατρίβοντες φύσιν, δοκοῦντες βασιλεύειν αὐτῆς· ἀλλ' ἀφαιρεθεῖσα αὐτῶν ἡ ἑρμηνευομένη γῆ, εἰς κατάσχεσιν τῷ Ἰσραὴλ δίδοται ἐπὶ τῷ κληρονομεῖν αὐτήν, δούλῳ γνησίῳ τοῦ πάντων αἰτίου τυγχάνοντι.

Στίχ. κγ'. «Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος.»

Καὶ ἐν τοῖς ἀνωτέρω διαφόρως ἐπεδείκνυτο Ἰσραήλ, οὐ τὸ γένος τῶν Ἰουδαίων ὑπάρχων, ἀλλ' ὁ τοιόσδε τῆς θεοσεβείας τρόποις· «Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι Ἰσραήλ·[1] οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή», κατὰ τὸν Ἀπόστολον, «ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας οὐ γράμματι ἀλλὰ πνεύματι· οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ·[2]» καὶ ἡμᾶς οὖν τοὺς ἐξ ἐθνῶν (ἡμεῖς γάρ ἐσμεν ἡ περιτομὴ καὶ ἀληθινὸς Ἰσραήλ), ἐλυτρώσατο ἐκ τῶν ἐχθρῶν ἡμῶν μᾶλλον ἢ ἐκείνους· οἱ μὲν γὰρ ἐξ Αἰγύπτου προελθόντες, τοὺς σωματικοὺς ἐξέφυγον τυράννους· ἐπαγόμενοι δὲ ἐν ταῖς ἑαυτῶν ψυχαῖς τοὺς ἀσεβεῖς τρόπους, πεπτώκασιν ἐν τῇ ἐρήμῳ εἰδωλολατρήσαντες. Ἡμᾶς δὲ ἀληθῶς ἐλυτρώσατο ἐκ τῶν τῆς ψυχῆς ἡμῶν ἐχθρῶν, καὶ ἐμνήσθη ἡμῶν ἐν τῇ ταπεινώσει ἡμῶν μᾶλλον ἢ ἐκείνων· οἱ μὲν γὰρ σώμασιν ἐδούλευον τοῖς Αἰγυπτίοις, ἡμεῖς δὲ ταῖς ψυχαῖς αὐταῖς δαιμόνων ἦμεν παίγνια, καὶ ὑπὸ τοῖς πονηροῖς πνεύμασιν ἦμεν τεταπεινωμένοι. Τοσοῦτον δέ ἐστι τὸ ἔλεος τοῦ Θεοῦ, ὡς μὴ μόνον κήδεσθαι τῶν θεοσεβῶν, καὶ τῶν αὐτῷ πλησιαζόντων φροντίζειν, ἀλλὰ καὶ πάντων ἅπαξ ἁπλῶς τῶν ἐπὶ γῆς τὴν πρόνοιαν ποιεῖσθαι, καὶ οὐ λογικῶν μόνων ἀλλὰ καὶ ἀλόγων, ὡς ἐπιχορηγεῖν τροφὰς πᾶσι τοῖς ἐπὶ γῆς ζῴοις, ἑκάστῳ τε γένει τὰ πρόσφορα, καὶ τὰ κατάλληλα πρὸς τὴν ζωὴν δωρεῖσθαι, ἐντεῦθεν τε πάλιν εἰς οὐρανὸν διήκειν. Διόπερ ὁ λόγος μετὰ τὸ φάναι, «Ὁ διδοὺς τροφὴν πάσῃ σαρκί», ἀναπέμπει ἡμᾶς εἰς οὐρανόν, αὖθις λέγων· «Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.»

## ΨΑΛΜΟΣ ΡΛΣΤ'.

Ὁ παρὼν ψαλμός, ἀνεπίγραφος ὑπάρχει παρ' Ἑβραίοις, καὶ οὔτε τίνος ἐστὶ προγέγραπται, οὔτε ποίου τυγχάνει εἴδους· ἀλλ' ἔστι ψιλὴ

1. Ῥωμ. 9, 6. 2. Ῥωμ. 2, 28, 29.

προφητεία ἐκ προσώπου τῶν ἐν Βαβυλῶνι γενομένων λεγομένη· καὶ τοῦτο δὲ σημειώσει ὡς ἔν τισιν τῶν ἀντιγράφων, κατὰ τοὺς Ἑβδομήκοντα, ἐπιγέγραπται Ἀγγαίου καὶ Ζαχαρίου.

Στίχ. η'. «Μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου!»

Ὁ μακαρισμὸς εἰς ἐκείνους περιστήσεται τοὺς ἀποδιδόντας τὰ ἀμοιβαῖα τῇ Βαβυλῶνι, καὶ τὸν τὰ νήπια αὐτῶν προσαράσσοντα τῇ πέτρᾳ καὶ ἀναιροῦντα αὐτά· καὶ γὰρ τῷ ὄντι, τὸ μὲν πρῶτον μακάριον ἦν τὸ μὴ θεάσασθαί ποτε τὴν Βαβυλῶνα, μηδὲ ἐν τῇ συγχύσει γενέσθαι τῶν ταύτης κακῶν· εἰ δὲ ἅπαξ τις γένοιτο ἐν αὐτῇ ἀποπεσὼν τῶν κρειττόνων, μακάριος ἂν εἴη ἃ πέπονθεν ποιήσειεν, καὶ ἀνταιχμαλωτήσειεν τοὺς Βαβυλωνίους, καὶ αὐτὰς τὰς τῶν Βαβυλωνίων ψυχὰς μεταγάγοι ἐπὶ τὸν τοῦ Θεοῦ φόβον. Εἰ δὲ καὶ τὰ νήπια αὐτῶν μὴ συγχωρήσειεν αὐξῆσαι, ἀλλὰ συντρίψειεν πρὸς τῇ πέτρᾳ, πολλῶν ἂν γένοιτο μακαριώτερος. Βαβυλῶνος δὲ νήπια τὰ σπέρματα τῆς κακίας, καὶ τὰς ἀρχὰς τῶν συγχυτικῶν ἁμαρτημάτων, οὐκ ἂν ἁμάρτοις εἰπών· ἃ δὴ τῷ λόγῳ τῷ σωτηρίῳ (ἡ πέτρα γὰρ ἦν ὁ Χριστὸς) ἀναιρεῖν πρὸς τὸ μὴ αὔξειν, μηδὲ εἰς ἔργα προέρχεσθαι σπουδάσει ὁ ἐν τούτοις μακαριζόμενος.

## ΨΑΛΜΟΣ ΡΛΖ'.

Στίχ. α'. «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.»

Ὥσπερ ὁ τέλειος ἐξ ὅλης ψυχῆς καὶ δυνάμεως καὶ ἰσχύος ἀγαπᾷ τὸν Θεόν, οὐ διασπῶν τὰς δυνάμεις τῆς ἑαυτοῦ ἀγάπης περὶ ἄλλο τι, ἀλλ' ὅλως ἀνηρτημένος μόνου τοῦ Θεοῦ, οὕτως καὶ αὐτὸς ἐν ὅλῃ καρδίᾳ ἐξομολογεῖται εὐχαριστῶν τῷ Θεῷ. Θαρσῶν δὲ τῇ τοιαύτῃ αὐτοῦ παρρησίᾳ, καὶ εἰδώς, ὅτι ἐν μεγάλῳ θεάτρῳ τῷ τῶν ἀνθρώπων βίῳ, θείων ἀγγέλων καὶ λειτουργῶν Θεοῦ ἐφορώντων, καὶ θεωμένων τὰς ἐν Θεῷ προκοπὰς αὐτοῦ, τὴν προσήκουσαν ἀποδίδωσι τῷ Θεῷ λατρείαν, καί φησιν· «Καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι.»

Στίχ. β'. «Προσκυνήσω πρὸς τὸν ναὸν ἅγιόν σου.»

Προσκυνεῖν ἐπαγγέλλεται πρὸς ναὸν ἅγιον, τὴν Ἐκκλησίαν δηλῶν, ἢ τὴν ἐπουράνιον Ἱερουσαλήμ, ἧς τύπος ὁ ἐπὶ γῆς ὑπῆρχε ναός· εἶτα χάριν ὁμολογεῖ καταξιωθεὶς ἐλέου καὶ ἀληθείας Θεοῦ. Ἀνθ' οὗ ὁ Σύμμαχος, «περὶ τοῦ ἐλέους σου καὶ τῆς ἀληθείας σου», λέγει· τυχὼν γὰρ ἐλέου Θεοῦ, τύπων καὶ συμβόλων ἀπήλλακται, ἐν πνεύματι δὲ καὶ ἀληθείᾳ λατρεύειν Θεῷ κατηξίωται.

Στίχ. δ'. «Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς.»

Πολλάκις παρετηρήσαμεν, ὅτι τῶν ψαλμῶν οἱ μήτε ὕμνον, μήτε ᾠδήν, μήτε ψαλμόν, ἤ τι ἕτερον ἔχοντες προγραφήν, ἄλλου παρὰ ταῦτα τυγχάνουσι χαρακτῆρος, ὁποῖος ὁ παρὼν προφητικῆς μετέχων δυνάμεως· διὰ γὰρ τῶν προλαβόντων ἐξομολογησάμενος ὁ Δαυΐδ, Ἀλλ'

οὐκ ἐγώ, φησί, ἐν βασιλεῦσι μόνος τούτου κατηξιώθην, πλεῖστοι δὲ τοιοῦτοι γενήσονται, δηλαδὴ μετὰ τὸ κήρυγμα τοῦ Σωτῆρος· καὶ μάλιστα ὅτε τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ ἡ δευτέρα τοῦ Σωτῆρος γένηται παρουσία· τότε γὰρ ὀφθήσεται μεγάλη τοῦ Κυρίου ἡ δόξα· προστακτικῶς δὲ καὶ εὐκτικῶς ἔσθ' ὅτε τὰ μέλλοντα δηλοῦται, κατά τινα τῶν Ἑβραίων συνήθειαν. — Προφητεύει περὶ τῆς μελλούσης ἐξαπλοῦσθαι εἰς πάντα ἔθνη τοῦ Θεοῦ γνώσεως· Ἔσται γάρ, φησίν, ὅτε πάντες οἱ βασιλεῖς τῆς γῆς ἐξομολογήσονταί σοι καὶ ἀκούσονται πάντα τὰ ῥήματα τοῦ στόματος Θεοῦ, καὶ ὅτι ᾄσονται ἐν ταῖς ὁδοῖς Κυρίου. Ταῦτα δὲ οὐκ ἄλλοτε ἢ μετὰ τὸ εὐαγγελικὸν κήρυγμα τοῦ Σωτῆρος ἡμῶν τέλους τετύχηκεν. Ὁδοὶ δέ εἰσιν αἱ ἀρεταί, αἱ φέρουσαι ἐπὶ τὴν γνῶσιν τοῦ Θεοῦ.

Στίχ. ϛ'. «Ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ.»

Τὰ ὑπὸ τοῦ προφητικοῦ πνεύματος ἐν αὐτῷ καὶ δι' αὐτοῦ λαληθέντα μαθὼν ὁ Δαυΐδ, θαρρεῖ ὡς ἐφορῶντος τὰ ταπεινὰ τοῦ Θεοῦ, ὡς ἐν ταῖς θλίψεσιν αὐτῷ συνασπιζομένου.

Στίχ. ζ'. «Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσῃς με», κ.τ.λ.

Σαφέστερον δὲ ὁ Σύμμαχος ἔφη· «Ἐὰν πορευθῶ διὰ μέσης θλίψεως, περισώσεις με· κατὰ τῆς ἀναπνοῆς τῶν ἐχθρῶν μου ἐκτενεῖς χεῖρά σου, καὶ σώσει με ἡ δεξιά σου· Κύριος ἐπιτελέσει ὑπὲρ ἐμοῦ.»

## ΨΑΛΜΟΣ ΡΛΗ'.

Στίχ. α'. «Κύριε, ἐδοκίμασάς με, καὶ ἔγνως με.»

Ἐπεὶ τοίνυν καὶ ὁ χρόνος τῆς ἡμετέρας ζωῆς ἔχει τινὰ διαστήματα μεμετρημένα παρὰ Θεῷ, πάντα μου τῆς ζωῆς τὸν χρόνον, φησί, καὶ τὴν ὁδὸν ἣν διῆλθον αὐτὸς ἐξιχνίασας.

Στίχ. ϛ'. «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ.»

Ἐπιβαίνει, φησί, τὴν ἐμὴν δύναμιν, καὶ ἐπέκεινά ἐστιν τῆς ἐμῆς καταλήψεως ἡ τούτων γνῶσις, ὡς μὴ δύνασθαί με ἐξευρεῖν μηδὲ ἐξειπεῖν αὐτά. Ὅσα γὰρ ἂν εἴπω, μικρὰ καὶ ἐλάχιστα τυγχάνει τῆς θεϊκῆς δυνάμεως, ἧς κατάληψις τὴν ἐμὴν σμικρότητα καὶ οὐδενίαν διαφεύγει.

Στίχ. ιϛ'. «Ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου.»

Τὸ μήπω πραχθέν μοι, φησίν, ὡς ἤδη τελεσθὲν καθορᾷς, καὶ τοὺς τέως μὴ τεχθέντας, ὡς ἤδη τεχθέντας ἐπίστασαι. Δύναται δὲ νοεῖσθαι διχῶς τὸ ἄκακον καὶ ἀπόνηρον, καὶ ἀνεξέταστόν μου· ἔργον γὰρ ἡ περίνοια λέγεσθαι ὀφείλει· ἀκατέργαστος δέ ἐστι ψυχὴ ἡ μήπω δι' ἀρετῆς μορφωθεῖσα καὶ γνώσεως.

Στίχ. ιθ, κ'. «Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ. Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου.»

Εἰπών, «Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός», εἰκότως τοὺς ἐχθροὺς τοῦ Θεοῦ παραιτεῖται καὶ ἀπελαύνει ἑαυτοῦ· ἀλλὰ καὶ

μνημονεύσας ὅτι ἔσται τις καιρὸς ἐν ᾧ τοὺς ἁμαρτωλοὺς αὐτὸς ὁ Θεὸς ἀποκτενεῖ, ἐντεῦθεν ἤδη καὶ τούτους ἑαυτοῦ μακρὰν ἐλαύνει, ὡς ἂν μὴ κοινωνὸς αὐτῶν γένοιτο, μηδὲ ἐκ τοῦ πλησιάζειν μετάσχῃ τῆς παρ' αὐτῶν βλάβης. Ἐπεὶ δὲ καὶ εἰς ἐριστικοὺς λόγους καὶ ἔριδας, τὰς σὰς εἰς ματαιότητα λήψονται πόλεις, τὰς θείας Γραφὰς πόλεις χρηματιζούσας, ματαίως δὲ ταύτας λαμβάνουσιν οἱ ἑτερόδοξοι, καὶ οὐχ ὡς δεῖ· ἀποστρέφομαι καὶ ἐκκλίνω ἀπ' αὐτῶν.

Στίχ. κγ'. «Δοκίμασόν με, ὁ Θεός.»

Εἰπὼν ἐν ἀρχῇ, «Κύριε, ἐδοκίμασάς με καὶ ἔγνως με», νῦν ὡς μήπως δοκιμασθεὶς ἔφη, «Δοκίμασόν με, Κύριε, καὶ γνῶθι τὴν καρδίαν μου.» Καὶ τότε μὲν εἴρηται, «Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας, καὶ πάσας τὰς ὁδούς μου προεῖδες·» ἄρτι δέ, «Ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου·» μήποτ' οὖν οὐκ ἐναντία λέγει. Τότε γὰρ ἁπλῶς δεδοκιμάσθαι καὶ ἐγνῶσθαι εἶπε, νῦν δὲ εὔχεται δοκιμασθῆναι, ὅπως γνωσθῇ ἡ καρδία αὐτοῦ· μεῖζον γὰρ τὸ καθαρὸν καὶ εὐθὲς τῇ καρδίᾳ τοῦ ἁπλῶς καθαρὸν καὶ εὐθῆ ὑπάρχειν· καὶ ὑπεραίρει τοῦ ἁπλῶς δοκιμασθέντα γνωσθῆναι τῷ δοκιμασθῆναι ἐπὶ τῷ γνωσθῆναι τὴν καρδίαν αὐτοῦ· ἀλλὰ καὶ τοῦ ἁπλῶς προορασθῆναι τὰς ὁδοὺς αὐτοῦ, μεῖζον τὸ γνωσθῆναι τὰς τρίβους ἐτασθέντας αὐτοῦ. Διὸ καὶ ἐπήγαγε· «Καὶ ἰδὲ εἰ εἶδες ἀνομίαν ἐν ἐμοί», τουτέστιν ἐν ἕξει καὶ διαθέσει μου. Φέρεται καὶ οὕτως· «Καὶ ἰδὲ εἰ ὁδὸς ἀνομίας ἐν ἐμοί·» τουτέστι, κατανόησον εἰ ὥδευσέ ποτε ἐν τῇ ψυχῇ μου ἀνομία, ὡς ἴχνη τῆς ὁδοῦ αὐτῆς μεῖναι παρ' ἐμοί. Ὅμως δὲ καὶ εἰ τοσαύτη ἐκ σοῦ καὶ διὰ σὲ κατώρθωταί μοι ἀναμαρτησία, ἀλλ' οὖν σὺ ὡδήγησάς με ἐν ὁδῷ αἰωνίᾳ, ἐπὶ ἀθανασίαν καὶ ἀφθαρσίαν ἀγούσῃ.

## ΨΑΛΜΟΣ ΡΛΘ'.

Στίχ. ια'. «Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες πυρός.»

Δίκην γὰρ ὑφέξει πρὸς αὐτοῦ, νόσον ἔχων τοιαύτην.

Στίχ. ιβ'. «Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν.»

Τί δέ ἐστιν εἰς διαφθοράν; ὅτι πολλοὶ θηρεύονται εἰς σωτηρίαν, ὡς οἱ παρὰ τῶν ἀποστόλων, ὡς οἱ παρὰ τῶν ἁγίων ἀνδρῶν· ἀλλ' οἵ γε πονηροὶ ὅταν ὑπὸ τῆς κακίας θηρεύονται καὶ φθορᾶς· πᾶς γὰρ ἄδικος, ὥσπερ ὑπὸ οἰκείας νόσου διαφθαρεὶς ὑπὸ τῆς ἑαυτοῦ κακίας, δίκην ὑφέξει τὴν προσήκουσαν· ἱκανὴ γάρ ἐστιν ἀντὶ πάσης τιμωρίας τὴν ἔχουσαν αὐτὴν ψυχὴν διαφθεῖραι.

Στίχ. ιγ' «Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τοῦ πτωχοῦ.»

Ἐντεῦθεν ὁ Σολομὼν ὠφεληθεὶς τὸν πατέρα φησὶν ἐν τῷ Ἐκκλησιαστῇ· «Τέλος λόγου τὸ πᾶν ἄκουε», ὅτι «πᾶν τὸ ποίημα ἄξει ὁ Θεὸς εἰς κρίσιν, ἐν παντὶ παρεωραμένῳ, ἐάν τε ἀγαθόν, ἐάν τε πονηρόν·[1]» καὶ νῦν γάρ, φησίν, ὡς κρινεῖ ὁ Θεὸς ἐκδικῶν τὸν νῦν καταπο-

1. Ἐκκλησ. 12, 13, 14.

νούμενον πένητα καὶ πτωχόν. Ἐπὶ χρηστὸν δὲ μετὰ ταῦτα τέλος κατέστρεψε τὸν ψαλμόν· διὸ καὶ «Εἰς τέλος» ἐπιγέγραπται, τὴν ἀποκειμένην τοῖς δικαίοις λέγων ἐλπίδα. Ὁ δὲ Σύμμαχος, «παρὰ τῷ προσώπῳ σου», λέγει. Τί δὲ κρεῖττον τοῦ κεκαθαρμένῃ διανοίᾳ πρόσωπον πρὸς πρόσωπον ὁρᾶν τὸν Θεόν; κατὰ τὸν τοῦ Σωτῆρος μακαρισμὸν εἰπόντος· «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται·[1]» οὗ τυχόντες εὐχαριστήσουσιν.

## ΨΑΛΜΟΣ ΡΜ'.

Ἀκολούθως τῷ προάγοντι ψαλμῷ καὶ οὗτος ἐπιγέγραπται· ἔστι δὲ τοῦ Δαυΐδ, καὶ τὴν αὐτὴν ἔχει τῆς προσευχῆς δύναμιν. Ἔχει δέ τι πλέον δογματικώτερος ὤν, καὶ πλείονα καὶ ὠφελιμώτερα διὰ τῆς ἀρχῆς παιδεύων· καὶ φησίν· «Ἐκέκραξα·» οὐ πάντως φωνῇ μεγάλῃ καὶ βοῇ κεχρῆσθαι αὐτὸν προσήκει ὑπολαμβάνειν· καὶ σιωπώντων γὰρ ἀκούει ὁ Θεός· οὕτω καὶ Μωϋσῇ λέγεται εἰρηκέναι· «Τί βοᾷς πρός μέ;[2]» Ἀλλ' ὁ μεγάλα δόγματα περὶ Θεοῦ κεκτημένος, ὑπερβαλλούσῃ τε διαθέσει καὶ πίστει αἰτῶν τι παρὰ τοῦ Θεοῦ, οὕτως ἐκέκραξε πρὸς αὐτόν· διὸ καὶ θαρσῶν φησιν· Ἐπειδὴ τοιοῦτός εἰμι, καὶ τοιαῦτα βοῶ, πρόσχες τῇ φωνῇ μου ἐν τῷ κεκραγέναι με πρὸς σέ· ὡς καθαρὰν ἔχων οὐ μόνον τὴν διάνοιαν, ἀλλὰ καὶ τὴν διὰ τῶν χειλέων φωνὴν ἀπὸ ψεύδους, ἐπιορκίας τε καὶ λοιδορίας. Οἷς ἀκολούθως ἐπήγαγεν·

Στίχ. β'. «Ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή.»

Νοήσεις δὲ τοῦτο ἀπὸ τοῦ λέγειν τὸν Ἀπόστολον· «Βούλομαι τοὺς ἄνδρας προσεύχεσθαι ἐπαίροντας ὁσίους χεῖρας, χωρὶς ὀργῆς καὶ διαγογγυσμῶν·[3]» κἀκεῖνος γὰρ ὁμοῦ καὶ τῶν κατὰ διάνοιαν ἐμνημόνευσε, καὶ τῶν κατὰ πρᾶξιν· οἱ δὲ ἀσεβεῖς οὐδέποτε χεῖρας ἐπαίρουσι· διὸ λέλεκται πρὸς αὐτούς· «Ὅτ' ἂν τὰς χεῖρας ἐκτείνητε πρὸς μέ, ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ' ὑμῶν·[4]» ἐπαίρειν δὲ δεῖ εἰς ὕψος τὰς πράξεις, καὶ ἀρεσκόντως αὐτὰς τῷ Θεῷ ἐπιτελεῖν.

Στίχ. δ'. «Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.»

Μὴ συγχωρήσῃς παρατραπῆναι καὶ παρακλιθῆναι εἰς τὸ ἐναντίον τὴν ἅπαξ ἁπλῶς κατασκευασθεῖσάν μου διάνοιαν· ἀντὶ δὲ τοῦ, «προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις», ὁ Σύμμαχος, «ἐννοεῖν ἐννοίας παρανόμους» ἐξέδωκε, σαφέστερον ἑρμηνεύσας τὴν θεωρίαν τοῦ λόγου. Εἶτα πάλιν μεταβαίνει ἐπὶ τὸ πρακτικὸν φάσκων, «σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν, καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν.» Ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσεν εἰπών, «Σὺν ἀνθρώποις ἐργαζομένοις ἀδικίαν, μηδὲ συμφάγοιμι τὰ ἡδέα

1. Ματθ. 5, 8. 2. Ἐξ. 14, 15. 3. Α' Τιμ. 2, 8. 4. Ἡσ. 1, 15.

αὐτῶν. Οὐκ ἔσομαι» γάρ, φησίν, «ἅμα τούτοις, ἐὰν σύ, Κύριε, φυλακὴν τῷ στόματι θείης, καὶ τὸν προκατασκευασθέντα μοι θησαυρὸν διατηρήσῃς.» Ἐκλεκτοὶ δὲ τούτων εἶεν οἱ σκηπτόμενοι προφάσεις ἐφ' οἷς δρῶσι κακῶς· χειρόνων ὄντων τῶν ἄνευ προφάσεως, καὶ ἀνεπικαλύπτως ἀνομούντων.

Στίχ. ς'. «Κατεπόθησαν ἐχόμενα πέτρας οἱ κριταὶ αὐτῶν.»

Ὁ δὲ Σύμμαχος· «Ἔτι γὰρ καὶ ἡ προσευχή μου ἐντὸς τῶν κακιῶν αὐτῶν· ἐκτιλήσονται ἐν χερσὶ πέτρας οἱ κριταὶ αὐτῶν· ἀκούσονται ῥήσεις μου ἡδίστας· ὥσπερ γεωργὸς ὅτ' ἂν ῥήσσῃ τὴν γῆν, ὡς ἐσκορπίσθη ὑμῶν τὰ ὀστᾶ παρὰ τὸν ᾅδην.» Τὴν αἰτίαν δὲ νῦν ἐπάγει τοῦ μὴ συνδυάζειν ἁμαρτωλοῖς· ἱκανὴ γὰρ αὐτῶν ἡ κοινωνία, φησί, διασκορπίσαι μου τὴν ψυχήν, καὶ τῶν κακιῶν αὐτῶν ἔνδον ἀπολαβεῖν· τὸ δὲ «ἐκτιλήσονται» δηλοῖ, ὅτι καὶ τοὺς ἑαυτῶν ἄρχοντας καὶ κριτὰς ἴδωσι κατασπωμένους ἐκ ῥιζῶν, ὥσπερ ἀποτιλλομένους δυνάμει τοῦ στερεοῦ λόγου.

Στίχ. η'. «Μὴ ἀντανέλῃς τὴν ψυχήν μου.»

Ὁ Σύμμαχος ἀντὶ τοῦ, «οὐκ ἀντανέλῃς», «μὴ ἀποκενώσῃς», τουτέστι, μὴ συγχωρήσῃς τὸν ἀποκείμενον ἐν τῇ ψυχῇ μου ἀγαθὸν θησαυρὸν ἀποκενωθῆναι· τότε γὰρ ἀφόβως ἀπελεύσομαι, φησίν, ὅτι ἂν ἁμαρτωλοὶ τοῖς ἑαυτῶν περιπαρῶσι δικτύοις.

## ΨΑΛΜΟΣ ΡΜΑ'.

Στίχ. α'. «Συνέσεως τῷ Δαυῒδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ σπηλαίῳ, προσευχή.»

Καὶ ὁ νς' ὁμοίαν ἔχει τὴν ἐπιγραφὴν οὕτως· «Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυῒδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον.» Κεῖται δὲ ἡ ἱστορία ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν· «Καὶ ἀνέβη Δαυῒδ ἐκεῖθεν, καὶ ἐκάθισεν ἐν τοῖς σπηλαίοις τοῖς ὀχυροῖς Ἐγγαδδί· καὶ ἐγένετο ὡς ἐπέστρεψε Σαοὺλ ὄπισθεν τῶν ἀλλοφύλων· καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες, Ἰδοὺ Δαυῒδ ἐν τῇ ἐρήμῳ Ἐγγαδδί· Καὶ παρέλαβε Σαοὺλ τρισχιλίους ἄνδρας ἐκλεκτοὺς ἐκ παντὸς Ἰσραήλ, καὶ ἐπορεύθη τοῦ ζητεῖν τὸν Δαυῒδ καὶ τοὺς ἄνδρας τοὺς μετ' αὐτοῦ, ἐπὶ πρόσωπον τῆς θήρας τῶν ἐλάφων· καὶ ἦλθον εἰς τὰς μάνδρας τῶν προβάτων ἐπὶ τὴν ὁδὸν καὶ ἐπὶ τὸ σπήλαιον· καὶ εἰσῆλθε Σαοὺλ εἰς τὸ σπήλαιον ἀποκοινῶσαι τοὺς πόδας αὐτοῦ· καὶ Δαυῒδ καὶ οἱ ἄνδρες μετ' αὐτοῦ ἐν μέρεσι τοῖς ἐσωτέροις τοῦ σπηλαίου ἐκάθηντο.[1]»

Προεγράφη ἡ ἱστορία ἡ περὶ Σαοὺλ καὶ τοῦ σπηλαίου· τὸ δὲ τοῦ Δαυῒδ ὄνομα διαφόρως ἑρμηνεύεται, ὡς πολλάκις εἰρήκαμεν, καὶ διαφόρως λαμβάνεται· ὅτε γὰρ εἰς πρόσωπον τοῦ Κυρίου εὑρήσεις,

---

1. Α' Βασ. 24, 1-4.

οὕτω κείμενον ἑρμηνεύεται «πεποθημένος·» ὅτε δὲ εἰς πρόσωπον τῶν ἁμαρτανόντων καὶ ἐπιστρεφόντων, ἑρμηνεύεται «ἐξουθενημένος», διὰ τὰς ἁμαρτίας αὐτοῦ. Νῦν τοῦ Δαυὶδ ὄνομα λαβεῖν ἐστιν εἰς τὸν λαὸν τὸν ἡμαρτηκότα καὶ εἰς σύνεσιν ἐλθόντα, καὶ ἐν σπηλαίῳ αὐτὸν κατακλείσαντα, καὶ προσευχόμενον μετὰ δακρύων ἰσχυρῶς, καὶ ἐξομολογούμενον, ὡς καὶ αὐτὸ τὸ ἐπίγραμμα τοῦτο δηλοῖ· ὁμοίως δὲ καὶ ὁ ψαλμὸς ταῦτα διδάσκει.

Στίχ. δ'. «Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου.»

Σφόδρα καταλλήλως τῇ τοῦ καιροῦ καὶ τοῦ τόπου συνοχῇ καὶ ταῦτα λέλεκται· ὅσον γὰρ ἐπ' ἀνθρώποις ἔνδον ἐν τῷ σπηλαίῳ συνεχόμενος, παντὸς δρασμοῦ καὶ φυγῆς ἐπεκέκλειστο, οὔτε μία τε παρῆν αὐτῷ βοηθείας ἐλπίς· ἀλλ' οὐδὲ ἦν ὁ τὴν ψυχὴν αὐτοῦ ῥυόμενος ἢ ἐπιζητῶν. Ὁρῶν δὲ τοὺς τῆς ψυχῆς αὐτοῦ νοητοὺς ἐχθρούς, ὅλον τοῦτο κατεργασαμένους, λέγω δὴ τὸ εἰσελθεῖν Σαοὺλ εἰς τὸ σπήλαιον ὑπὲρ τοῦ συλληφθῆναι τὸν Δαυΐδ, εἰκότως ἔλεγεν τό, «Ἔκρυψαν παγίδα μοι.» Ἀλλ' οὐ προκεχωρήκει αὐτοῖς τὰ τῆς παγίδος διὰ τὴν προκειμένην προσευχήν· θαρσῶν δὲ τῇ τοῦ βίου αὐτοῦ πορείᾳ, ταῖς τε πράξεσι καὶ ταῖς ὁδοῖς αἷς ἐβάδιζεν, ἀδίκως ἐλαυνόμενος καὶ πολεμούμενος, φησὶ τῷ Θεῷ· καὶ σὺ ἔγνως τὰς τρίβους μου.

Στίχ. ϛ'. «Πρὸς σέ, Κύριε, ἐκέκραξα.»

Πάλιν καὶ ἐνταῦθα κράζειν ὁμολογεῖ, οὐχ ἁπλῶς, ἀλλὰ πρὸς τὸν Κύριον· ἄλλως γὰρ ἀδύνατον ἦν αὐτῷ φωνὴν ἀφιέναι, πλησίον παρόντος τοῦ ἐχθροῦ· τὴν μόνην δὲ ἐλπίδα αὐτοῦ τὸν Θεὸν ἔχειν ὁμολογήσας, οὐκ ἐξέπεσε τοῦ σκοποῦ· ἡ γὰρ ἐλπὶς οὐ καταισχύνει· ἀλλὰ καὶ εἴ τις ἔσται γῆ ζώντων, ὁμολογῶ, φησί, μηδεμίαν ἔχειν χώραν ἐν ταύτῃ ἢ σὲ μόνον τὴν ἐμὴν ἐλπίδα· σὺ γὰρ εἶ Θεός, ἡ μερίς μου ἐν γῇ ζώντων· ὡς εἰ μὴ σὲ εἶχον, οὐκ ἂν ἐξετάσθην ποτὲ ἐν γῇ ζώντων. Ζώντων δὲ γῆ, οὐχ ἡ πατουμένη νῦν πρὸς ἡμῶν, θανάτου γὰρ γῆ καὶ νεκρῶν αὕτη, ἀλλ' ἣν κληρονομήσουσιν οἱ πραεῖς· ἐφ' ᾗ ζῶντες πάντες κατὰ τὴν αἰώνιον ζωὴν διατρίβουσιν.

Στίχ. ε'. «Οὐκ ἦν ὁ ἐπιγινώσκων με.—Οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου.»

Ὁ ὑπὸ τῶν προΐστασθαι τῶν ἐκκλησιῶν νομιζομένων ἀμελούμενος καὶ μηδόλως ἐκζητούμενος εὐκαίρως τοῦτο ἐρεῖ· καὶ τὸ ἑξῆς ἐπιφέρει τὸ κεκραγὸς πρὸς τὸν Θεόν, καὶ μὴ ἐλπίζειν ἐπὶ ἡγουμένοις, ἀλλ' ἐπὶ Κυρίῳ, καὶ μερίδα ἔχειν ἐν γῇ ζώντων καὶ οὐκ ἐν ἐπιλελησμένῃ γῇ.

## ΨΑΛΜΟΣ ΡΜΒ'.

Πῶς ὁ ἐν μεγίστοις πειρασμοῖς καὶ θλίψεσιν ὑπερβαλλούσαις ἐξεταζόμενος, εὐκαίρως χρήσαιτο τῇ προκειμένῃ προσευχῇ· διὸ καὶ ἀνεπίγραφος ὁ ψαλμός. Ἀκούει μὲν οὖν πάντων ὁ Κύριος, ὀλίγων

δὲ εἰσακούει· ἐὰν τῶν δεομένων ἡμῶν ἐπακούσωμεν, ἀκουσθησόμεθα καὶ αὐτοί· ὁ θαρσῶν δὲ τῇ ἑαυτοῦ προσευχῇ ἀκροατὴν καλεῖ τὸν Θεόν. Ἄλλοι δέ φασι μὴ εἶναι ἀνεπίγραφον τὸν ψαλμόν, ἀλλ' ἐπιγεγράφθαι, «Ψαλμὸς τῷ Δαυῒδ, ὅτε αὐτὸν ὁ υἱὸς κατεδίωκεν.» Οὐ διὰ πασῶν μέντοι τῶν ἑρμηνειῶν πρόσκειται τοῦτο· τὰ δὲ λεγόμενα οὐκ ἀλλότρια· οὐδὲν δὲ κωλύει περὶ τῆς ὑπὸ Σαοὺλ διώξεως εἰρῆσθαι αὐτά.

Στίχ. δ'. «Ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου.»

Τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ ἀκηδιᾷ, ἐπειδὰν ἡ καρδία ταραχθῇ μνησθεῖσα πῶς ὁ ἐχθρὸς ἐταπείνωσεν εἰς τὴν γῆν τὴν ζωὴν αὐτῆς, καὶ ὡς ἐκάθισεν αὐτὴν ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· ταραχθεῖσα δέ, φησίν, ἡ καρδία μου ἐν αὐτῇ, ἔνδον ἐπέσχε τὸ πάθος παντελῶς μὴ ἐκπεσοῦσα, ὡς εἰς φανερὸν ἐλθεῖν τοῖς πᾶσι, καὶ τοῖς ἐκτὸς γνωσθῆναι τὴν ταραχήν.

Στίχ. ε'. «Ἐμνήσθην ἡμερῶν ἀρχαίων.»

Ἐπεὶ καὶ ὁ Μωϋσῆς προστάττει λέγων, «Μνήσθητε ἡμέρας αἰῶνος·[1]» καὶ ὁ Δαυῒδ πάλιν φησί· «Καὶ ἔτη αἰώνια ἐμνήσθην, καὶ ἐμελέτησα·[2]» εἰκότως θεραπεύων ἑαυτὸν ὁ ταραχθεὶς τὴν καρδίαν, ἀνατρέχει ἐπὶ τὰς παλαιὰς αὐτοῦ ἡμέρας, τὰς πρὸ τῆς ταραχῆς, ἐν αἷς κατώρθου, ἢ ἐπὶ τὰς παλαιὰς ἱστορίας· καὶ τὴν μνήμην ἀναλαβών, μελετᾷ ἐν τοῖς ἔργοις τοῦ Θεοῦ, καὶ ἐν τοῖς ποιήμασι τῶν χειρῶν αὐτοῦ, οὐ μικρᾶς τυγχάνων παραμυθίας ἀπὸ τῶν παλαιῶν ἀναγνωσμάτων, μανθάνων ἐξ αὐτῶν, ὅτι τοὺς παλαιοὺς μετὰ μυρίας θλίψεις καὶ πειρασμοὺς ἐπεσκέπτετο ὁ Θεός, καὶ ὅσας παρέσχεν αὐτοῖς θεραπείας τε καὶ εὐεργεσίας. Ἀλλὰ καὶ ἐν τοῖς τῆς δημιουργίας λόγοις μελετῶν ἐθεραπεύετο τὴν ψυχήν, παιδευόμενος, ὡς οὐκ ἔστιν ἀπρονόητος ὁ τῶν ἀνθρώπων βίος, οὐδὲ ἀθεράπευτος ἡ τοῦ ταραχθέντος ψυχή· ἐφορᾷ δὲ καὶ ἐφέστηκε πᾶσιν ὁ τοῦ Θεοῦ Λόγος ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν.

Στίχ. ς'. «Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.»

Μνησθεὶς τῶν ἀρχαίων ἡμερῶν ἐκ τῆς μελέτης τῶν θείων ἀναγνωσμάτων, τὰς χεῖράς μου, καὶ τὰς διὰ μετανοίας πράξεις καθαράς σοι ἐπιδεικνὺς διεπέτασα, οὕτως διψῶν σου, ὁ Θεός, καὶ τῆς παρὰ σοῦ ἰάσεως, οὐ μόνον ὃν τρόπον ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, ἀλλὰ καὶ ὡς ἄνυδρος καὶ ξηρὰ γῆ ὀρέγεται τοῦ ἐπ' αὐτὴν κατιόντος ὑετοῦ. Εἰ δὲ καὶ ἔστιν ἡ ψυχή μου ὡς γῆ ἄνυδρος, ὡς πρὸς σὲ τὸν Θεὸν τοιαύτη ἐστίν· καθ' ἑαυτὴν γὰρ καὶ ὡς ἐν ἀνθρώπων συγκρίσει γόνιμος καὶ τεθηλυῖα καρπῶν ἀγαθῶν ὑπάρχει· σοὶ δὲ ἄνυδρός ἐστιν οὕτως, ὡς οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Στίχ. ζ'. «Ταχὺ εἰσάκουσόν με», κ.τ.λ. «Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.»

---

1. Δευτ. 32, 7. 2. Ψαλμ. 76, 6.

Ἐν τοῖς κατεπείγουσι καιροῖς τῶν περιστάσεων ἤτοι ἐν διωγμοῖς ἢ τοῖς ἐσχάτοις κινδύνοις, ἐπειδὰν παρακινδυνεύει τινὸς ἡ ψυχή, ἐκλείποντος τοῦ ἐν αὐτῇ πνεύματος, καὶ τῆς καρδίας ἐν αὐτῇ ταραττομένης, προσήκει ὁμοίως τῷ Δαυῒδ λέγειν εὐχομένους τὰ Χριστοῦ, «Εἰσάκουσόν με, Κύριε·» οὐ μὴν ἐπὶ τοῖς ἀνθρωπίνοις πράγμασιν ἀναγκαῖον κεχρῆσθαι. — Ἐφ᾿ ὅσον μὲν τὸ πρόσωπόν σου καταξιοῖ με τῶν ἰδίων αὐτοῦ, τὸ φῶς σου ἐστὶν ἐν ἐμοί, καὶ πᾶσά μου ἀπελήλαται σκοτία· ὥστ᾿ ἂν εἰπεῖν· «Ἐσημειώθη ἐφ᾿ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε·[1]» εἰ δὲ ἀποστρέψειάς ποτε τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ, γίνομαι ἐν σκοτίᾳ ἐν ᾗ γίνονται πάντες οἱ καταβαίνοντες εἰς λάκκον· ἐν ᾧ λάκκῳ οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ καλούμενον σκότος ἐξώτερον.

Στίχ. η΄. «Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου.»

Ἐν τοῖς πειρασμοῖς ἐλέους θείου δεόμεθα· ὅπερ γένοιτ᾿ ἂν ἐν ταῖς προσευχαῖς ἐγρηγορότως σχολάζοιμεν, καὶ μάλιστα κατὰ καιρὸν τὸν ἑωθινόν, ὥστε δύνασθαι λέγειν· «Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.[2]»

Στίχ. η΄. «Γνώρισόν με, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι.»

Ἀπὸ τοῦ χαμαὶ κεῖσθαι τὴν ἐμὴν πρὸς σὲ ψυχὴν ἀνατείναντι μετανοίας δεῖξον ὁδόν, ἢ τὴν ἄγουσαν μετὰ σώματος ἀπαλλαγὴν ἐπὶ τὰ οὐράνια· θνητὸς γὰρ πῶς ἂν νοήσαι τὰς ὁδοὺς αὐτοῦ; τάχα δέ τις τὰς προτέρας ὁδοὺς Μωϋσέα καὶ τοὺς προφήτας βαδίσας, κατὰ τό, «Στῆτε ἐν ταῖς ὁδοῖς, καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίας[3]», μετὰ ταύτας τὴν ὁδὸν ζητῶν τὴν ἀγαθήν, τῷ ταύτης ἐρεῖ πατρί, καὶ γινώσκοντι τὴν ὁδὸν τῶν υἱῶν τό, «Γνώρισόν μοι ὁδὸν ταύτην ἐν ᾗ πορεύσομαι·» ἥτις ἐπινεύσαντος τοῦ Πατρὸς ἑαυτὴν ἐμφανίζουσα λέγει τοῖς ἀξίοις· «Ἐγώ εἰμι ἡ ὁδός· οὐδεὶς γὰρ ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι᾿ ἐμοῦ.[4]»

Στίχ. ια΄. «Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε.»

Ὅμοιον τοῦτο τῷ, «Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ᾿ ἢ τῷ ὀνόματί σου δὸς δόξαν·[5]» οὐ γὰρ ἐφ᾿ ἑαυτοῖς χρὴ θαρρεῖν. Ὁ δὲ τοὺς πειρασμοὺς ὑπομείνας γενναίως ἐλπιζέτω τούτων τυχεῖν, ὡς ἂν στενὴν καὶ τεθλιμμένην ὁδεύσας.

Στίχ. ια΄. «Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.»

Ψυχῆς ἀληθῶς θλῖψις τὸ ταπεινωθῆναι εἰς γῆν τὴν ζωὴν αὐτοῦ, καὶ ἐν σκοτεινοῖς αὐτὸν καθῆσαι· καὶ ὁ ὑπὸ λογισμῶν δὲ φαύλων καὶ πυρώσεως παθῶν ἐνοχλούμενος τὴν ψυχὴν θλίβεται· οὐδενὸς δὲ ἄλλου ἐν.. ν τοιαύτης θλίψεως ἐλευθεροῦντος, ἢ τοῦ τὸ κρυπτὸν τῆς καρδίας εἰδότος Θεοῦ. Ἀλλὰ καὶ ὁ ὑπὸ διοχλήσεων ἀπατεώνων τὴν ψυχὴν ταραττόμενος θλίβοιτο ἂν μεγάλως ὅτε μάλιστα, οὐ δυνάμενος

---

1. Ψαλμ. 4, 7. 2. Ψαλμ. 62, 2. 3. Ἱερ. 6, 16. 4. Ἰω. 14, 6. 5. Ψαλμ. 113, 9.

διελέγχειν τὰ σοφίσματα, εὐλαβεῖται μὴ ἀποσφαλῇ τῆς ἀληθείας· ἐξάγει δὲ ψυχὴν πάσης θλίψεως τοιαύτης, ἐπιλάμπων αὐτὴν καὶ καταλάμπων ταῖς ἰδίαις μαρμαρυγαῖς καὶ ἄγων αὐτὴν εἰς τὸ ζῆσαι κατὰ τὴν δικαιοσύνην αὐτοῦ, ὡς ἔναγχος ἀποδέδεικται. Ἐλέει δὲ Θεοῦ ἐξολοθρευθήσονται οἱ ἐχθροί, οὐ κατ' οὐσίαν φθειρόμενοι, ἀδύνατον γὰρ τοῦτο, ἀλλὰ τὴν ἕξιν ἀποβαλόντες, δι' ἣν ἐχθροὶ τοῦ δικαίου καὶ θλίβοντες τὴν ψυχὴν αὐτοῦ τυγχάνουσιν· οὕτω γὰρ ἐν ἀνέσει ἔσται ὁ δίκαιος ἄνευ πολέμου ἐν εἰρήνῃ διάγων. Ἐκκαλούμενος δὲ πρὸς τὸ ἐπινεῦσαι τὸν παρακαλούμενον, ἐπήγαγε τό, «Ὅτι ὁ δοῦλός σου εἰμὶ ἐγώ.» Κτημάτων δὲ καὶ αὐχημάτων τὸ μέγιστον χρηματίσαι Θεοῦ δοῦλον. Δείκνυσι δὲ τὸ μέγεθος τούτου καὶ ὁ Σωτὴρ λέγων τοῖς συνοῦσιν αὐτῷ· «Ὑμεῖς φωνεῖτέ με ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ καλῶς λέγετε, εἰμὶ γάρ·[1]» οὐδὲν οὕτως ἀποδιώκει τοὺς ἐχθροὺς ἡμῶν, ὡς θεωρία πνευματική.

## ΨΑΛΜΟΣ ΡΜΓ'.

Εἰ μὲν ἀναφέρεις ταῦτα ἐπὶ τὸν Δαυΐδ, μάλιστα ὅτι κατά τινα τῶν ἀντιγράφων ἐπιγέγραπται πρὸς τὸν Γολιάθ, ἐρεῖς ἁρμόζειν αὐτῷ, κατὰ τὴν ἱστορίαν νενικηκότι τὸν ἄνδρα οὐ τῇ κοινῇ πανοπλίᾳ, πεποιθήσει δὲ τῇ ἐπὶ τὸν Θεόν· ὃν ὥσπερ διδάσκαλον ἐπιγραφόμενος, τότε μὲν τὸν Γολιὰθ τῇ σφενδόνῃ καθεῖλε βαλών· ἄλλοτε δὲ τοὺς κατ' ἀγρὸν θῆρας ταῖς χερσὶ πνίγων ἀνῄρει. Ἔπρεπε δὲ μάλιστα ἐπὶ τῇ τοῦ ψαλτηρίου ἀνακρούσει ταῦτα λέγειν αὐτόν, ὅτε, ταῖς χερσὶ καὶ τοῖς δακτύλοις ἀντὶ τοῦ πλήκτρου χρώμενος, τοὺς ἀοράτους δαίμονας ἤλαυνε τῷ Σαοὺλ ἐνοχλοῦντας. Εἰ δ' ἐπὶ πάντα δίκαιον ἀνάγοιτο τὰ ῥητά, ἐρεῖς πάσας τοῦ θεοφιλοῦς πράξεις καθαίρεσιν τῶν ἀντικειμένων δυνάμεων ἐνεργεῖν, τοῦ Θεοῦ διδασκάλου τῆς τοιᾶσδε τῶν χειρῶν ἐκτάσεως γινομένου· τοὺς δὲ δακτύλους αὐτοῦ τὰς μέχρι τῶν μικροτάτων ἐνεργείας τῶν κατὰ τὸν ἀνθρώπινον βίον ἐδήλωσε· καὶ Μωϋσῆς δὲ τὰς χεῖρας ἐκτείνων ἐτροποῦτο τὸν Ἀμαλήκ. Ὅρα δὲ μὴ Χριστὸς ὁ λέγων, τροπωσάμενος τοὺς ἀοράτους ἐχθρούς· δηλοῖ γὰρ ὁ ψαλμός, ὡς δειχθήσεται, καὶ κάθοδον αὐτοῦ τὴν ἐξ οὐρανοῦ, καὶ τροπὴν δαιμόνων, καὶ κλῆσιν ἐθνῶν, καὶ δύο λαούς.

Στίχ. β'. «Ὁ ὑποτάσσων τὸν λαόν μου ὑπ' ἐμέ.»

Θεοῦ ἐστι τὸ ὑποτάσσειν τὸν ἑαυτοῦ λαὸν ἀνθρώποις· ὅπερ εἰ μὴ ἐκ Θεοῦ γίνοιτο, οὐκ ἄν ποτε γένοιτο· οὐδὲ γὰρ Μωϋσῆς ἡγήσατο ἂν τοῦ τοσούτου πλήθους, μὴ τοῦ Κυρίου ὑποτάξαντος αὐτῷ τὸν ἑαυτοῦ λαόν, οὐ δι' ὅπλων ἢ διὰ παρατάξεως ἀνθρωπίνης, διὰ δὲ τῆς κρείττονος δυνάμεως.

1. Ἰω. 13, 13.

Στίχ. γ'. «Κύριε, τί ἐστιν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ;»

Πυνθάνεται ὁ λόγος ἐρωτηματικῶς, τό, τί ἐστιν ἄνθρωπος, ἡμᾶς διδάξαι βουλόμενος, ὅτι μέγα τι ἄνθρωπος· οὐ γὰρ ἂν ἐχώρησε Θεοῦ γνῶσιν, οὐδ' ἂν ἐμνήσθη αὐτοῦ ὁ Θεὸς οὕτως, ὡς καὶ Σωτῆρα καὶ Λυτρωτὴν ἐξαποστεῖλαι αὐτῷ τὸν ἑαυτοῦ Λόγον. Παραινεῖ δὲ ἐν τῷ αὐτῷ καὶ μηδενὸς ἀνθρώπου καταφρονεῖν, καὶ ὅτι μηδεὶς ἄξιον κατορθοῖ τῆς τοιαύτης εὐεργεσίας.

Στίχ. ε'. «Κύριε, κλῖνον οὐρανούς σου, καὶ κατάβηθι.»

Σφόδρα ἀναγκαίως καὶ ἀκολούθως [λέγει] καὶ αὐτὸν καταβῆναι τὸν τοῦ Θεοῦ Λόγον εἰς καθαίρεσιν τῶν πολεμίων· εἰ γὰρ καὶ τὰ μάλιστα, φησί, διδάσκει τὰς ἐμὰς χεῖρας καὶ τοὺς δακτύλους ὅπως χρὴ πολεμεῖν, ἀλλὰ καὶ τίς ἰσχὺς ἀνθρώπου, καὶ πόση δύναμις τοῦ θνητοῦ καὶ ματαιότητι ὁμοιωθέντος, πρὸς τὸ δυνηθῆναι στῆναι κατὰ τῆς τοσαύτης παρατάξεως; διὸ σὺ αὐτός, ὦ Κύριε, κλῖνον οὐρανούς, καὶ κατάβηθι. Οὐρανοὺς δέ φησι τὰς ἐπινοουμένας ἐν αὐτῷ δυνάμεις· ὡς δὲ πατὴρ νηπίοις, καὶ ὡς μαθηταῖς διδάσκαλος συγκαταβαίνει.

Στίχ. ζ'. «Ἐξαπόστειλον τὴν χεῖρά σου ἐξ ὕψους.»

Ἐξαπόστειλον, φησὶν ὁ ψαλμός, τὴν ποιητικὴν καὶ φυλακτικὴν τῶν ὅλων χεῖρα ἐπὶ τῷ ἐξελέσθαι καὶ ῥύσασθαι με ἐκ τῶν πολλῶν ὑδάτων καὶ τῶν χειρῶν τῶν ἀλλοτρίων υἱῶν· δυνατὸν δὲ τὸ ἐξ ὑδάτων πολλῶν ῥυσθῆναι εἰπεῖν τῶν πονηρῶν δυνάμεων καὶ τοῦ διαβόλου τοῦ βασιλέως πάντων τῶν τοιούτων· ἐξαιρεθῆναι δὲ καὶ ἐκ χειρὸς τῶν ἀλλοτρίων υἱῶν, τῶν ἐνεργουμένων ὑπ' αὐτῶν ἀνθρώπων· τὰς ἐπαναστάσεις γὰρ τῶν πειρασμῶν καὶ τῶν ἀσεβῶν ὕδατα ἐκάλεσεν, ὡς καὶ ἀλλαχοῦ φησιν· «Ἄρα τὸ ὕδωρ κατεπόντισεν ἡμᾶς·[1]» καὶ πάλιν· «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου·[2]» ἀκολούθως δὲ μετὰ τὴν κατάβασιν τοῦ Θεοῦ Λόγου, τὴν ἐπιβουλὴν τῶν ἀσεβῶν..αὐτοῦ τῳ..θεασάμενος, τὰ προκείμενα θεσπίζει.

Στίχ. θ'. «Ὠδὴν καινὴν ᾄσομαί σοι.»

Ἄδει, καὶ τὴν καινὴν διαθήκην ἐν τοῖς περὶ τῆς καθόδου τοῦ Θεοῦ Λόγου προφητευομένοις μνημονευθῆναι· διὸ δηλοῦται αὕτη διὰ τῆς καινῆς ᾠδῆς. «Ἐν τῷ δὲ λέγειν καινήν, πεπαλαίωκε τὴν πρώτην, ὥς φησιν ὁ Ἀπόστολος·[3]» περὶ ταύτης λέλεκται τῆς ᾠδῆς· «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ·[4]» ἀλλὰ καί, «Ψαλῶσι», φησίν, «ἐν ψαλτηρίῳ δεκαχόρδῳ», τὸν πρακτικὸν αἰνιττόμενος βίον διὰ ψυχῆς καὶ σώματος ἐνεργούμενον· πέντε μὲν ὄντων σαρκὸς αἰσθητηρίων, πέντε δὲ τῶν τῆς ψυχῆς δυνάμεων, δι' ὧν τὰ αἰσθητήρια τοῦ σώματος κινεῖται.

Στίχ. ι'. «Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσι.»

Ὁ διδάξας βασιλείαν οὐρανῶν, βασιλεῖς ἐργάζεται τοὺς καταξιουμένους αὐτῆς, οἷς δίδωσι τὴν παρ' αὐτοῦ σωτηρίαν· ἅμα δὲ κατορθώ-

---

1. Ψαλμ. 123, 4. 2. Ψαλμ. 68, 2. 3. Ἑβρ. 8, 13. 4. Ψαλμ. 95, 1.

σασι τὸ μὴ βασιλεύεσθαι ὑπὸ ἁμαρτίας· Χριστὸς δ' ἐστὶν ὁ ἐν Παροιμίαις λέγων· «Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι·[1]» ταῦτα εἰδὼς ὁ Ἀπόστολος ἔγραφε· «Χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν·[2]» ἐπεὶ οὖν τούτοις χαρίζεται ὁ Θεὸς τὴν σωτηρίαν, εἰκότως καὶ τῷ Δαυῒδ ἀγαθὰς ἐλπίδας ὑπογράφει τὸ λόγιον, ὡς λυτρωθησομένῳ ἀφ' ὧν πώποτε πέπτωκεν ἁμαρτιῶν· ἡ γὰρ κάθοδος τοῦ Θεοῦ Λόγου μετὰ τῶν ἄλλων καὶ τῷ Δαυῒδ εὐεργετικὴ γεγένηται, ἅτε διακονησαμένῳ τῇ ἐνσάρκῳ αὐτοῦ γενέσει.

Στίχ. ι'. «Τῷ λυτρουμένῳ Δαυῒδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς.»

Ῥομφαία πονηρὰ ἡ γλῶττά ἐστι τῶν ἀθέων, καὶ οἱ λόγοι τῶν τὰ σοφίσματα κατὰ τοῦ Θεοῦ μελετώντων εἰς τὸ φονεύειν ψυχάς· χεὶρ δὲ υἱῶν ἀλλοτρίων, πρᾶξις καὶ ὁ βίος τῶν ἀλλοτρίων τῆς θεοσεβείας, ὧν ἐν μύθοις ἀναπλάσμασι καὶ ταῖς περὶ εἰδώλων πλάναις τὸ στόμα λαλεῖ ματαιότητας· τούτων δὲ καὶ δεξιά, τουτέστιν ἡ πρακτικωτέρα δύναμις, περὶ πλεονεξίας καὶ ἁρπαγὰς ἀσχολεῖται. Τοιοῦτοι δ' ἂν εἶεν καὶ οἱ ἐκ τοῦ προτέρου λαοῦ, καθ' ἃ εἴρηται· ἀπὸ τούτων οὖν ἐπὶ τοῦ παρόντος ἤδη δεύτερον ὁ Δαυῒδ ῥυσθῆναι εὔχεται, ἵνα μὴ ἁλῷ τοῖς ὁμοίοις ἁμαρτήμασιν.

Στίχ. ιβ'. «Ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν.»

Τοῦ προτέρου λαοῦ οἱ υἱοὶ οὐ μόνον, ἀλλὰ καὶ πάντων τῶν ἀλλοτρίων τῆς θεοσεβείας ὡς νεόφυτά ἐστιν ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν· τοῦ δὲ δικαίου ἡ σάρξ ἐστιν ἀσθενής, καὶ τὸ φρόνημά ἐστι νενεκρωμένον· τούτων τῶν ἐκ περιτομῆς καὶ αἱ θυγατέρες ἑταιρικῶς εἰσι κεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ ἐν ᾧ πονηρὸν πνεῦμα ἐνοικεῖ· διό φησι περὶ αὐτῶν ὁ προφήτης· «Ἀνθ' ὧν ἐπορεύθησαν αἱ θυγατέρες Σιὼν ἐν ὑψηλῷ τραχήλῳ καὶ ἐν νεύμασιν ὀφθαλμῶν[3]», καὶ τὰ ἑξῆς· οἱ δὲ ἅγιοι ναός εἰσι Θεοῦ, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν αὐτοῖς· καὶ τῶν μὲν περιττεύει καὶ ὑπερχεῖ τὰ ταμεῖα θησαυριζόντων ἐπὶ τῆς γῆς· καὶ λεγόντων, «Καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω·[4]» τῶν δὲ ὁ θησαυρός ἐστιν ἐν οὐρανῷ· καὶ τῶν μὲν ἔστι πρόβατα πολύτοκα πληθύνοντα, καὶ βόες παχεῖς, ὁποῖοι τῆς Αἰγύπτου εὐθηνίας· καλοὶ γὰρ τῷ εἴδει καὶ ἐκλεκτοὶ ταῖς σαρξὶν ἦσαν οὓς εἶδεν ὁ Φαραώ· τοῦ δὲ δικαίου ἡ ποίμνη ψυχὰς ἀκεραίους, καὶ ἀγαθὰ καὶ λογικὰ πρόβατα ἐμπεριείληφε.

Τοῦ [δικαίου] μὲν διὰ τὸ φοβεῖσθαι τὸν Κύριον, μακάριοι οἱ υἱοὶ ὡσεὶ νεόφυτά εἰσιν ἐλαιῶν κύκλῳ τῆς τραπέζης αὐτοῦ· τῶν δὲ ἀλλοτρίων οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν. Κἀκείνῳ μὲν οὐκ εἰσὶ θυγατέρες· τούτοις δέ εἰσι κεκαλλωπισμέναι, περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ· κἀκείνῳ μὲν εἰσὶν υἱοὶ υἱῶν, τούτοις δὲ

1. Παρμ. 8, 15. 2. Α' Κορ. 4, 8. 3. Ἡσ. 3, 16. 4. Λουκ. 12, 18.

οὐχί· ἔτι ἐκείνῳ μὲν οὐκέτι ταμεῖον οὐδὲ ἀποθήκη· τούτων δὲ τὰ ταμεῖα πλήρη ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο· καὶ κατὰ τὸ Εὐαγγέλιον δὲ τοῖς τρεφομένοις ὑπὸ τοῦ οὐρανίου Πατρὸς πετεινοῖς τοῦ οὐρανοῦ οὐκέτι ταμεῖον οὐδὲ ἀποθήκη.[1] Υἱοὶ οἱ αἱρετικοὶ λόγοι, καὶ τὰ νοήματα ὡς νεόφυτα, διὰ τὴν καινοτομίαν· θυγατέρες αἱ λέξεις· κεκαλλωπισμέναι δὲ διὰ τὴν φράσιν, ναὸν οὖσαι τοῦ φρονήματος.

Στίχ. ιδ'. «Οὐκ ἔστι κατάπτωμα φραγμοῦ», κ.τ.λ.

Καὶ ἐν τῷ Ἰὼβ εἴρηται· «Διὰ τί ἀσεβεῖς ζῶσι, πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ;[2]» καὶ τὰ ἐφεξῆς· πλὴν ἐπιφέρει· «Οὐ μὴν καὶ ἀσεβῶν λύχνος σβεσθήσεται.[3]» Καὶ ἐν ἑβδομηκοστῷ δευτέρῳ ψαλμῷ λέγεται· «Ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν[4]», καὶ τὰ ἑξῆς· ὧν καὶ αὐτῶν ἡ λύσις ἐπάγεται ἐν τῷ, Πῶς ἐγένοντο εἰς ἐρήμωσιν; ἐξάπινα ἀπώλοντο διὰ τὴν ἀβουλίαν αὐτῶν, ὡς ἐνύπνιον ἐξεγειρομένων.

## ΨΑΛΜΟΣ ΡΜΔ'.

Οὔτε δι' ὀργάνου τοῦ καλουμένου ψαλτηρίου λέλεκται τὰ προκείμενα, οὔτε δι' ᾠδῆς, καθ' ἕτερον δὲ τρόπον, «Αἴνεσις» ἐπιγέγραπται.

Στίχ. β'. «Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε.»

Ἀρχὴ παρ' Ἑβραίοις τοῦ παρόντος στίχου τὸ βήθ. Διδάσκει δὲ ὅτι προσήκει ὥσπερ ὀφειλὴν ἑκάστης ἡμέρας τῷ Θεῷ τὸν ὕμνον ἀποδιδόναι.. μηδεμιᾶς ἡμέρας τῷ Θεῷ ὕμνον ὀλιγωρεῖν καὶ ἀπολιμπάνεσθαι. Διανοίᾳ μὲν οὖν καὶ λογισμοῖς, καὶ αὐτῇ τοῦ ἐν ἡμῖν πνεύματος δυνάμει αὐτὸν τὸν Θεὸν ὑψοῦμεν καὶ εὐλογοῦμεν· χείλεσι δὲ καὶ θνητοῖς ῥήμασι τοῦ Θεοῦ τὸ ὄνομα δοξάζομεν· Ἀεὶ σέ, φησίν, ὑμνῶν διατελῶ, καὶ οὐδεμίαν ἄμοιρον ἐάσω τῆς ὑμνῳδίας. Ἀντὶ δὲ τοῦ, «εἰς τὸν αἰῶνα τοῦ αἰῶνος», ὁ μὲν Ἀκύλας «εἰσέτι», ὁ δὲ Σύμμαχος «διηνεκῶς» ἡρμήνευσαν. — Ἀκόλουθα δὲ πάντα τοῖς προλαβοῦσι· εἰπὼν γὰρ «εὐλογήσω καὶ ὑψώσω», δείκνυσιν ὡς οὐδὲν αὐτῷ προστίθησιν ἡ παρ' ἡμῶν εὐφημία· ἑαυτοὺς δὲ λαμπρύνομεν, αἶνον δὲ εἰς τὸν αἶνον προσάγοντες.

Στίχ. ζ'. «Καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται.»

Διὰ τούτων διδάσκει τοῦ Θεοῦ τὰς ἀρετάς, ὅσαι εἰς ἡμᾶς διήκουσιν, ἀφ' ὧν αὐτὸν καὶ γνωρίζομεν· τὰς γὰρ ὑπὲρ ἡμᾶς ἀθεωρήτους ἡμῖν οὔσας καὶ ἀκαταλήπτους, οὐχ οἷόν τέ ἐστι θνητῇ φύσει περιλαβεῖν. Ἀεὶ δὲ εἰς ἡμᾶς φθάνουσαι τοῦ Θεοῦ ἀρεταί, ἀφ' ὧν αὐτὸν γινώσκομεν, αἱ φωναί εἰσιν αὗται.

Στίχ. η'. «Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος», καὶ τὰ ἀκόλουθα.

Μὴ γὰρ ὄντας ἡμᾶς, μηδὲ ὑφεστῶτας, παρήγαγεν εἰς φῶς· εἶτα πολλὰ δρῶντας κακὰ καὶ καταφρονητικῶς ἔχοντας αὐτοὺς οὐ

1. Πρβλ. Ματθ. 6, 26. 2. Ἰὼβ 21, 7. 3. Ἰὼβ 21, 17. 4. Ψαλμ. 72, 3.

μετέρχεται κατ' ἀξίαν· ἐμ..δὲ ἐλεεῖ, ἀλλὰ καὶ μακροθυμεῖ προσκαλούμενος ἡμᾶς εἰς μετάνοιαν, διὰ τὸ μὴ βούλεσθαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν αὐτοῦ· οὐ μόνον δὲ περὶ τοὺς οἰκείους τοῦτό ἐστιν, ἀλλὰ καὶ περὶ πάντας ἁπαξαπλῶς, ἐπεὶ καὶ χρηστός ἐστι τοῖς σύμπασιν.

Στίχ. θ'. «Καὶ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ.»

Ἐπειδὴ οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, ἀκολούθως λέλεκται· «Ἐξομολογησάσθωσάν σοι πάντα τὰ ἔργα σου·» προσοφείλεται αὐτῷ ὡς καὶ αὐτὰ τὰ νομιζόμενα εἶναι ἄψυχα, φωνὴν ἀφιέντα μονονουχὶ εὐχαριστεῖν καὶ ἐξομολογεῖσθαι τῷ ποιήσαντι αὐτά. Μετέχει γὰρ τῆς αὐτοῦ σοφίας ἕκαστον αὐτοῦ τῶν ἔργων ποικίλως κατεσκευασμένον, καὶ πανσόφως μετέχον τῆς δημιουργικῆς δυνάμεως· ἀφωρισμένως δὲ καὶ ἐξαιρέτως οἱ ὅσιοι αὐτοῦ τὸ μεῖζον τῆς ἐξομολογήσεως ἀποδιδόασι· δι' ὧν γὰρ φρονοῦσι καὶ πράττουσι, τὴν βασιλείαν αὐτοῦ ἐροῦσιν, ἐμφανίζοντες προγευστικῶς, ὡς αὐτῷ στρατευσάμενοι δόξαν εἶναι τῆς βασιλείας αὐτοῦ· λαλήσουσι δὲ καὶ συμφυῆ δυναστείαν τῇ βασιλείᾳ, ὡς ἕκαστα τῶν κτισμάτων τεταμένως αὐτῷ ὑποτέτακται· ὄντες φιλάνθρωποι οἱ τῆς πρὸς σὲ καὶ παρὰ σοῦ ὁσιότητος μεταποιούμενοι, ἀφθόνως ὧν ἔσχον ἀγαθῶν μεταδιδόασι τοῖς τῶν ἀνθρώπων υἱοῖς διδασκαλικῶς· μόνων γὰρ τῶν τὴν ἀνθρωπίνην ζωὴν ὑπεραναβεβηκότων διδάσκαλος καὶ καθηγητὴς ὁ Χριστός, τῶν ἔτι τυγχανόντων υἱῶν ἀνθρώπων διδασκάλων γινομένων ὑπὸ τῶν ὑπὸ Χριστοῦ πεπαιδευμένων· Παῦλος γοῦν ὁ μὴ παρὰ ἀνθρώπων, ἢ δι' ἀνθρώπων [1], ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ παραλαβὼν καὶ διδαχθεὶς τὸ Εὐαγγέλιον, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ· ἀμέλει γοῦν καὶ αὐτὸς ὁ Σωτὴρ ἐκπέμπει τοὺς ἀποστόλους ἐπὶ τῷ μαθητεῦσαι πάντα τὰ ἔθνη, πρότερον παιδεύσας αὐτοὺς μὴ καλεῖν διδάσκαλον ἐπὶ τῆς γῆς· ἃ τοίνυν παρ' αὐτοῦ μανθάνουσιν οἱ ὅσιοι, γνωρίζουσι τοῖς τῶν ἀνθρώπων υἱοῖς.

Στίχ. ιδ'. «Πιστὸς Κύριος ἐν τοῖς λόγοις αὐτοῦ.»

Πιστὸς δὲ ὁ Θεὸς οὐχ ὡς μετέχων πίστεως, ἀλλ' ὡς ἀξιόπιστος εἴρηται· πάντα γὰρ ἃ λέγει γίνεται· κατὰ τό, «Αὐτὸς εἶπεν· Οὐχὶ ποιήσει καὶ οὐχὶ ἐμμενεῖ; [2]» λέγει δὲ καὶ τό· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.[3]» Καὶ ὅσιος δέ, ὡς ὁσιότητος μεταδιδοὺς τοῖς ἔργοις αὐτοῦ· ὥσπερ καὶ ἅγιος ἐν τοῖς μετέχουσι τῆς ἁγιότητος αὐτοῦ· καὶ σοφία ἐστὶν ὁ Σωτὴρ ἐν τοῖς κατ' κατ' αὐτὸν σοφοῖς.

Στίχ. ιε'. «Σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ.»

Φησὶ δὲ καὶ ὁ Εὐσέβιος, ὡς οὐ μόνον ἰατρός ἐστιν ὁ Θεὸς τῶν πεπτωκότων, καὶ θεραπευτὴς τῶν κατερραγμένων, ἀλλὰ καὶ τροφεὺς τῶν ἁπάντων· διὸ καὶ πάντων τῶν λογικῶν τε καὶ ἀλόγων ζῴων οἱ

---

1. Πρβλ. Γαλ. 1, 1. 2. Ἀριθ. 23, 19. 3. Λουκ. 21, 23.

ὀφθαλμοὶ ἄνω εἰς αὐτὸν ἀναβλέπουσι, καὶ φυσικαῖς τισι καὶ διδακταῖς ὁρμαῖς πρὸς αὐτὸν πάντων ἀφορώντων, αὐτὸς οἷα πατὴρ ἀγαθὸς τὰς τροφὰς τοῖς καιροῖς ἐπιτηδείως ἄλλοτε ἄλλας χορηγεῖ, τοῖς πᾶσιν τὴν χεῖρά τε τὴν δημιουργικήν, τουτέστι τὴν δύναμιν, ἐξαπλῶν ἀφθόνως καὶ ἀνεπικωλύτως πᾶν ζῷον ἐμπίπλησι τῆς τῶν ὑπ' αὐτοῦ δωρουμένων ἀπολαύσεως.

Στίχ. ιη'. «Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ.»

Εἶτα ἐπειδὴ ὀλίγων ἐστὶ τὸ δύνασθαι ἐπιστημόνως αὐτὸν ἐπικαλεῖσθαι, καὶ καταξιοῦσθαι αὐτοῦ τῆς ἀκοῆς, ἐπιφέρει ἀναγκαίως ἐπαναλαβὼν τὸν λόγον καὶ φησὶν ὅτι οὐ πᾶσι τοῖς ἐπικαλουμένοις αὐτόν, ἀλλὰ μόνοις τοῖς ἐν ἀληθείᾳ τοῦτο πράττουσιν ἐπιτυγχάνει· τῶν γὰρ μὴ τοιούτων μακρὰν ἀφέστηκεν· οἷς καὶ φησίν· «Αἱ ἁμαρτίαι ὑμῶν διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν·[1]» περὶ τούτων δὲ καὶ ἀλλαχοῦ λέλεκται· «Διότι οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται.[2]» Πᾶσι μὲν οὖν ἐγγὺς κατὰ πρόνοιαν, κατὰ σχέσιν δὲ τοῖς σὺν ἐπιστήμῃ καλοῦσι· τοῦτο γὰρ τό, «ἐν ἀληθείᾳ.»— Μετὰ τὴν κοινὴν δὲ πρόνοιαν ἐξαίρετον τὴν περὶ τῶν πιστῶν ἐπενήνοχε, τὸ τοιούτων ἐγγὺς εἶναι, καὶ μειζόνως αὐτῶν προνοεῖσθαι.

Στίχ. κα'. Αἴνεσιν Κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.»

Τέως μὲν αἰνῶν οὐ διαλείψω Θεόν. Εὔχομαι δὲ καὶ θᾶττον ἀποβῆναι τὴν λέγουσαν προφητείαν· «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα·[3]» καί· «Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον·» ἔσται δὲ τοῦτο ἡνίκα τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, ὅτε καὶ πᾶν γένος ἀνθρώπων σωθήσεται· στόμα δὲ λέγει τὸ νοητόν, περὶ οὗ καὶ ἀλλαχοῦ· «Πᾶσα σὰρξ εὐλογοῦσα τὸ ὄνομα Κυρίου ἔσται», δηλονότι «εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος[4]», ὀψομένη τὸ σωτήριον τοῦ Θεοῦ, καὶ οὐκ οὖσα ὡς χρόνος.

## ΨΑΛΜΟΣ ΡΜΕ'.

Τὸ ἀλληλούϊα αἶνον Κυρίου σημαίνει· οὕτως γὰρ ἑρμηνεύεται ἡ λέξις· ἔστιν οὖν καὶ τὸ προκείμενον, αἶνος· διὸ δὴ ἀρχόμενός φησιν ὁ λόγος· «Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον», ἤτοι τοῦ πνεύματος τῇ ψυχῇ παρακελευομένου, ἢ αὐτῆς ἑαυτῇ· εἶθ' ὑπακούσασα τῷ προστάγματι, προθύμως ἀποκρίνεται λέγουσα· «Αἰνέσω Κύριον ἐν ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.» Εἰ δὲ ἀθάνατός ἐστιν ἡ ψυχή, ἀεί τε ζῇ καὶ ὑπάρχει καὶ μετὰ τὴν τοῦ σώματος ἀπαλλαγὴν δυναμένη, φησίν· Ὡς ἄρα οὐδὲ πώποτε παύσομαι αἰνοῦσα τὸν Κύριον, ἀλλ' εἰς μακροὺς αἰῶνας, καὶ πάντα τὸν τῆς ἀθανάτου ζωῆς μου βίον,

---

1. Ἡσ. 59, 2. 2. Ψαλμ. 72, 27. 3. Ἰωὴλ 3, 1. 4. Ψαλμ. 144, 21.

οὐδὲν ἕτερον πράττουσα τοῦ αἰνεῖν τὸν Κύριον διατελέσω. Ὡς ψυχῆς δὲ ἀκουστέον λεγούσης τό, «ἕως ὑπάρχω», οὐχ ὡς μελλούσης μετ' αὐτὰ μὴ ὑπάρχειν, ἀλλ' εἰς ἄπειρον τὸν τῆς ὑπάρξεως αὐτῆς χρόνον αἰνέσει ἐπαγγελλομένης τὸν Κύριον.

Στίχ. γ'. «Μὴ πεποίθατε ἐπ' ἄρχοντας.»

Ὅμοιον τῷ, «Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχοντας·[1]» τοῦτο δὲ παρίστησι διὰ συλλογισμοῦ· εἰ γὰρ αὐτοί, φησίν, ἑαυτοῖς περιποιήσασθαι σωτηρίαν οὐχ οἷοί τέ εἰσι, τίς ἂν γένοιτο ἀπὸ τῶν τοιούτων ὠφέλεια; οὐδὲ γὰρ δύναται ἑαυτοὺς ἐξελέσθαι τοῦ θανάτου μετὰ τὸ τέλος· τὸ μὲν γὰρ τοῦ θνήσκοντος ἐξελεύσεται πνεῦμα, ἔνθα ἂν ἀπάγῃ ὁ ἀπάγων· ὁ δὲ λοιπὸς ἄνθρωπος ἀποστρέψει εἰς τὴν γῆν αὐτοῦ, νόμον φύσεως πληρῶν ὃν ἐπέσκηψεν ἀρχῆθεν ὁ Θεὸς τῷ Ἀδὰμ εἰπών· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσει·[2]» οὗ λεγόμενον, Οἱ λογισμοὶ πάντες οὓς ἔτι περιὼν τῷ βίῳ συνήγαγε παρ' ἑαυτῷ διανοούμενος, καὶ ὥσπερ τις αἰώνιος συνάγων καὶ θησαυρίζων ἐπὶ γῆς, ποιήσειν τε τὰ δεινὰ ἐπαγγελλόμενος, καὶ πάλιν ἑτέροις ἀπειλῶν, ὑπὸ μίαν ὥραν σβεσθήσονται, καὶ ἀπολοῦνται πάντες οἱ διαλογισμοὶ αὐτῶν, δηλαδὴ τῶν ἀρχόντων τῶν παρὰ πολλοῖς θαυμαζομένων. Λέγοι δ' ἂν καὶ ἄρχοντας τούτου τοῦ αἰῶνος· μεταπτωτὴν γὰρ καὶ οὗτοι ἔχουσι τὴν ἀρχήν· ὁ δὲ Σωτὴρ μόνος αἴτιος σωτηρίας, ὁ λέγων· Σῴζων οὐκέτι πάρεξ ἐμοῦ· εἰ τοίνυν ἐξ αὐτοῦ· καὶ οὐκ οἴκοθεν σῴζονται, πῶς ἑτέρους σῴζειν δυνήσονται;

Στίχ. ς'. «Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα.»

Τῶν λόγων αὐτοῦ, ὧν ἐν ταῖς Γραφαῖς ἐπηγγείλατο, πιστούμενος τὴν ἀλήθειαν· ἐκδικήσειν γὰρ ἐπηγγείλατο τοὺς κατὰ τὸν παρόντα βίον ἀδικουμένους, ἐν καιρῷ τῷ τῆς κρίσεως· καὶ ἄλλη ἐπαγγελία, τό· «Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες, ὅτι αὐτοὶ χορτασθήσονται, ὑμεῖς δὲ πεινάσετε·[3]» ἀλλὰ καὶ αἰσθητῶς τροφὴν ἐν ἐρήμῳ τοῖς πεινῶσι τὸ μάννα παρέσχε, καὶ πέντε χιλιάδας διέθρεψε, καὶ διὰ κοράκων Ἠλίαν, καὶ δι' Ἀμβακοὺμ τοῦ προφήτου τὸν Δανιήλ· ἐποίησε δὲ κρῖμα τοῖς ἀδικουμένοις Ἰωσὴφ καὶ Σωσάννῃ, τῷ μὲν ὑπὸ τῆς Αἰγυπτίας, τῇ δὲ ὑπὸ τῶν κριτῶν Ἰσραήλ, καὶ τῷ Δαυῒδ ὑπὸ Σαούλ. Καὶ πλήρη τῶν τοιούτων τὰ θεῖα συγγράμματα.

Στίχ. ζ'. «Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλούς.»

Πεπεδημένους λύει, ἄφεσιν ἁμαρτιῶν διδοὺς ταῖς σειραῖς τῶν ἰδίων ἁμαρτημάτων κατεσφιγμένοις. Ἔοικε δὲ διὰ τούτων αἰνίττεσθαι τὴν τῶν ἐθνῶν κλῆσιν, καὶ τοῦ Κυρίου τὴν εἰς ἀνθρώπους παρουσίαν, τήν τε δι' αὐτῆς ἅπασι γενησομένην θεραπείαν. Τοῦτο δὲ νοεῖν μοι ἐπῆλθεν εἰς μνήμην ἀναλαβόντι τὴν Ἡσαΐου περὶ τοῦ Σωτῆρος ἡμῶν πρόρρησιν, δι' ἧς φησιν· «Ἰδοὺ τέθεικά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν

1. Ψαλμ. 117, 8, 9. 2. Γεν. 3, 19. 3. Ματθ. 5, 6.

δεδεμένους.[1]» Οὕτω γὰρ καὶ ἐνταῦθα ὁ Κύριος λύει πεπεδημένους· εἴρηται δὲ καὶ τό, «Ὁ Κύριος σοφοῖ τυφλούς·» θαυμάσαι δ' ἔστιν, ὅπως καὶ τοῖς τὰ σώματα πηροῖς πλεῖόν τι συνέσεως πάρεστι, τοῦ Θεοῦ σοφίσαντος αὐτοὺς ἀντὶ τῆς τῶν ὀφθαλμῶν στερήσεως.

Στίχ. θ'. «Ὀρφανὸν καὶ χήραν ἀναλήψεται.»

Αἱ ἀποβαλοῦσαι ψυχαὶ τὸν γενόμενον ἐν κακίᾳ πατέρα αὐτῶν διάβολον, ἢ καὶ ἄνδρα, ὀρφαναὶ καὶ χῆραι ἀναλαμβανόμεναί εἰσι· τούτων ἀναληφθέντων, ἡ τῶν ἁμαρτωλῶν ὁδὸς οὐκ ἄλλη τῆς κακίας οὖσα ὑπὸ Θεοῦ ἀφανισθήσεται. Καὶ ταῦτα μὲν εἴρηνται ἀλληγορικώτερον. Χηρῶν δὲ λέγει οὐ τῶν τυχουσῶν, ἀλλὰ τῶν σὺν ἁγνείᾳ καὶ σεμνότητι διατελουσῶν, ὀρφανῶν δέ, τοὺς θεοσεβείας ἕνεκα καταλιπόντας γενεάς.

## ΨΑΛΜΟΣ ΡΜϚ΄.

Ἐν τῷ παρόντι ψαλμῷ ἀντὶ τοῦ, «αἰνεῖτε τὸν Κύριον», ὁ μὲν Σύμμαχος, «ἀλληλούϊα, ὅτι ἀγαθὸν ᾠδή», εἴρηκεν, ἀνερμήνευτον φυλάξας τὴν Ἑβραίων λέξιν τὴν σημαίνουσαν τό, «αἰνεῖτε τὸν Κύριον.» Ὁμοίως δὲ καὶ ἡ πέμπτη ἔκδοσις, «αἰνεῖτε τὸν ἰά», ἐξέδωκεν. Ὁ μὲν οὖν πρὸ τούτου ψαλμὸς μιᾷ ψυχῇ αἰνεῖν τὸν Κύριον παρακελεύεται· ἐνταῦθα δὲ πλήθεσι λέγεται τό, «αἰνεῖτε τὸν Κύριον·» ἐπειδὴ «οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός[2]», εἰκότως πᾶν τὸ εἰς αὐτοῦ δόξαν ἀναφερόμενον, καὶ εἰς αὐτοῦ τιμὴν πραττόμενον, ἀγαθὸν ἂν εἴη· ὥσπερ οὖν καὶ ἀγαθὸν ὁ ψαλμὸς ὡς ἂν εἰς ἀγαθὸν Θεὸν ἀναπεμπόμενος. Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας, «ἀγαθὸν ἐγκώμιον» ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, «ἀγαθὸν ᾠδή.» Οὐ μὴν ἀλλὰ καὶ ἡ αἴνεσις ἡ εἰς τὸν Θεὸν ἀναπεμπομένη παντός τε εὐώδους θυμιάματος καὶ πάσης ἡδονῆς ἡδίων αὐτῷ τυγχάνει· καὶ γὰρ ὡς ἀληθῶς αἶνος Θεοῦ ἐκ λογικῆς καὶ καθαρᾶς ἀναπεμπόμενος ψυχῆς προσφιλὴς ἂν εἴη αὐτῷ, καὶ ὡς ἂν εἴπερ τις ἡδύς· χαίρει γὰρ καὶ ἀποδέχεται τὸν τοιοῦτον τῆς ἀνθρωπίνης διανοίας καρπόν.

Στίχ. γ'. «Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν.»

Ἐπειδὴ Σωτῆρός ἐστι καὶ ἰατροῦ τὸ ἰάσασθαι καὶ καταδεσμεύειν τὰ συντετριμμένα, εἰκότως καὶ διὰ τούτων νοηθείη αὐτὸς ὢν ὁ Κύριος ὁ Σωτὴρ ἡμῶν, ὁ τοῦ Θεοῦ Λόγος, ὁ εἰπών· «Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες·[3] οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.[4]» Ψυχῶν δὲ ὢν ἰατρός, τοὺς τὴν καρδίαν συντετριμμένους, καὶ τῶν κατὰ φύσιν λογισμῶν παρατετραμμένους, ἐκ τῆς νοητῆς αἰχμαλωσίας λυτρωσάμενος ἰάσεται. Ὁ μὲν Σύμμαχός φησιν, «Ὁ ἰώμενος τοὺς κεκλασμένους τὴν καρδίαν, καὶ ἐπιδεσμῶν κατάγματα αὐτῶν», δηλονότι δεσμοὺς ὑποβάλλων λογι-

1. Ἡσ. 42, 6-7. 2. Μάρκ. 10, 18. 3. Ματθ. 9, 12. 4. Λουκ. 5, 32.

κούς· οὕτω γοῦν ἐπέδησε τοῖς πνευματικοῖς καὶ λογικοῖς δεσμοῖς τὸν ὑπὸ λῃστῶν τραυματισθέντα καὶ συντριβέντα ἐν τῷ καταβαίνειν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ.

Στίχ. γ΄. «Καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. Ὁ ἀριθμῶν πλήθη ἄστρων», κ.τ.λ.

Μετὰ τὸ ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, καὶ δῆσαι τὰ συντρίμματα αὐτῶν, ἐπανάγων εἰς τὴν φυσικὴν ὑγείαν τοὺς πάλαι νενοσηκότας, φωστῆράς τε αὐτοὺς ἀπεργασάμενος, ἀξίους τοῦ παρ' αὐτοῦ ἀριθμοῦ καθίστησι. Συνήθως ὁ λόγος συμπλέκει τό τε περὶ σωτηρίας ἀνθρώπων, καὶ τὰ περὶ τῆς καθόλου Προνοίας, δεικνύς, ὡς οὐ μόνον κήδεται τῶν τοῦ κόσμου μερῶν, ἀλλὰ καὶ τῶν ἀνθρωπίνων δογμάτων· καὶ μόνος ἀριθμὸν ἄστρων οἶδε, καὶ θέσεις, καὶ τὰς αἰτίας, μεγέθη τε καὶ ἀποστήματα, δυνάμεις τε καὶ ἐνεργείας, ἑκάστῳ πρόσφορον ὄνομα τίθησιν.

Στίχ. ζ΄. «Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει.»

Ὁ Σύμμαχος, «Καταλέξατε τῷ Κυρίῳ ἐξομολόγησιν, μελῳδήσατε τῷ Θεῷ ἡμῶν διὰ λύρας.» Ἀκύλας, «Καταλέξατε τῷ Κυρίῳ ἐν εὐχαριστίᾳ, μελῳδήσατε τῷ Θεῷ ἡμῶν ἐν κιθάρᾳ.»

Οἱ προστάττοντες ἑτέροις ἐξομολογεῖσθαι καὶ ψάλλειν, ἕτεροι ἂν εἶεν τῶν προστατтομένων· χορὸς τοίνυν προφητικὸς διὰ τούτων καὶ ἀποστολικὸς ἐπὶ τὸν αὐτὸν Θεὸν τοὺς μὴ ὄντας ἐξ αὐτῶν ἀνακαλεῖται, τοὺς ἀπὸ τῶν ἐθνῶν δηλονότι, λέγοντες· «Ψάλατε τῷ Θεῷ ἡμῶν.» Προστάττει δὲ ὁ λόγος διανοίᾳ μὲν καὶ λογισμοῖς ψυχῆς ἐξομολογεῖσθαι, ἔργοις δὲ τοῖς διὰ τοῦ σώματος ὥσπερ διὰ κιθάρας ἐνεργουμένης ψάλλειν αὐτῷ· συνήθως δὲ τὸ σῶμα ψαλτήριον καὶ κιθάραν ὠνόμασεν, ἅτε εὐρύθμως καὶ μεθ' ἁρμονίας σοφῆς συγκείμενον· ἐν τούτῳ γὰρ ὁ νοῦς ἀνακρουόμενος διὰ τῶν κατ' ἀρετὴν πράξεων τὴν ἔνθεον καὶ πνευματικὴν μελῳδίαν ἀναπέμπει τῷ Θεῷ.

Στίχ. θ΄. «Διδόντι τροφὴν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν.»

Ἦλθε δέ τις εἰς ἡμᾶς φυσικὸς λόγος, ὡς μὴ τρεφομένων νεοττῶν τῶν κοράκων ὑπὸ τῶν γεννησάντων, ὁμοίως τοῖς τῶν ἄλλων ὀρνέων νεοττοῖς· καταλείπεσθαι μὲν γὰρ τῶν κοράκων φασὶ τοὺς νεοττοὺς ὑπὸ τῶν γεγεννηκότων, τρέφεσθαι δὲ ἄλλῳ παραδόξῳ τοῦ Θεοῦ δυνάμει· μηκέτι γὰρ αὐτοῖς πλησιαζόντων γεγεννηκότων, κεχηνέναι τὸ στόμα τροφῆς ἐνδείᾳ, καὶ ἐοικέναι ἐπικαλουμένοις τὸν Θεόν, φυσικῇ τινι ἐνεργείᾳ τὴν τροφὴν αἰτοῦντας παρὰ τοῦ τὸ εἶναι αὐτοῖς δεδωρημένου· οὕτω δὲ φέρεσθαι αὐτοῖς τινα ἐξ ἀέρος τροφὴν κατὰ τοῦ στόματος ὑπό τινος αὔρας συνωθουμένην.

## ΨΑΛΜΟΣ ΡΜΖ΄.

Στίχ. η΄. «Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ.»

Φησὶ δὲ καὶ ὁ Εὐσέβιος. Σφόδρα δὲ ἀπηκριβωμένως μοι δοκεῖ ἡ παροῦσα λέξις διδάσκειν, «Ὁ ἀπαγγέλλων τὸν λόγον αὐτοῦ τῷ Ἰακώβ·» οὐ γὰρ εἴρηκεν, «ὁ ἀποστέλλων», ἢ «ὁ ἀποστείλας.» Ἄλλο δήπου ἐστὶν ἀπαγγεῖλαι, καὶ ἄλλο τὸ ἀποστεῖλαι ἢ ἀποστέλλεσθαι· τὸ μὲν γὰρ προμηνύει τὸ μέλλον καὶ προλέγει· τὸ δὲ παρουσίαν σημαίνει, καὶ τὸν ἀποσταλέντα δι᾿ ἑαυτοῦ κηρύττειν· ὥστε τὴν μὲν ἀπαγγελίαν καὶ τὴν πρόρρησιν τοῦ μέλλοντος, γεγενῆσθαι παρὰ μόνῳ τῷ Ἰσραήλ, τὴν δὲ ἀποστολὴν οὐκ ἂν ἐκείνῳ μόνῳ, ἀλλὰ καὶ πᾶσι τοῖς λοιποῖς ἔθνεσιν. Ἀλλ᾿ ἴσως εἴποι τις ἄν· Καὶ μὴ δηλώσας τοῖς λοιποῖς ἀνθρώποις, πῶς αὐτοὺς κολάζει, καὶ τοὺς πρὸ τοῦ νόμου καὶ τοὺς ἁπανταχοῦ τῆς οἰκουμένης ἁμαρτάνοντας; Καὶ φαμέν· Τούτους μὲν κρίνει ἀπὸ τοῦ φυσικοῦ νόμου καὶ τοῦ ἐν ἡμῖν, τοὺς δὲ Ἰσραηλίτας καὶ ἀπὸ τούτου καὶ ἀπὸ τοῦ γραπτοῦ, ὥστε ἡ πολλὴ εὐεργεσία πλείονος αὐτοῖς κατακρίσεως ὑπόθεσις γίνεται ρεραθυμηκόσι· διὰ τοῦτο καὶ αὐτὸς οὐκ εἶπεν, ὅτι οὐκ ἐποίησε παντὶ ἔθνει, ἀλλ᾿ «οὕτως οὐκ ἐποίησε·» τουτέστιν οὐ πλάκας ἔπεμψεν, οὐ γράμματα τὰ ἐπὶ τοῦ Σινέου ὄρους, ἀλλὰ τοῖς Ἰουδαίοις ἐκ περιουσίας.

## ΨΑΛΜΟΣ ΡΜΗ΄.

Ἐν μὲν τῷ ρμε΄ ψαλμῷ μία καθ᾿ ἑαυτὴν ἡ ψυχὴ τὸν Κύριον αἰνεῖν ἐκελεύετο, φάσκοντος τοῦ λόγου, «Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον.[1]» Ἐν δὲ τῷ μετ᾿ αὐτὸν πλῆθος ἐπὶ τὸν αἶνον ἐκάλει διὰ τοῦ, «Αἰνεῖτε Κύριον, ὅτι ἀγαθὸν ψαλμός·[2]» ἐπὶ δὲ τοῦ ἑξῆς αὐτὴ Ἱερουσαλὴμ τοῦτο πράττειν προσετάττετο ἐν τῷ, «Ἐπαίνει, Ἱερουσαλήμ, τὸν Κύριον.[3]» Ἀκολούθως οὖν ἐκείνοις ὁ προκείμενος αἶνος ἐπιτείνει τὸ παράγγελμα, μετὰ τὴν μερικὴν παρακέλευσιν αὖξον τὸ πρόσταγμα· ἀθρόως τε ὁμοῦ τὴν γενητὴν ἅπασαν κτίσιν τήν τε ὁρωμένην καὶ τὴν ἀόρατον ἐπὶ τὸν αἶνον τοῦ Θεοῦ παρορμᾷ· κατὰ μὲν την ἀρχὴν τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐν τοῖς ὑψίστοις ἀνακαλούμενος· προϊὼν δὲ τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν ταῖς ἀβύσσοις, οὐχ ὡς πάντων ψυχῆς καὶ λόγου μετεχόντων, ἀλλ᾿ εἰς ταῦτα τοὺς λόγου μετειληχότας ἀποβλέπειν κελεύει, καὶ την τούτοις γενομένην σοφίαν καταμανθάνοντας, τὸν Ποιητὴν ἀνυμνεῖν.

Στίχ. ζ΄. «Καὶ πᾶσαι ἄβυσσοι.»

Ἕτερος ἀβύσσους τὴν τῶν καταχθονίων ἔφησε χώραν, κατὰ Παῦλον εἰπόντα· Μὴ εἴπῃς, «Τίς καταβήσεται εἰς τὴν ἄβυσσον[4]», τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν; καὶ ἐν Ἰώβ, «Ἐν δέ», φησίν, «ἴχνεσιν ἀβύσσου περιεπάτησας;[5]» Μήποτε δὲ καὶ τοῦτο πλῆθος ὑδά-

1. Ψαλμ. 145, 1. 2. Ψαλμ. 146, 1. 3. Ψαλμ. 147, 1. 4. Ῥωμ. 10, 7. 5. Ἰὼβ 38, 16.

των δηλοῖ καθ' οὗ περιεπάτησε Κύριος; ὡς ἀφ' ἑτέρας ἀρχῆς εἶναι τό, «'Ανοίγονται δέ σοι φόβῳ πύλαι θανάτου;[1]»

## ΨΑΛΜΟΣ ΡΜΘ'.

Στίχ. α'. «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν», κ.τ.λ.

Τοῦ καινοῦ ᾄσματος... τῇ τῶν ὁσίων Ἐκκλησίᾳ ᾀδομένου, δηλαδὴ τῆς τοῦ Σωτῆρος ἡμῶν Καινῆς Διαθήκης..παλαιῷ προσέχων Ἰσραὴλ τῷ διὰ Μωϋσέως· τὸ καινὸν δὲ τοῦτο παράδειγμα.. εὐφραινέσθω· αὐτὸς γὰρ ἦν ὁ τοῦ Θεοῦ Λόγος ὁ χρηματίσας τῷ Μωϋσεῖ, καὶ τὸν Ἰσραὴλ ἐξαγαγὼν ἐκ τῆς Αἰγύπτου, ποιήσας τε αὐτὸν ἑαυτοῦ λαόν. Τοῖς μὲν οὖν υἱοῖς Σιὼν χαίρειν καὶ ἀγαλλιᾶν πρώτοις παρακελεύεται ἐπὶ τῷ βασιλεῖ αὐτῶν· αὐτὸς δὲ ἦν.. τὸς πάλιν ὁ τοῦ Θεοῦ Λόγος, πάλαι μὲν αὐτῶν βασιλεὺς ὤν, ὕστερον δὲ παραιτηθεὶς [ὑπ' αὐ]τῶν· διὸ πρὸς τὸν προφήτην Σαμουὴλ φησιν· «Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἐμὲ.. μὴ βασιλεύειν ἐπ' αὐτῶν.[2]» Ἐπεὶ δὲ μὴ ὑπήκουσαν τῇ κλήσει, εἰκότως τῆς χάριτος τῆς εὐφροσύνης ἑαυτοὺς ἐστέρησαν· τά γε μὴν ἔθνη τὸν ἐκείνοις πρώτοις κατηγγελμένον βασιλέα ἐπιγνόντα κατεδέξαντο· διόπερ ἡ κατὰ Θεὸν εὐφροσύνη καὶ ἀγαλλίασις μετῆλθεν ἐπ' αὐτά· ὅθεν τὰ μὲν καθ' ὅλης τῆς οἰκουμένης ἔθνη ταῖς ἑαυτῶν Ἐκκλησίαις αἰνοῦσι τὸ ὄνομα αὐτοῦ τοῦ βασιλέως ἑαυτῶν, ἐν χορῷ τοῦ Θεοῦ Λόγου τὸ ὄνομα Ἰησοῦν Χριστὸν μετὰ χορείας δοξάζοντες· ἀλλὰ καὶ ὁ καθεὶς παρ' ἑαυτῷ..νων δ' ἔργων ἀγαθῶν, καὶ διὰ τῶν τοῦ σώματος πράξεων τὰ συντελοῦντα εἰς ὕμνον καὶ δοξολογίαν τοῦ Θεοῦ διαπράττεται. Εἰκότως τοῦτο αὐτὸ προλαβὼν ὁ λόγος προστάττει φάσκων· Ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ· τύμπανον μὲν τὸ σῶμα προσαγορεύων, ψαλτήριον δὲ τὸ πνεῦμα..«νεκρώσαντες τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[3], καὶ τὴν Ἰησοῦ νέκρωσιν ἐν τῷ σώματι περιφέροντες·[4]» οἱ ἀγαλλιώμενοι ἐπὶ τῷ βασιλεῖ αὐτῶν ἅμα τῷ εὐφραινομένῳ.. ποιήσαντι αὐτόν, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψάλλουσιν.

Στίχ. ε'. «Ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.»

Ἄλλως δὲ τὸν θάνατον τῶν ὁσίων ᾐνίξατο διὰ «τῶν κοιτῶν.» Κοίμησιν γὰρ εἴωθε καλεῖν αὐτὸν ἡ Γραφή, λέγοντος καὶ Παύλου· «Περὶ δὲ τῶν κοιμωμένων οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί·[5]» καὶ ἡ Παλαιά φησιν· «Ἐκοιμήθη Δαυῒδ μετὰ τῶν πατέρων αὐτοῦ.[6]»

Στίχ. ς'. «Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν.»

Παραδόξως δὲ Ἀκύλας τὴν ἀποδοθεῖσαν διάνοιαν παρέστησε, δουλεύσας τῇ τῶν Ἑβραίων φωνῇ εἰπών· «Μάχαιρα στομάτων ἐν χειρὶ αὐτῶν.» Ἀλλὰ καὶ περὶ τῶν τοιούτοις ἐναντίων εἴρηταί που·

---

1. Ἰὼβ 38, 17. 2. Α' Βασ. 8, 7. 3. Κολ. 3, 5. 4. Β' Κορ. 4, 10. 5. Α' Θεσσ. 4, 13. 6. Γ' Βασ. 2, 10.

«Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη, καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα[1]», φονευόντων τοὺς ὑπ' αὐτῶν ἡλωκότας. Οἰκείως δὲ τὴν μὲν μάχαιραν τῶν στομάτων ἐν ταῖς πράξεσιν ἐνεργεῖν ὁ λόγος παρέστησε, «τὰς δὲ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ στόματι αὐτῶν», φωνῇ γὰρ ἐχρῶντο ἐπὶ διδασκαλίᾳ τοῦ λόγου, παρὰ τοῖς ἀκούειν δυναμένοις ἀνυψοῦντες τὸν ὕμνον· ταῖς δὲ πράξεσιν ἰσχὺν εἶχον καθαιρετικὴν πάσης ἀντικειμένης δυνάμεως. Χεῖρας μὲν αὐτῶν τὰς πράξεις φησίν, ἤτοι ἣν μετεχειρίζοντο πραγματείαν. Αὕτη δὲ ἦν ὁ εὐαγγελικὸς λόγος, ὃς καὶ ῥομφαία ὠνομάσθη, ἐκδιώκουσα τὰς τῶν πονηρῶν καὶ ἀκαθάρτων πνευμάτων ἀγέλας· ποιεῖν τε τὴν ἐκδίκησιν τῶν ἠδικημένων ἐθνῶν, καὶ ἐλέγχειν τοῦ λαοῦ τὴν εἰδωλολατρείαν.

Στίχ. η'. «Τοῦ δεῖσθαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις», κ.τ.λ.

Ἐπειδὴ οὐκ ἄλλως ἦν ὑπεξαγαγεῖν καὶ ἐλευθερῶσαι τοὺς πάλαι τοῖς δαίμοσι δεδουλωμένους ἢ καθυποτάξαντας πρότερον καὶ καταδήσαντας τοὺς ἄρχοντας αὐτῶν, εἰκότως ἐπιλέλεκται ταῦτα. Νοήσεις δὲ καὶ τοῦτο ἀπὸ τῆς σωτηρίου φωνῆς, δι' ἧς εἴρηται· «Πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει;[2]» Εὐχαὶ τοίνυν ἀποστολικαὶ καὶ λόγοι τε αὐτῶν καὶ διδασκαλίαι καὶ βίος ὁ τούτοις κατάλληλος, αἵ τε κατὰ δαιμόνων ἐνεργοῦσαι πράξεις, δεσμοὺς ἐνεποίουν ταῖς ἀντικειμέναις δυνάμεσιν· καὶ τούτων μάλιστα ταῖς μείζοσι καὶ ἀρχοντικαῖς· ὧν τὰς κατὰ τῶν ἐθνῶν ἐνεργείας τοῖς ἑαυτῶν λόγοις, καὶ ταῖς ἑαυτῶν εὐχαῖς καταδήσαντες οἱ τοῦ Σωτῆρος ἀπόστολοι, ὑπὲρ πάσας τὰς ἐκ σιδήρου πεποιημένας χειροπέδας τὴν δύναμιν αὐτῶν, δι' ἧς περιέτρεχον ὧδε κἀκεῖσε, τὰ ἔθνη πάντα χειρούμενοι, τῷ ἑαυτῶν ἐπηγάγοντο βασιλεῖ.

Στίχ. θ'. «Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον.»

Παραλαβόντες δὲ τὰ ἔθνη εἰς μαθητείαν, τὸν περὶ τῆς κρίσεως αὐτοῖς παρεδίδοσαν λόγον, ἔγγραφον καταλιπόντες τὸ δόγμα, ὥστε ἔχειν διὰ παντὸς εἰς ἀνάγνωσιν, τὴν μνήμην τῶν ἐγγεγραμμένων ποιεῖσθαι. Μετὰ ταῦτα σφόδρα ἀκολούθως ἐπήγαγεν· «Δόξα αὕτη ἐστὶν πᾶσι τοῖς ὁσίοις αὐτοῦ·» ἑκάστῳ γὰρ τῶν ὁσίων τῶν ἀποδεδομένων ἡμῖν δι'... αὐτῶν κατορθοῦται ἡ δόξα, οἷον ὡς ἐπὶ παραδείγματος Παύλου δρ .. λέγειν· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τοὺς ἄρχοντας ἐξουσίας καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου·[3]» δόξα δὲ η .. ου καὶ λαοί, οὓς ἐλευθερώσας ἀπὸ τῆς δαιμονικῆς πλάνης, τῷ Χριστοῦ λόγῳ προσηγάγετο, ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ[4] Ἐκκλησίαν συστησάμενος. Δόξα δὲ αὐτοῦ ἦν καὶ τὰ εἰσέτι καὶ νῦν παραδεδομένα ἐν ταῖς Ἐκκλησίαις ἔγγραφα αὐτοῦ ἀναγνώσματα· ἐν οἷς τὸ κρῖμα τοῦ Θεοῦ τὸ περὶ τῆς δαιμονικῆς καθαιρέσεως περί τε τῆς ἐλευθερίας τῶν ἀνθρωπίνων

1. Ψαλμ. 56, 5. 2. Ματθ. 12, 29. 3. Ἐφ. 6, 12. 4. Ῥωμ. 15, 19.

ψυχῶν ἐγγράφως καταβέβληται· οὕτω δὲ καὶ Πέτρου καὶ Ἰωάννου καὶ τῶν λοιπῶν ἀποστόλων.

## ΨΑΛΜΟΣ ΡΝ΄.

Πρόσαπτε δὲ τὸν νοῦν ἐπιστῆσαι, ὡς ὁ μὲν πρῶτος τῆς ὅλης βίβλου ψαλμὸς ὄλεθρον ἀσεβῶν ἐθέσπιζεν, ἐμακάριζέν τε ἕνα τινὰ καὶ ὡς ἂν σπάνιον τὸν δυνάμενον τῶν ἀσεβῶν βίον διαφυγεῖν. Ὁ δέ γε πάντων τελευταῖος πᾶσαν πνοὴν προσάγει τῇ ὑμνολογίᾳ τοῦ Θεοῦ. Πλὴν εἰ καὶ πᾶσαν πνοὴν ὁ παρὼν λόγος ἐπὶ τὴν ὑμνολογίαν ἀνακαλεῖ, ἀλλ' ἐπεὶ μὴ τρόπος εἷς τῶν πάντων, μηδὲ [μία] διάθεσις, κατ' ἀναλογίαν ἑκάστῳ ὄργανόν τι πρὸς τὸν ὕμνον ἐπιτήδειον ἀφορίζει· ὁ μὲν γάρ τις ἐπαναβεβηκὼς τῇ ἀρετῇ κρειττόνως ὑπὲρ πάντας, τὸν αἶνον ἀποδίδωσιν ἐν ἤχῳ σάλπιγγος, ἐπειδὴ πάντων ὀργάνων μεγαλοφωνοτέρα ἡ σάλπιγξ, καὶ μείζονος καὶ κραταιοτέρας δυνάμεως δεῖ τοῖς αὐτῇ χρωμένοις· τοιοῦτοι ἦσαν οἱ ἱεροὶ τοῦ Σωτῆρος ἀπόστολοι, ὧν δὴ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν [1], τῷ μεγαλοφώνῳ τοῦ εὐαγγελικοῦ κηρύγματος χρησαμένων .. ἀνθρώπων πληρωθῆναι τῆς φωνῆς αὐτῶν. Ἐπειδὴ μὴ πάντες οἷοί τέ εἰσι κατὰ τοὺς ἀποστόλους ἐν φωνῇ σάλπιγγος ὑμνεῖν τὸν Θεόν, συγκαταβαίνει ὁ λόγος καὶ παρακελεύεται ἑτέροις μὲν ψαλτηρίῳ, ἑτέροις δὲ κιθάρᾳ, καὶ.. ἄλλοις ἐν τυμπάνοις .. τοῖς μὲν δι' ἔργων καὶ διὰ τῶν τοῦ σώματος πράξεων, τοῖς δὲ δι' αὐτῆς ψυχῆς ... κινήσεως εὐρύθμως καὶ ἐναρμονίως ... τοῦ Πνεύματος τοῦ κατοικοῦντος ... ἐπ' ἂν λέγῃ· Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· [2] τριῶν δὲ ὄντων τῶν ἐν ἡμῖν .. η ὁ λόγος.

Στίχ. α΄. «Αἰνεῖτε Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ.»

Ὁ μέν τοι Ἀκύλας «ἐν ἡγιασμένῳ αὐτοῦ » φησι· ὁ δὲ Σύμμαχος, «ἐν τῷ ἁγίῳ αὐτοῦ. Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ.» Καὶ μή ποτε τῶν οὐρανῶν καὶ τῶν ὑπὲρ τούτους ὑψίστων· ἕτερός ἐστιν ἅγιος τοῦ Θεοῦ, ὃν καταπλαγέντες καὶ δαίμονες ἔλεγον· «Οἴδαμέν σε τίς εἶ ὁ ἅγιος τοῦ Θεοῦ· [3]» ἐν ᾧ οἱ γενόμενοι, τὸν πρέποντα τοῖς ἄκρως τετελειωμένοις ὕμνον ἀναπέμψαι δυνήσονται. Τί γὰρ μακαριώτερον ἑνωθέντος αὐτῷ, καὶ δι' αὐτοῦ τῷ Πατρί; Χρὴ δὲ καὶ εἰς τοὺς προφήτας καὶ ἀποστόλους καὶ μάρτυρας ἀφορῶντας, ἀνυμνεῖν αὐτῶν τὸν Θεόν, τὸν τοιαύτην ἀνθρώποις ἀγαθῶν ἀνδρῶν φορὰν χαρισάμενον.

Στίχ. β΄. «Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.»

Ἕκαστον γὰρ αὐτοῦ δημιούργημα δεῖται πλείστης ὑμνολογίας· τῆς γὰρ μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας· [4] οὐ λέγει δὲ ἀντίρροπον αὐτοῖς ἀποδοῦναι τὸν ὕμνον· ἀδύνατον γάρ· ἀλλὰ τὸ κατὰ δύναμιν ἀπαιτεῖ, ἐννοοῦντας τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

---

1. Ψαλμ. 18, 5. 2. Α' Κορ. 14, 15. 3. Μάρκ. 1, 24. Λουκ. 4, 34.
4. Ψαλμ. 144, 3.

# ΠΙΝΑΞ

## ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*


| | | Σελ. |
|---|---|---|
| Γεν. | 1,1 | 236 |
| | 1,2 | 209 |
| | 1,3 | 234 |
| | 1,3-5 | 236 |
| | 1,9 | 210 |
| | 1,11 | 290 |
| | 1,14 | 294 |
| | 1,25 | 257 |
| | 1,26 | 348 |
| | 2,23 | 232 |
| | 2,7 | 32.257 |
| | 2,8 | 249 |
| | 3,17 | 150 |
| | 3,17-18 | 154 |
| | 3,19 | 150.388 |
| | 4,15 | 161 |
| | 6,3 | 76.98 |
| | 10,7 | 33 |
| | 12,3 | 261.308.369 |
| | 18,20 | 102 |
| | 19,24 | 224 |
| | 22,18 | 38 |
| | 22,18,18,17 | 308 |
| | 25,8 | 51 |
| | 27,29 | 326 |
| | 30,1 | 272 |
| | 30,2 | 272 |
| | 32,28 | 144 |
| | 32,30 | 147 |
| | 39,2 | 114 |
| | 40,8 | 308 |
| | 46,27 | 309 |
| | 49,10 | 39 |
| Ἔξ. | 2,23 | 127 |
| | 2,25 | 310 |
| | 7,1 | 133.256 |
| | 12,23 | 100 |
| | 14,11-12 | 312 |
| | 14,14 | 362 |
| | 14,15 | 367.377 |
| Ἔξ. | 16,2-3 | 93 |
| | 16,6-8 | 95 |
| | 16,17,9 | 93 |
| | 16,12 | 93 |
| | 16,13-14 | 95 |
| | 17,1 | 127 |
| | 17,1-2 | 92 |
| | 17,4-5 | 92 |
| | 17,4,6 | 127 |
| | 17,7 | 93 |
| | 32,9-10 | 40 |
| Λευῒτ | 23,7 | 125 |
| | 23,24 | 125 |
| | 26,12 | 73 |
| Ἀριθ. | 11,1-3 | 94 |
| | 11,4 | 95 |
| | 11,30-34 | 96 |
| | 12,2 | 313 |
| | 14,21 | 40 |
| | 18,20 | 346 |
| | 20,1-3 | 92 |
| | 20,7-8 | 92 |
| | 23,19 | 336 |
| | 24,7 | 37 |
| | 24,9 | 37 |
| Δευτ. | 9,4-6 | 311 |
| | 14,2 | 26 |
| | 16,19 | 132 |
| | 21,23 | 171.173 |
| | 27,26 | 35 |
| | 32,5,6 | 261 |
| | 32,6 | 89 |
| | 32,7 | 388 |
| | 32,8-9 | 222 |
| | 32,8,9 | 59 |
| | 32,9 | 249 |
| | 32,16 | 261 |
| | 32,18 | 129 |


* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

Σελ.

Δευτ. 32,21 . . . . . . . . . 261
32,32 . . . . . . . . . 117
32,39 . . . . . . . . . 277
32,43 . . . . . . . 34.39
42,8-9 . . . . . . . . 224

Ἰησ. Ν. 5,14 . . . . . . . . . 116

Α' Βασ. 2,5 . . . . . . . . . 307
2,7-8 . . . . . . . . 334
4,1 . . . . . . . . . 103
5,1-2 . . . . . . . . 104
5,6 . . . . . . . . . 104
8,7 . . . . . . . . . 392
17,34-37 . . . . . . . 106
24,1-4 . . . . . . . . 378

Β' Βασ. 7,1-17 . . . . . . . . 184

Γ' Βασ. 2,10 . . . . . . . . . 392
10,1-2 . . . . . . . . 33
19,10,14 . . . . . . . 182

Α' Παρλ. 2,6 . . . . . . . . . 169

Α' Ἔσ. 4,34 . . . . . . . . . 84

Α' Μακ. 1,21-25 . . . . . . . 108
1,41-43 . . . . . . . 108
1,54-56 . . . . . . . 108
1,62-64 . . . . . . . 108

Β' Μακ. 1,4 . . . . . . . . . 139
6,18 . . . . . . . . . 110

Ψαλμ. 1,5,6 . . . . . . . . 75
2,6-8 . . . . . . . . 25
2,7 . . . . . . . . . 134
2,8 . . . 67.252.256.371
4,2 . . . . . . . . . 78
4,7 . . . . 117.193.381
5,10 . . . . . . . . . 299
6,7 . . . . . . . . . 11
6,14 . . . . . . . . . 296
7,12 . . . . . . . . . 48
8,4 . . . . . . . . . 236
10,2,3 . . . . . . . . 143
13,3 . . . . . . . . . 278
17,9 . . . . . . . . . 266
17,12 . . . . . . . . . 265
18,5 . . . . . . . 260.394
21,2 . . . . . . . . . 170
21,3 . . . . . . . . . 176

Σελ.

Ψαλμ. 21,10 . . . . . . . . . 14
21,17-19 . . . . . . . 59
21,23 . . . . . . . . . 324
21,26 . . . . . . . . . 59
21,31 . . . . . . . . . 14
21,33 . . . . . . . . . 59
22,1 . . . . . . . . . 258
22,1-2 . . . . . . . . 292
22,5 . . . . . . . . . 292
23,7-9 . . . . . . . . 244
23,10 . . . . . . . . . 244
26,6 . . . . . . . 136.192
28,6 . . . . . . . . . 196
29,4 . . . . . . . . . 171
30,2,3 . . . . . . . . 14
30,3 . . . . . . . . . 15
31,1 . . . . . . . . . 150
31,9-10 . . . . . . . . 97
33,8 . . . . . . . . . 227
33,12 . . . . . . . . . 254
35,7 . . . . . . . . . 272
35,10 . . . . . . . . . 193
35,12 . . . . . . . . . 157
36,30 . . . . . . . . . 363
37,4-6 . . . . . . . . 11
38,2 . . . . . . . . . 363
39,2-3 . . . . . . . . 171
39,3 . . . . . . . . . 253
39,10 . . . . . . . . . 59
39,15-17 . . . . . . . 301
40,6 . . . . . . . . . 279
43,22 . . . . . . . . . 337
44,3 . . . . . . . . . 217
44,6 . . . . . . . . . 83
44,7-8 . . . . . . . . 243
45,5 . . . 38.119.164.165
46,2 . . . . . . . . . 123
47,2 . . . . . . . . . 164
48,17-18 . . . . . . . 74
48,21 . . . . . . . . 54.98
49,1 . . . 47.147.186.256
49,3 . . . . . . . . . 47
49,14,15 . . . . . . . 76
51,10 . . . . . . . . . 293
56,3 . . . . . . . . . 223
56,5 . . . . . . . . . 393
61,11 . . . . . . . . . 15
62,2 . . . . . . . 355.381
62,9 . . . . . . . . . 56
62,12 . . . . . . . . . 320
67,12 . . . . . . . . . 306
67,32 . . . . . . . . . 32
68,2 . . . . . . . . . 383

| | | Σελ. |
|---|---|---|
| Ψαλμ. | 68,30 | 11 |
| | 69,2-4 | 11.14 |
| | 69,5,6 | 12 |
| | 70,1-5 | 13 |
| | 70,6-7 | 15 |
| | 70,6-9 | 80 |
| | 70,8-11 | 17 |
| | 70,12-16 | 18 |
| | 70,17 | 20 |
| | 70,22-24 | 22 |
| | 71,1,2 | 23 |
| | 71,3 | 27 |
| | 71,6-8 | 29 |
| | 71,10-11 | 76 |
| | 71,12 | 34 |
| | 71,15,16 | 36 |
| | 71,16-17 | 37 |
| | 71,18-20 | 39 |
| | 72,3 | 385 |
| | 72,4-9 | 50 |
| | 72,10 | 51 |
| | 72,18-19 | 42 |
| | 72,25-28 | 55 |
| | 72,27 | 178.387 |
| | 73,1 | 45.57.66.79.81.109.128 |
| | 73,1-9 | 42 |
| | 73,2-7 | 59 |
| | 73,6-7 | 68 |
| | 73,8,9 | 61 |
| | 73,10,11 | 61 |
| | 73,12-17 | 62 |
| | 73,14 | 189 |
| | 73,18 | 64 |
| | 73,19-21 | 64 |
| | 73,22,23 | 65 |
| | 74,1 | 42 |
| | 74,2 | 66 |
| | 74,2,3 | 70 |
| | 74,3 | 70 |
| | 74,3,4 | 66 |
| | 74,4 | 70 |
| | 74,5-6 | 68.71 |
| | 74,7-9 | 68 |
| | 74,10-11 | 70 |
| | 75,1 | 43 |
| | 75,2,3 | 70 |
| | 75,3 | 73 |
| | 75,5 | 74 |
| | 75,8 | 75 |
| | 75,11 | 75 |
| | 75,12,13 | 76 |
| | 76,1 | 43 |
| Ψαλμ. | 76,2 | 77 |
| | 76,3 | 78 |
| | 76,5 | 79 |
| | 76,6 | 380 |
| | 76,6,7 | 80 |
| | 76,11-13 | 80 |
| | 76,14,15 | 81 |
| | 76,17-19 | 82 |
| | 76,20-21 | 84 |
| | 77,1 | 44.85 |
| | 77,3-7 | 87 |
| | 77,9-12 | 89 |
| | 77,13 | 91 |
| | 77,14-17 | 92 |
| | 77,18-25 | 93 |
| | 77,26-31 | 95 |
| | 77,32-35 | 96 |
| | 77,36-39 | 97 |
| | 77,40-48 | 98 |
| | 77,49-51 | 99 |
| | 77,52-53 | 101 |
| | 77,59-65 | 102 |
| | 77,68,69 | 105 |
| | 77,67 | 109 |
| | 78,1-4 | 107 |
| | 78,5-11 | 108 |
| | 78,10 | 110 |
| | 78,11 | 111 |
| | 78,12,13 | 111 |
| | 79,1 | 45 |
| | 79,2 | 112 |
| | 79,6 | 281 |
| | 79,9 | 117 |
| | 79,13 | 128 |
| | 79,18 | 121 |
| | 80,1 | 46.47.130 |
| | 80,2 | 122 |
| | 80,3 | 38 |
| | 80,6 | 126 |
| | 80,11 | 353.363 |
| | 80,12 | 137 |
| | 80,14,15 | 128 |
| | 81,1 | 147.186.187.256 |
| | 81,2,3 | 131 |
| | 81,4 | 132 |
| | 81,6 | 147.158.186 |
| | 82,2 | 135 |
| | 82,3-4 | 144 |
| | 82,4-5 | 136 |
| | 82,6,7,8 | 137 |
| | 82,10-12 | 138 |
| | 82,14 | 139 |
| | 83,2 | 140.142.149 |

| | | Σελ. | | | Σελ. |
|---|---|---|---|---|---|
| Ψαλμ. | 83,4 | 143 | Ψαλμ. | 89,3-7 | 211 |
| | 83,5 | 144 | | 89,8-10 | 215 |
| | 83,6,7 | 145 | | 89,11-12 | 216 |
| | 83,9 | 146 | | 90,1,2 | 217 |
| | 83,10 | 147 | | 90,3-9 | 219 |
| | 83,11 | 148 | | 90,10-12 | 226 |
| | 83,12 | 148 | | 90,13 | 219 |
| | 84,2 | 150 | | 91,2-4 | 231 |
| | 84,3 | 150 | | 91,5 | 235 |
| | 84,4-7 | 151 | | 91,6,7 | 236 |
| | 84,8 | 151 | | 91,8 | 237 |
| | 84,9 | 152 | | 91,9-12 | 238 |
| | 84,10 | 152 | | 91,13,14 | 239 |
| | 84,11 | 152 | | 91,15,16 | 240 |
| | 84,12 | 152 | | 92,1 | 190.241 |
| | 84,13 | 153 | | 92,2,3 | 243 |
| | 85,1 | 155 | | 92,3 | 197 |
| | 85,2 | 157 | | 92,4 | 244 |
| | 85,8-10 | 158 | | 92,5 | 246 |
| | 85,11 | 160 | | 93,1 | 247 |
| | 85,12 | 160 | | 93,2-4 | 248 |
| | 85,13 | 160 | | 93,5-7 | 248 |
| | 85,14 | 160 | | 93,8-11 | 249 |
| | 85,16 | 161 | | 93,12,13 | 251 |
| | 85,17 | 161 | | 93,14,15 | 251 |
| | 86,1-4 | 162 | | 93,16-18 | 252 |
| | 86,2,3 | 277 | | 93,19 | 253 |
| | 86,3 | 38.164 | | 93,20 | 254 |
| | 86,5,6 | 167 | | 93,21-23 | 254 |
| | 86,7 | 167 | | 94,1 | 254 |
| | 87,2 | 2 | | 94,2 | 255 |
| | 87,3 | 170 | | 94,4 | 256 |
| | 87,4,5 | 170 | | 94,5 | 256 |
| | 87,6 | 171 | | 94,6 | 257 |
| | 87,7 | 172 | | 94,7,8 | 262 |
| | 87,14 | 175 | | 94,8 | 258 |
| | 87,16-19 | 176 | | 94,9-11 | 259 |
| | 88,2 | 178 | | 94,10,11 | 232 |
| | 88,3 | 180 | | 95,1 | 150.155.383 |
| | 88,4-6 | 180 | | 95,2 | 260 |
| | 88,5-6 | 37 | | 95,3 | 262 |
| | 88,7 | 256 | | 95,9,10 | 263 |
| | 88,8 | 186 | | 95,11,13 | 263 |
| | 88,9-11 | 187 | | 96,1 | 150.155.264 |
| | 88,12-13 | 189 | | 96,2 | 265 |
| | 88,14-15 | 191 | | 96,3-7 | 265 |
| | 88,19 | 192 | | 96,7 | 34 |
| | 88,21-25 | 194 | | 96,8-12 | 267 |
| | 88,39-46 | 201 | | 97,1 | 267 |
| | 88,50 | 206 | | 97,2,3 | 268 |
| | 88,51 | 207 | | 79,8 | 197 |
| | 89,1 | 156 | | 98,1,2 | 269 |
| | 89,2 | 208 | | 98,3 | 270 |

Σελ.
Ψαλμ. 98,4 . . . . . . . . . 270
98,6-7 . . . . . . . . 270
98,8 . . . . . . . . . 271
98,9 . . . . . . . . . 271
99,2,3 . . . . . . . . 272
99,4 . . . . . . . . . 272
100,2,3 . . . . . . . . 273
100,3 . . . . . . . . . 274
100,5 . . . . . . . . . 274
100,7 . . . . . . . . . 275
100,8 . . . . . . . . . 276
101,1 . . . . . . . . . 156
101,2-6 . . . . . . . . 278
101,3 . . . . . . . . . 278
101,5 . . . . . . . . . 286
101,6-16 . . . . . . . 286
101,7 . . . . . . . . . 280
101,8 . . . . . . . . . 281
101,12-14 . . . . . . . 281
101,15-17 . . . . . . . 282
101,18-25 . . . . . . . 283
101,23 . . . . . . . . 210
101,26-29 . . . . . . . 284
101,28 . . . . . . . . 243
102,1 . . . . . . . . . 284
102,2-4 . . . . . . . . 285
102,17-19 . . . . . . . 287
102,20 . . . . . . . . 288
102,21,22 . . . . . . . 288
103,1,2 . . . . . . . . 289
103,3,4 . . . . . . . . 290
103,5-13 . . . . . . . 290
103,9 . . . . . . . . . 245
103,14,15 . . . . . . . 291
103,15 . . . . . . . . 308
103,16-18 . . . . . . . 293
103,19 . . . . . . . . 293
103,20-24 . . . . . . . 295
103,24 . . . . . . . . 239
103,25 . . . . . . . . 197
103,25,26 . . . . . 188.295
103,27-28 . . . . . . . 297
103,30 . . . . . . . . 297
103,31-33 . . . . . . . 298
103,34 . . . . . . . . 299
103,35 . . . . . . . . 300
104,1,2 . . . . . . . . 302
104,3,4 . . . . . . . . 304
104,5 . . . . . . . . . 306
104,6,7 . . . . . . . . 307
104,8-15 . . . . . . . 307
104,16 . . . . . . . . 308
104,17-22 . . . . . . . 308

Σελ.
Ψαλμ. 104,23,24 . . . . . . . 309
104,25-36 . . . . . . . 309
104,37-38 . . . . . . . 310
104,39 . . . . . . . . 310
104,40-45 . . . . . . . 310
105,1-5 . . . . . . . . 311
105,6 . . . . . . . . . 312
105,7-8 . . . . . . . . 312
105,9 . . . . . . . . . 312
105,10-11 . . . . . . . 313
105,12,13 . . . . . . . 313
105,14-18 . . . . . . . 313
105,19-31 . . . . . . . 314
105,32-40 . . . . . . . 314
105,41-43 . . . . . . . 314
105,44-46 . . . . . . . 315
105,47,48 . . . . . . . 315
106,1-4 . . . . . . . . 316
106,4-5 . . . . . . . . 315
106,6 . . . . . . . . . 317
106,7,8 . . . . . . . . 317
106,9-11 . . . . . . . 317
106,12-14 . . . . . . . 318
106,15-17 . . . . . . . 318
106,18-23 . . . . . . . 318
106,25-40 . . . . . . . 319
106,41 . . . . . . . . 320
106,42,43 . . . . . . . 320
106,43 . . . . . . . . 320
107,2-5 . . . . . . . . 321
107,6–8 . . . . . . . . 321
107,9–11 . . . . . . . 322
107,11–14 . . . . . . . 323
108,2,3 . . . . . . . . 323
108,3,4 . . . . . . . . 324
108,4,5 . . . . . . . . 324
108,6–10 . . . . . . . 325
108,11–13 . . . . . . . 325
108,11,14 . . . . . . . 323
108,14,16 . . . . . . . 325
108,17,20 . . . . . . . 326
108,21–24 . . . . . . . 326
108,25–29 . . . . . . . 327
108,30,31 . . . . . . . 327
108,30,31 . . . . . . . 327
109,1 . . 222.224.233.243
109,2 . . . . . . . . . 328
109,3 . . . . . . . . . 329
109,3,10 . . . . . . . 330
109,4–7 . . . . . . . . 222
110,1-3 . . . . . . . . 329
110,10 . . . . . . . . 82
111,1-3 . . . . . . . . 331

| | | Σελ. |
|---|---|---|
| Ψαλμ. | 111,4-6 | 331 |
| | 111,7,8 | 331 |
| | 11,9,6 | 332 |
| | 112,1,2 | 332 |
| | 112,3,6 | 333 |
| | 112,5,6 | 333 |
| | 112,7-9 | 334 |
| | 113,1,2 | 335 |
| | 113,3 | 82 |
| | 113,3-8 | 335 |
| | 113,9 | 381 |
| | 113,9-12 | 336 |
| | 113,9-26 | 336 |
| | 113,10 | 312 |
| | 113,12 | 143 |
| | 113,17 | 365 |
| | 113,19 | 365 |
| | 113,20 | 365 |
| | 113,21 | 365 |
| | 114,1,2 | 337 |
| | 114,3-8 | 337 |
| | 114,9 | 338 |
| | 115,3 | 22 |
| | 115,3-7 | 339 |
| | 115,6 | 36 |
| | 115,8-10 | 339 |
| | 116,1,2 | 339 |
| | 116,1-3 | 338 |
| | 117,1-4 | 340 |
| | 117,5-15 | 340 |
| | 117,7-9 | 15 |
| | 117,8,9 | 388 |
| | 117,16-18 | 341 |
| | 117,19-21 | 341 |
| | 117,22-26 | 341 |
| | 117,24 | 235 |
| | 117,27 | 341 |
| | 117,28,29 | 342 |
| | 118,1-8 | 342 |
| | 118,3 | 359 |
| | 118,4 | 359 |
| | 118,9 | 343 |
| | 118,17-24 | 243 |
| | 118,25-29 | 343 |
| | 118,30 | 344 |
| | 118,31-32 | 344 |
| | 118,32 | 342 |
| | 118,33 | 344 |
| | 118,34 | 344 |
| | 118,35 | 345 |
| | 118,36-40 | 345 |
| | 118,41-48 | 345 |
| | 118,49-51 | 346 |

| | | Σελ. |
|---|---|---|
| Ψαλμ. | 118,52-56 | 346 |
| | 118,57 | 346 |
| | 118,58-64 | 346 |
| | 118,66 | 347 |
| | 118,67 | 347 |
| | 118,68 | 347 |
| | 118,69 | 347 |
| | 118,70-72 | 347 |
| | 118,73 | 272.348 |
| | 118,74-77 | 348 |
| | 118,78-80 | 348 |
| | 118,81 | 349 |
| | 118,82,88 | 349 |
| | 118,89-91 | 349 |
| | 118,92 | 349 |
| | 118,93 | 350 |
| | 118,94-96 | 350 |
| | 118,97-100 | 350 |
| | 118,101-104 | 350 |
| | 118,103 | 129 |
| | 118,105-106 | 350 |
| | 118,107-112 | 351 |
| | 118,113-116 | 351 |
| | 118,117-120 | 351 |
| | 118,121 | 351 |
| | 118,122 | 352 |
| | 118,123-126 | 352 |
| | 118,127 | 352 |
| | 118,128 | 352 |
| | 118,132 | 353 |
| | 118,133 | 353 |
| | 118,134 | 353 |
| | 118,135,136 | 354 |
| | 118,137-143 | 354 |
| | 118,144 | 354 |
| | 118,145-148 | 354 |
| | 118,149-152 | 355 |
| | 118,153-155 | 355 |
| | 118,157-160 | 355 |
| | 118,161 | 355 |
| | 118,165 | 356 |
| | 118,166 | 356 |
| | 118,167-168 | 356 |
| | 118,169-172 | 357 |
| | 118,173 | 357 |
| | 118,174 | 357 |
| | 118,175-176 | 357 |
| | 118,176 | 272 |
| | 119,1 | 359 |
| | 119,2 | 359 |
| | 120,1 | 359 |
| | 120,2 | 360 |
| | 120,5 | 360 |

| | | Σελ. |
|---|---|---|
| Ψαλμ. | 120,6 | 359 |
| | 121,1 | 360 |
| | 121,4 | 361 |
| | 121,6 | 361 |
| | 122,1 | 361 |
| | 122,2 | 361 |
| | 122,3 | 362 |
| | 123,1-3 | 221 |
| | 123,2 | 362 |
| | 123,3 | 362 |
| | 123,4 | 383 |
| | 123,6 | 362 |
| | 123,7 | 143 |
| | 123,7 | 221 |
| | 124,2 | 362 |
| | 124,5 | 362 |
| | 125,1 | 362 |
| | 125,2 | 363 |
| | 125,3 | 363 |
| | 125,4 | 363 |
| | 125,5 | 364 |
| | 126,1 | 23 |
| | 126,2 | 364 |
| | 127,2 | 365 |
| | 127,3 | 366 |
| | 128,1,2 | 367 |
| | 128,4 | 366 |
| | 129,5 | 367 |
| | 129,7 | 367 |
| | 130,3 | 367 |
| | 131,3-5 | 183 |
| | 131,5 | 227 |
| | 131,11 | 368 |
| | 131,12 | 368 |
| | 131,15 | 368 |
| | 131,18 | 369 |
| | 132,1 | 369 |
| | 132,3 | 369 |
| | 133,3 | 369 |
| | 134,3 | 370 |
| | 134,5 | 371 |
| | 134,6 | 370 |
| | 134,7 | 371 |
| | 134,8 | 371 |
| | 134,13 | 371 |
| | 134,15 | 371 |
| | 134,18 | 372 |
| | 134,23 | 373 |
| | 135,4 | 372 |
| | 135,10 | 372 |
| | 135,13-14 | 91 |
| | 135,19 | 372 |
| | 136,1 | 363 |
| Ψαλμ. | 136,4 | 289 |
| | 137,1 | 374 |
| | 137,2 | 374 |
| | 137,4 | 374 |
| | 137,6 | 375 |
| | 137,7 | 375 |
| | 138,1 | 375 |
| | 138,6 | 375 |
| | 138,16 | 375 |
| | 138,19,20 | 375 |
| | 138,23 | 376 |
| | 139,11 | 376 |
| | 139,12 | 376 |
| | 139,13 | 376 |
| | 140,2 | 234.377 |
| | 140,4 | 377 |
| | 140,6 | 378 |
| | 140,8 | 378 |
| | 141,1 | 378 |
| | 141,4 | 379 |
| | 141,5 | 379 |
| | 141,6 | 379 |
| | 142,4 | 380 |
| | 142,5 | 380 |
| | 142,6 | 380 |
| | 142,7 | 380 |
| | 142,8 | 381 |
| | 142,11 | 381 |
| | 143,2 | 382 |
| | 143,3 | 383 |
| | 143,5 | 383 |
| | 143,7 | 383 |
| | 143,9 | 383 |
| | 143,10 | 383.384 |
| | 143,12 | 384 |
| | 143,13 | 385 |
| | 144,2 | 385 |
| | 144,3 | 394 |
| | 144,7 | 385 |
| | 144,8 | 385 |
| | 144,9 | 336 |
| | 144,14 | 336 |
| | 144,15 | 336 |
| | 144,18 | 387 |
| | 144,21 | 387 |
| | 145,1 | 391 |
| | 145,2 | 15 |
| | 145,3 | 388 |
| | 145,6 | 388 |
| | 145,7 | 388 |
| | 145,9 | 389 |
| | 146,3 | 389.390 |
| | 146,7 | 390.391 |

| | | Σελ. |
|---|---|---|
| Ψαλμ. | 146,9 | 390 |
| | 147,1 | 391 |
| | 147,8 | 391 |
| | 148,7 | 391 |
| | 149,1 | 392 |
| | 149,5 | 393 |
| | 149,6 | 392 |
| | 149,8 | 393 |
| | 149,9 | 393 |
| | 150,1 | 394 |
| Ἰὼβ | 2,6 | 360 |
| | 8,10 | 272 |
| | 10,8,17 | 348 |
| | 21,7 | 385 |
| | 21,7-8 | 77 |
| | 21,11-12,14 | 77 |
| | 21,17 | 385 |
| | 29,3 | 279 |
| | 38,11 | 245 |
| | 38,16 | 391 |
| | 38,16,17 | 21 |
| | 40,25-28 | 189 |
| | 41,1-2 | 189 |
| | 41,25 | 189 |
| Παρμ. | 3,19 | 190 |
| | 8,12,15 | 25 |
| | 8,15 | 384 |
| | 8,22 | 25 |
| | 8,22-25 | 243 |
| | 16,25 | 25 |
| | 20,13 | 274 |
| | 24,16 | 308 |
| | 24,22 | 25 |
| Ἐκκλ. | 1,4 | 208 |
| | 5,3,4 | 76 |
| | 12,13,14 | 376 |
| Ἀσμ. | 2,5 | 83 |
| | 4,11 | 299 |
| Σοφ. Σολ. | 7,27 | 49 |
| | 13,5 | 236 |
| Σοφ. Σειρ. | 3,18 | 12 |
| | 26,3 | 366 |
| Ὡσ. | 2,1 | 119 |
| | 4,2 | 150 |
| | 9,14 | 301 |
| Ἀμ. | 3,12 | 16 |
| Ἀμ. | 5,23 | 269 |
| | 6,3 | 233 |
| | 8,9 | 212 |
| | 8,10 | 60 |
| | 8,11-12 | 317 |
| Μιχ. | 3,6 | 149.212 |
| | 4,1 | 271 |
| | 7,1,2 | 278 |
| Ἰωὴλ | 2,10 | 30 |
| | 3,5 | 66 |
| Σοφ. | 3,10 | 32 |
| Ζαχ. | 1,12 | 282 |
| | 2,1-5 | 252 |
| | 2,14 | 252 |
| | 2,14-15 | 27.86.337 |
| | 3,3 | 360 |
| Ζαχ. | 9,9 | 197 |
| | 11,1 | 37 |
| Μαλ. | 1,2 | 323 |
| | 1,3 | 323 |
| | 1,10,11 | 263 |
| | 1,11 | 20.72 |
| | 1,12 | 72 |
| | 4,2 | 149.212 |
| Ἠσ. | 1,4 | 72 |
| | 1,10 | 72 |
| | 1,13 | 233 |
| | 1,14 | 215 |
| | 1,15 | 377 |
| | 1,17 | 131 |
| | 2,2 | 271 |
| | 2,3 | 254 |
| | 2,3,4 | 86 |
| | 3,46 | 384 |
| | 5,1 | 124.261 |
| | 5,2 | 46.117.141 |
| | 5,4 | 118.119 |
| | 5,5 | 119 |
| | 5,5-6 | 261 |
| | 5,6 | 82.94 |
| | 5,7 | 119.141 |
| | 6,3 | 40 |
| | 9,6 | 116 |
| | 10,33 | 37 |
| | 10,34 | 37 |
| | 11,1 | 41 |

| | | Σελ. |
|---|---|---|
| Ἠσ. | 11,10 | 41 |
| | 14,12 | 133 |
| | 19,11-13 | 91 |
| | 19,19 | 72 |
| | 26,16 | 278 |
| | 26,9 | 355 |
| | 27,1 | 188 |
| | 29,13 | 97.366 |
| | 35,1 | 31 |
| | 35,3-4 | 334 |
| | 40,5 | 356 |
| | 40,6 | 281 |
| | 40,12 | 333 |
| | 40,13 | 81 |
| | 41,1 | 265 |
| | 42,1-4 | 86 |
| | 42,6-7 | 389 |
| | 45,13 | 261 |
| | 49,2 | 83 |
| | 49,5 | 327 |
| | 49,6 | 268 |
| | 50,6 | 227 |
| | 50,11 | 75 |
| | 51,11 | 74 |
| | 52,5 | 72 |
| | 52,7 | 229 |
| | 53,2-3 | 242 |
| | 53,3 | 255 |
| | 53,3-5 | 173.176 |
| | 53,5 | 177 |
| | 53,7 | 363 |
| | 53,8 | 172 |
| | 58,9 | 247.359 |
| | 59,2 | 387 |
| | 59,5 | 215 |
| | 60,19 | 31.149 |
| | 61,1 | 27.34.65.150.154.226 |
| | 61,11 | 139 |
| | 66,8 | 335 |
| Ἰερ. | 1,5 | 272 |
| | 2,21 | 119 |
| | 2,28 | 72 |
| | 6,16 | 381 |
| | 9,23-24 | 304 |
| | 12,7 | 249 |
| | 15,9 | 212 |
| | 17,5 | 15 |
| | 23,23 | 333 |
| | 25,15-19 | 69 |
| | 25,20-22 | 69 |
| | 25,27-28 | 69 |
| | 38,31-32 | 86 |

| | | Σελ. |
|---|---|---|
| Ἰεζ. | 1,16 | 83 |
| | 1,26 | 115 |
| | 1,26-27 | 115 |
| | 3,5 | 367 |
| | 5,5 | 106 |
| | 10,19 | 115 |
| | 17,3 | 37 |
| | 17,12 | 37 |
| | 18,4 | 133.285 |
| | 18,20 | 242 |
| | 37,23 | 15 |
| | 43,82 | 82 |
| Δαν. | 7,10 | 266 |
| | 7,13,14 | 264 |
| Ματθ. | 1,1 | 88 |
| | 1,21 | 40 |
| | 2,16 | 36 |
| | 3,2 | 155 |
| | 3,13-15 | 31 |
| | 3,17 | 31.226 |
| | 4,6 | 229 |
| | 4,7 | 229 |
| | 4,11 | 228.230 |
| | 5,3 | 26.65.150.278.320 |
| | 5,3,10 | 155 |
| | 5,4 | 116.264 |
| | 5,5 | 146 |
| | 5,6 | 388 |
| | 5,8 | 50.321.341.377 |
| | 5,21,27,28 | 19 |
| | 5,44 | 324 |
| | 5,45 | 49 |
| | 6,2 | 126 |
| | 6,4,6,18 | 257 |
| | 6,9 | 156 |
| | 6,10 | 166 |
| | 6,14 | 266 |
| | 6,21 | 361 |
| | 6,26 | 385 |
| | 7,1 | 132 |
| | 7,2 | 182 |
| | 8,11 | 334 |
| | 8,24 | 319 |
| | 8,25 | 245 |
| | 8,25-26 | 319 |
| | 9,12 | 389 |
| | 10,7 | 165 |
| | 10,9 | 28 |
| | 10,19,20 | 145 |
| | 10,24 | 350 |
| | 10,27 | 125 |

| | | Σελ. |
|---|---|---|
| Ματθ. | 11,25 | 66 |
| | 11,28 | 254 |
| | 11,29 | 176 |
| | 12,29 | 393 |
| | 12,40 | 173 |
| | 13,16,17 | 320 |
| | 13,17 | 143.151 |
| | 13,34-35 | 87 |
| | 13,34,35 | 85 |
| | 13,54-55 | 20 |
| | 14,25 | 214 |
| | 15,8 | 366 |
| | 15,8-9 | 97 |
| | 15,19,20 | 276 |
| | 15,24 | 29. 340 |
| | 18,10 | 356 |
| | 18,17 | 283 |
| | 18,20 | 142.328 |
| | 20,16 | 307 |
| | 21,10 | 84 |
| | 22,2-6 | 58 |
| | 22,7 | 58 |
| | 22,45 | 327 |
| | 23,9,10 | 350 |
| | 23,37 | 87.121 |
| | 23,37-38 | 59 |
| | 24,12 | 21 |
| | 24,27 | 266 |
| | 24,29 | 267 |
| | 24,30 | 126 |
| | 24,42 | 53 |
| | 24,43 | 214 |
| | 24,50 | 53 |
| | 25,13 | 74 |
| | 25,34 | 197.255 |
| | 25,41 | 75. 255 |
| | 25,41-43 | 300 |
| | 26,29 | 70 |
| | 26,38 | 38 |
| | 26,39 | 176.178 |
| | 26,42 | 176.178 |
| | 27,25 | 60 |
| | 27,40 | 18 |
| | 28,18. | 242 |
| | 28,19 | 84.262 |
| | 28,20 | 30.35.36.84 |
| Μάρκ. | 1,13 | 224.225.228 |
| | 1,24 | 226.394 |
| | 2,9 | 286 |
| | 4,39 | 320 |
| | 10,18 | 49.389 |
| Λουκ. | 1,31-33 | 201 |
| | 1,32 | 368 |
| | 1,54 | 367 |
| | 1,67,70 | 196 |
| | 1,68 | 367 |
| | 2,1 | 168 |
| | 2,2 | 168.169 |
| | 2,29-30 | 151 |
| | 4,13 | 226 |
| | 4,18 | 150.154.226 |
| | 4,18-19 | 261 |
| | 4,21 | 261 |
| | 4,34 | 181.226.394 |
| | 5,32 | 389 |
| | 6,13 | 35.307 |
| | 6,21 | 278.364 |
| | 6,38 | 182 |
| | 8,5 | 200 |
| | 10,20 | 35 |
| | 10,21,22 | 330 |
| | 11,31 | 33 |
| | 12,18 | 384 |
| | 12,43-44 | 331 |
| | 13,35 | 57.247 |
| | 14,15 | 365 |
| | 15,7 | 162.288 |
| | 18,8 | 21 |
| | 19,42 | 326 |
| | 21,23 | 336 |
| Ἰω. | 1,1 | 160.289 |
| | 1,10 | 40.122 |
| | 1,17 | 153 |
| | 1,18 | 62 |
| | 2,19 | 89.194 |
| | 3,13 | 26 |
| | 3,14 | 177 |
| | 4,6 | 68 |
| | 4,11 | 274 |
| | 4,24 | 289 |
| | 4,42 | 262 |
| | 5,17 | 232 |
| | 5,35 | 369 |
| | 5,46 | 271 |
| | 6,32 | 94 |
| | 6,33 | 95 |
| | 6,35 | 95 |
| | 6,49-50 | 94 |
| | 6,51-52 | 95 |
| | 6,63 | 353 |
| | 6,71 | 307 |
| | 7,38 | 244 |

| | | Σελ. |
|---|---|---|
| Ἰω. | 8,28 | 177 |
| | 8,37 | 307 |
| | 8,39 | 307 |
| | 8,56 | 113 |
| | 8,58 | 113 |
| | 10,11 | 114 |
| | 10,14 | 114 |
| | 10,18 | 17 |
| | 10,33 | 131 |
| | 12,27 | 177 |
| | 12,48 | 131 |
| | 13,13 | 382 |
| | 14,6 | 357 |
| | 14,6 | 365.381 |
| | 14,9 | 354 |
| | 14,21 | 287 |
| | 15,1 | 117.293 |
| | 15,1-5 | 124 |
| | 15,4 | 345 |
| | 16,33 | 255 |
| | 17,3 | 159 |
| | 18,36 | 201 |
| | 38,17 | 392 |
| Πράξ. | 1,20 | 324 |
| | 2,21 | 66 |
| | 3,6 | 28 |
| | 7,14 | 309 |
| | 8,30 | 88 |
| | 8,35 | 363 |
| | 10,34 | 67 |
| Ῥωμ. | 1,16 | 340 |
| | 1,16,17 | 19 |
| | 1,16-17 | 26.67 |
| | 1,20 | 236 |
| | 1,24 | 128 |
| | 2,4 | 48.135 |
| | 2,5 | 259 |
| | 2,28,29 | 71 |
| | 2,28-29 | 235 |
| | 2,28,29 | 373 |
| | 3,23 | 282 |
| | 3,25 | 115 |
| | 5,4 | 278 |
| | 5,14 | 241.346 |
| | 7,24 | 111 |
| | 8,6 | 98 |
| | 8,18 | 253 |
| | 8,26 | 192 |
| | 8,32 | 176 |
| | 8,35 | 220 |
| | 8,37 | 220 |
| Ῥωμ. | 8,38-39 | 220 |
| | 8,55 | 356 |
| | 9,3,4 | 65 |
| | 9,6 | 373 |
| | 9,6,7 | 307 |
| | 10,7 | 21.391 |
| | 10,13 | 66 |
| | 10,15 | 229 |
| | 11,5 | 76 |
| | 11,33 | 80.81.239.366 |
| | 11,34 | 21 |
| | 12,1 | 263 |
| | 15,19 | 393 |
| Α' Κορ. | 1,10 | 369 |
| | 1,24 | 216.242 |
| | 1,26-29 | 27 |
| | 1,30 | 26.153 |
| | 2,9 | 56.366 |
| | 2,10 | 237.366 |
| | 2,11 | 237 |
| | 2,12 | 237 |
| | 3,6 | 240 |
| | 4,8 | 384 |
| | 4,11 | 28 |
| | 4,15 | 28 |
| | 5,13 | 277 |
| | 6,16-17 | 98 |
| | 6,17 | 56 |
| | 8,5-6 | 159 |
| | 8,6 | 224 |
| | 9,9 | 269 |
| | 10,1 | 296 |
| | 10,4 | 92 |
| | 10,18 | 71 |
| | 12,4,8,9 | 84 |
| | 12,27 | 20.174.218.228 |
| | 14,15 | 235.394 |
| | 15,3-4 | 172 |
| | 15,23,24 | 70 |
| | 15,24-26 | 34.66 |
| | 15,33 | 277 |
| | 15,52 | 126 |
| | 15,56 | 242 |
| | 16,21 | 302 |
| Β' Κορ. | 1,3-5 | 253 |
| | 3,18 | 146 |
| | 4,8 | 21 |
| | 4,8,9 | 78 |
| | 4,10 | 392 |
| | 4,18 | 270 |
| | 5,4 | 111.146 |

| | | Σελ. |
|---|---|---|
| Β' Κορ. | 5,21 | 173 |
| | 6,11 | 363 |
| | 8,9 | 13 |
| | 12,2 | 219 |
| | 14,4 | 17.242 |
| Γαλ. | 1,1 | 336 |
| | 2,9 | 68 |
| | 3,13 | 35.171.173 |
| | 4,19 | 28 |
| | 4,26 | 53.73.105.165 |
| Ἐφ. | 1,3 | 39 |
| | 2,14 | 153 |
| | 2,17 | 153 |
| | 4,5-6 | 224 |
| | 5,19 | 235 |
| | 6,12 | 393 |
| Φιλιπ. | 2,7 | 177.327 |
| | 2,8 | 17.29 |
| | 2,9 | 22 |
| | 2,10-11 | 270 |
| | 3,3 | 71 |
| | 3,20 | 220 |
| | 3,21 | 242 |
| | 4,13 | 222.288 |
| Κολ. | 1,20 | 153 |
| | 3,3 | 358 |
| | 3,5 | 392 |

| | | Σελ. |
|---|---|---|
| Α' Θεσσ. | 2,16 | 57.58.65.121 |
| | 4,13 | 392 |
| | 4,15 | 126 |
| | 4,15,16 | 126 |
| | 5,18 | 315 |
| Β' Θεσσ. | 2,3 | 21 |
| Α' Τιμ. | 2,1 | 57 |
| | 2,8 | 78.289.377 |
| | 3,15 | 240 |
| Β' Τιμ. | 4,7 | 344 |
| Ἑβρ. | 1,3 | 49 |
| | 2,14 | 241 |
| | 2,20 | 165 |
| | 3,13 | 258 |
| | 4,9 | 232 |
| | 4,11 | 233 |
| | 6,18 | 181.199.368 |
| | 8,13 | 383 |
| | 11,10 | 296 |
| | 11,37 | 28 |
| | 12,2 | 327 |
| | 12,22 | 53.60.73.105.271 |
| | 12,22,23 | 165 |
| | 13,14 | 296 |
| Α' Ἰων. | 4,18 | 330.365 |

# ΠΙΝΑΞ

## ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ 'Επισκόπου 'Αχαΐας Παντελεήμονος Καρανικόλα.

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) 'Όταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.— γ) 'Όπου ἀπαντᾷ πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σ, ἢ σ-ς, αἱ σελίδες δὲν ἔχουν τοὺς στίχους ἠριθμημένους.


**'Α**αρὼν 44,5. 85,6. 92,32,34. 93,16. 95,25. 133,8. 270,41. σελ. 271. 309,26. σελ. 313. 331,8. 336,33, 37. 340,9. 342,12. 346,29. 365, 16. 372,8,13.

'Αβεδδαρὰ 182,36.

'Αβειρὼν σελ. 313.

Ἄβελ 248,12.

'Αβραὰμ 12,7. σελ. 38. 39,8. 67,25. 71,28. 88,4. 90,35. σελ. 113. 144,31. 181,12. 196,6. 208,34. 231,38. 232,13. 261,5. 268,19. 287,30. 304,6. σελ. 307. σελ. 308. 310,5,40. 325,38. 334,21. 369, 38. 370,1.

'Αγαθά. Θεὸς αἴτιος πάντων — 298, 30.

'Αγαθόν. Σημεῖον εἰς — πῶς νοητέον 161,29 ἑξ.

'Αγαθότης. — Θεοῦ 49,1 ἑξ. 247,35 ἑξ.

'Αγάπη 330,33 ἑξ. — ἐντολῶν Θεοῦ 356,21 ἑξ. — εὐχαριστία καὶ ἐξομολόγησις πρὸς Θεὸν 374,20 ἑξ. — καὶ φυλακὴ μαρτυρίων Θεοῦ 356,32 ἑξ. — πρὸς Θεὸν 267,22. 337,22 ἑξ.

'Αγγαῖος 58,8. 374,3. Ψαλμὸς ΡΙΒ', ἐπιγραφόμενος 'Αλληλούϊα — καὶ Ζαχαρίου 332,24 ἑξ.

Ἄγγελοι 73,20. 'Επιφάνειαι — 62, 29.

Ἄγγελος — τιμωρὸς 97,31.

'Αγέννητος. — Θεὸς 222,39.

'Αγιασμός. — ὅλης τῆς οἰκουμένης διὰ τοῦ, τοῦ Σωτῆρος ἐν τῇ 'Εκκλησίᾳ, ἁγιάσματος 369,9 ἑξ.

Ἅγιοι. — ναός εἰσι Θεοῦ 384,29. — προονομασθέντες βουλὴ εὐθέων 330,18 ἑξ. — τέκνα Θεοῦ 52,23 ἑξ. Βουλὴ — 187,2,3. Θεός, πῶς νοητέος ἐνδοξαζόμενος ἐν βουλῇ — 186,39 ἑξ. Κακοπάθειαι — προδηλωθεῖσαι 227,17. Προσευχαὶ — πᾶσαι ὠφέλιμοι 158,21. Τὸ αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς — αὐτοῦ, πῶς νοητέον 394,25 ἑξ. Ψυχαὶ — δεόμεναι ὑπὲρ οἰκουμένης 300,33.

Ἅγιος. — Θεοῦ σελ. 199. σελ. 200. 394,29.

'Αγνεία. Βίος ἐν παντελεῖ — 30,15.

'Αγῶνες. — Χριστιανῶν 22,1 ἑξ.

'Αδὰμ 222,36. 241,17. 388,13.

'Αδελφοί. Καλὸν καὶ τερπνὸν — ὅτε κατοικοῦσιν ἐπὶ τὸ αὐτὸ 369,14 ἑξ.

Ἅδης. Κάθοδος Χριστοῦ εἰς — προδηλωθεῖσα 170,35 ἑξ. Πύλαι — ἀνοιγεῖσαι ὑπὸ Σωτῆρος 318,33 ἑξ. Ψαλμοὶ προδηλώσαντες τὴν εἰς — κάθοδον Χριστοῦ 170,1 ἑξ.

'Αδικίαι. Δίκαιος ὑπομένει — 347, 32 ἑξ.

'Αδριανὸς 45,38. — νομοθετήσας ἄβατον εἶναι τὴν 'Ιερουσαλὴμ τοῖς 'Ιουδαίοις 45,38 ἑξ.

'Αδωναΐ 210,35.

'Αενδὼρ 138,21,37.

'Αερμὼν σελ. 369.

Ἄζωτος 104,16,32.

Ἄθεοι. Οἷα τὰ ἀποτελέσματα βίου — 139,24 ἑξ.

Αἴγυπτος 36,33. 45,23,25. 69,22. 72, 29. 81,40. 82,10. 85,1,7. 90,38. σελ. 91. 95,26,36. 98,25. 99,15, 37. 100,30,38. σελ. 101. 107,41. 113,3,28. 114,21. σελ. 117. 124, 13,21. σελ. 126. 127,34. 128,5,31.

169,32. 183,23. 213,20. 217,22. 304,7. σελ. 306. 307,2. 309,12, 19. 310,18,26. 311,1. σελ. 312. 314,4. σελ. 335. 337,9. 371,9. 372,27. 373,21. 384,33. 392,9. — λαβοῦσα τὸ ὄνομα τοῦ Μεσραΐμ, υἱοῦ Χαναὰν 101,14 ἑξ.
Αἰθὰν 48,26. — Ἐσδραΐτης 162,26. σελ. 169. 180,1,8.
Αἰθιοπία 32,12,14. 166,29.
Αἰθίοψ 363,32. Χοῦς ἑρμηνευόμενον — 33,27.
Αἷμα. —λυτρωτικὸν 367,20.
Αἰμάν. — Ἐσδραΐτης σελ. 169.
Αἰνεῖν. Ἀλληλούϊα ἑρμηνευόμενον — τὸν Κύριον 302,34. Ἀλληλούϊα σημαῖνον — τὸν Κύριον 370,8 ἑξ.
Αἴνεσις. — Θεοῦ ἀδιάλειπτος 387, 20 ἑξ.
Αἶνος. — Θεῷ, ὑπὸ λογικῆς καὶ καθαρᾶς ἀναπεμπόμενος ψυχῆς 389, 26 ἑξ. — Θεῷ, ὑπὸ πάσης πνοῆς 394,4 ἑξ. — πρὸς Θεόν, ὑπὸ πάσης τῆς κτίσεως γενόμενος 391,22 ἑξ. Ἀλληλούϊα σημαῖνον — Κυρίου 387,31.
Αἱρετικοί. — ἀλαζονευόμενοι κατὰ τοῦ νόμου Θεοῦ 346,1 ἑξ. — δοκῆται 153,13. — λόγοι 385,4.
Αἰσθητά. Ἀναγωγὴ ψυχῆς ὑπὲρ τὰ — 359,29 ἑξ.
Αἰσχύνη. — δι' ἁμαρτήματα 344,18. — Ἰουδαίων, προλεχθεῖσα 18,31 ἑξ. Βασὰν ἑρμηνευόμενον — 373,6.
Αἰχμαλωσία. —Ἰακὼβ ἀποστραφεῖσα, τίς νοητέα 150,22 ἑξ. — Ἰουδαίων ἔθνους προδηλωθεῖσα 204, 13 ἑξ.
Ἀκηδία. — πνεύματος ἀνθρώπου 380,7 ἑξ. Νυσταγμὸς ψυχῆς ἀπὸ — 343, 37ἑξ. Ψαλμὸς ΡΑ', προσευχὴ πτωχοῦ εἰς καιρὸν — 278, 1 ἑξ.
Ἀκκάρων 69,25.
Ἀκύλας — μεταφραστὴς Π. Διαθήκης 15,19. 19,7. 23,3,13. 25,39. 28,30. 29,10,36. 30,10,37. 32,19. 33,10. 35,36. 50,39. 59,31. 60,8. 63,27,39. 64,33. 67,14. 77,8. 80, 36. 83,32. 87,11. 92,15. 93,6,36. 94,25,29. 97,1 σελ. 99. 101,24. 102,30. 103,8. 104,25. 105,23,33. 106,37,39. 108,32. 113,34,36. 116,3. 120,11. σελ. 123. 127,14. 128,20. 130,29. 131,17. 136,5,7. 137,40. 138,7. 146,6,21. 147,15, 33. 148,43. 156,28. 157,36. 158, 9. 160,10,14. 161,9. 162,11. 164, 13. 166,17,27. 167,34. 168,3. 169, 9,20. 171,4,32. σελ. 172. 173,2. 176,36. 177,13. μεταφραστὴς 180,5. 185,7. 187,18. σελ. 191. 192,7. 203,18. 205,3. 207, 16. 208,11,15. 209,15. 218,15,21. 219,15. σελ. 223. 225,9. 226,5. 263,33. 293,36. 320,22. 304,26. 322,30. 323,18,29. 329,3. 332, 34. 335,13,36. 342,4. 343,43. 348,5. 351,43. 366,24. 369,3. 385,26. 389,23. 390,17.
Ἀλαλαγμός. — λαὸς μακάριος ὁ γινώσκων — πῶς νοητέος 192,14 ἑξ.
Ἀλέξανδρος. — Μακεδὼν 108,23.
Ἀλήθεια. — ἐκ γῆς ἀνατείλασα 152, 34 ἑξ. — Θεοῦ ἀπαγγελομένη εἰς γενεὰν καὶ γενεάν,πῶς νοητέα 178, 36 ἑξ. — παρεχομένη ὑπὸ Θεοῦ ἐκ γενεᾶς εἰς γενεὰν 349,26 ἑξ. Ἀρετὴ καὶ γνῶσις — 353,38. Γνῶσις — καὶ πρόοδος 353,32. Ἐκλογὴ ὁδοῦ — 344,5 ἑξ. Ἔλεος καὶ — 152,26 ἑξ. 192,10. Φυλακὴ — καὶ δικαιοσύνης ὑπὸ Θεοῦ 388,23 ἑξ.
Ἀλληλούϊα. — ἑρμηνευόμενον «αἰνεῖτε τὸν Κύριον» 302,35. — σημαῖνον «αἰνεῖτε τὸν Κύριον» 370,8 ἑξ. — σημαῖνον αἶνον Κυρίου 387,31. Ψαλμὸς ΡΔ' ἐπιγραφόμενος — 302.27. Ψαλμὸς ΡΕ' ἐπιγραφόμενος — 311,22 ἑξ. Ψαλμὸς ΡΣΤ' ἐπιγραφόμενος — 316, 1 ἑξ. Ψαλμὸς ΡΙ' ἐπιγεγραμμένος — 329,30. Ψαλμὸς ΡΙΑ' ἐπιγεγραμμένος — 331,1. Ψαλμὸς ΡΙΒ' ἐπιγεγραμμένος — Ἀγγαίου καὶ Ζαχαρίου 332,24 ἑξ. Ψαλμὸς ΡΙΓ' ἐπιγεγραμμένος — 335,3 ἑξ. Ψαλμὸς ΡΙΔ' ἐπιγεγραμμένος — 337,18 ἑξ. Ψαλμὸς ΡΙΕ' ἐπιγεγραμμένος — 338, 18 ἑξ. Ψαλμὸς ΡΙΣΤ' ἐπιγεγραμμένος — 339,25. Ψαλμὸς ΡΙΖ' ἐπιγεγραμμένος — 340,6. Ψαλμὸς ΡΙΗ' ἐπιγεγραμμένος — 342, 21.
Ἀλλοιωθησόμενοι. Ψαλμὸς — 112, 12 ἑξ. Ψαλμὸς ὑπὲρ — 45,14 ἑξ.

Ἀλλοίωσις. — τῆς δεξιᾶς τοῦ Ὑψίστου, πῶς νοητέα 80,34 ἑξ.
Ἀμαλὴκ 48,3. 137,8. 213,23. 382,30.
Ἁμαρτάνοντες. Ἔπαρσις καὶ θράσος — 68,10 ἑξ. Συγχώρησις — 41,38.
Ἁμάρτημα. — ἐν νυσταγμῷ ψυχῆς 343,37 ἑξ.
Ἁμαρτήματα. — Ἰουδαίων λαοῦ ἐν γῇ Χαναὰν 324,23 ἑξ. — Ἰσραὴλ ἐν τῇ ἐρήμῳ 313,15. 314,16. — καὶ αἰσχύνη δι' αὐτὰ 344,18 ἑξ. — κωλύοντα τὸν ἄνθρωπον ἀπὸ τοῦ εὑρεῖν τὸν Θεὸν 305,27 ἑξ. Ἄφεσις — 149,36.
Ἁμαρτία. — πρὸς θάνατον 160,26 ἑξ. Προσευχὴ ὑπὲρ ἐκλείψεως κακοῦ, — ἀνομίας 301,7 ἑξ.
Ἁμαρτίαι. — ἐκαλύφθησαν ὑπὸ Σωτῆρος 150,33 ἑξ. — λαοῦ Ἰουδαίων 312,6 ἑξ. Ἀνοχὴ Θεοῦ ἐφ' — ἀνθρώπων 136,1 ἑξ. Ἄφεσις — 388,34 ἑξ. Ἐξομολόγησις σημαίνουσα — ὁμολογίαν καὶ εὐχαριστίαν 330,5 ἑξ. Προσευχὴ ὑπὲρ ἱλασμοῦ — 110,5 ἑξ. Προφάσεις ἐν — 377,30 ἑξ. Συγχώρησις — προλεχθεῖσα 154,14 ἑξ. Χριστὸς θανὼν ὑπὲρ — ἡμῶν 176,5 ἑξ.
Ἁμαρτωλοί. — θαυμαζόμενοι μετὰ μικρὸν μαρανθήσονται 238,1 ἑξ. — κατισχύσαντες τῶν δικαίων 248,11 ἑξ. Δίκαιοι καὶ — τίνων ἀγαθῶν ἢ κακῶν τεύξονται 240, 20 ἑξ. Ἔκλειψις — ἁμαρτωλῶν ἀπὸ τῆς γῆς, πῶς νοητέα 300,4 ἑξ. Περὶ τοῦ μὴ δεῖν λαμβάνειν πρόσωπον — 131,3 ἑξ. 132,6 ἑξ. Συγκοπὴ αὐχένων — πῶς νοητέα 366,17 ἑξ. Τὸ ἀποκτείνειν τοὺς — τῆς γῆς εἰς τὰς πρωΐας, πῶς νοητέον 276,11 ἑξ. — ὡς χόρτος ἀνατέλλουσι καὶ ξηραίνονται 239, 25 ἑξ.
Ἀμβακοὺμ 388,30.
Ἀμιναδὰβ 182,35.
Ἀμμὼν 48,3. 69,26. 137,8. 138,10.
Ἀμνός. — Θεοῦ 234,10. 367,21. Θυσία — Θεοῦ συμβολισθεῖσα ὑπὸ Πάσχα Ἑβραίων 100,11 ἑξ.
Ἀμορραῖοι. — ἑρμηνευόμενον λαλητοὶ παραπικραίνοντες 373,1.
Ἄμπελος. — λογικὴ 119,33. Ἐκκλησία προσομοιαζομένη πρὸς — 124, 18 ἑξ. Τὸ «— ἐξ Αἰγύπτου μετῆρας», πῶς νοητέον 117,13 ἑξ.
Ἀμφιβολία. Βοήθεια Θεοῦ εἰς λογισμοὺς — 55,16 ἑξ. Βοήθεια παρὰ Θεοῦ κατὰ λογισμοὺς — 54,16 ἑξ.
Ἄμωμοι. — ἤτοι οὐ τέλειοι, μακάριοί εἰσι 342,31 ἑξ.
Ἀναβαθμοί. Ἑρμηνεία ψαλμῶν — ὑπὸ Εὐσεβίου 359,1 ἑξ.
Ἀναβάσεις. — ἐν τῇ καρδίᾳ, πῶς νοητέαι 145,2 ἑξ.
Ἀνακαίνισις 298,19. — γῆς 302,16. — παλαιοῦ ἀνθρώπου προδηλωθεῖσα 286,20 ἑξ.
Ἀνάληψις. — Χριστοῦ 229,34.
Ἀνάμνησις. Ἕτεροι ψαλμοὶ εἰς — ἐπιγεγραμμένοι 11,10 ἑξ. Ψαλμὸς εἰς — ἐπιγεγραμμένος 11,3.
Ἀνάπαυσις. Σάββατον ἑρμηνευόμενον — Θεοῦ 232,17.
Ἀνάστασις 297,27 ἑξ. — κεκοιμημένων ἁγίων 175,32. — νεκρῶν 126, 23. 327,8. — Σωτῆρος 143,5. — Χριστοῦ προδηλωθεῖσα 175, 37 ἑξ. — Χριστοῦ προλεχθεῖσα 14,28 ἑξ. Ἀξία ἡμέρας — 148, 8 ἑξ. Κατάστασις ἀναμαρτησίας μετὰ τὴν — 302,10 ἑξ.
Ἄνδρες. — πνευματοφόροι, συμβολισθέντες δι' ὀρέων 290,33 ἑξ.
Ἀνεξικακία. — Θεοῦ 41,37.
Ἄνθρωποι. — πεπεδημένοι, τίνες νοητέοι 111,13 ἑξ. Ἀποτελέσματα ἐπιλάμψεως Χριστοῦ τῷ τῶν — γένει 40,27 ἑξ. Διαλογισμοὶ μάταιοι — 251,14 ἑξ. Εὐεργεσίαι Θεοῦ πρὸς — 285,32 ἑξ. Κρίσις Θεοῦ πᾶσιν — 68,27 ἑξ. Ταραχὴ — ἀσυνέτων τῇ καρδίᾳ 74,4 ἑξ. — τινές, βίον ἰσάγγελον ἔχοντες 288,20.
Ἄνθρωπος. — δημιουργηθεὶς ὑπὸ χειρῶν Θεοῦ 348,12 ἑξ. — δημιούργημα Θεοῦ 257,1 ἑξ. — εὐγενὲς ζῷον καὶ ὑπὸ τοῦ Θεοῦ τετιμημένον 291,13. — μακάριος μόνος ὁ ἐπὶ Κύριον ἐλπίζων 149, 15 ἑξ. Ἀνακαίνισις παλαιοῦ — 286,20 ἑξ. Ἀξία — 383,1 ἑξ. Θεὸς καταφύγιον — 209,2 ἑξ. Περὶ τοῦ ἐν Χριστῷ τετελειωμένου — προφητεία 219,39 ἑξ. 227, 4 ἑξ. 230,20 ἑξ. Στόμα κρυπτοῦ

353,19 ἑξ. Τὸ «πᾶς — ψεύστης», πῶς νοητέον 338,40 ἑξ.
Ἀνίστασθαι. — τὸν Θεὸν καὶ κατακληρονομεῖν πᾶσι τοῖς ἔθνεσι, πῶς νοητέον 47,15 ἑξ. — τὸν Θεὸν κρίνειν τὴν γῆν, πῶς νοητέον 133, 33 ἑξ.
Ἄννα 304,33. 334,29.
Ἀνομία. Προσευχὴ ὑπὲρ ἐκλείψεως κακοῦ, ἁμαρτίας — 301,7 ἑξ.
Ἀνοχή. — Θεοῦ 135,31. — Θεοῦ ἐφ' ἁμαρτίαις ἀνθρώπων 136,1 ἑξ.
Ἀντιμισθία. — ἀγαθῶν ἢ κακῶν δι' εὐσεβεῖς καὶ ἀσεβεῖς ἀναλόγως 48, 28 ἑξ. — καὶ τιμωρίαι 270,31 ἑξ. — εὐσεβοῦς 56,37.
Ἀντίοχος 47,36. 48,12. 110,8. 138, 17. — βασιλεὺς Συρίας 44,29. 109,16,18. — Ἐπιφανὴς 120,21. — Συρίας βασιλεὺς 137,26,31. Δεινὰ ὑπὸ — προξενηθέντα Ἰουδαίοις προελέχθησαν 107,38,41 ἑξ.
Ἀπάθεια 356,10.
Ἀπιστία. — Ἰουδαίων πρὸς Χριστὸν προδηλωθεῖσα 259,40 ἑξ.
Ἀπογραφή. Ἔννοια — ἐθνῶν γενομένη ὑπὸ Καίσαρος Αὐγούστου 168,25 ἑξ.
Ἀπολλῶς 240,10.
Ἀπόστολοι 42,31. — διάδοχοι Χριστοῦ 202,21. — ἐκλεκτοὶ Θεοῦ 307,18 ἑξ. — κηρύξαντες τὰ ἔθνη τῷ Χριστῷ 393,24. — ὀνομασθέντες ὑπὸ Χριστοῦ οὕτω 35,34. — προλεχθέντες πτωχοὶ καὶ πένητες 34,16 ἑξ. Θάνατος μαρτυρικὸς — 35,39. Προφητεία περὶ — 363,36. Τάγμα — 13,32. 34,38. Φθόγγος — ἐξελθὼν ἐκ πάσης τῆς γῆς 394, 15 ἑξ.
Ἀραβία σελ. 36. — Εὐδαίμων, ἔνθα τὸ Σαβαϊτῶν ἔθνος κατοικεῖ 36, 37.
Ἀρεταί. — θεοπρεπεῖς δικαιοσύνη καὶ κρίμα 192,1. — Θεοῦ ἀθεώρητοι 385,32 ἑξ. Πύλη — 341,15 ἑξ.
Ἀρετή. — καὶ γνῶσις ἀληθείας 353, 38. — τροφὴ καὶ χαρὰ τῇ ψυχῇ εἰσι 365,35. Ἀκατέργαστος ψυχὴ ἡ ἄνευ — καὶ γνώσεως μορφωθεῖσα 375,36. Ἄκρον τελειότητος καὶ ἕξις — 349,1 ἑξ.
Ἀριθμοὶ 92,30. 95,33. 314,17.
Ἀρταξέρξης 315,16.
Ἄρτος. — ἀγγέλων βρωθεὶς ὑπὸ ἀνθρώπων 94,25 ἑξ. — Θεοῦ οὐράνιος ὁ Χριστὸς 129,20. — ὀδύνης 364,39. — οὐράνιος 95,1 ἑξ. 365,37. Λιμὸς οὐκ — 317,3 ἑξ.
Ἀρχάγγελοι 73,20.
Ἀσάφ σελ. 41. 42,22. 43,21,38. 44,6,23. 45,13. 46,38. 47,33. σελ. 48. 54,12. 57,6,18. 66,1,5. 70, 36. σελ. 77. 78,1. 80,18,27. σελ. 85.101,39. 107,13,18. 108,36. 112,13,18. 120,16. 122,17,21. 130,1. σελ. 134. σελ. 135. 140, 34,37. σελ. 141. 162,25. Περὶ ἀριθμοῦ κ.λ. ψαλμῶν ἐπιγεγραμμένων τῷ — 41,31 ἑξ. Περιεχόμενον ἕνδεκα ψαλμῶν τοῦ — 41, 28 ἑξ. Περιεχόμενον Α' ψαλμοῦ τοῦ — 41,35 ἑξ. Περιεχόμενον Β' ψαλμοῦ τοῦ — 42,6 ἑξ. Περιεχόμενον Γ' ψαλμοῦ τοῦ — 42,22 ἑξ. Περιεχόμενον Δ' ψαλμοῦ τοῦ — 43,2 ἑξ. Περιεχόμενον Ε' ψαλμοῦ τοῦ — 43,21 ἑξ. Περιεχόμενον ΣΤ' ψαλμοῦ τοῦ — 44, 26 ἑξ. Περιεχόμενον Ζ' ψαλμοῦ τοῦ — 44,25 ἑξ. Περιεχόμενον Η' ψαλμοῦ τοῦ — 45,13 ἑξ. Περιεχόμενον Θ' ψαλμοῦ τοῦ — 46,10 ἑξ. Περιεχόμενον Ι' ψαλμοῦ τοῦ — 46,38 ἑξ. Περιεχόμενον ΙΑ' ψαλμοῦ τοῦ — 47,33 ἑξ. Περιοχαὶ τῶν ἐπιγεγραμμένων τοῦ — ψαλμῶν 41,28 ἑξ. Ψαλμοὶ ἐπιγεγραμμένοι τῷ — πόσοι εἰσὶ καὶ τίνες 141,1 ἑξ. Ψαλμὸς δωδέκατος τοῦ — 48,16.
Ἀσεβεῖς. — ἀπολαύοντες ἀγαθῶν μέχρι τέλους 50,9 ἑξ. Ἀποτελέσματα βίου — 139,24 ἑξ. Ἡμέραι καὶ ἔτη — 97,2 ἑξ. Ὄλεθρος — 240,36. Πτῶσις — 53,16 ἑξ.
Ἀσκάλων 69,24. 104,37. 138,1.
Ἄσκησις. — προφητῶν κ.λ. 111,20. Θλῖψις καὶ στεναγμὸς πτωχοῦ ἡ — αὐτοῦ 278,30-280,14.
Ἀσκηταί. — ὀλισθήσαντες 49,21 ἑξ.
Ἆσμα. — καινὸν εὐαγγελισθὲν ἔθνεσι 262,2 ἑξ. — καινὸν ἡ Καινὴ Διαθήκη 260,12 ἑξ. 392,4 ἑξ. Κλῆσις ἐθνῶν ἐπὶ — καινῷ 254,31 ἑξ.
Ἀσσοὺρ 48,4,9. 137,9.
Ἀσώματον. — Λόγου Θεοῦ 113,23.

Αὔγουστος. — Καῖσαρ 169,16. Ἔννοια ἀπογραφῆς ἐθνῶν γενομένη ὑπὸ Καίσαρος — 168,25 ἑξ.
Ἀφθαρσία. Περὶ — 66,5 ἑξ.

**Βαὰλ** 72,26.
Βαβυλὼν 37,36. 107,35. 162,10. 163, 23. σελ. 166. 168,17. 198,36. 200,27. 201,11. 204,13. 213,26. 289,18. 316,31. 326,1. 360,25,26. σελ. 363. 364,15,32. σελ. 374. Ἔτη ἀπὸ κατασκευῆς Ναοῦ Σολομῶντος μέχρι μετοικεσίας — ἀπὸ Ζοροβάβελ μέχρι Ῥωμαίων καὶ μέχρι Χριστοῦ 214,12 ἑξ. Ψαλμὸς προφητικὸς ὧν περὶ τῶν ἐν — 374,1 ἑξ.
Βαβυλώνιος. — αἰχμαλωσία Ἰουδαίων 45,31 ἑξ.
Βαλαὰμ 39,4.
Βάπτισμα. — ἅγιον 298,16. — Ἰωάννου, εἰς ὃ προσῆλθεν ὁ Χριστὸς 322,39. — λουτρὸν παλιγγενεσίας 197,6 ἑξ. — σωτηρίας 265,31. Παλιγγενεσία ἐκ — 298,20.
Βαροὺχ 58,4. 280,20.
Βασάν. — ἑρμηνευόμενον αἰσχύνη 373,6. — ἧς βασιλεὺς ἦν ὁ Ὢν 373,5-7.
Βασιλεία. — Θεοῦ 242,4 ἑξ. — Κυρίου 244,28. — οὐρανῶν 26,36. 252,37. — οὐρανῶν διὰ τοὺς τὸν εὐαγγελικὸν κατορθοῦντας βίον 287,40. — οὐρανῶν ἐν μόνῃ τῇ Ἐκκλησίᾳ κηρύσσεται 165,34 ἑξ. — Πατρὸς 242,30. — Χριστοῦ 66,5 ἑξ. — Χριστοῦ 265,34. 269, 34,36. — Χριστοῦ αἰώνιος 202,7 ἑξ. — Χριστοῦ οὐκ ἀνθρωπίνη 201,30 ἑξ. Ἄνθρωποι ζωγρούμενοι τῇ — τῶν οὐρανῶν 368,36 ἑξ. Προφητεῖαι περὶ Θεοῦ — 246, 10 ἑξ. Σάββατον τέλειον ἡ — Θεοῦ 232,34.
Βασιλεῖαι. Βίβλοι — 102,37. Βίβλος — 183,12. Βίβλος Α' — 103,4.25. 104,30. 378,27. Βίβλος Γ' — 33,20. 169,36.
Βασιλεῖς. — οἱ καταξιούμενοι τῆς οὐρανῶν βασιλείας 383,40 ἑξ. — πάντες τῆς γῆς ἐξομολογησόμενοι Κυρίῳ, πῶς νοητέον 374,36 ἑξ.
Βεελφεγὼρ 314,12.
Βέλη. — Χριστοῦ 83,17.
Βενιαμὶν 105,19. 115,38,41. σελ. 116.
Βεσαμὺς 182,35.
Βηθλεὲμ 36,30.
Βίβλος. — Ἑβραίων 337,3,5.
Βίος. — ἰσάγγελος ἀνθρώπων τινῶν 288,20.
Βοανεργές. Υἱοὶ Ζεβεδαίου ὀνομασθέντες — 35,30.
Βοήθεια. — ἐστὶ πιστοῖς ὁ Θεοῦ Λόγος 359,14 ἑξ. — ἐκ Πατρὸς αἰτηθεῖσα ὑπὸ Χριστοῦ προλεχθεῖσα 12,1 ἑξ.
Βουλή. — ἁγίων 187,2,3. — Θεοῦ 187,36. — Θεοῦ οὐ πολυπραγμονεῖται 80,30. — Πατρὸς 172,37. — Ὑψίστου παροξυνθεῖσα ὑπ' ἀνθρώπων 317,41 ἑξ.
Βούλημα. — καὶ κρίμα Θεοῦ 125,39. — νόμου 232,2.
Βούλησις. — Δημιουργοῦ 209,41.

**Γαβριὴλ** 40,9. 201,37. 368,22.
Γάζα 69,24. 138,1.
Γαλαὰδ 322,4,8.
Γάλγαλα 182,33.
Γαλιλαία 31,22.
Γεβὰλ 48,3. 137,8.
Γεθθὰ 104,33.
Γένεσις 294,31.
Γέννησις. — Χριστοῦ 153,11. — Χριστοῦ ἔνσαρκος προδηλωθεῖσα 170, 9. — Χριστοῦ ἐξ Ἁγ. Πνεύματος προδηλωθεῖσα 329,10 ἑξ. — Χριστοῦ κατὰ σάρκα 322,36,38. — Χριστοῦ προδηλωθεῖσα 169, 8 ἑξ. Κατὰ σάρκα — Χριστοῦ 29, 16 ἑξ.
Γῆ. — δίδουσα καρποὺς αὐτῆς, πῶς νοητέα 154,34 ἑξ. — σαλευομένη, πῶς νοητέα 270,2 ἑξ. — ὠδινηθεῖσα καὶ τεχθεῖσα κατά τινα ἐκδοχὴν 209,26 ἑξ.
Γλῶσσα. — ἀθέων ῥομφαία πονηρὰ 384,12 ἑξ. — δολία 359,9. — φθεγγομένη λόγια Θεοῦ 357,17.
Γνόφος. — καὶ νεφέλη κύκλῳ Θεοῦ, πῶς νοητέα 265,8 ἑξ.
Γνῶσις. — ἀληθείας καὶ προκοπὴ 353, 32. — ἀληθινοῦ Θεοῦ 304,29. — 244,31. 271,39. 323,20. 331,39. 370,13. 375,7. — Θεοῦ ἀγαθὸν ἐστι 140,14. — περὶ Χριστοῦ ἀπανταχοῦ τῆς γῆς σκορπισθεῖσα

32,16 ἑξ. — πρώτη 353,9 ἑξ. — Σωτῆρος 256,4. — Χριστοῦ 193, 8. Ἀγάπη — Θεοῦ 238,30. Ἀρετὴ καὶ — ἀληθείας 358,38. Βάθη πλούτου — Θεοῦ 53,9. — Θείας — στέρησις 364,7. Ψυχὴ ἀκατέργαστος ἢ ἄνευ ἀρετῆς καὶ — μορφωθεῖσα 375,36.
Γοδολίας 163,24,25.
Γολιάθ 382,17,20.
Γομόρρα 72,7. 102,33. 117,30. 224, 6.
Γραφαὶ 388,24. — Θεῖαι 216,5. 249, 39. 285,39. 301,5. 344,3. 376,5. — θεῖαι, ὧν μαρτυρίαι ἐπιστεύθησαν 246,40 ἑξ.
Γραφὴ 18,33. 254,35. 392,31. — — ἀποστολικὴ 58,38. — Ἔσδρα 315,18. — θεία 18,20. 184,15. 229,30. 256,25. 270,12. 357,38. — Θεία Εὐαγγελίων 319,11. — θεϊκὴ 226,7. — θεόπνευστος 28, 25. 58,28. — Παλαιὰ 156,16. 306,12.
Γυνή.— ἀγαθὴ καὶ — πονηρὰ 366,1 ἑξ.

Δαδὰν 33,29.
Δαθὰν σελ. 313.
Δαίμονες. — ἡττηθέντες 265,33. — καθηρέθησαν ὑπὸ Χριστοῦ 241, 35 ἑξ. Δέσμευσις — ὑπὸ Χριστοῦ 393,15 ἑξ. Ἐλευθερία ἐκ — 393,13 ἑξ. Ἐλευθερία ἐκ πλάνης — 393,34 ἑξ. Ταπείνωσις — 187,31 ἑξ. 188,36 ἑξ. 190,7 ἑξ.
Δαίμων. — φθοροποιὸς 97,31.
Δάκρυα. — καὶ ἐλπίδες 364,10 ἑξ. — Χριστοῦ 174,11 ἑξ. Ἄρτος — 116,35 ἑξ. Δεήσεις προφητῶν μετὰ νηστείας καὶ — 278,27 ἑξ.
Δανιὴλ 58,6. 264,18. 266,35. 282,17. 388,30.
Δαρδὰ 169,31,38.
Δαρεῖος 58,7. 262,29. 315,16. Ἀνανέωσις Ναοῦ Σολομῶντος ἐπὶ — Πέρσου 214,16.
Δαυΐδ. σελ. 11. 12,3,38. 13,14. 14,5, 8. 16,2. 17,31. σελ. 24. 25,11, 33. 26,7. 29,40. σελ. 40. σελ. 41. 48,25,28. 57,19. σελ. 77. 85, 27,29. 88,3,4. 101,39. 102,1. σελ. 106. 107,18. 112,17,32. 120, 17. 122,21. 141,33. 148,3. 155, 29,39. σελ. 156. 157,38. 158,24,37. 161,7,19. 162,19,25. σελ. 163. 164,3. 178,39. σελ. 179. σελ. 180. σελ. 181. σελ. 182. σελ. 183. σελ. 184. σελ. 185. σελ. 189. σελ. 190, 20. 191,37. 192,4. σελ. 193. σελ. 194. σελ. 195. σελ. 196. σελ. 197. 198,20,37. σελ. 199. σελ. 200. σελ. 201. σελ. 202. σελ. 203. σελ. 204. σελ. 205. σελ. 206. σελ. 207. 213, 13. 224,3,38. 227,38. 241,15. 247,11. 260,10. 264,3,7. 266,31. 267,29. 268,26,34. 269,30. 272, 18. 273,24. 277,10. 279,15. 284, 28. 287,34. 288,29. 289,35. 292, 31. 294,17. 299,29. 300,34,41. 302,4,10. 322,37. 323,24. 325,39. σελ. 328. 334,1,34. 363,1. 367, 28,31. σελ. 368. 377,10. σελ. 378. 379,3,15. 380,4,16. 381,4. 382, 16. σελ. 384. 388,32. 392,33. Ἐπαγγελίαι Θεοῦ μεθ' ὅρκου τῷ — δοθεῖσαι, πῶς νοητέαι 182,19 ἑξ. Κέρας — ὁ ἐκ σπέρματος αὐτοῦ Χριστὸς Θεοῦ 195,6 — 198,10.
Δεήσεις. — προφητῶν μετὰ νηστείας καὶ δακρύων 278,27 ἑξ. — ψυχῶν ἁγίων ὑπὲρ οἰκουμένης 300,33.
Δεκάλογος. — δωρηθεὶς ὑπὸ Θεοῦ Ἰουδαίοις 126,37.
Δευτερονόμιον 310,41.
Δημιουργήματα. Θεὸς διὰ τῶν — αὐτοῦ ἀντιληπτὸς καθίσταται 237, 35.
Δημιουργία. — ἀνθρώπου ὑπὸ Θεοῦ 348,12 ἑξ.
Δημιουργός. — ὁ τοῦ παντὸς πάντα εὐκόλως ἐποίησε 371,7.
Διάβολος. Πτῶσις — 133,25 ἑξ.
Διαθήκη. — αἰώνιος 307,32. — ἐκλεκτοῖς διατεθεῖσα, πῶς νοητέα 180,29 ἑξ. — Θεοῦ πρὸς ἀνθρώπους 181,11 ἑξ. — Καινὴ 19,10. 65,6. 82,7. 119,2. 142,3. 166,40. 192,39. 198,8. 199,19. 233,35. 263,12. 271,13. 306,31. 319,15. 368,31. 392,6. — Καινὴ προφητευθεῖσα ὑπὸ Ἱερεμίου 86,26 ἑξ. — Καινὴ τὸ καινὸν ᾆσμά ἐστι 260,12 ἑξ. — Καινὴ τὸ προδηλωθὲν ᾆσμά ἐστι 392,4 ἑξ. — Νέα καὶ — Παλαιὰ 306,40. — Παλαιὰ 19,10. 191,23. 392,33. — Παλαιὰ καὶ Καινὴ 159,33. Θεὸς εἷς Παλαιᾶς καὶ Καινῆς — 335,12. Κι-

βωτὸς — 88,38. Μυστήρια Καινῆς — 258,39.
Διδασκαλία. — ἀποστολικὴ 302,6. — Χριστοῦ πρὸς ἀνθρώπους δοθεῖσα 88,1 ἑξ. — Χριστοῦ προστεθεῖσα καὶ τελειώσασα τὸν νόμον Μωϋσέως 19,8 ἑξ.
Δίκαιοι. — καὶ ἁμαρτωλοί, τίνων ἀγαθῶν ἢ κακῶν τεύξονται 240, 20 ἑξ. Ἀγαθὰ — 240,31 ἑξ. Ἁμαρτωλοὶ κατισχύσαντες τῶν — 248,11 ἑξ. Ἐλπὶς ἀποκειμένη — 377,2 ἑξ. Πολλαὶ αἱ θλίψεις τῶν — 78,21 ἑξ.
Δικαιοκρισία. — Θεοῦ 42,25 ἑξ. 74,14,30. 75,27. 107,9. 129,35. 238,32. Ὠφέλεια ἐκ μνήμης — Θεοῦ 343,10 ἑξ.
Δίκαιος. — ἀποθνήσκων καθ' ἡμέραν 351,12 ἑξ. — ἐν πᾶσιν ὁρᾷ τὴν Θεοῦ χρηστότητα 347,19 ἑξ. — ἑπτάκις πεσεῖται καὶ ἀναστήσεται 308,2. — ὑπομένει ἀδικίας 347,32 ἑξ. — ὡς φοῖνιξ ἀνθίζων, πῶς νοητέος 239,23 ἑξ. Ἐχθροὶ — ἐξολοθρεύονται ἐλέει Θεοῦ 382,4 ἑξ. Ὁ κολλώμενος — ἔσται 274,8. Ποίμνη — ψυχὰς ἀκεραίας κ.λ. περιλαμβάνει 384,35.
Δικαιοσύνη 354,27 ἑξ. — ἐξ οὐρανοῦ διακύψασα 152,35 ἑξ. — ἡ πύλη τῶν ἀρετῶν 341,15 ἑξ. — Θεοῦ 19,22. 30,21. 175,22 ἑξ. 193,12. 252,30 ἑξ. 254,5 ἑξ. 265,9 ἑξ. 388,31 ἑξ. — Θεοῦ ἀποκαλυφθεῖσα ἔθνεσιν 268,16 ἑξ. — καὶ εἰρήνη 152,26. — καὶ ἔλεος Θεοῦ 287,11 ἑξ. — καὶ κρῖμα, ἀρεταὶ θεοπρεπεῖς 192,1. — Υἱοῦ βασιλέως 26,24 ἑξ. Ἀνατέλλειν — πῶς νοητέον 29,35 ἑξ. Ἥλιος — 234,34. Περὶ — Θεοῦ τελικῶς ἐπικρατούσης 252,3 ἑξ. Πόσον ἰσχύει ἑνὸς ἀνδρὸς — 314, 20.
Δικαιώματα. Ὅτι οὐ δεῖ ἐπιλανθάνειν τὰ Θεοῦ — 350,1 ἑξ.
Δικαίωσις 265,28.
Δίκη. — Θεοῦ ὑπ' αὐτοῦ δικαζομένη 65,22 ἑξ.
Δίκτυα. — εὐαγγελικὰ καὶ ἀποστολικὰ 368,36 ἑξ.
Διορατικὸς 362,5. — καὶ γνωστικὸς ἀνὴρ 49,8 ἑξ.
Διωγμοὶ 21,1. 144,10. 367,17. 369,8. — Ἐκκλησίας προδηλωθέντες 245, 12 ἑξ. — Ἐκκλησίας προδηλωθέντες 264,30 ἑξ. — κατ' Ἐκκλησίας ἐνεργηθέντες 12,32. Καιροὶ — 221,22 ἑξ. Παιδαγωγικὰ ἀποτελέσματα — 341,7 ἑξ. Προσευχὴ ἐν καιρῷ — 110,33 ἑξ. — ὀρθὰ θεολογούμενα ὑπ' ἐθνῶν 263,4. — Χριστοῦ 221,13.
Δόκησις. Αἵρεσις — 16,39 ἑξ.
Δοκῆται. — αἱρετικοὶ 153,12.
Δοκιμή. — Θεοῦ πρὸς ἀνθρώπους, πῶς νοητέα 376,8 ἑξ.
Δόξα. Ὁμοίωμα — Θεοῦ 115,17 ἑξ.
Δοξολογία. — Μονογενοῦς τοῦ Θεοῦ 191,32 ἑξ.
Δουλεία. — Θεῷ — φωτί ἐστι κ.λ. 272,8.
Δρόσος. Ἀερμών, πῶς νοητέα 369, 23 ἑξ.
Δυνάμεις. — ἅγιαι 190,13. — ἀντικείμεναι, τροπούμεναι ὑπὸ θεοφιλοῦς 382,25 ἑξ. — ἀόρατοι καὶ ὑπερήφανοι 161,6. — θεῖαι 73, 21,27. — θεῖαι ἀσώματοι 190,3. — λειτουργοὶ Θεοῦ εὐλογοῦσαι τὸ Θεὸν 288,27 ἑξ. — λογικαὶ ἀσώματοι ψυχῆς 321,19. — οὐράνιοι συγχαίρουσαι τῇ τῶν ψυχῶν σωτηρίᾳ 288,9 ἑξ. — πονηραὶ ἐθορυβήθησαν ἐκ τῆς Χριστοῦ ἐλεύσεως εἰς τὸν κόσμον 226,13 ἑξ. — πονηραὶ καθαιρεθεῖσαι 228,6 ἑξ. — πονηραὶ χαίρουσιν ἐπὶ κακοῖς 161,38 ἑξ. Χεὶρ φυλακτικὴ Θεοῦ εἰς πειρασμούς, ἐναντίας — κ.λ. 383,17 ἑξ.
Δύναμις. — δημιουργικὴ Θεοῦ ἐξαπλουμένη 387,4 ἑξ. — θεία ἐπισκοποῦσα 336,13. — θεϊκὴ 375,30. — Θεοῦ 189,22 ἑξ. 256,17 ἑξ. — Θεοῦ ἐν τῇ φύσει ὁρωμένη 249, 26-251,10. — Πατρὸς 229,28. — Σωτῆρος 190,40. — Χριστοῦ 242,38 ἑξ. Ῥάβδος — ὁ εὐαγγελικὸς λόγος 328,28 ἑξ.

Ἑβδομήκοντα — Μετάφρασις Π. Διαθήκης καλουμένη τῶν — 24,31. 25,5. 33.5. 57,1. 73,12. 103,21. 105,35. 168,1,6. 173,6. σελ. 177. 180,35. 194,30.195,12. 223,10. 264,6. 374,2.

Ἑβραῖοι.— Ἐπιστολὴ πρὸς — 181,19.
Ἐγγαδδί. — ἔρημος — 378,28. Ὀχυρὰ — 378,28.
Ἔγγραπτος — λόγος προδηλωθεὶς 393,27 ἑξ.
Ἐγρήγορσις 80,10 ἑξ.
Ἐζεκιὴλ 33,5. 37,32. 58,6. 83,28,37. 114,38,40. 115,32.116,9. — πότε προεφήτευσε 163,28.
Ἔθνη. ἀναγγελία ὀνόματος Θεοῦ τοῖς — 304,5 ἑξ. — ἀναγεννηθέντα ἐν Χριστῷ 198,31. Ἆσμα καινὸν εὐαγγελισθὲν — 262,2 ἑξ. — γῆς ἐνευλογηθέντα 308,2 ἑξ. Δευτέρα παρουσία καὶ πλήρωμα — εἰσελευσόμενον, προδηλωθεῖσα 375,1 ἑξ. Διατί ὁ Χριστὸς παιδεύει τοὺς ἐξ — πίστις αὐτοῦ 107,10 ἑξ. — διάφορα ὑμνήσαντα Θεὸν 339,26 ἑξ. — δι' Υἱοῦ Θεοῦ ἐπισυναγόμενα Θεῷ 315,34 ἑξ. Διὰ Χριστοῦ ἐνευλογήθησαν πάντα τὰ — τῆς γῆς 38,36 ἑξ. Ἐκκλησία διὰ Θεοῦ ἀνατείλασα δι' — 61,12 ἑξ. Ἐκκλησία ἐξ — 59,12, ἑξ. 67,18. Ἐκκλησία ἐξ — προλεχθεῖσα 137,1 ἑξ. — πιστεύσαντα εἰς Χριστὸν 13,4 ἑξ. Ἐκκλησία ἐξ ἁπάντων τῶν — 67,18 ἑξ. Ἔννοια ἀπογραφῆς — γενομένη ἐπὶ Καίσαρος Αὐγούστου 168,25 ἑξ. — ἐν οἷς ἐξεχύθη ἡ εὐαγγελικὴ χάρις 340,13 ἑξ. — εὐαγγελισθέντα τὸ σωτήριον τοῦ Θεοῦ 262,18 ἑξ. — ἐπιγνόντα Θεὸν 305,18 ἑξ. Εὐχὴ ὑπὲρ κλήσεως 47,14. Θεὸς γνωρίσας ἑαυτὸν τοῖς — 81,24 ἑξ. Κλῆσις 141,14. 159,30. 335,38 ἑξ. 382,32. 391,12. Κλῆσις διὰ — Χριστοῦ 316,13 ἑξ. Κλῆσις — ἐπὶ ᾄσματι καινῷ 254,31 ἑξ. Κλῆσις — προδηλωθεῖσα 166,15-168,38. 283,12 ἑξ. 365,10 ἑξ. 388,37. 390,22 ἑξ. — προλεχθεῖσα 112,19. 155,36 ἑξ. Κλῆσις — προφητευθεῖσα 158,29. — Κρίσις — καὶ Ἰσραὴλ ὑπὸ Θεοῦ, πῶς γενήσεται 391,12 ἑξ. Λαὸς Χριστοῦ ἐξ. — 86,38. — Μαθητεία — προδηλωθεῖσα 393 28 ἑξ. — Οἱ ἐξ — ἀληθὴς Ἰσραὴλ εἰσι 373 20 ἑξ. — Οἱ ἐξ — προσελθόντες τῷ Θεῷ προδηλώθησαν 331 10 ἑξ. — πάντα κληθέντα αἰνοῦσι τὸν Θεὸν 392,14 ἑξ. Πίστις — προδηλωθεῖσα 362,37 ἑξ. 363,37. Πατριαὶ — πῶς φέρουσι τῷ Θεῷ δόξαν καὶ τιμὴν 262,36 ἑξ. — πλανώμενα ἐρρύσθησαν βοῶντα διὰ Σωτῆρα 317,13 ἑξ.—προσελθόντα τῇ πίστει 372,11. Προκοπὴ τῶν ἐξ — Χριστιανῶν 332,15 ἑξ. Προκοπὴ — ἐν Χριστῷ 339,19 ἑξ. Προφητεία περὶ τῆς — ἁπάντων κλήσεως 335,30 ἑξ. Προφητεία περὶ ἐξαπλώσεως γνώσεως Θεοῦ εἰς πάντα τὰ — 375,7. — συναχθέντα ὑπὸ Χριστοῦ, λαὸς περιούσιος ἐγένοντο 27,25 ἑξ. Ὕμνος τοῖς ἐξ ἐθνῶν πεπιστευκόσι 335,7 ἑξ. Χάρις Θεοῦ χυθεῖσα τοῖς — 156,3 ἑξ. Χάρις θεία ἐπὶ πάντα τὰ — 158,36.
Εἴδωλα. — ἐθνῶν ἀργύρων καὶ χρυσίου 371,26 ἑξ.
Εἰδωλολατρεία. — 128,23. 318,1 ἑξ.
Εἰρήνη. Δικαιοσύνη καὶ — 152,26. — ἐν Χριστῷ 43,5. — ἐν τῷ πόθῳ ὀνόματος Θεοῦ 356,8 ἑξ. Ἱερουσαλὴμ ἑρμηνευόμενον ὅρασις — 73,26. Ὄρη ἀναλαβόντα — τῷ λαῷ, πῶς νοητέα 27,6 ἑξ. — ὁ Χριστός ἐστι κ.λ. 153,32 ἑξ. Πλῆθος — ἀνατεῖλαν, πῶς νοητέον 30,21 ἑξ. — Σαλὴμ ἑρμηνευόμενον — 73,11.
Εἱμαρμένη. — οὐ πιστευτὴ διὰ Χριστὸν 237,5 ἑξ.
Ἐκκλησία 12,34. 13,20. 19,16,39. σελ. 20. 21,2,10. 23,9. σελ. 28. 30,15. 33,36. 37,17,20. σελ. 38. 43,4,11. 57,4. σελ. 59. 82,14,33. 86,11. 87,15. 183,11. 184,36,41. σελ. 185. σελ. 198. 200,5,23. σελ. 220. 220,21,25. 221,33,39.227,5, 29. 228,37. 229,5. 230,20. 231,11. 234,36. 235,18. σελ. 240. 244,17, 41. 245,15. 246,42. 272,12. 282, 41. 296,18,28. 322,3. 324,14. σελ. 328. 339,12. 14. 364,28. 366,28. 367,14. σελ. 369. 392,5. 392,19. 393,38,39. — Ἁγία καθολικὴ 68,12.— Ἁγίων 180,33. — ἀντιμετωπίζει νικηφόρως τοὺς ἐπιβούλους αὐτῆς 221,23 ἑξ. — δι' ὅλης τῆς οἰκουμένης συνιστάμεναι 150, 15. Διωγμοὶ — προδηλωθέντες 264, 30 ἑξ. — ἐκ διαφόρων συγγενῶν συνιστάμεναι 320,24. — ἐκ παντὸς ἔθνους συνισταμένη 316,22. —ἐκχυθεῖσαι εἰς ὅλην τὴν οἰκουμένην

244,3 ἑξ. 'Εν μόνη τῇ — κηρύσσεται ἡ βασιλεία τῶν οὐρανῶν 165, 34 ἑξ. — ἐξ ἐθνῶν 67,18. — ἐξ ἐθνῶν προλεχθεῖσα 112,35. — ἐξ ἐθνῶν 264,38. 265,1. — ἐξ ἐθνῶν προλεχθεῖσα 137,1 ἑξ. 'Επαγγελίαι — δοθεῖσαι ὑπὸ Θεοῦ τῷ Δαυῒδ 183 10 ἑξ. — ἡ καθ' ὅλης τῆς οἰκουμένης ἐστηριγμένη 38,11. — Θεοῦ 46,12,36. 72,34. 73,36. 132,16. 165,24. — Θεοῦ ζῶντος στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας 148,35. — Θεοῦ καθ' ὅλην τὴν οἰκουμένην 122, 28.— Θεοῦ, πῶς προωνομάσθη 124, 9 ἑξ. — Θεοῦ περίγειος 240,11. — καθ' ἕκαστον λαὸν 22,31. — καθολικὴ 165,4. — καθ' ὅλης τῆς οἰκουμένης καθεστηκυῖα 327,25. — καρπὸς Χριστοῦ 38,4 ἑξ. — Κυρίου 322,28. — μέγας οἶκος Θεοῦ 261, 10 ἑξ. — μήτηρ 161,27-28. — ναὸς ἅγιος 374,30. — νύμφη Χριστοῦ 83, 8. — οἶκος Θεοῦ 262,13. — ὅλης τῆς οἰκουμένης 61,12. 'Ομόνοια — 369,27. — ὁσίων 189,35. — πλήρωμα οἰκουμένης 190,32. — πόλις ὠνόμασται Θεοῦ 38,15 ἑξ. Πρόεδροι — 198,38. — προσομοιαζομένη πρὸς ἄμπελον 124,18 ἑξ. — προσαρμοζομένη πλοίῳ 296,8 ἑξ. — πρωτοτόκων 73,39. 165,22. Πτῶσις ἐχθρῶν — προλεχθεῖσα 43,10 ἑξ. — Πύλαι "Αδου οὐ κατισχύουσιν — 243,7 ἑξ. Στῦλοι — 68,6 ἑξ. — τὸ διηνεκὲς τῆς Χριστοῦ — προλεχθὲν 198,11-200,39. — στερεωθεῖσα καθ' ὅλην τὴν οἰκουμένην 246,27 ἑξ. — συκοφαντουμένη καὶ ἐκκλησιαστικοὶ συκοφαντούμενοι 28,19 ἑξ. — συκοφαντουμένη 28, 22 ἑξ. Σῶμα — 12,31. Σῶμα — πότε ἔσται ἀσθενὲς καὶ γηραλέον 21,9. — Σῶμα τέλειον 231,10. — Σωτῆρος 190,33. Ταπείνωσις συκοφαντῶν — 28,22 ἑξ. — φωτιστικὴ δύναμις — 28,26 ἑξ. — Χριστοῦ 22,36. 32,28. 36,40. 40,31. 267,7. 320,33. 326,29. — Χριστοῦ προδηλωθεῖσα 169,19 ἑξ.

'Εκκλησίαι.— εἰς πέρατα γῆς ἁπλωθεῖσαι 31,9 ἑξ. — ἐν τῇ καθ' ὅλου οἰκουμένῃ 328,4. — Θεοῦ 246,32. — ἱδρυθεῖσαι καθ' ὅλης τῆς οἰκουμένης 327,37. 328,7. — Πύλαι "Αδου οὐ κατισχύσουσιν — 264,37. — Σωτῆρος κατὰ οἰκουμένην ἱδρυθεῖσαι 142,9. — Χριστοῦ διαδοθεῖσαι πανταχοῦ 263,38 ἑξ. — ἁπανταχοῦ γῆς 23,15. — Θεοῦ 31,16. — Θυσιαστήρια τῶν ἐφ' ὅλης τῆς οἰκουμένης 142,17 ἑξ. 143,30 ἑξ. 263,11,38. — ἐν ὅλῃ τῇ οἰκουμένῃ 124,39.

'Εκκλησιαστής.— Σολομῶντος 376,37.

'Εκλεκτοὶ — Διαθήκη τοῖς — διατεθεῖσα, πῶς νοητέα 180,29 ἑξ.— Θεοῦ τίνες εἰσὶ 307,8 ἑξ.

'Ελαῖαι. — "Ορος — 256,26.

'Ελεάζαρος. — Μακκαβαῖος 110,40.

'Ελέη. — Κυρίου ᾀδόμενα εἰς αἰῶνα, πῶς νοητέα 178,36 ἑξ. — ὧν ἐξέπεσεν ὁ 'Ιουδαίων λαὸς 206,7 ἑξ.

'Ελεημοσύναι.— καὶ κρίσεις Θεοῦ 286, 29 ἑξ.

"Ελεος.— ἐχθροὶ δικαίου δι' — Θεοῦ ἐξολοθρεύονται 382,4 ἑξ. Θεοῦ 55, 16. 353,27 ἑξ. — Θεοῦ ἐν πειρασμοῖς 381,13 ἑξ. 385,37 ἑξ. — Θεοῦ εἰς αἰῶνα οἰκοδομούμενον, πῶς νοητέον 180,3 ἑξ. — Θεοῦ οἰκοδομικὸν ἀνθρώπων 180,14 ἑξ. — Θεοῦ δειχθὲν ἀνθρώποις 268,34 ἑξ. — Θεοῦ καὶ δικαιοσύνη 287,11 ἑξ.— Θεοῦ 311,15. 348,31 ἑξ. — καὶ κρίσις 273,25 ἑξ. — καὶ ἀλήθεια 152, 26 ἑξ. — καὶ ἀλήθεια 192,10. —καὶ ἀλήθεια Θεοῦ 241,6. — καὶ δικαιοσύνη Θεοῦ 175,22 ἑξ.

'Ελευθερία. — διὰ Χριστοῦ 265,35. — ἐκ δαιμόνων 393,13 ἑξ. — ἐκ πλάνης δαιμόνων 393,34 ἑξ.

'Ελεύθερος. — ἐν νεκροῖς γενόμενος ὁ Χριστὸς 171,23 ἑξ.

'Ελισσαῖος 227,13.

'Ελλὰς 290,10. — φωνὴ 329,37.

'Ελπίδες. — δάκρυα καὶ — 364,10 ἑξ. — πᾶσαι πρὸς Θεὸν 352,21 ἑξ.

'Ελπίς.— ἀποκειμένη δικαίως 377,2 ἑξ. — μελλόντων 241,3. — μέλλουσα 42,28. Μωὰβ ἑρμηνευόμενον λέβης — μου σελ. 322. — οὐ καταισχύνει 379,24. — Προσευχὴ καὶ — 157,6 ἑξ. — μόνη ἐπὶ Θεοῦ ἐπιτρεπτέα 15,1 ἑξ.

'Εμμανουὴλ 82,12.

'Εμπρησμός. Σεραφὶμ ἑρμηνευόμενον — 290,11.

'Εντολαί. — ἀγάπη — Θεοῦ 352,26 ἑξ.

356,21 ἑξ. ἀνάγκη τηρήσεως πασῶν τῶν — 352,31 ἑξ. τήρησις Θεοῦ 287,22 ἑξ.
Ἕνωσις. — μακαρία μετὰ Πατρὸς διὰ Χριστοῦ 394,32.
Ἐνὼχ 208,30.
Ἐξαγόρευσις 303,33.
Ἔξοδος — Ἰσραὴλ ἐξ Αἰγύπτου 310, 17 ἑξ. — Ἰουδαίων 92,22,29. 95, 24. 113,2. — Ἰσραὴλ ἐξ Αἰγύπτου 304,7.
Ἐξομολογεῖσθαι. — τὴν ἀλήθειαν Θεοῦ ἐν σκεύεσι ψαλμοῦ, πῶς νοητέον 22,15 ἑξ. — τῷ Κυρίῳ, πῶς ἑρμηνευτέον 303,31 ἑξ.
Ἐξομολόγησις. — ἀρχὴ τῆς κατὰ Θεὸν προνοίας 305,3. — εὐχαριστία καὶ ἀγάπη πρὸς Θεὸν 374,20 ἑξ. —καὶ προσευχὴ 160,17 ἑξ. — καὶ εἰλικρινὴς μετάνοια 305,23. — λαοῦ Χριστοῦ προδηλωθεῖσα 342,11 ἑξ. Μετάνοια καὶ — 353,28. — προτέρων ἁμαρτημάτων 272,3 ἑξ. — σημαίνουσα ἁμαρτιῶν ὁμολογίαν καὶ εὐχαριστίαν 330,5 ἑξ. — συνεχὴς — 11,26. — Σωτῆρος 66,21 ἑξ.
Ἑορταί. — Ἰουδαίων 125,15 ἑξ.
Ἑορτή. — σαλπίγγων 125,15 ἑξ.
Ἐπαγγελίαι. — Ἐκκλησίας, δοθεῖσαι ὑπὸ Θεοῦ τῷ Δαυῒδ 183,10 ἑξ. — Θεοῦ πρὸς Δαυῒδ μεθ᾽ ὅρκου δοθεῖσαι, πῶς νοητέαι 182,19 ἑξ.
Ἔπαρσις. — καὶ θράσος ἁμαρτωλῶν 68,10 ἑξ.
Ἐπιβουλή. — ψυχῶν — Θεοῦ ἀλλοτρίωσις 301,7 ἑξ.
Ἐπιγραφαί. — ἐνίων ψαλμῶν 162,11 ἑξ.
Ἐπιδημία. — ἔνσαρκος Χριστοῦ 129, 33.
Ἐπίκλησις. — Θεοῦ ἐν ἀωρίᾳ 355,1 ἑξ. — ὀνόματος Κυρίου 66,27 ἑξ.270, 41 ἑξ. — Κυρίου ἐν θλίψεσι 340,25 ἑξ. — Κυρίου ἐν ἀληθείᾳ 387,7 ἑξ.
Ἐπιφάνεια. — ἀνθρώποις Χριστοῦ προδηλωθεῖσα 282,23 ἑξ. Ἀποτελέσματα ἑνώσεως ἐθνῶν ἐξ — Σωτῆρος 322,20 ἑξ. — Θεοῦ 149,27. — Ἰησοῦ Χριστοῦ 322,20. — Λόγου Θεοῦ 114,31. — σωτήριος 335, 19. — Σωτῆρος 154,18. — Σωτῆρος πρώτη καὶ δευτέρα προδηλωθεῖσαι 267,30 ἑξ. — Σωτῆρος 333,6.
Ἔργα. — ἀγαθὰ 97,4.
Ἑρμηνεία. — ΞΘ' ψαλμοῦ ὑπὸ Εὐσεβίου 11,3. — ψαλμοῦ Ο' ὑπὸ Εὐσεβίου 13,38. — ψαλμοῦ ΟΑ' ὑπὸ Εὐσεβίου 23,31 ἑξ. — ψαλμοῦ ΟΒ' ὑπὸ Εὐσεβίου 48,20 ἑξ. — ψαλμοῦ ΟΓ' ὑπὸ Εὐσεβίου 57,6 ἑξ. — ψαλμοῦ ΟΔ' ὑπὸ Εὐσεβίου 66,1 ἑξ. — ψαλμοῦ ΟΕ' ὑπὸ Εὐσεβίου 70,36. — ψαλμοῦ ΟϚ' ὑπὸ Εὐσεβίου 77, 3 ἑξ. — ψαλμοῦ ΟΖ' ὑπὸ Εὐσεβίου 85,19 ἑξ.— ψαλμοῦ ΟΗ' ὑπὸ Εὐσεβίου 107,13. ἑξ. — ψαλμοῦ ΟΘ' ὑπὸ Εὐσεβίου 112,12 ἑξ. — ψαλμοῦ Π' ὑπὸ Εὐσεβίου 122,17 ἑξ. — ψαλμοῦ ΠΑ' ὑπὸ Εὐσεβίου 130,1 ἑξ. —ψαλμοῦ ΠΒ' ὑπὸ Εὐσεβίου 135,3 ἑξ. — ψαλμοῦ ΠΓ' 140,34 ἑξ. — ψαλμοῦ ΠΔ' ὑπὸ Εὐσεβίου 149, 31 ἑξ. — ψαλμοῦ ΠΕ' ὑπὸ Εὐσεβίου 155,23 ἑξ. — ψαλμοῦ ὀγδοηκοστοῦ ἕκτου 162,6 ἑξ. — ψαλμοῦ ΠΖ' ὑπὸ Εὐσεβίου 169,1 ἑξ.— ψαλμοῦ ΠΗ' ὑπὸ Εὐσεβίου 178,35 ἑξ. — ψαλμοῦ ΠΘ' ὑπὸ Εὐσεβίου 208, 18 ἑξ. — ψαλμοῦ Ϟ' ὑπὸ Εὐσεβίου 217,33 ἑξ. — ψαλμοῦ ϞΑ' ὑπὸ Εὐσεβίου 231,32. — ψαλμοῦ ϞΒ' ὑπὸ Εὐσεβίου241,15 ἑξ. — ψαλμοῦ ϞΓ' ὑπὸ Εὐσεβίου 247,11 ἑξ. — ψαλμοῦ ϞΔ' ὑπὸ Εὐσεβίου 254,28 ἑξ. — ψαλμοῦ ϞΕ' ὑπὸ Εὐσεβίου 260,10 ἑξ. — ψαλμοῦ ϞΣΤ' ὑπὸ Εὐσεβίου 264,3 ἑξ. — ψαλμοῦ ϞΖ' ὑπὸ Εὐσεβίου 267,29 ἑξ. — ψαλμοῦ ϞΗ' ὑπὸ Εὐσεβίου 269, 30 ἑξ. — ψαλμοῦ ϞΘ' ὑπὸ Εὐσεβίου 272,1 ἑξ. — ψαλμοῦ Ρ' ὑπὸ Εὐσεβίου 273,24 ἑξ. — ψαλμοῦ ΡΑ' ὑπὸ Εὐσεβιου 278,1 ἑξ. — ψαλμοῦ ΡΒ' ὑπὸ Εὐσεβίου 284,28 ἑξ.— ψαλμοῦ ΡΓ' ὑπὸ Εὐσεβίου 289,24 ἑξ. — ψαλμοῦ ΡΔ' ὑπὸ Εὐσεβίου 302,27 ἑξ. — ψαλμοῦ ΡΕ' ὑπὸ Εὐσεβίου 311,22 ἑξ. — ψαλμοῦ ΡΣΤ' ὑπὸ Εὐσεβίου 316,1 ἑξ. — ψαλμοῦ ΡΖ' ὑπὸ Εὐσεβίου 321, 1 ἑξ. ψαλμοῦ ΡΘ' ὑπὸ Εὐσεβίου 328,9 ἑξ. — ψαλμοῦ ΡΙ' ὑπὸ Εὐσεβίου 329,30 ἑξ. —ψαλμοῦ ΡΙΑ' ὑπὸ Εὐσεβίου 331,1 ἑξ. — ψαλμοῦ ΡΙΓ' ὑπὸ Εὐσεβίου 335,3 ἑξ. — ψαλμοῦ ΡΙΔ' ὑπὸ Εὐσεβίου 337 18 ἑξ. — ψαλμοῦ ΡΙΕ' ὑπὸ Εὐσεβίου 338,18 ἑξ. — ψαλμοῦ ΡΙΣΤ' ὑπὸ Εὐσε-

βίου 339,25 ἑξ. — ψαλμοῦ ΡΙΖ' ὑπὸ Εὐσεβίου 340,6 ἑξ. — ψαλμοῦ ΡΙΗ' ὑπὸ Εὐσεβίου 342,21. — ψαλμοῦ ΡΙΘ' ὑπὸ Εὐσεβίου 359,3 ἑξ. — ψαλμοῦ ΡΚ' ὑπὸ Εὐσεβίου 359,26 ἑξ. — ψαλμοῦ ΡΚΑ' ὑπὸ Εὐσεβίου 360,19 ἑξ.—ψαλμοῦ ΡΚΒ' ὑπὸ Εὐσεβίου 361,22 ἑξ. — ψαλμοῦ ΡΚΓ' ὑπὸ Εὐσεβίου 362,1 ἑξ. — ψαλμοῦ ΡΚΔ' ὑπὸ Εὐσεβίου 362,23 ἑξ. — ψαλμοῦ ΡΚΕ' ὑπὸ Εὐσεβίου 362,34 ἑξ. — ψαλμοῦ ΡΚΣΤ' ὑπὸ Εὐσεβίου 364,22 ἑξ. — ψαλμοῦ ΡΚΖ' ὑπὸ Εὐσεβίου 365,9 ἑξ. — ψαλμοῦ ΡΚΗ' ὑπὸ Εὐσεβίου 366,17 ἑξ. — ψαλμοῦ ΡΚΘ' ὑπὸ Εὐσεβίου 366,30 ἑξ. — ψαλμοῦ ΡΛ' ὑπὸ Εὐσεβίου 367,24 ἑξ. — ψαλμοῦ ΡΛΑ' ὑπὸ Εὐσεβίου 368,7 ἑξ. — ψαλμοῦ ΡΛΒ' ὑπὸ Εὐσεβίου 369,11 ἑξ. — ψαλμοῦ ΡΛΓ' ὑπὸ Εὐσεβίου 369,36 ἑξ. — ψαλμοῦ ΡΛΔ' ὑπὸ Εὐσεβίου 370,6 ἑξ. — ψαλμοῦ ΡΛΕ' ὑπὸ Εὐσεβίου 372,19 ἑξ. — ψαλμοῦ ΡΛΣΤ' ὑπὸ Εὐσεβίου 373,37 ἑξ. — ψαλμοῦ ΡΛΖ' ὑπὸ Εὐσεβίου 374,19 ἑξ. — ψαλμοῦ ΡΛΗ' ὑπὸ Εὐσεβίου 375,21 ἑξ. — ψαλμοῦ ΡΛΘ' ὑπὸ Εὐσεβίου 376,26 ἑξ. — ψαλμοῦ ΡΜ' ὑπὸ Εὐσεβίου 377,8 ἑξ. — ψαλμοῦ ΡΜΑ' ὑπὸ Εὐσεβίου 378,21 ἑξ. — ψαλμοῦ ΡΜΒ' ὑπὸ Εὐσεβίου 379,38 ἑξ. — ψαλμοῦ ΡΜΓ' ὑπὸ Εὐσεβίου 382,15 ἑξ. — ψαλμοῦ ΡΜΔ' ὑπὸ Εὐσεβίου 385,15 ἑξ. — ψαλμοῦ ΡΜΕ' ὑπὸ Εὐσεβίου 387,30 ἑξ. — ψαλμοῦ ΡΜΣΤ' ὑπὸ Εὐσεβίου 389,13 ἑξ. — ψαλμοῦ ΡΜΖ' ὑπὸ Εὐσεβίου 391,1 ἑξ. —ψαλμοῦ ΡΜΗ' ὑπὸ Εὐσεβίου 391, 21 ἑξ. — ψαλμοῦ ΡΜΘ' ὑπὸ Εὐσεβίου 392,3 ἑξ. — ψαλμοῦ ΡΝ' ὑπὸ Εὐσεβίου 394,3 ἑξ.

Ἑρμῶν 189,24. σελ. 191.

Ἐρυθρά. — διάβασις θαλάσσης 91,37. — θάλασσα 63,16,29. σελ. 312. 313,1,24. 314,5. — θάλασσα, δι' ἧς ἐσώθη Ἰσραὴλ 101,34 ἑξ.

Ἐρωδιὸς σελ. 293.

Ἔσδρας 83,39. 162,31. 163,37. — Γραφὴ — 315,18.

Ἔτη. — ἀπὸ κατασκευῆς τοῦ Ναοῦ τοῦ Σολομῶντος μέχρι τῆς Βαβυλωνίου αἰχμαλωσίας, ἀπὸ Ζοροβάβελ μέχρι Ῥωμαίων καὶ μέχρι Χριστοῦ 214,12 ἑξ. — χίλια τὰ — λατρείας ἐν Ναῷ Σολομῶντος 214,12 ἑξ.

Εὐαγγέλια 66,24. 84,18. 87,4,33.94, 34. 113,13. 117,24. 122,6. 151,36. 154,18. 170,25. 172,40. 176,38. 178,12. 181,26. 198,9. 225,40. 228,24. 231,21. 261,26. 306,14. 324,39. — ἀνάγνωσις — 262,16. — βασιλείας Θεοῦ 224,21,30. — Γραφὴ θεία τῶν — 319,11. — Σωτῆρος 159,15.

Εὐαγγέλιον 19,18,20. 26,37. 27,31. 31,21. 35,32. 46,27. 67,30,31.85, 33,39.86,23. 88,3. 125,8. 196,15. 214,32. 230,26. 240,34. 261,24. 268,38. 340,16. 385,2. 386,25. — ᾆσμα καινόν ἐστι 260,30 ἑξ. — βασιλείας 322,23. — σωτήριον 165,35.

Εὐαγγελισμός. — ἐθνῶν 262,18 ἑξ.

Εὐαγγελισταὶ 42,32. 68,5.

Εὐγνωμοσύνη. — ἀνθρώπου διὰ τὰς ὑπὸ Θεοῦ παρεχομένας εὐεργεσίας 347,8 ἑξ.

Εὐεργεσίαι. — Θεοῦ 387,1 ἑξ. — Θεοῦ Λόγου ἀνθρώποις 372,39. — Θεοῦ πρὸς ἀνθρώπους 285,32 ἑξ. 347,8 ἑξ.

Εὐΐλα 33,27.

Εὐλογητὸς ὁ Θεός. Περὶ τοῦ — ἐν ψαλμοῖς 39,12-38.

Εὐλογία. — πρὸς Κύριον καὶ — ὑπὸ Κυρίου 370,1 ἑξ.

Εὐσέβεια. — τὸ ζῆν κατὰ τὸ Θεοῦ λόγιον ζῆν ἐν — ἐστὶ 349,18 ἑξ.

Εὐσεβής. — ὠφέλεια — ἐξ ἀσεβῶν 51, 19 ἑξ. Λογισμοὶ ἀμφιβολίας — 51,35 ἑξ. 52,18 ἑξ. — φοβεῖται τὴν πτῶσιν 351,36 ἑξ.

Εὐσέβιος 386,39. 391,3. — Ἑρμηνεία ψαλμῶν ἀπὸ ΡΙΘ' ἕως ΡΝ' ὑπὸ — Παμφίλου 359,1 ἑξ. — Καισαρείας 11,1. — Προσευχὴ ΡΛ' ψαλμοῦ ὑπὸ — 278,1 ἑξ.

Ἐφραΐμ 89,37. 102,16. 105,8,9. 109, 30. 115,38,41. σελ. 116. σελ. 322. υἱοὶ — 89,37. σελ. 90. — υἱοὶ — πρῶτοι ἀποστάντες Θεοῦ 90,9 ἑξ.

Εὐφροσύνη. Ὅρασις πνευματικὴ καὶ — 320,25 ἑξ. — τέλος τῆς κατὰ Θεὸν προκοπῆς 305,3 — τῶν ἐν τῇ

χριστιανικῇ χάριτι ἀνθρώπων προδηλωθεῖσα 342,1 ἑξ.
Εὐχαί. — τῷ Κυρίῳ ἀποδιδόναι 76,10 ἑξ. Τὸ τὰς — ἀποδιδόναι τῷ Κυρίῳ, πῶς νοητέον 339,17 ἑξ.
Εὐχή. — πρὸς ἀποφυγὴν πάσης κακοδοξίας 344,1 ἑξ.
Εὐχαριστία. — ἀγάπη καὶ ἐξομολόγησις πρὸς Θεὸν 374,20 ἑξ. Ἐξομολόγησις σημαίνουσα ἁμαρτιῶν ὁμολογίαν καὶ — 330,5 ἑξ. — τῶν εἰς Χριστὸν πεπιστευκότων 42,24.
Ἐχθροί. — δικαίου δι' ἐλέους Θεοῦ ἐξολοθρεύονται 382,4 ἑξ. — Πτῶσις Ἐκκλησίας προλεχθεῖσα 43, 10 ἑξ.
Ἑωσφόρος. — πτῶσις — 133,29 ἑξ.

Ζαβουλὼν 115,40.
Ζαμβρὶ 169,31.
Ζαρὰ σελ. 169.
Ζαχαρίας 27,20. 37,28. 58,8. 86,13. σελ. 196. 252,9. 282,19. 339,32. 367,23. 374,3. Ψαλμὸς ΡΙΒ', ἐπιγεγραμμένος Ἀλληλούϊα, Ἀγγαίου καὶ — 332,24 ἑξ.
Ζεβεδαῖος. Υἱοὶ — ὀνομασθέντες Βοανεργες 35,30.
Ζεβεὲ 138,23,29.
Ζὴβ 138,23,29.
Ζητεῖν. — τὸν Κύριον, πῶς νοητέον 305,34 ἑξ.
Ζοροβάβελ 83,39. 214,15.
Ζῷα. — ἔμψυχα Λόγῳ Θεοῦ συνεστήκασι 337,16.
Ζωή. — αἰώνιος 144,37. — αἰώνιος ἐν Χριστῷ 36,8 ἑξ. — αἰώνιος καὶ σὰρξ 142,39 ἑξ. — ὁ Θεοῦ Λόγος 241,29. 242,14. Θεὸς ῥύεται ἐκ θανάτου καὶ παρέχει ἡμῖν — 355,17 ἑξ. Τί χωρίζει ἀνθρώπους τῆς ἀληθοῦς — 318,1 ἑξ. Χρόνος — μετρᾶται ὑπὸ Θεοῦ 375,23 ἑξ.
Ζῶντες. Χώρα — 338,25 ἑξ.

Ἠθάμ. — ποταμοὶ 63,35,39.
Ἡμέρα. — μία κρείσσων ὑπὲρ χιλιάδας, πῶς νοητέα 148,8 ἑξ.
Ἡμέραι. Μνήμη ἀρχαίων 380,14 ἑξ.
Ἠλεὶ 102,37. σελ. 103.
Ἠλίας 54,19. 196,7. 388,30.
Ἥλιος. — δικαιοσύνης 149,6 ἑξ. 234,34.
Ἡρώδης 36,29.
Ἡσαΐας 31,31,38. 34,29. 37,26. 40, 24. 41,17. 46,18. 65,14. 85,39. σελ. 86. 91,10. 116,27. 117,34. 118,18. 119,35. 131,4. 141,39. 149,9. 154,19. 172,9. 215,36. 261,17. 265,1. 268,23. 271,34. 278,30. 327,29. 335,37. 388,39. — περὶ ἀποπτώσεως Ἰουδαίων 261,33 ἑξ.
Ἡσαῦ 248 13. σελ. 323.

Θαβὼρ 189,24. σελ. 191. 256,26.
Θάλασσα. — Ἐρυθρὰ σελ. 312. 313,1. 313,24. 314,5. Μετεωρισμοὶ — πῶς νοητέα 245,26 ἑξ. Ὁδὸς ἐν — πῶς νοητέα καὶ τί συμβολίζει 84,14 ἑξ.
Θάνατος. — βασιλεύσας ἀπὸ Ἀδὰμ ἕως Χριστοῦ 241,17 ἑξ. — καταργηθεὶς 34,14. — μαρτυρικὸς ἀποστόλων 35,39. — συνήθης καὶ — ψυχῶν 100,24 ἑξ. — Χριστοῦ πρὸς σωτηρίαν ἡμῶν 173,15 ἑξ. Ἀποτελέσματα δι' ἀνθρώποις — Σωτῆρος 318,30 ἑξ. Θεὸς ῥύεται ἐκ — καὶ παρέχει ἡμῖν ζωὴν 355, 17 ἑξ. Νίκη κατὰ — 233,37. Νίκη Χριστοῦ κατὰ — 323,32. Τρόπαια — Χριστοῦ 323,32 ἑξ. Χριστὸς ἐν σκιᾷ — 172,33 ἑξ.
Θαρσεῖς 32,36. σελ. 33. 36,16. 76,25.
Θαρσός. — λεγομένην εἶναι τοὺς Θαρσεῖς 33,4.
Θαυμάσια. — Θεοῦ μὴ νοηθέντα ὑπὸ Ἰουδαίων λαοῦ 312,15 ἑξ. — ποιούμενα ὑπὸ Θεοῦ μόνον, τίνα νοητέα 39,38 ἑξ. — ὑπὸ Θεοῦ ποιηθέντα ἐν Παλαιᾷ καὶ Καινῇ ἐποχῇ 306,12 ἑξ.
Θαύματα. — ὑπὸ Θεοῦ γενόμενα τῷ τῶν Ἰουδαίων λαῷ 307,8-311,21.
Θεῖον. — διαρκὲς καὶ ἀΐδιον ὑπάρχει 208,22.
Θέλημα. Λαοὶ ὁδηγηθέντες ἐπὶ λιμένα — Θεοῦ διὰ Χριστοῦ 319, 36 ἑξ.
Θεογνωσία 271,34.
Θεοδοτίων. — μεταφραστὴς Π. Διαθήκης 25,40. 40,39. 63,18,28. 83,33. 93,7,37. 94,30. 157,36.

167,7. 168,4. 180,6. 365,1.
Θεοπτία 116,8 ἑξ. 123,24. 125, 39 ἑξ. 147,19 ἑξ. 377,5. — Ἀβραὰμ καὶ Μωσέως 113,10 ἑξ. — οὐκ ἔστι ὄψις τῆς οὐσίας τοῦ προσώπου τοῦ Θεοῦ 306,10 ἑξ. — τίς νοητέα 265,10 ἑξ. Ὑστάτη πύλη — 341,24.
Θεός. — ἀγέννητος 222,39. — αἴτιος πάντων ἀγαθῶν 298,30. — — ἀκούσας βοώντων ἀνθρώπων ἀπέστειλε τὸν Σωτῆρα 318,20. —ἀπείραστος καὶ ἀμνησίκακός ἐστι 313,22. — διοικεῖ τά τε οὐράνια καὶ τὰ ἐπίγεια 371,10 ἑξ. — εἷς 159,2 ἑξ. 223,41. — εἷς Παλαιᾶς καὶ Καινῆς Διαθήκης 335,12. — ἐκπειρασθεὶς ὑπὸ Ἰουδαίων 127, 20 ἑξ. — ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, πῶς νοητέα 186,39 ἑξ. — ἐν μέσῳ θεῶν, πῶς νοητέος 46, 38 ἑξ. — ἐν τοῖς ποιήμασιν αὐτοῦ καθορᾶται 237,35. — ἑστὼς εἰς συναγωγήν, πῶς ἑρμηνευτέον 130, 2 ἑξ. 131,15 ἑξ. 132,3 ἑξ. — θεμελιωτὴς οἰκουμένης 190,35 ἑξ. — Θεῶν ὀφθεὶς ἐν Σιών, τίς νοητέος 146,34 ἑξ. — καταφυγὴ ὑμῖν ἐστι 208,19 ἑξ. — λιμὴν καὶ καταφύγιον τοῦ ἀνθρώπου 209,2 ἑξ. — ὀφθεὶς 75,3. — πανάγαθος 41,36. — παραπικρανθεὶς ὑφ' Ἑβραίων 98,21-102,19. — ποιῶν θαυμάσια 81,21 ἑξ. — τιμωρήσας τοὺς παραπικράναντας αὐτὸν Ἰσραηλίτας 102,20 ἑξ. — ὑπερασπιστὴς 147,28 ἑξ. — Ὕψιστος, τίς ἐστι 222,32 ἑξ. — φύλαξ 360,3 ἑξ. Ἀθεώρητον φύσεως — 265,12. Βάθη — ἐρευνῶνται ὑπὸ Πνεύματος — 237,21. Βάθη — οὐκ ἐρευνῶνται ὑπὸ θνητῶν λογισμῶν 237,15. Βοήθεια — ἀνθρώποις ἀμφιβάλλουσι 55,14 ἑξ. Δύναμις — 187,28 ἑξ. 189,22 ἑξ. Δύναμις — ὁρωμένη τῇ φύσει 249, 26-251,10. Ἐκφράσεις ἀνθρωποπαθεῖς διὰ — 270,8 ἑξ. Ἐπαγγελίαι — μεθ' ὅρκου δοθεῖσαι Δαυΐδ, πῶς νοητέαι 182,19 ἑξ. Εὐεργεσίαι — 273,1 ἑξ. Εὐεργεσίαι — Ἰουδαϊκῷ λαῷ 307,8-311,21. Εὐεργεσίαι — πρὸς ἀνθρώπους 285,32 ἑξ. Θαυμάσια ποιούμενα ὑπὸ — μόνον, τίνα νοητέα 39,38 ἑξ. Ἰδιώματά τινα — 247,21 ἑξ. Ὁμοίωμα δόξης — 115,17 ἑξ. Ὅρκοι — ἀνθρώποις 181,12 ἑξ. Οὐδὲν φρονεῖν τι ἀνθρώπινον ἢ ταπεινὸν εἶναι τῷ — 271,31. Οὐσία — ἄγνωστος ἀνθρώποις ἐστὶ 290,3 ἑξ. Περὶ — φωτίζοντος 74,3 ἑξ. Περὶ — φωτίζοντος, ἀλλὰ καὶ τιμωροῦντος 75,5 ἑξ. Περὶ ὀργῆς — 100,1 ἑξ. Περὶ τοῦ «εὐλογητὸς ὁ — » ἐν ψαλμοῖς 39,14-18. Σιγή, μακροθυμία κ.λ. — 135,25 ἑξ. Τετράγραμμον ὄνομα — 210,36. Τὸ «ἀνάστα ὁ — κρίνων τὴν γῆν», πῶς νοητέον 133,33 ἑξ. Υἱὸς ἀνθρώπου — 47,13. Φέγγος — 212, 7.
Θεότης. — κτίστου καὶ δημιουργοῦ 245,30. — Σωτῆρος 131,20. 244, 9. — Χριστοῦ 196,28. Θησαυρὸς — 62,12. Μαρμαρυγαὶ — 74,11.
Θεοτόκος. Μαριὰμ ἢ Μαρία καὶ — προδηλωθεῖσα ἐν ΡΘ' ψαλμῷ 329,13 ἑξ.
Θεοφάνεια 113,26. 128,29. 149,34. — ἀνθρώποις 26,19. — ἐν Ἰακὼβ 123,24. — Σωτῆρος 34,9. 120,43. — σωτήριος 217,29. — Σωτῆρος Ἰησοῦ Χριστοῦ 153,5 ἑξ.
Θεωρία 370,26. — πνευματικὴ 19,16. 382,14. Δόξα Θεῷ διὰ πράξεως καὶ — 269,6. Ὑστάτη πύλη ἡ — Θεοῦ 341,24.
Θησαυρός. — ἐν οὐρανῷ 361,26.
Θλίψεις 21,21 ἑξ. — διὰ Θεοῦ νικῶνται 43,37 ἑξ. — καὶ ἀνακούφισις εἰς ἐντολὰς Θεοῦ 354,21 ἑξ. — πολλαὶ τῶν δικαίων 78,21 ἑξ — πτωχοῦ ἡ ἄσκησις αὐτοῦ 278, 30 - 279,30. Ἀνάβασις διὰ — 359, 8. Ἐπίκλησις Κυρίου ἐν — 340, 25 ἑξ. Παράκλησις Ἰησοῦ ἐκ τῶν — 22,6 ἑξ. Παράκλητος ὁ Θεὸς ἐν ταῖς — 253,15 ἑξ. 254,3 ἑξ. Προσευχὴ ἐν καιρῷ — 78,35 ἑξ. Ψαλμὸς κατάλληλος ἐν — καὶ πειρασμοῖς 379,39 ἑξ.
Θλῖψις. — ψυχῆς 381,35 ἑξ.
Θρόνος. — Θεοῦ πρὸ πάντων τῶν αἰώνων ὑπάρχων 243,15 ἑξ.
Θυσία. — ἀμνοῦ Θεοῦ συμβολισθεῖσα

ὑπὸ Πάσχα Ἑβραίων 100,11 ἑξ. — λογικὴ 47,29.
Θυσίαι. — ἀναίμακτοι καὶ πνευματικαὶ 192,40. — λογικαὶ καὶ πνευματικαὶ προδηλωθεῖσαι 263,5 ἑξ. — νεκρῶν ἐν Βεελφεγὼρ 314, 12. Νόμοι Μωσέως περὶ — ἀνατραπέντες ἐν Χριστιανισμῷ 47, 28 ἑξ.
Θυσιαστήρια. — ἐν Ἐκκλησίαις, ἐφ' ὅλης τῆς οἰκουμένης προφητευθέντα 142,17 ἑξ. 143,30 ἑξ.
Θωμᾶς. — Δίδυμος 35,30.

Ἴα. — ἑρμηνευτικὸν ὄνομα τῆς θείας φύσεως 302,38.
Ἰαβὶς σελ. 138.
Ἰακὼβ 39,1. 42,38. 43,16. 44,2. 46,25. 59,29. 67,10. 68,8. 70, 14,21. 74,29. 75,1,2. 81,39. 88, 37. 89,2,12. 93,38. 94,5. 101, 13. 106,19. σελ. 109. 114,28. σελ. 123. 125,5,39. 128,27. 146, 36. σελ. 147. 149,33. 152,41. 154,14,32. 162,8. 165,29 30. 166,7,12. 168,15. 181,39. 182, 1,40. 183,2. 208,34. 222,37. 224,9. 227,30. 231,39. 232,13. 248,14,39. σελ. 249. 268,17, 35. 270,32. 287,30. σελ. 307. σελ. 309. 310,6. 323,12. 334,22. 335,4,28. 268,23. 370,30,32. 371, 13. 391,2,6. — αἰχμαλωσία ἀποστραφεῖσα, τίς νοητέα 150,22 ἑξ. — σκηνώματα, πῶς νοητέα 165, 30 ἑξ. Σκηνώματα — 277,18.
Ἰατρός. — ὁ Θεὸς ἐν ταῖς κολάσεσιν, ἃς δίδει ἀνθρώποις 69,33 ἑξ. — ὁ Θεὸς τῶν πεπτωκότων 386, 39 ἑξ. — ὁ Σωτὴρ 389,30 ἑξ. Υἱὸς Θεοῦ — 311,33 ἑξ.
Ἰδιθοὺμ σελ. 43. 44,6. σελ. 77. 78, 16. 80,18,27.
Ἰδουμαία 69,25. 112,21. 323,4,6.
Ἰεζεκιὴλ 366,36.
Ἱερεμίας 58,3. 69,14. 86,25. 119,32. 261,39. 272,19. 280,19. 301,2, 35. 304,32. — πότε προεφήτευσε 163,11 ἑξ.
Ἱεριχὼ 390,3.
Ἱεροβοὰμ 29,41.
Ἱεροσόλυμα 19,37. 23,36. 44,30. 84,19. 141,41. 142,21. 323,15.
Ἱερουσαλὴμ 31,37. 33,22. σελ. 37. 38, 2,9. 42,7. 44,36. 45,4,34. 53,40, 41. 66,30. 69,20. 69,36. 71,23. 72, 25. σελ. 73. 86,15,24. 90,14,33. 101,38. σελ. 105. σελ. 106. 107,15, 17. 108,27,30. 118,26. 120,13,17. 138,13,39. 139,1. 148,11. 174,15. 214,9. 241,19. 252,11. 282,21. 283,8. 326,2,15. 339,23. σελ. 360. σελ. 361. 362,26,28. 363,4. 372,16. 390,3. 391,24,26. 393, 37. — ἄνω 165,19. — ἐπουράνιος 60,3,4. 165,21. 271,38. — ἐπουράνιος ἡ Ἐκκλησία 374, 31. — νομοθετηθεῖσα ἄβατος Ἰουδαίοις ὑπὸ Ἀδριανοῦ 45,38 ἑξ. Ἀληθινὴ — 71,13. Ἐμποησμὸς — ὑπὸ Βαβυλωνίων 113,1. Καταστροφὴ — ἐξ αἰτίας τῶν κατὰ Σωτῆρος τολμηθέντων, προφητευθεῖσα 107,17 ἑξ. Καταστροφὴ — προλεχθεῖσα 42,6 ἑξ. 45,3 ἑξ. 26 ἑξ. Πολιορκίαι καὶ καταστροφαὶ — 120,4 ἑξ. Πολιορκίαι καὶ τελικὴ πολιορκία — προλεχθεῖσαι 57,33-61,37. Τίς ἡ ἀληθὴς — ἐν πνεύματι 73,1 ἑξ.
Ἰεσαὶ 16,2.
Ἰεσσαὶ σελ. 40. σελ. 41.
Ἰεχονίας 204,17,28.
Ἰεχωνίας 163,15,18.
Ἰηοῦ 287,32.
Ἰησοῦς 22,13. 24,27. 31,21. 35,33. 36,30,32. 40,9. 85,34. 87,5. 116, 25. 131,28. 151,37. 201,38. 202, 17. 204,34. 206,43. 214,33. 262, 30. 290,41. 291,2. 307,22. 308, 13. 360,8. 363,32. 392,26. — ἑρμηνευόμενον Θεοῦ σωτηρία 357, 34. — καὶ Ζοροβάβελ 214,15. — Ναζαρηνὸς 181,28. — Ναυῆ 63,37. 102,3. — Χριστὸς 28,14. — 40,29. 88,4. 153,6,10. 164, 38. 165,13. 168,25. 196,27. 200, 19. 201,30. 202,17. 204,34. 206, 43. 220,6. 222,2. 241,20. 318, 24. 320,19. 322,15,20. 332,1. 333,7,12. 338,17. 356,12. σελ. 357. 386,34. 392,20. Κύριος — 270,21. 302,8.
Ἱκεσίαι. — πρὸς Θεὸν 17,26 ἑξ.
Ἱλασμός. — ὁ Χριστὸς ἐγένετο ἀνθρώποις 97,29 ἑξ. — ἡμῶν γενόμενος ὁ Θεὸς 285,33 ἑξ. Ἑορτὴ —

125,26. Προσευχὴ ὑπὲρ — ἁμαρτιῶν 110,5 ἑξ.
Ἰλλυρικὸν 393,38.
Ἰόππη 33,3.
Ἰορδάνης σελ. 31. 63,36. 119,11. 196,39. 224,15. 335,23,25. — οὗ τὰ ὕδατα ὑπανεχώρησαν, ὅτε διῆλθεν ἡ κιβωτὸς 246,4. — στραφεὶς εἰς τὰ ὀπίσω 82,11,13. Βάπτισμα καὶ λουτρὸν Χριστοῦ ἐν — 322,39.
Ἰουδαία 24,11. 31,37. 43,5,8. 47, 40. 70,37. 71,12,22. σελ. 72. 164,27. 168,27. 203,42. 267,5. σελ. 335. — γῆ 316,28. 323,14. Τίς ἡ ἀληθὴς — ἐν πνεύματι 71,10 ἑξ.
Ἰουδαῖοι. — ἀποβληθέντες ὑπὸ Θεοῦ 122,33 ἑξ. — διατί ἐχθροὶ Θεοῦ κατέστησαν 129,7 ἑξ. — ἐκπειράσαντες τὸν Θεὸν 127,20 ἑξ. — ἐλευθερωθέντες ἐκ Φαραὼ 126, 38 ἑξ. — παραπικράναντες τὸν Θεὸν 98,21-102,19. — ὑπὲρ εὐσεβείας μεμαρτυρηκότες ἐπὶ Ἀντιόχου 108,39 ἑξ. Αἰσχύνη — προλεχθεῖσα 18,31 ἑξ. Ἁμαρτήματα λαοῦ — ἐν τῇ ἐρήμῳ 313, 15 - 314,16. Ἁμαρτήματα — λαοῦ ἐν γῇ Χαναὰν 314,23 ἑξ. Ἁμαρτίαι λαοῦ — 312,6 ἑξ. Ἀπείθεια — προρρηθεῖσα 46,28 ἑξ. Ἀπείθεια — πρὸς Χριστὸν προφητευθεῖσα 151,18 ἑξ. Ἀποβολὴ τοῦ τῶν - - λαοῦ προδηλωθεῖσα 336,10 ἑξ. Ἀπόπτωσις ἔθνους — μετὰ τὴν Χριστοῦ παρουσίαν προδηλωθεῖσα 213,11 ἑξ. Ἀποστασίαι — 90,1 ἑξ. Γογγυσμὸς — κατὰ Θεοῦ 93, 13 ἑξ. 95,35 ἑξ. Δεινὰ ἔθνους — προδηλωθέντα 204,13 ἑξ. Δεινὰ λαοῦ — προδηλωθέντα 281,10-282,30. Δεινὰ ὑπὸ Ἀντιόχου προξενηθέντα — προελέχθησαν 107, 38,41 ἑξ. Διατί ἡ πτῶσις τοῦ — ἔθνους 61,40 ἑξ. Ἔθνος — ἐκλιπὸν 215,25 ἑξ. Ἐλέη, ὧν ἐξέπεσεν ὁ — λαὸς 206,7 ἑξ. Εὐεργεσίαι Θεοῦ πρὸς — 91,24-93,12. Εὐεργεσίαι Θεοῦ τῷ — λαῷ 307,8-311,21. Ἐχθροὶ — κατατροπωθέντες 138,24 ἑξ. Θαυμάσια Θεοῦ μὴ νοηθέντα ὑπὸ λαοῦ — 312,5 ἑξ. Θεὸς τιμωρήσας τοὺς παραπικράναντας αὐτὸν — 102,20 ἑξ. Ἱερουσαλὴμ ἄβατος — νομοθετηθεῖσα ἐπὶ Ἀδριανοῦ 45,38 ἑξ. Κατακτήσεις ὑπὸ διαφόρων χώρας — καὶ τελικὴ καταστροφὴ αὐτῶν 137,23 ἑξ. Καταστροφαὶ — ὑπὸ Βαβυλωνίων, Ἑλλήνων, Ῥωμαίων 120,4 ἑξ. Ὀργὴ Θεοῦ ἐπὶ — ἀνθ' ὧν κατὰ Χριστοῦ ἔπραξαν 44,14 ἑξ. 26 ἑξ. 45,26 ἑξ. Προφῆται προδηλώσαντες ἀπόπτωσιν τοῦ — λαοῦ 261,25 ἑξ. Πτῶσις ἔθνους — προλεχθεῖσα 57,33-61,37. Πτῶσις — προδηλωθεῖσα 177,22 ἑξ. Σκολιὰ ἡ — γενεὰ 89,21 ἑξ. Τὰ περὶ καταστροφῆς ἔθνους — προεδηλώθησαν 325,1 ἑξ. Τὰ περὶ πορείας τοῦ ἔθνους — προδηλωθέντα 201, 9 ἑξ. Τελευταία — ἅλωσις 107, 17 ἑξ. Τιμωρίαι λαοῦ — δι' ἁμαρτήματα αὐτοῦ 314,41 ἑξ. Τιμωρίαι ὑπὸ Θεοῦ πρὸς — διὰ τὸν γογγυσμὸν αὐτῶν 94,1 ἑξ. 96,25 ἑξ. Τιμωρία τοῦ — λαοῦ 320,1 ἑξ. Ὑστάτη πολιορκία — ὑπὸ Ῥωμαίων γενομένη 139,10 ἑξ.
Ἰούδας 39,2. 69,20. 72,25. 108,15. 115,39. 121,34. 282,21. σελ. 322. — προδότης 177,23. σελ. 324. 326,8. — προδότης προδηλωθεὶς 326,8 ἑξ. Υἱοὶ — 169,27,30. Φυλὴ — ἀνυψωθεῖσα ὑπὸ Θεοῦ 106,8 ἑξ. Φυλὴ — ἐκλεκτὴ Θεοῦ 105,16 ἑξ.
Ἰσαὰκ 114,29. 196,6. 208,34. 231, 39. 232,13. 287,30. 307,31. 308, 5. 310,5. 334,21.
Ἰσάχαρ 115,40.
Ἰσραὴλ 18,11. 23,3,4. 29,23. σελ. 39. 40,6,32. 43,9. 45,32. 46,29. 48,21. σελ. 49. 50,1,3. 59,30. 63,37. 69,14,29. 70,37. σελ. 71. σελ. 72. 82,10. 88,37. 89,2. 91,38. 92,30. σελ. 93. 94,5. σελ. 95. 96,19. 98,23,38. 101,42. 102, 21,32. σελ. 103. 104,3. 106,19. σελ. 108. 112,14,24. σελ. 113. 114,14,27. 115,6. 116,21. σελ. 117. 118,41. 121,33. 123,2. 125, 36. 127,10,26. σελ. 128. 129, 1,2. 130,6,8. σελ. 136. 137,3, 21. 138,32. 141,31,38. 144,32. 147,20. 149,22. 163,24. 168,16. 181,13. σελ.183. 192,19. 193,27. 196,7,19. 217,8. 222,38. 246,1.

249,15. σελ. 268. 286,30,35. 304, 7. 307,32. σελ. 309. σελ. 310. 313,9. 315,28,38. 322,9. 323,14. 331,7. 333,8. 334,17,39. σελ. 335. 336,32,37. 337,9. 340,8,22. 342,12. 346,30. 361,8. σελ. 362. σελ. 365. 367,23,38. 370,32. 371,14. 372,6,13. σελ. 373. 378, 31. 388,32. 391,11. 392,6,9. — ἀληθής, οἱ ἐξ ἐθνῶν Χριστιανοὶ 373,20 ἑξ. — ἐν Αἰγύπτῳ καὶ στεναγμὸς αὐτοῦ 309,12 ἑξ. — ἐν Ἐρήμῳ 310,37 ἑξ. — ἑρμηνευόμενον ὁρῶν τὸν Θεὸν 50,3. Ἅγιος τοῦ — σελ. 194. Ἀποβολὴ — προλεχθεῖσα 112,24 ἑξ. Ἔξοδος — ἐξ Αἰγύπτου 310,17 ἑξ. Κρίσις ἐθνῶν καὶ — πῶς γενήσεται 391,12 ἑξ. Τίς ὁ ἀληθὴς — ἐν πνεύματι 71,10 ἑξ.
Ἰωακεὶμ σελ. 163.
Ἰωανᾶν. — υἱὸς Καριὲ 163,25.
Ἰωάννης 68,9. — βαπτιστὴς 31,22,32. — πρόδρομος 196,16. 369,6. Προφητεία μέχρις — 61,35 ἑξ.
Ἰὼβ 21,31. 189,3,9. 272,18. 279,21. 348,18. 360,10. 385,8. 391,37.
Ἰωνᾶς 33,2.
Ἰωσὴφ 44,2. 81,39. 90,18. σελ. 105. σελ. 109. 112,15. σελ. 114. σελ. 126. 177,4. 208,35. 248,14. 308, 26. σελ. 309. 322,7. 3?4,34. 354, 4. 388,31.
Ἰωσίας σελ. 163.

Καϊάφας 174,8.
Κάϊν 248,12. Σημεῖον — 161,32,38.
Καινή. Ὠδὴ — ἡ — Διαθήκη 383, 29 ἑξ.
Καῖσαρ.— Αὔγουστος 168,26. 169,16.
Κακοδοξίαι. Εὐχὴ πρὸς ἀποφυγὴν — 344,1 ἑξ.
Κακόν. Προσευχὴ — ὑπὲρ ἐκλείψεως τοῦ — τῆς ἁμαρτίας τῆς ἀνομίας 301,7 ἑξ.
Κάλλος. — Χριστοῦ 217,30.
Καλόν. — καὶ τερπνὸν 369,14 ἑξ.
Κανόνες. — ἡμερινοὶ καὶ νυκτερινοὶ ψαλμῶν 358,8 ἑξ.
Καρδία. — διεστραμμένη 274,5 ἑξ. — σκληρύνεται ἐκ τῆς ὑπερηφανείας 348,1 ἑξ. Ἀναβάσεις ἐν τῇ — πῶς νοητέαι 145,2 ἑξ. Ἀποτελέσματα σκληρύνσεως — 259, 12 ἑξ. Σκλήρυνσις — 258,6 ἑξ. Προσοχὴ διὰ τὸ μὴ σκληρυνθῆναι τὴν — 258,37 ἑξ.
Καρειαθιρεὶμ 182,35.
Καριέ. — πατὴρ Ἰωανᾶν 163,25.
Καρπός. — Χριστοῦ ἡ Ἐκκλησία προλεχθεῖσα 38,4 ἑξ.
Καρχηδὼν 33,6.
Κατακλυσμός. — ἐπὶ Νῶε 208,32.
Καταλαλιά. Περὶ — καὶ δὴ τῆς λάθρα γενομένης 274,22 ἑξ.
Καταλλαγή. — ἐν Χριστῷ 151,7.
Καύχησις. — ἐν Κυρίῳ 304,30 ἑξ.
Κέδροι. — Λιβάνου σελ. 293.
Κένωσις. — καὶ κατάβασις Λόγου ἀνθρώποις 383,9 ἑξ. — Λόγου Θεοῦ 242,20 ἑξ. 243,23. 255,27 ἑξ. — Χριστοῦ 171,28. — Χριστοῦ προδηλωθεῖσα 176,27 ἑξ.
Κέρας. — Δαυΐδ ὁ ἐκ σπέρματος αὐτοῦ Χριστὸς τοῦ Θεοῦ 195,6-198, 10.
Κηδάρ. — σκηνώματα 359,22.
Κήρυγμα. — ἀποστόλων 68,22. — εὐαγγελικὸν 35,3. 84,23. 241,37. 375,10. — εὐαγγελικὸν διελθὸν πανταχοῦ 263,35. — καινὸν 262, 40 ἑξ. — σαλπισθὲν ἀνθρώποις 125,32 ἑξ. — Σωτῆρος 375,2. Ἀστραπαὶ θείου — προδηλωθεῖσαι 266,5 ἑξ.
Κηφᾶς 68,8.
Κιβωτός. — Διαθήκης 182,29. — Θεοῦ 90,11. Σύμβολα — Διαθήκης 115,27 ἑξ.
Κισών. Χείμαρρος — 138,21,26.
Κλαυθμών. Κοιλὰς — 145,13 ἑξ.
Κλῆσις. — ἐθνῶν διὰ Σωτῆρος 316, 13 ἑξ. — ἐθνῶν ἐπὶ ᾄσματι καινῷ 254,31 ἑξ. — ἐθνῶν προδηλωθεῖσα 166,15-168,38. — θεία προφητῶν 122,23. — καινὴ καὶ κήρυγμα καινὸν 262,40 ἑξ.
Κοιλάς. — κλαυθμῶνος 145,13 ἑξ.
Κοίμησις. — ὁ θάνατος ὁσίων 392, 30 ἑξ. — ὁ θάνατος τῶν ὁσίων 392,30 ἑξ.
Κολάσεις. — ἁμαρτωλῶν 97,12 ἑξ. — ὑπὸ Θεοῦ ἰατρικαί εἰσι 69,33 ἑξ.
Κορὲ 313,35,39. Τέσσαρες ψαλμοὶ ἐπιγεγραμμένοι υἱῶν — 155, 26 ἑξ. Υἱοὶ — 48,26. 112,17,32. 122,22. 140,34,39. σελ. 141. 149, 31. σελ. 155. σελ. 162. 163,4.

169,1,6. Ψαλμοὶ ἐπιγεγραμμένοι υἱῶν — τί προδεδήλωκεν ἕκαστος 170,1 ἑξ. Ψαλμοὶ τῶν υἱῶν — πόσοι εἰσὶ καὶ τίνες 141,3 ἑξ.
Κορίνθιοι. Ἐπιστολὴ Παύλου πρὸς — 302,6. 172,6.
Κόσμος. — σφαιροειδής ἐστι 83,38.
Κρῖμα. — καὶ δικαιοσύνη ἀρεταὶ θεοπρεποῖς 192,1.
Κρίματα. Μὴ ἐπιλανθάνειν τὰ Θεοῦ — πῶς νοητέον 344,5 ἑξ.
Κρίνειν. Τὸ ἀνίστασθαι τὸν Θεὸν — τὴν γῆν, πῶς νοητέον 133,33 ἑξ.
Κρίσεις. — Θεοῦ εὐφημοῦνται 80,31. — καὶ ἐλεημοσύναι Θεοῦ 286, 29 ἑξ.
Κρίσις. — δικαία διὰ πτωχὸν καὶ ὀρφανὸν κ.λ. 131,37 ἑξ. 132,6 ἑξ. — θεία 307,27. — Θεοῦ ἀνθρώποις 307,3 ἑξ. — Θεοῦ πᾶσιν ἀνθρώποις 68,27 ἑξ. — καὶ δικαιοσύνη πρὸς πένητας κ.λ. 132,21 ἑξ. — καὶ ἔλεος 273,25 ἑξ. — καὶ παρουσία 265,26. — μέλλουσα 75,26. Ἡμέρα — 42,26.
Κριταί. Βίβλος — 90,16. 138,30.
Κτίσις. — καινὴ 298,17. — ὑπὸ Θεοῦ κτισθεῖσα 284,8 ἑξ.
Κυρήνιος 168,27. — ἡγεμὼν Συρίας 169,18.
Κυριακὴ 233,35. 234,20. 236,11,18. — διατί ἀντικατέστησε τὸ ἑβραϊκὸν Σάββατον 233,35 ἑξ. 235, 35 ἑξ. Τί ποιοῦσιν οἱ Χριστιανοὶ κατὰ τὴν — 234,34 ἑξ.
Κύριος. — ἐγγὺς τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ 387,7 ἑξ.
Κῦρος 58,7. 139,2. 262,29. 315,16.

Λαοί. — διάφοροι ἀποτελοῦντες Ἐκκλησίαν 22,17 ἑξ. — ὁδηγηθέντες ἐπὶ λιμένα θελήματος Θεοῦ διὰ Σωτῆρος 319,36 ἑξ.
Λαός. — μακάριος ὁ ἀναγινώσκων ἀλαλαγμόν, πῶς νοητέος 192,14 ἑξ. Ἐξομολόγησις — Χριστοῦ προδηλωθεῖσα 342,11 ἑξ. Ὑποταγὴ ὑπὸ Θεοῦ — αὐτοῦ ἀνθρώποις 382,34 ἑξ.
Λατρεία. — σωματικὴ ἡ ἐπὶ Μωϋσέως 241,19.
Λατρεῖαι. — πνευματικαὶ 192,40.
Λέβης. Μωάβ, ἑρμηνευόμενον — ἐλπίδος μου σελ. 322.
Λευΐ 331,8. 372,9,13.
Ληνοί. Ψαλμὸς ἐπιγραφόμενος ὑπὲρ — 122,17 ἑξ. Ψαλμὸς ὑπὲρ — 140,34.
Ληνός. — ἡ Ἐκκλησία προρρηθεῖσα 46,11 ἑξ.
Λίβανος 37,22. σελ. 38. 40,4. 239, 24,34. 240,22. 369,24. Κέδροι — σελ. 293.
Λίθοι. — ζῶντες, δι' ὧν ᾠκοδόμηται ὁ ἀληθὴς ναὸς τοῦ Θεοῦ 361,5.
Λιμός. — ἐπὶ γῆν 308,15 ἑξ. — οὐκ ἄρτου 317,3 ἑξ.
Λόγιον. — Κυρίου πυροῦν ἄνθρωπον 308,34 ἑξ.
Λογισμοί. — ἄθεοι 49,34. — ἀμφιβολίας εὐσεβοῦς 51,35 ἑξ. 52,18 ἑξ. — ἀμφιβολίας καὶ βοήθεια ἐν προκειμένῳ ὑπὸ Θεοῦ 54,16 ἑξ. Θεοῦ πεμπόμενοι 145,23 ἑξ. — θνητοὶ οὐκ ἐρευνῶσι τὰ βάθη Θεοῦ 237,15. — μάταιοι ἀνθρώπων 251, 14 ἑξ. — ὀλετῆρες 277,31. — ὑπερηφανείας 364,38. Ὅτι δεῖ τοὺς πονηροὺς — ἀποκτείνειν 277,10 ἑξ.
Λογισμός. — κεκαθαρμένος πάσης πονηρᾶς ἐνθυμήσεως 76,7. — μοιχείας 277,3 ἑξ. Πᾶς — ἀνακινούμενος πρὸς Θεῖον ὕμνον 285,4.
Λόγοι. Ἐντρύφησις εἰς θείους — 343, 26 ἑξ.
Λόγος 369,25. — ἀνατείλας 212,10. — ἐνανθρωπήσας 306,17. — ἐν Γραφῇ προδηλωθεὶς 393,27 ἑξ. — εὐαγγελικὸς 125,35. — εὐαγγελικὸς ῥάβδος δυνάμεως 328, 28 ἑξ. — εὐαγγελικός, ῥομφαία ὀνομασθεὶς 393,9. — εὐαγγελικὸς σωτήριος καὶ εὐθεῖά ἐστι ὁδὸς 317,31 ἑξ. — θεῖος 289,1. 293,31. 294,13. — Θεὸς 40,13. 130,27. 147,25. 153,18. 160,3. 194,37. 197,30. 210,40. 259,33. 270,6. 319,13. 327,16. 356,31. 383,27, 30. 384,7. 392,20. — Θεοῦ 22, 31. 25,33. 29,5,13. 67,12. 75,2. 87,13. 89,5. 95,11. 113,9. 114, 31. 115,20. 115,33. 116,7. 118,5. 119,27. 124,11,25. 128,26. 130, 27. 131,38. σελ. 147. 149,4. 157,15. 159,22,40. 167,22,25. 194,20. σελ. 218. 227,34. 241,28.

250,23. 255,10,28. 256,7,9. 258, 37. 259,2,33. 268,12. 271,8. 300, 25. 318,13,14. 337,16. 349,21. 370,21,35. 371,13. 372,39. 383, 5,10. 389,33. 392,11. — Θεοῦ, ἀποσταλεὶς ὑπὸ Θεοῦ Παντοκράτορος 86,14 ἑξ. — Θεοῦ, βασιλεύων ζώντων καὶ νεκρῶν 242, 18 ἑξ. — Θεοῦ, βοηθὸς πιστῶν 359,14 ἑξ. — Θεοῦ, ἐποχούμενος τοῖς Χερουβὶμ 114,36 ἑξ. — Θεοῦ, ἰατρευτικὸς 380,27. — Θεοῦ καὶ σοφία 211,5. — Θεοῦ καλὸς ποιμὴν 114,15 ἑξ. — Θεοῦ ὁ αὐτὸς ἐν τῇ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ 271,7 ἑξ. — Θεοῦ τὰ πάντα κυβερνᾷ 261,1. — Θεοῦ, Χριστὸς ὁ Θεὸς Θεῶν ἐν Σιὼν ὀφθεὶς 147,2 ἑξ. — μονογενὴς 25,28. 160,2. 200,20. — μονογενὴς βέλος Πατρὸς 83,12. — μονογενὴς Θεοῦ 327,9. — σωτήριος 64,7. 207,23. 214,29. Εὐεργεσίαι — ἀνθρώποις 372,39. Κατάβασις — Θεοῦ ἀνθρώποις 383,9 ἑξ. Πρόνοια — 77,18.

Λουκᾶς 196,16. 226,32.

Λουτρόν. — παλιγγενεσίας 370,16.

Λύτρωσις. — διὰ Χριστοῦ δοθεῖσα, προελέχθη 121,9 ἑξ. — ὑπὸ Χριστοῦ γενομένη, προδηλωθεῖσα 367, 19 ἑξ.

Λυτρωτὴς 319,8. — καὶ Σωτὴρ 368,3. Σωτὴρ καὶ — 383,5.

Λὼτ 48,5. 137,10. σελ. 138. 208,33.

**Μάγοι.** Ἔλευσις — προσκυνησάντων τὸν Χριστόν, προλεχθεῖσα 36,8 ἑξ.

Μαδιὰμ 138,20,25. 139,8.

Μαδιανῖτις. — γῆ 314,18.

Μαέλεθ. Ψαλμὸς ὑπὲρ — 169,2,19.

Μαθηταί. — Σωτῆρος 307,18.

Μαθητεία. — τῷ θείῳ νόμῳ 251,18.

Μακάριος. — ἄνθρωπος ὁ ἐπὶ Κύριον ἐλπίζων 149,15 ἑξ.

Μακαρισμός. — ἀμώμων, ἤτοι τελείων 342,31 ἑξ. — πάντων τῶν φοβουμένων τὸν Κύριον 365,24 ἑξ.

Μακκαβαῖοι. Βίβλος — 44,32. Γραφὴ τῶν — 107,39 Θυσίαι — ὑπὲρ εὐσεβείας 110,40 ἑξ.

Μακροθυμία. — Θεοῦ 107,8. 135,31. 247,34 ἑξ. 248,29. 386,1 ἑξ. — Θεοῦ δι' ἁμαρτάνοντας 346,40 ἑξ.

Μακρόθυμον. — Θεοῦ 41,36.

Μανασῆφα 182,24.

Μανασσῆς 115,38,41. σελ. 116. 322, 4,7.

Μαρία 36,32. Μαριὰμ ἡ — καὶ Θεοτόκος, προδηλωθεῖσα, ἐν ΡΘ' ψαλμῷ 329,13 ἑξ.

Μαριὰμ 368,22. — ἡ Μαρία καὶ Θεοτόκος, προδηλωθεῖσα ἐν ΡΘ' ψαλμῷ 329, 13 ἑξ.

Μάρκος 228,25.

Μάρτυρες 30,15. — πάντα ὑπέμειναν ἐν τῷ ἐνδυναμοῦντι αὐτοὺς Χριστῷ 222,3 ἑξ.

Μαρτύρια. Ἀγάπη — Θεοῦ 256,32 ἑξ. Ἀποτελέσματα προσκλήσεως τοῖς — Θεοῦ 344,18 ἑξ.

Μαρτυρίαι. — Γραφῶν θείων πιστωθεῖσαι 246,38 ἑξ.

Μαρτύριον — ἕνεκεν ὀνόματος Χριστοῦ 345,39.

Ματθαῖος 87,9. 228,27.

Μεγαλωσύνη. Πλῆθος — Θεοῦ 394, 35 ἑξ.

Μέθεξις. — τῇ σοφίᾳ Θεοῦ 386,11 ἑξ. Αἴνεσις Κυρίου λέξει καὶ — τῶν ἀγαθῶν αὐτοῦ 370,25 ἑξ.

Μέλη. — νεκρούμενα 277,26.

Μελχισεδὲκ 329,19.

Μέμφις 91,16.

Μεταμέλεια. — Θεοῦ, πῶς νοητέα 315,21 ἑξ.

Μεταμόρφωσις. — Σωτῆρος, ποῦ ἐγένετο 191,24.

Μετάνοια 380,32. 386,2 ἑξ. — εἰλικρινὴς καὶ ἐξομολόγησις 305,23. — καὶ ἐξομολόγησις 353,28. Προτροπὴ πρὸς — Ἰουδαϊκοῦ λαοῦ 257,33 ἑξ.

Μετοχή. — καὶ χορηγία Πνεύματος 147,10.

Μίμησις. — Χριστοῦ ὑπὸ πιστοῦ 345,9.

Migne 11 ὑποσμ.

Μεσραΐμ. — υἱὸς Χαναὰν δοὺς τὸ ὄνομα ἐν Αἰγύπτῳ 101,14,16.

Μιχαίας 271,35.

Μνήμη. — ἀρχαίων ἡμερῶν 380,14 ἑξ.

Μοναί. — ἐπουράνιοι 240,14.

Μονογενὴς 21,18,40. 268,23. 283,22. 286,2. 348,17. — Θεὸς 40,13.

— Θεοῦ σελ. 186. 191,32. 200,12. — Θεοῦ Λόγος 95,10. 256,9. — Λόγος 25,28. — Παῖς ἅγιος Θεοῦ 321,33. Δοξολογία — τοῦ Θεοῦ 191,32 ἑξ. Υἱὸς — 25,26. 159,39. Υἱὸς Θεοῦ — 370,22.
Μόσχος. — ποιηθεὶς ὑπὸ Ἰσραὴλ ἐν Χωρὴβ 314,1 ἑξ.
Μυστήρια. — Καινῆς Διαθήκης 258, 39. — νέα Καινῆς Διαθήκης 319, 15. — ὧν ἠξιώθη ἄνθρωπος 268,1.
Μωὰβ 48,2. 112,21. 137,8. 138,10. σελ. 322. — ἑρμηνευόμενον λέβης ἐλπίδος μου σελ. 322.
Μωαβῖτις. — χώρα 69,25.
Μωϋσῆς 19,19,32. 23,1. 33,39. 35, 7. 39,6. 40,18. 44,5,8. 47,28. 67,25. σελ. 85. 88,41. σελ. 89. 90,12. σελ. 91. σελ. 92. σελ. 93. σελ. 94. σελ. 95. σελ. 99. 101,36. 102,3,10. 113,11. 114,24,38. 115, 28,36. 116,25. 117,28. σελ. 125. σελ. 127. σελ. 129. 131,34. σελ. 133. 134,39. 144,28,30. 145, 10. 149,23. 153,10. 156,13,35. 162,24. 165,30. 169,33. 177,8. 181,12. 182,31. 196,7. 208,36. σελ. 211. σελ. 212. σελ. 213. 217,7,39. 218,6. 222,34,38. 231, 37. 233,7. 236,12. 241,18,19. 256, 12. 258,37. 259,15. σελ. 260. 261, 27. 270,40. σελ. 271. 286, 30, 32. 294,15. 306,7. 309,26. 310, 20,40. 312,10,23. σελ. 313. 314, 6,24. 335,16. 362,9. 367,5. 372, 36. 377,14. 380,15. 381,21. 382, 29,36. 392,7,8. Διαθήκη — 198, 9. Εἰ ἐστὶ προσευχὴ — ὁ ψαλμὸς ΠΘ' 211,17 ἑξ. Νόμος — λύχνος 214,27. Προσευχὴ — 148,15 ἑξ.

Ναβουχοδονόσορ 120,7.
Ναθὰν σελ. 183. 184,8.
Ναός. — Ἅγιος ἡ Ἐκκλησία 374,30. — ἀληθινὸς Θεοῦ οἰκοδομηθεὶς διὰ λίθων ζώντων 361,5. — Θεοῦ οἱ ἅγιοι 384,29. — Ἰουδαίων, μιανθεὶς ὑπὸ Ἀντιόχου 107,38 ἑξ. Ἔτη ἀπὸ κατασκευῆς τοῦ — Σολομῶντος μέχρι Βαβυλωνίου αἰχμαλωσίας, ἀπὸ Ζοροβάβελ μέχρι Ῥωμαίων καὶ μέχρι Χριστοῦ 214, 12 ἑξ. Ἔτη χίλια τὰ ἔτη λατρείας ἐν — Σολομῶντος 214,12 ἑξ.
Νεκροί. Χριστὸς γενόμενος ἐν — ἐλεύθερος 171,23 ἑξ.
Νεφέλαι. — δοῦσαι φωνήν, πῶς νοητέαι 82,36 ἑξ.
Νεφέλη. — ὁδηγήσασα Ἰουδαίους 92,6 ἑξ.
Νηστεῖαι. Δεήσεις προφητῶν μετὰ — καὶ δακρύων 278,27 ἑξ.
Νῆψις 74,33.
Νόμος. — εἰς μαρτύριον δοθεὶς ὑπὸ Θεοῦ 88,36 ἑξ. — Μωϋσέως λύχνος 214,27. Ἀγάπη — Κυρίου 350,16 ἑξ. Μαθητεία τῷ θείῳ — 251,18. Ὅτι δεῖ φυλάττειν τὸν — Θεοῦ 346,20 ἑξ. Σύνεσις καὶ ἐξερεύνησις — Θεοῦ 344,36 ἑξ.
Νοῦς. — διδασκόμενος δικαιώματα Θεοῦ 357,16. — καθαρώτατος 36, 25.
Νυσταγμός. — ψυχῆς ἀπὸ ἀκηδίας 343,37 ἑξ.
Νῶε 101,13. 181,12. 208,32.

Ὁδός. — ἀνθρώπου ὁ Χριστὸς 381, 17 ἑξ. — ἐν θαλάσσῃ, πῶς νοητέα καὶ τί συμβολίζει 84,14 ἑξ. — ἐν πᾶσι τελεία καὶ ἀληθινὴ ὁ Χριστὸς 257,2 ἑξ. — εὐθεῖα ὁ σωτήριος εὐαγγελικὸς λόγος 317,31 ἑξ.
Ὀδύνη. Ἄρτος — 364,39.
Οἰκουμένη. — θεμελιωθεῖσα ὑπὸ Θεοῦ 190,35 ἑξ.
Οἰκτιρμοί. — Θεοῦ 355,20 ἑξ. 385, 37 ἑξ.
Ὀλδᾶ. — προφήτης 58,4.
Ὄνομα. — Ἰησοῦ Χριστοῦ δοξαζόμενον ὑπὸ ἐθνῶν 392,20 ἑξ. — Κυρίου αἰνετὸν ἀπὸ ἀνατολῶν μέχρι δυσμῶν ἡλίου 333,3 ἑξ. — τετράγραμμον Θεοῦ 210,36. — — Χριστοῦ καὶ Χριστιανῶν μένον εἰς αἰῶνα 38,30. — Χριστοῦ, ᾧ πᾶν γόνυ κάμψει 270,20 Ἐπίκλησις — Θεοῦ 270,41 ἑξ. Ἐπίκλησις — Κυρίου 66,27 ἑξ. 302,31 ἑξ.
Ὅρασις. — Θεοῦ ἑρμηνευόμενον τὸ ὄνομα Ἰσραὴλ 50,3. — πνευματικὴ καὶ εὐφροσύνη 320,25 ἑξ. Ἱερουσαλὴμ ἑρμηνευόμενον — εἰρήνης 73,26.
Ὀργή. — Θεοῦ 259,23. — Θεοῦ κατ' Ἰουδαίων, ἀνθ' ὧν κατὰ Χριστοῦ ἔπραξαν 44,14 ἑξ. 21 ἑξ. 26 ἑξ. 45,26 ἑξ. — Θεοῦ κ.λ. οὐ πάθος

ἐστὶ Θεοῦ 140,1 ἑξ. Περὶ — Θεοῦ 100,1 ἑξ.
Ὄρη. — ἀναλαβόντα εἰρήνην τῷ λαῷ, πῶς νοητέα 27,6 ἑξ. —σύμβολα πνευματοφόρων ἀνδρῶν 290,23 ἑξ. — σύμβολα τῶν ὑπὲρ αἴσθησιν 359,29 ἑξ.
Ὅρκοι. — Θεοῦ πρὸς ἀνθρώπους 181,12 ἑξ.
Ὅρκος. — Θεοῦ τηρηθεὶς 368,8 ἑξ. — τοῦ φυλάττειν τὰ κρίματα δικαιοσύνης Θεοῦ 350,35 ἑξ.
Ὄρος. — ἅγιον Θεοῦ, πῶς νοητέον 271,30 ἑξ. — Σίναιον 391,20.
Ὀρφανός. — καὶ χήρα ὑπὸ Θεοῦ ἀναλαμβανόμενοι, πῶς νοητέοι 389, 5 ἑξ. Περὶ δικαίας κρίσεως πρὸς — 131,3 ἑξ.
Ὅσιοι. — τῇ Ἐκκλησίᾳ λάμποντες ἐν ἀρετῇ 369,2. Θάνατος — κοίμησις 392,30 ἑξ.
Οὐεσπασιανός. — πολιορκητὴς Ἱερουσαλὴμ 58,23. Τῖτος καὶ — 214,22.
Οὐρανός. Θησαυρὸς ἐν — 361,26.
Οὐσία. — Θεοῦ ἄγνωστος ἀνθρώποις ἐστὶ 290,3 ἑξ.
Ὀφνεὶ 103,35.

Πάθη. — καὶ βίος Χριστοῦ προδηλωθέντα 323,38 ἑξ. — οὐ Θεοῦ εἰσι 140,1 ἑξ. — σώματος 277,32. — Σωτῆρος προλεχθέντα 112,24.
Πάθος. —ἑκούσιον Σωτῆρος 17,32 ἑξ. — Χριστοῦ 153,12. 207,27. 242, 35. 253,32 ἑξ. — Χριστοῦ προδηλωθὲν 172,3 ἑξ. — 227,18 ἑξ. 327,10 ἑξ. Χριστοῦ προλεχθὲν 13,24 ἑξ. — Χριστοῦ προφητευθὲν 170,16. Γεγονότα κατὰ — Χριστοῦ προδηλωθέντα 203,17 ἑξ. Ὑπομονὴ Χριστοῦ κατὰ — αὐτοῦ 323,34 ἑξ.
Παιδεία. — διὰ διωγμῶν συντελουμένη 341,1 ἑξ. — Θεοῦ 315,22. Ταπείνωσις καὶ — 347,15 ἑξ.
Παῖδες. Ἁμαρτίαι πατέρων εἰς — μεταδιδόμεναι 325,33 ἑξ.
Παλαιός. — ἡμερῶν 264,20.
Παλαιστίνη 164,24.
Παλιγγενεσία. — ἐκ βαπτίσματος 298,20.
Παραβολαί. Διδασκαλία Χριστοῦ ἐν — γενομένη προελέχθη 85,34 ἑξ. 87,2 ἑξ.
Παράκλησις. — Χριστοῦ κατ' ἀγῶνας αὐτοῦ 22,7 ἑξ.
Παραλειπόμενα. Βίβλος — 77,16. Βίβλος Α' — 169,29.
Παρανομεῖν. Περὶ τοῦ ὅτι οὐ δεῖ — 42,34.
Παραπικραίνοντες. Ἀμορραῖοι ἑρμηνευόμενον λαλητοὶ — 373,1.
Παρηγορία. — ἐν θλίψεσιν ὁ Θεὸς 253,15 ἑξ. 254,3 ἑξ.
Παρθενεύοντες 30,15.
Παρθένος 201,36. 202,7. — Ἁγία 25,34. 29,19. 203,22. 367,23.
Παροιμίαι 25,21,34. 26,9. 190,26. 384,1.
Παροργισμός. Σηὼν ἑρμηνευόμενον — 373,2.
Παρουσία 303,19. — Ἁγ. Πνεύματος 62,29. — δευτέρα 255,31 ἑξ. — δευτέρα ἔνδοξος Σωτῆρος 264, 17. — δευτέρα καὶ πλήρωμα ἐθνῶν εἰσελευσόμενον προεδηλώθησαν 375,1 ἑξ. — ἔνδοξος Σωτῆρος 43,17. — ἔνσαρκος Χριστοῦ προρρηθεῖσα 47,4. — Θεοῦ ἀνθρώποις 149,37. — Θεοῦ ἀνθρώποις προδηλωθεῖσα διὰ πγ' ψαλμοῦ 170,6. — Θεοῦ Λόγου ἀνθρώποις 319,14. — Ἰησοῦ Χριστοῦ 241,20. — Κυρίου ἀνθρώποις προδηλωθεῖσα 388,37. — πανταχοῦ τοῦ Θεοῦ 78,19. — πρώτη 126,26. — πρώτη Χριστοῦ 255,27 ἑξ. — σωτήριος 57,17. 58,12. Σωτῆρος 44,18. 148,13. 212,27. 215,39. 217,8. — Χριστοῦ 70,31. 112,41. 121,13. 149, 27. 193,19. 334,24. — Χριστοῦ ἀνθρώποις — 29,5 ἑξ. 224,37. — Χριστοῦ προφητευθεῖσα 141,14. Ἀξία ἡμέρας Θεοῦ — 148,8 ἑξ. Ἀποτελέσματα — Χριστοῦ πρὸς — 29,35 ἑξ. Ἀστραπὴ δευτέρας — προδηλωθεῖσα 266,5 ἑξ. Προφητεῖαι περὶ τῆς τοῦ Χριστοῦ — 150,6 ἑξ. — δύο Θεοῦ προδηλωθεῖσαι 267,30 ἑξ.
Πάσχα 60,36. — Ἑβραίων σύμβολον θυσίας ἀμνοῦ τοῦ Θεοῦ 100, 11 ἑξ.
Πατέρες. Ἁμαρτίαι — εἰς παῖδας μεταδιδόμεναι 325,33 ἑξ.
Πατὴρ 13,30. 14,17. σελ. 16. 17, 41. 19,9,40. 20,24. 21,39. σελ.

22. σελ. 23. 25,18. 26,19,23. 33,12. 49,2,5. 54,11. 62,11. σελ. 66. σελ. 67. 70,24,32. 75,3. 83,12. 97,33. 115,21. 123,28. 124,26. 131,22,31. 132,2. 134,1. σελ. 159. 160,2. 170,26,29. 171,13. 173, 39. σελ. 174. 175,1,4. σελ. 176. σελ. 178. 195,33. 222,23,41. 223, 3. 231,31. 232,22. 233,40. 238, 38. 240,14. 242,26,30. σελ. 243. 255,1. 256,22. 268,23. 270,21. σελ. 324. 327, 12. σελ. 328. 329, 28,29. σελ. 330. 333,18. 354,11, 12. 370,25. 381,25,27. — ἀγαθὸς ὁ Θεὸς 287,6. — Θεὸς 356,11. 357,4. — οἰκτιρμῶν 253,29. — οὐράνιος 385,3. Ἄφιξις ἀνθρώπων εἰς Θεὸν — δι' Ἰησοῦ Χριστοῦ 357,4. Βουλὴ — 172,37. Δύναμις — 229,28. Εἷς Θεὸς ὁ — 159,3. Θεὸς — 203,1. Πνεῦμα — 143,35. Προσευχὴ Χριστοῦ πρὸς τὸν — προδηλωθεῖσα 174,30 ἑξ.

Παῦλος 21,26. 65,18. 67,29. 68,7. 111,17. 146,5. 219,40. 240,9. 263,25. 289,37. 344,28. 346,25. 327,28. 366,34. 368,11. 386,23. 391,36. 392,31. 393,24. Ἐπιστολὴ — πρὸς Κορινθίους 302,6.

Πείθεσθαι. Τὸ μὴ — ἐπ' ἄρχοντας κλ., πῶς νοητέον 388,5 ἑξ.

Πειρασμοί. — ἀμφιβολίας καὶ βοήθεια ἐν τοσούτῳ ὑπὸ Θεοῦ 54,16 ἑξ. — Ἰωσὴφ 309,1 ἑξ. Δέον ὅπως μὴ ταράττεσθαι ἐν τοῖς τοῦ βίου — 78,2 ἑξ. Ἔλεος Θεοῦ ἐν — 381,13 ἑξ. Καιρὸς — καὶ περιστάσεων, ταπείνωσίς ἐστι 349,35. Ὑπομονὴ εἰς — 381,30 ἑξ. Ὑπομονὴ πιστοῦ ἐν — κλ. 251,20 ἑξ. Χεὶρ φυλακτικὴ Θεοῦ εἰς — ἐναντίας δυνάμεις, κ.λ. 383,17 ἑξ. Ψαλμὸς κατάλληλος ἐν θλίψεσι καὶ — 379,29 ἑξ.

Πειρασμός. — Χριστοῦ ἐν ἐρήμῳ προδηλωθεὶς 224,15 ἑξ. 229,7 ἑξ. 231,21 ἑξ. — Χριστοῦ ἐν ἐρήμῳ ὑπὸ διαβόλου προδηλωθεὶς 218,1 ἑξ. Σηὼν ἑρμηνευόμενον — 373, 2. Ὑπομονὴ εἰς — καὶ ἀγάπη πρὸς Θεὸν 337,26 ἑξ.

Πελεκάν. Πραττόμενα ὑπὸ — τοῖς νεοσσοῖς αὐτοῦ, πῶς προσομοιάζονται τῇ πτώσει καὶ σωτηρίᾳ ἀνθρώπων 280,15 ἑξ.

Πένης. Κρίσις καὶ δικαιοσύνη διὰ πτωχὸν καὶ — 131,2 ἑξ. 132,6 ἑξ. 21 ἑξ. — ἀνυψούμενος ἐκ κοπρίας, τίς νοητέος 334,2 ἑξ.

Πένητες. Πτωχοὶ καὶ — οἱ ἀπόστολοι προλεχθέντες 34,16 ἑξ. Υἱοὶ — τίνες νοητέοι 28,11 ἑξ.

Πεπτωκότες. Θεὸς ἰατρὸς τῶν — 386,39 ἑξ.

Περιτομή. — καρδίας ἐν πνεύματι 71,32.

Πετεφρῆς 114,22.

Πέτρος 28,2. 35,29. 67,26. 324,1,6. Ἄρνησις — προδηλωθεῖσα 177, 20. Σίμων — 35,29 ἑξ.

Πιλᾶτος 201,33.

Πίστις. Δύναμις — πρὸς Θεὸν 16,7 ἑξ. Περὶ τῶν διὰ — τελειουμένων 332, 13 ἑξ.

Πιστοί. — ἐξ ἐθνῶν, διατί παιδεύονται ὑπὸ Χριστοῦ 107,10 ἑξ. Ἡμέραι καὶ ἔτη — 97,2 ἑξ. Σωτὴρ οὐκ ἀποστρέφεται τῶν ἑαυτοῦ — 65,7 ἑξ.

Πιστός. Δέησις — διὰ τὸ μὴ συκοφαντεῖσθαι αὐτὸν ὑπὸ ὑπερηφάνων 352,1 ἑξ. Μιμητὴν Χριστοῦ δεῖ εἶναι τὸν — 345,9. Οἷον δεῖ εἶναι τὸν — διὰ τὸ μὴ σαλευθῆναι αὐτὸν 331,27 ἑξ.

Πλήρωμα. — οἰκουμένης ἡ Ἐκκλησία 190,32.

Πνεῦμα 13,19. 24,39. 25,8. 296,23. σελ. 297. 298,16. 304,10. — Ἅγιον 24,32. 25,33. 40,32. 54,23. 74,13. 76,38. σελ. 84. 114,10. 118,32. 121,12. 122,7. 123,7. 124,40. 126,26. 129,10. 134,18. 136,25. 139,16. 152,7. 155,6. 158,37. 182,6. 185,42. 189,39. 192,23,25. 196,18. 197,7. 218, 23. 224,18. 226,16,19. 235,26. 244,21. 248,8. 249,32. 262,31. 268,10. 277,16. 280,41. 302,16. 303,18. 305,18. 321,10. 323,31. 329,10,25. 336,10. 342,1. 348,18. 367,28. — ἐρευνῶν τὰ πάντα 237,21. — θεῖον 43,37. 73,16. 85,30. 108,24. 122,23. 147,39. 151,18. 152,10. 156,29. 158,23. 181,37. 189,10. 192,33. 201,20.

203,7. σελ. 204. 207,6. 220, 12,33. 222,34. 229,8. 240,41. 242,3. 243,32. 244,1. 248,5. 252,30. 262,23. 264,14. 285,15. 288,5. 304,8. 321,16. 353,12,22. 364,27. — θεῖον ἔτεοον τοῦ — σαρκὸς 98,10. — Θεοῦ 31,27. 41,19. 71,34. 143,35. 237,19,20. 384,29. 387,23. — Θεοῦ ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ 237,21. — Κυρίου 261,17. — Πανάγιον 297,30. —πατρικῆς θεότητος 261,22. — Πατρὸς 143,34. — προγνωστικὸν 137,28. — πρὸς Θεὸν ἀνάγει 284, 33 ἑξ. — προφητικὸν 27,8. 44,34. 53,15. 57,10. 71,14. 116,31. 131, 4. 162,22. 202,32. 204,29. 224, 35. 332,38. — συμβολιζόμενον διὰ Ψαλτηρίου 392,25. — Σωτῆρος 150,37. — υἱοθεσίας 370,15. 'Ακηδία — ἀνθρώπον 380,7 ἑξ. 'Αρραβὼν — 286,7. Γέννησις Χριστοῦ ἐξ 'Αγ. — προδηλωθεῖσα 329,10 ἑξ. Μέθεξις — 366,34. Μετοχὴ καὶ χορηγία 147,10. — Παρουσία 'Αγίου — 62,29. — 'Υποδοχὴ — 321,20. Χαρίσματα — 290,35.

Πνεύματα. — θεῖα 190,13.

Πόθος.— σωτηρίου Θεοῦ 357,27 ἑξ.

Ποίμνη. — δικαίου ψυχὰς ἀκεραίας κλ. περιλαμβάνει 385,35.

Ποιμήν.— καλὸς ὁ Θεοῦ Λόγος 114, 15 ἑξ.

Πολεμεῖσθαι. — πλεονάκις ἐκ νεότητος, πῶς νοητέον 367,8 ἑξ.

Πόλις. — Θεοῦ ὀνομασθεῖσα 38,15.

Πόνος. — ἀρετὴ καὶ — τροφὴ καὶ χαρὰ τῇ ψυχῇ εἰσι 365,35.

Πορνεία.— ἀπομακρύνσεως ἀπὸ Θεοῦ 56,10 ἑξ.

Πτολεμαῖος.— Παλαιὰ Διαθήκη μεταφρασθεῖσα ἐπὶ — 168,10.

Πτῶσις. — φόβος — εὐσεβοῦς 351, 36 ἑξ.

Πτωχοί. — καὶ πένητες οἱ ἀπόστολοι προλεχθέντες 34,16 ἑξ. — σωτηρία παρεχομένη ὑπὸ Χριστοῦ τοῖς — 27,36 ἑξ.

Πτωχός. — ἐγειρόμενος ἐκ γῆς, τίς νοητέος 334,2 ἑξ. — προσευχὴ ἀκηδιῶντος — ὁ ΡΑ' ψαλμὸς 278,1 ἑξ.

Πράξεις. — ἀποστόλων 67,27. — οὐράνιοι 94,21.— Γραφή — 323,39. Δόξα Θεῷ διὰ — καὶ θεωρίας 269,6.

Πρόγνωσις. — θεϊκὴ 40,37. — Θεοῦ 272,12 ἑξ.

Πρόνοια 78,19. 237,33. 239,11. 390, 10. — θεία 371,18. — Θεοῦ 51,3. 237,5. 240,34. 247,33. 307,27 ἑξ. 347,22. 387,16. 371,27. 372, 28 — Θεοῦ καθολικὴ 390,10 ἑξ.— Θεοῦ ἐπὶ πάντας 373,30 ἑξ. — Κυρίου 343,14. — Λόγου 77,18.

Προόρασις. — προφητῶν 147,39.

Προσδοκία. — σωτηρίου Θεοῦ 356, 21 ἑξ.

Προσευχαί. — ἁγίων πᾶσαι ὠφέλιμοι 158,21. — 'Αγίου Πνεύματος 192, 23 ἑξ. — ἀδιάλειπτοι ὑπὸ Χριστιανῶν ἀναφερόμεναι τῷ Κυρίῳ 37, 2 ἑξ. — τὸ ἀνεκεφαλαιώθησαν — Δαυῒδ 'Ιεσσαί, πῶς νοητέον 40, 37 ἑξ.

Προσευχὴ 80,30. — ἀκηδιῶντος πτωχοῦ ὁ ΡΑ' ψαλμὸς 278,1 ἑξ. — δι' ἐπάρσεως χειρῶν 377,22 ἑξ.— ἐν καιρῷ διωγμῶν 110,33 ἑξ. — ἐν καιρῷ θλίψεων 78,35 ἑξ. — ἐν ταπεινώσει 155,24 ἑξ. — ἐπικλητικὴ τῷ Θεῷ 355,1 ἑξ. — καὶ ἐλπὶς 157,6 ἑξ. — καὶ ἐξομολόγησις 160, 17 ἑξ. — Μωϋσέως 148,15 ἑξ. — πρὸς Λόγον Θεοῦ113,39 ἑξ. — συνδιάλεξίς ἐστι πρὸς Θεὸν 299,7 ἑξ. τῷ Δαυῒδ ΠΕ' ψαλμὸς 155,23 ἑξ. — τῷ Κυρίῳ ἀποδιδομένη 76,10 ἑξ. — ὑπὲρ ἐχθρῶν ἡμῶν 324,28 ἑξ. — ὑπὲρ ἱλασμοῦ ἁμαρτιῶν 110,5 ἑξ. — ὑπὲρ κλήσεως ἐθνῶν 47,14. — Χριστοῦ πρὸς τὸν Πατέρα προδηλωθεῖσα 174,30 ἑξ. — Χριστοῦ ὑπὲρ εὐτυχίας 20,39 ἑξ. — 'Αναγκαιότης — 298,37. 302,19 ἑξ. Εἰ ἐστὶ — Μωϋσέως ὁ ψαλμὸς ΠΘ' 211,17 ἑξ. — Λόγος εἰδικὸς 302,14-19. — Περὶ — Δαυῒδ ὄντος τοῦ ΠΕ' ψαλμοῦ 155,23 ἑξ. — ψαλμοὶ φέροντες τὴν ἐπιγραφὴν «—» 156,10 ἑξ.

Προσκύνησις. — ἐν τῇ 'Εκκλησίᾳ 374,30 ἑξ.

Προφῆται.— δηλώσαντες τὴν ἀπόπτωσιν τοῦ 'Ιουδαίων λαοῦ 261,25 ἑξ. — καταδιωχθέντες ὑπὸ 'Ιουδαίων 107,27 ἑξ. 'Ονόματα — οἵτινες ἰατροὶ καὶ σωτῆρες τῷ 'Ισραὴλ

ἐστέλλοντο 58,2 ἑξ. — πρόφασις — 147,39.
Προφητεία. — μέχρις Ἰωάννου προφήτου 61,35 ἑξ. — ψαλμὸς — ὧν περὶ τῶν ἐν Βαβυλῶνι 374,1 ἑξ.
Προφητεῖαι.— ἐκπληρωθεῖσαι διὰ τῆς Χριστοῦ παρουσίας 150,6 ἑξ. — — περὶ τῶν μελλόντων ἐν τῇ τοῦ Κυρίου Βασιλείᾳ 246,10 ἑξ.
Προσωποληψία 132,6 ἑξ.
Πρωτότοκος. — Θεοῦ ὁ Χριστὸς 203, 36.

Ῥαάβ 162,9. σελ. 166. 168,16.
Ῥάβδος. — δυνάμεως ὁ εὐαγγελικὸς λόγος 328,28 ἑξ.
Ῥαθυμία 258,21.
Ῥαφεῖον 92,23.
Ῥεγμάς. — Ὀνόματα υἱῶν 33,29.
Ῥομφαία. — Λόγος εὐαγγελικὸς — ὀνομασθεὶς 393,9.
Ῥοὺθ 322,37.
Ῥωμαῖοι. — Ἔτη ἀποκαταστάσεως Ναοῦ Σολομῶντος μέχρι Βαβυλωνίου αἰχμαλωσίας, ἀπὸ Ζοροβάβελ μέχρι — καὶ μέχρι Χριστοῦ 214, 12 ἑξ.

Σαβὰ 32,37. σελ. 33. σελ 36. 76,26.
Σαβάθα 33,27.
Σαβαῖται. — ἔθνος τῆς εὐδαίμονος Ἀραβίας 36,36
Σαβχὼθ 37,27. 40,25,26. 141,38.
Σαββατισμός. — ἔννοια — καὶ Σαββάτου 231,37 ἑξ.
Σάββατον. — διατί ἀντικατεστάθη ὑπὸ Κυριακῆς 233,35 ἑξ. 235, 35 ἑξ. — ἑρμηνευόμενον ἀνάπαυσις Θεοῦ 232,17. — τέλειον ἡ βασιλεία τοῦ Θεοῦ 232,24. — ψαλμὸς — α' ἐπιγραφόμενος εἰς ἡμέραν — 231,32 ἑξ. — ἔννοια καὶ Σαββατισμοῦ 231,37 ἑξ.
Σαλαθεὴλ 214,15.
Σαλὴμ 71,24,25. σελ. 73. 74,9. — ἑρμηνευόμενον ἐν εἰρήνῃ 73,11.
Σαλμονᾶς 138,23,29.
Σάλπιγγες. — ἑορτὴ — 125,15 ἑξ.
Σαμάρεια 90,113. 322,9.
Σαμουὴλ 102,37. 270,41. 271,6. 292, 13.
Σαοὺλ 16,7. 106,23. 264,8. σελ. 378. 379,14. 380,6. 382,24. 388,32.
Σάρξ. — κοινωνήσει ζωῆς αἰωνίου 142, 39 ἑξ. — Κατὰ — γέννησις Χριστοῦ 29,16 ἑξ. — φρόνημα 98,1 ἑξ.
Σατανᾶς 300,17.
Σεδεκίας σελ. 163.
Σεῖν. — Ἔρημος — 92,31.
Σεραφίμ. — ἑρμηνευόμενον ἐμπρησμὸς 290,11.
Σηλῶ 90,13. 182,34. Σκηνὴ — 103, 5.
Σηλὼμ 90,19. σελ. 102. 103,36. σελ. 105. 109,31,32. 118,25.
Σὴμ 101,13.
Σημεῖον. — εἰς ἀγαθόν, πῶς νοητέον 161,29 ἑξ.
Σηών. — βασιλεὺς Ἀμορραίων 372, 41.373,2,7 — ἑρμηνευόμενον παροργισμὸς καὶ πειρασμὸς 373,2.
Σιγή. — Θεοῦ 135,25 ἑξ.
Σιδὼν 69,26.
Σίμων 298,14. — Πέτρος 35,29.
Σινᾶ 265,19.
Σιναΐ 256,25.
Σισάρα σελ. 138. 139,9.
Σιὼν 25,13. 27,21. 43,6,10. 53,39. 55,34. 56,33,41. 57,2,3. σελ. 60. σελ. 73. 74,9. 86,14,24. 101,38. 102,1 σελ. 105. 118,25. 123,29. 146,34. σελ. 147. 150,3. 162,8. σελ. 164. σελ. 165. 166,6,13. σελ. 167. 168,8,14. 182,36. 197, 1. 252,10. 256,26, 267,5,7. 270, 10,11. σελ. 271. 277,17. σελ. 282. 283,7. 289,18. 328,26.339, 33. 362,35. 368,36. σελ. 369. 372, 16. 384,27. 392,10. — ἐπουράνιος 165,17. Θεὸς Θεῶν ὀφθεὶς ἐν — νοητέος 146,34 ἑξ. Ὄρος — 59,35,39. Πύλαι — ἀγαπώμεναι ὑπὸ Κυρίου, πῶς νοητέαι 164,25 ἑξ. Τίς ἡ ἀληθὴς — ἐν πνεύματι 73,1 ἑξ.
Σιωπή. — Θεοῦ ἀνεξίκακος 136,3.
Σκηνοπηγία. — ἑορτὴ — 125,27.
Σκηνώματα. — Ἰακώβ, πῶς νοητέα 165,30 ἑξ.
Σκοτασμός. — σκηνώματα Κηδὰρ σκηνώματα — εἰσὶ 359, 24.
Σόδομα 72,6. 102,33. 117,29.224,6.
Σολομῶν σελ. 23. σελ. 24. σελ. 25. 26,7. 33,19,21. 36,38. 57,19. 148, 12. 162,25. 169,37. 202,41. 204, 4. 208,26. 211,2. 214,13. 325, 28. 364,24. 365,3. Ἐκκλησιαστὴς 376,37. — Ἔτη χίλια τὰ

ἔτη λατρείας ἐν Ναῷ — 214,12 ἑξ.
Σουσάννα 354,4.
Σοφία 25,21. — μέθεξις τῇ — τοῦ Θεοῦ 386,11 ἑξ.
Σπέρμα. — εἰς αἰῶνα αἰῶνος τεθὲν ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἐστὶ 198,11 ἑξ.
Σταυρός. — ὑπενεχθεὶς ὑπὸ Χριστοῦ 17,2.
Στεναγμός.— πτωχοῦ ἡ ἄσκησις αὐτοῦ 279,31 ἑξ.
Στῦλοι. — Ἐκκλησίας 68,6 ἑξ. 12 ἑξ.
Συγκατάβασις. — Θεοῦ 157,5.
Συκοφάνται. Ταπείνωσις — Ἐκκλησίας 28,22 ἑξ.
Συκοφαντία. — εὐχαριστία Θεῷ ἁρμόζει ἐν τῷ λυτροῦσθαι ὑμᾶς ἀπὸ — 354,1 ἑξ. φόβος πιστοῦ ἐκ — αὐτοῦ ὑπὸ ὑπερηφάνων 352,1 ἑξ. — κατ' Ἐκκλησίας 28,17, ἑξ.
Σύμβολα. — Κιβωτοῦ Διαθήκης 115, 27 ἑξ.
Συμεὼν 151,36.
Σύμμαχος 129,3,12. — μεταφραστὴς τῆς Π. Διαθήκης 15,20. 17,8,24. 18,5,22. 19,8,25. 23,5,12. 28,31. 29,11,37. 30,38. 32,20. 33,10. 34,18. 35,37. 40,36,38. 49,39. σελ. 50. 51,1,8. σελ. 52. 53,27. σελ. 55. 59,32. σελ. 60. 63,14,40. 64,30. 65,28. 66,4. 67,14.36. 68,16. 69,2,8. 70,7,11. σελ. 72. σελ. 74. 77,1,8. 78,14. 80,5,37. 81,13, 37.82,6. 83,33. 87,12. 89,10,35. 94,26,29. 96,12. 97,37. σελ. 99. σελ. 100. 101,25. 102,31,39. σελ. 10?. 104,24. σελ. 105. 106, 37,41. 108,32. 109,39. 113,34, 36. 116,39. 118,3,35. 120,9. σελ. 123. 126,7. 127.1. 128,14,20. 130,30. 131,17. 136,5,9. 137, 41. 138,8. 145,41. σελ. 146. 147,34. 149,1,13. 155,11. 156,28. 157,22,37. 160,11,15. 161,10,22. 162,11. 164,15. 166,18,28. 167,4, 35. 168,3. 169,20. σελ. 171. σελ. 172. 173,3,29. σελ. 174. 176,32. 177,13. 178,1. 180,6,27. σελ. 185. 186,10. 187,16. 191,12. 192,8,41. 193,10. 194,27. 195,11. 198,2. 27. 200,7. 203,19. 205,4. 207, 18,25. 208,16. 209,13,15. 211,25. 215,21,32. 216,19. 217,10. 218, 14,21. 219,17. σελ. 223. 225,11. 226,6. 256,10. 263,33. 272,27. 278,15,24. 303,40. 320,22. 322, 32. 323,30. 325,25. 329,4. 332,5, 34. 335,14. 338,32. 342,5. 344,1. 347,9. 348,6. 354,21. 365,8. 366,24. 369,4,8. 371,35. 374,33. 375,18. σελ. 377. 378,7,17. 385, 26. 389,24,38. 390,16. σελ. 389.
Σύμπαντα.— δοῦλα Θεῷ εἰσὶ 349,24 ἑξ.
Σύνεσις 354,27 ἑξ. — εἰς λόγια Θεοῦ τίνος ἐστὶ 357,11 ἑξ. — καὶ ἐξερεύνησις νόμου Θεοῦ 344,36 ἑξ.— πότε ἀγαθή ἐστι 330,37. — ψαλμὸς καλούμενος Αἰθὰν 178,35 ἑξ. — ψαλμὸς καλούμενος — Αἰμὰν 169,1 ἑξ. — ψαλμὸς — τῷ Ἀσὰφ 85,19 ἑξ.
Συρία 44,29. 137,26. 169,17.
Συχὲμ 322,8
Σῶμα.— Ἐκκλησίας 12,31.— Ἐκκλησίας πότε ἔσται ἀσθενὲς καὶ γηραλέον 21,9. — πρὸς ἀνδραποδώδεις καθέλκει ἡδονὰς 284,31 ἑξ. — συμβολιζόμενον διὰ τυμπάνου 392,25.— —τέλειον Ἐκκλησίας 231,10. — Χριστοῦ 20,31. 89,4. 218,31. 227, 6. 228,39,40. Ἁρμονία — καὶ ψυχῆς 269,9.
Σωρήκ. — ἄμπελος 124,20.
Σωρήχ. — ἄμπελος 117,36
Σωσάννα 388,31
Σωτὴρ 11,33. 12,29. σελ. 13. 14, 7,32. 16,12,30. 17,32. 18,40. 19,27. 20.6. 21,6,37. 23,15. σελ. 24. 28,12,22. σελ. 29. σελ. 30. 33,16. σελ. 34. 37,20,24. 40, 28. 41,6. 42,31,33. 43,4,17. 44,17. 45,38. 49,2. 50,2. 57,26. σελ. 58. 59,2. 61,29. 66,23.68,5, 19. 75,2. 77,37. 82,22. σελ. 83.84, 19. 86,6,28. 87,33. 88,20.94,34. 107,22,34. 110,32. 112,24. σελ. 119. 120,15,43. 123,22. 125,8. σελ. 126. σελ. 131. 133,16. 142,8. 143, 2,5.148,13,18. σελ. 150. σελ. 151. 153,5,32. 154,17,28. σελ. 155. 156,16. σελ. 159. 162,4. 164,38. 165,38. 167,20. σελ. 168. 169,14, 21. σελ. 170. 171,27. 172,?. 173, 11. σελ. 175. 182,12. 190,32,40. 191,24. 192,34. 193,26. 196,27, 38. 200,18. 201,30. 202,17,28. 206,43. 212,27,33. 213,7. 214,19. 215,29,39. 216,1. 217,8,20.218,2,

25,35. 225,17,24. 226,7. 227,18, 23. σελ. 228. σελ. 229. σελ. 230. 231,9,17. 232,32. 233,36. 241, 20. 244,9,16. 254,30. 255,10.σελ. 256. 260,19,23. 261,13,15. 264, 17. 266,26. 267,32,36. 268,2. 269,21,26. 270,18. 276,34. 283, 13,34. 285,38. 287,22. 287,40.296, 17. 300,16,22. 302,23. 308,8,13. 316,13,38. 317,15,29. 318,24,33. 319,8,26. 320,19,29. σελ. 322. 323, 32. 324,8. 324,22. 325,14. 326, 24,32. 327,18,23. 328,12,31. σελ. 330. 333,7. 350,21,22. 353, 23. 354,9. 356,15,27. 368,3, 16. σελ. 375. 377,5. 382,11. 386,26,36. 388,20,39. 389,31,33. 392,6. 393,24. — καὶ Λυτρωτὴς 383,4. — κόσμου 262,35. — μόνος ὁ Χριστὸς 388,20 ἑξ. — οὐκ ἀποστρέφεται τῶν ἑαυτοῦ πιστῶν 65,7 ἑξ. — ὁ Χριστὸς πᾶσιν ἀνθρώποις 63,6. — πεμφθεὶς ὑπὸ φιλανθρώπου Θεοῦ πρὸς ἐπικαλουμένους καὶ βοῶντας ἀνθρώπους 318,20. Γεγονότα κατὰ βάπτισιν — ἐν Ἰορδάνη 246,6. Δευτέρα — ἐπίλαμψις 354,9 ἑξ. Ἔθνη βοήσαντα καινὸν ἐπιπεμφθῆναι αὐτοῖς — 317,13 ἑξ. Θεότης — 193,2. Καταστροφὴ Ἰουδαίων ἐκ τόλμης κατὰ — 137, 28. Μαθηταὶ — 307,18. Παρουσία — 139,11. Περὶ — Χριστοῦ ἐπιδημίας 131,11 ἑξ.

Σωτηρία. — διὰ δεξιᾶς Θεοῦ 268,1 ἑξ. — διδομένη παρὰ Χριστοῦ 383,39 ἑξ. — παρεχομένη ὑπὸ Χριστοῦ πτωχοῖς κ.λ.π. 27,36 ἑξ. — περὶ πραέων 75,35. — δυνάμεις οὐράνιαι συγχαίρουσαι τῇ τῆς ψυχῆς — 288,9 ἑξ. — Ἰησοῦς ἑρμηνευόμενον Θεοῦ — 357,34. — Θάνατος Χριστοῦ πρὸς — ἀνθρώπων 173,15 ἑξ. — θήρευσις ἀνθρώπων εἰς — ὑπὸ ἀποστόλων καὶ ἁγίων ἀνδρῶν 376,30 ἑξ. «Ὁ δὲ Θεὸς ἡμῶν εἰογάσατο — ἐν μέσῳ τῆς γῆς», πῶς ἑρμηνευτέον 62,34 ἑξ. — ὑπερφυᾶ καὶ παράδοξα ἐπὶ ἀνθρώπων — 267,35 ἑξ. — Θεοῦ 356,21 ἑξ. 357,26 ἑξ.

Σωτήριον. — Θεοῦ γνωρισθὲν ὑπ' αὐτοῦ εἰς τὰ πέρατα γῆς 268,15 ἑξ. — Θεοῦ ὁ Χριστὸς 151,29 ἑξ. 152, 11 ἑξ. — ὁ Υἱὸς Θεοῦ ἐστι 349,7 Πόθος — Θεοῦ. 35 7,27 ἑξ. Προσδοκία — Θεοῦ 356,21. ἑξ.

Τάγμα. — ἀποστόλων 13,32. 34,38. — γνωριζόντων τὴν βασιλείαν Χριστοῦ 32,34.

Τάγματα.— δύο δηλούμενα, ἓν κρεῖττον καὶ ἓν δεόμενον θεραπείας 257, 17 ἑξ. — τέσσαρα συμβολικῆς ἀμπέλου καὶ τί συμβολίζουσι ταῦτα 119, 12 ἑξ. — τρία, τίνα νοητέα ἐν Ἰσραὴλ 372,7 ἑξ.

Τάνις. Πεδίον — σελ. 91. 98,26. 99, 1,15.

Ταπεινοφροσύνη 367,26 ἑξ. 368,1 ἑξ. — Δαυὶδ 13,14.

Ταπείνωσις. — ἁμαρτανόντων ἀναγκαία 42,35. — Δαυὶδ 161,20 ἑξ. — ἑαυτοῦ 338,31 ἑξ. — καὶ παιδεία 347,15 ἑξ. — ὁ καιρὸς τῶν πειρασμῶν καὶ τῶν περιστάσεων 349,35. — ὑπερηφάνου δαίμονος 187,31 ἑξ. 188,36 ἑξ. 190,7 ἑξ. — Χριστοῦ μέχρι θανάτου 171,28. Προσευχὴ ἐν — 155,24 ἑξ.

Ταραχὴ — ἀσυνέτων τῇ καρδίᾳ 74, 4 ἑξ.

Ταφή.— Χριστοῦ προδηλωθεῖσα 172, 10 ἑξ.

Τέλειοι. Ἄμωμοι ἢ — μακάριοί εἰσι 342,31 ἑξ.

Τελειότης. Ἄκρον — καὶ ἕξις ἀρετῆς 349,1 ἑξ.

Τερπνόν. Καλὸν καὶ — 369,14 ἑξ.

Τιβέριος.— Καῖσαρ 214,17.

Τιμόθεος 16,9

Τιμωρία. — μὴ πιστευόντων 42,30.

Τιμωρίαι. — ἀσεβῶν 75,35 ἑξ. — ἐκ Θεοῦ φωτίζοντος, ἀλλὰ καὶ τιμωροῦντος 75,5 ἑξ. — Θεοῦ πρὸς Ἰουδαίους διὰ τὸν γογγυσμὸν αὐτῶν 94,1 ἑξ. 96,26 ἑξ. — ἀντιμισθίαι 270,31 ἑξ. — λαοῦ Ἰουδαίων δι' ἁμαρτήματα αὐτοῦ 314, 41 ἑξ. — παραπικρανάντων τὸν Θεὸν Ἰσραηλιτῶν 102,20 ἑξ. — τοῦ Ἰουδαϊκοῦ λαοῦ 320,1 ἑξ.

Τίτος. — καὶ Οὐεσπασιανὸς 214,22. — πολιορκητὴς Ἱερουσαλὴμ 45,37. 58,24.

Τρίβος. — ἐντολῶν Θεοῦ 343,4 ἑξ.

Τύρος 48,4. 69,26. 112,39. 137,9, 40. 138,3. σελ. 166.

Τυφλοί. — σοφούμενοι 381,2 ἑξ.
Τύχη.— οὐ πιστευτὴ ὑπὸ Χριστιανῶν 237,6 ἑξ.

Ὕδατα. Θαυμάσια Θεοῦ ἐν πάσαις ταῖς μορφαῖς τῶν — προλεχθέντα 82,3 ἑξ.
Ὕδωρ.— πηγάσαν ἐκ πέτρας 92,27 ἑξ. — πρῶτον στοιχεῖον 209,33 ἑξ.
Υἱοθεσία. — Χριστιανῶν 130,19. Χάρισμα — 286,4.
Υἱοί. — Κορὲ 164,2,4. 168,36.
Υἱὸς 22,4,40. — ἀγαπητὸς Θεοῦ 246,7. — Θεοῦ 21,14. σελ. 25. σελ. 26. 34,5. 126,25. 131,32. 150,12. 156,22. 187,15. σελ. 197. 222,33,40. 225,41. 226,20,36. 229,9. 311,35. 315,35. 349,8. — Θεοῦ ἀπαύγασμα φωτὸς ἀϊδίου κλ. 49,4 ἑξ. — Μονογενὴς 25,26. 62,11. 159,39. 181,24. 318,40. — μονογενής, ἀγαπητὸς 181,30. — μονογενὴς Θεοῦ 370,22. — παιδίσκης, ὁ πιστὸς τῆς Ἐκκλησίας 339,12.
Ὕμνησις. — Πατρὸς ὑπὸ Χριστοῦ 16,33 ἑξ. — πλήρωμα πατρικῆς Θεότητος 62,12. — πρόσωπον Θεοῦ 306,11. —Περὶ — καὶ Λόγου τοῦ Θεοῦ 23,32-27,5. — Περὶ — τοῦ ἀνθρώπου 45,20 ἑξ.
Ὕλη. — πάντη ἄψυχος 337,15.
Ὕμνησις. — διηνεκὴς Θεοῦ 385,18 ἑξ.
Ὑπακοή. — Χριστοῦ μέχρι θανάτου 171,13.
Ὑπερασπιστής. — Θεὸς 147,28 ἑξ.
Ὑπερηφάνεια. — ἀσεβῶν 50,8 ἑξ. 51, 21 ἑξ. — σκληρύνει καρδίαν 348,1 ἑξ. Λογισμοὶ — 364,38. Λογισμὸς — 276,1 ἑξ.
Ὑπερῷα. — Θεοῦ, ἵνα νοητέα 290,27.
Ὑπομονὴ 251,30. 348,33. — εἰς πειρασμὸν καὶ ἀγάπη πρὸς Θεὸν 337, 26 ἑξ. — εἰς πειρασμοὺς 381,30 ἑξ. — πιστῶν πειρασμοῖς κ.λ. μετὰ Χριστοῦ κατάπαυσις αὐτοῦ 323,34 ἑξ.
Ὑποταγή. — σημεῖον γνώσεως Θεοῦ κ.λ. 323, 20 ἑξ. —ὑπὸ Θεοῦ λαοῦ αὐτοῦ ἀνθρώποις 382,34 ἑξ.
Ὕψιστος.— Θεός, τίς ἐστι 222,32 ἑξ. Ἀλλοίωσις τῆς δεξιᾶς τοῦ — πῶς νοητέα 80,34 ἑξ.

Φαρὲς 169,30.
Φαραὼ 63,19,22. 69,22. 98,41. 127, 2. 133,8. 213,21. 256,13. 308,36. 309,2,9. 334,37. 384,34.
Φέγγος. — Θεοῦ 212,7.
Φιλανθρωπία. — Θεοῦ 55,16.287,28. — παναγάθου Θεοῦ ἀνθρώποις 372, 40.
Φίλιππος 88,16. 363,30.
Φιλισταία 137,41. 166,27.
Φινεὲς 103,35. 104,8. 314,14,17.
Φοῖνιξ. Δίκαιος ὡς — ἀνθῶν, πῶς νοητέος 239,23 ἑξ.
Φύλαξ Θεὸς — 360,3 ἑξ.
Φῶς. — γνώσεως 331,23 ἑξ. — θεῖον 293,14. — θεῖον καὶ νοητὸν κλ. 266,20 ἑξ. — τὸ περὶ τὸν Θεὸν ἀκατάληπτον 289,34. Δουλεία Θεῷ δουλεία — ἐστὶ κ.λ. 272, 8.
Φωτισμός. — διὰ θείου πνεύματος 353, 16 ἑξ. — ἐκ Θεοῦ 74,3 ἑξ.

Χαλχὰλ 169, 31, 37.
Χὰμ 99,38. 100,31. σελ. 101. σελ. 309. 314,4.
Χαναὰν 314,30. — υἱὸς Χὰμ 101,14. Γῆ — 307,33.
Χαρά. Πλησμονὴ ἐκ — ἀνθρώπου 363,15 ἑξ.
Χάρις 339,15. — ἁπλωθεῖσα καθ' ὅλης τῆς οἰκουμένης 335,20 ἑξ. — εὐαγγελικὴ χυθεῖσα ἐπὶ πάντα τὰ ἔθνη 340,13 ἑξ. — θεία 14?,41. — θεία ἐπὶ πάντα τὰ ἔθνη 158, 36. — Θεοῦ 55,16. — 267,37. — Θεοῦ ποιεῖ μὴ σαλεύεσθαι τοὺς ἀνθρώπους 49,18 ἑξ. — Θεοῦ προδηλωθεῖσα 335,39. — Ἰησοῦ Χριστοῦ 318,25. — σωτήριος ἐκχυθεῖσα εἰς τὴν οἰκουμένην 244,5 ἑξ. — εὐφροσύνη τῶν ἐν τῇ — ἀνθρώπων προδηλωθεῖσα 342,1 ἑξ.
Χαρίσματα — Θεοῦ 84,12. — ἀνθρώπου ἀμεταμέλητα 292,9. — διδόμενα ἀξίαις 62,14 ἑξ. — πνεύματος 290,35.
Χείλη.— ὑμνοῦντα Θεὸν 357,17.
Χείρ. — υἱῶν ἀλλοτρίων, τίς νοητέα 384,13 ἑξ. — φυλακτικὴ Θεοῦ εἰς πειρασμούς, ἐναντίας δυνάμεις κλ. 383,17 ἑξ.
Χερουβίμ. — ἐφ' ὧν ἐποχούμενος ἦν ὁ Θεοῦ Λόγος 114,36 ἑξ. — τί ἦν 115,9 ἑξ.

Χήρα.—καὶ ὀρφανός, ἀναλαμβανόμενοι ὑπὸ Θεοῦ, πῶς νοητέα 389,5 ἑξ.
Χοῦς σελ. 33. — ἑρμηνευόμενον Αἰθίοψ 33,27.
Χούς. — ὀνόματα υἱῶν — 33,26.
Χρηστότης. — πλοῦτος — Θεοῦ 12,8.
Χριστιανοὶ 304,29. — ἀπὸ ὀνόματος Χριστοῦ ἐκλήθησαν οὕτω 121,34. — ὁ μακάριος λαός, ὁ γινώσκων ἀλαλαγμὸν 192,33 ἑξ. Γένος — 37,12.— Γένος — ἀδιαλείπτως ἀναφέρει εὐχὰς τῷ Κυρίῳ 37,2 ἑξ. — ὄνομα Χριστοῦ καὶ — μένον εἰς αἰῶνα 38,30.
Χριστὸς 13,18. 18,35. 21,30. 22,29. 28,13,15. 30,12. 31,16. 33,40.35, 15. σελ. 37. 38,29. σελ. 39. σελ. 41. σελ. 42. 62, 33. σελ. 65. 70,30. 86,10,38. 92,19. 119,8. 121,13. 126,15. 132,37. 143,31. σελ. 147. σελ. 148. σελ. 150. σελ. 151. 152,9,19. 154,1. σελ. 155. 158,27. 159,5. 170,6,15. 172,7. 173,15. 174,24. 179,30. 183,9. 192,33. σελ. 193. σελ. 195. σελ. 200. 201,12. 202. σελ. 203. 205,37. 206,13,20. σελ. 207. 208,1. σελ. 216. σελ. 217. σελ. 218. 219,39, 41. σελ. 220. 221,33. σελ. 222. 223,39. σελ. 227. 229,6,19. 235, 17. 238,39,40. 242,29,38. 249, 18. 252,7. 253,32. 260,31. 263,38. 265,28. 266,12,14. σελ. 268. σελ. 269. 280,38. 282,23, 38. 285,36. 289,21. 296,23,30. 300,22. 308,8. 320,34. 325,16. 327 22. 328 36. 332,23. 340,18. 342,11. 345,9,39. 356,20. 358 1. 366,31. σελ. 368. 374, 16. 381,4. 382,30. 384,1. 386,21,23. 391,37. 393,37. — γενόμενος ἐν νεκροῖς ἐλεύθερος 171,23 ἑξ. — διατί παιδεύει τοὺς ἐξ ἐθνῶν πιστοὺς αὐτοῦ 107,10 ἑξ. — δεξιὰ Θεοῦ 216,31. — διδάξας ἀνθρώπους 88,1 ἑξ. — δοὺς τὸ ὄνομα τῶν Χριστιανῶν 121, 34. — ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου 25,33 ἑξ. — ἐκ σπέρματος Δαυῒδ 25,32.26,7. — ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα 148,3. — ἐκ φυλῆς Ἰούδα 106,9.— ἐν σκιᾷ θανάτου 172,33 ἑξ. — θανὼν ὑπὲρ ἁμαρτιῶν ἡμῶν 176,5 ἑξ. — Θεὸς κ.λ. 223,39 ἑξ. — Θεοῦ 27,31. 32,2. 47,3,8. 59,20. 60,35. 107.10. 132,6. 133,41. 194,5. 318,34. — Θεοῦ οὐράνιος ἄρτος 129,19. — ἱλασμὸς γενόμενος ἀνθρώποις 97,29 ἑξ. — κατὰ σάρκα 25,32. — κατελθὼν ἐν γῇ καὶ ἀνελθὼν ἐν οὐρανῷ 26,1 ἑξ. — κεχρισμένος 261,23. — Λόγος Θεοῦ ὁ Θεὸς Θεοῦ ἐν Σιὼν ὀφθεὶς 147,2 ἑξ. — μορφὴν δούλου λαβὼν προδηλωθεὶς 224,13 ἑξ. — ναὸς Θεοῦ ἐκ σπέρματος Δαυῒδ 194,36 ἑξ. — ὁ ἐν ὑψηλοῖς κατοικῶν καὶ τὰ ταπεινὰ ἐφορῶν 333,15 ἑξ. — οὐ διέλειψεν ὑμνῶν τὸν Πατέρα 16,23 ἑξ. — παρακληθεὶς κατ' ἀγῶνας αὐτοῦ παρὰ Θεοῦ 22,7 ἑξ. — πᾶσιν ἀνθρώποις Σωτὴρ 63,6 — προσθεὶς καὶ τελειώσας τὸν νόμον Μωϋσέως 19,8 ἑξ. — πρωτότοκος πάσης φύσεως σελ. 197. — τὸ προφητευθὲν σωτήριον τοῦ Θεοῦ 151, 29 ἑξ. 152, 11 ἑξ. — ὑπήκοος τῷ Πατρὶ μέχρι θανάτου 171,13. — ἀνάστασις — προδηλωθεῖσα 175, 37 ἑξ. Ἀπιστία Ἰουδαίων εἰς — προδηλωθεῖσα 259,40 ἑξ. Ἀποτελέσματα ἐπιλάμψεως — τῷ τῶν ἀνθρώπων γένει 40,27 ἑξ. Ἀποτελέσματα καθόδου — πρὸς ἀνθρώπους 29,35 ἑξ. Βασιλεία — 32,34. 66,7 ἑξ. 265,34. Βασιλεία — αἰώνιος 202,7 ἑξ. Βέλη — 83,17. Βίος καὶ πάθη — προδηλωθέντα 323,38 ἑξ. Βοήθεια ἐκ Πατρὸς αἰτηθεῖσα παρὰ — προλεχθεῖσα 12,1 ἑξ. Γεγονότα κατὰ παρουσίαν ἀνθρώποις — προδηλωθέντα 318, 37. Γέννησις κατὰ σάρκα — 322, 36,38. Γέννησις — ἐξ Ἁγ. Πνεύματος προδηλωθεῖσα 329,10 ἑξ. Γέννησις — προδηλωθεῖσα 169, 8 ἑξ. Γνῶσις περὶ — ἁπανταχοῦ τῆς γῆς σκορπισθεῖσα 32,16 ἑξ. Δάκρυα — 174,11 ἑξ. Δεσπότης — 326,3. Διὰ — ἐνηυλογήθησαν πάντα τὰ ἔθνη τῆς γῆς 38,36 ἑξ. Δόγματα — 221,13. Ἐκκλησία — 22,36. 32,28. 36,40. 40,31. 326, 29. Ἐκκλησία — προδηλωθεῖσα 169,19 ἑξ. Ἔνσαρκος ἐπιδημία — 129,31 ἑξ. Ἔνσαρκος — γέννησις — προδηλωθεῖσα 170,9. Ἐ-

πιφάνεια — 113,7. Ἔτη ἀπὸ κατασκευῆς Ναοῦ Σολομῶντος μέχρι Βαβυλωνίου αἰχμαλωσίας, ἀπὸ Ζοροβάβελ μέχρι Ῥωμαίων καὶ μέχρι —214,12 ἑξ. Θάνατος — πρὸς σωτηρίαν ἡμῶν 173,15 ἑξ. Θρόνος — καὶ βασιλεία οὐκ ἀνθρώπινα 201,30 ἑξ. Ἰησοῦς —28,14. 40,29. 88,4. 153,6,10. 164,38. 165,13. 168,25. 196,27. 200,19. 201,30. 220,6. 222,2. 241,20. 318, 24, 320,20. 322,15,20. 332,1. 333,7,12. 338,17. 356,12. σελ. 357. 386,34. 392,20. Κάθοδος — εἰς Ἅδην προδηλωθεῖσα 170. 35 ἑξ. Κάλλος — 217,30. Καρπὸς — ἡ Ἐκκλησία προλεχθεῖσα 38, 4 ἑξ. Κατάβασις ἐν γῇ — προλεχθεῖσα 29,5 ἑξ. Καταλλαγὴ ἐν — 151,7. Κατὰ σάρκα γέννησις — 29,16 ἑξ. Κένωσις καὶ ταπείνωσις — 171,28. Κένωσις — προδηλωθεῖσα 176,27 ἑξ. Κέρας Δαυὶδ ὁ ἐκ σπέρματος αὐτοῦ — 195,6-198,10. Λύτρωσις διὰ — γενομένη προελέχθη 121,9 ἑξ. Νύμφη — ἡ Ἐκκλησία 83,8. Ὅδευσις καὶ ἄφιξις ἀνθρώπων πρὸς Θεὸν Πατέρα δι' Ἰησοῦ — 35,7,4. Ὄνομα — καὶ Χριστιανῶν μένον εἰς αἰῶνα 38,30. Πάθος — προδηλωθὲν 172,3 ἑξ. Πάθος — προφητευθὲν 170,16. Παρουσία — 70, 31. 112,41. 149,27. 334,24. Παρουσία — προφητευθεῖσα 141,14. Πειρασμὸς — ἐν ἐρήμῳ προδηλωθεὶς 224,15 ἑξ. 229,7 ἑξ. 231,21 ἑξ. Περὶ τοῦ ἐν — τετελειωμένου ἀνθρώπου 219,39 ἑξ. 227,4 ἑξ. 230,20 ἑξ. Πιστοὶ — συγκληρονόμοι αὐτοῦ 238,39. Πολίτευμα κατὰ — 165,37. Προσευχὴ — πρὸς τὸν Πατέρα προδηλωθεῖσα 174,30 ἑξ. Προσευχὴ — ὑπὲρ Ἐκκλησίας 20,39 ἑξ. Προφητεῖαι ἐκπληρωθεῖσαι διὰ τῆς — παρουσίας 150, 6 ἑξ. Προφητεία περὶ ἐλεύσεως — 41,18 ἑξ. Σῶμα — 20,31. 89,4. 218,31. 227,6. 228,39,40. Τὰ τοῦ — ἐν τῷ κόσμῳ ἐλθόντος προεδηλώθησαν 224,10 ἑξ. 231, 16 ἑξ. Ταφὴ — προδηλωθεῖσα 172, 10 ἑξ. Τὸ τῆς Ἐκκλησίας — διηνεκὲς προελέχθη 198,11-200,39. Τριττὴ ἰδιότης τοῦ — προλεχθεῖσα 25,4 ἑξ.

Χρόνος. — ζωῆς ἀνθρώπου μετρᾶται ὑπὸ Θεοῦ 375,23 ἑξ.

Χώρα. — ζώντων 338,25 ἑξ.

Χωρέβ. Πέτρα — 92,27.

Χωρὴβ 127,23. 256,26. 314,1.

Ψαλμοὶ 11,2. — εἰς ἀνάμνησιν ἐπιγεγραμμένοι 11,10 ἑξ. — ἐπιγεγραμμένοι τῷ Ἀσάφ, πόσοι εἰσὶ καὶ τίνες 141,1 ἑξ. — ἐπιγεγραμμένοι υἱῶν Κορὲ 155,26 ἑξ. — ἐπιγεγραμμένοι ὑπὲρ ἀλλοιωθησομένων 112,16 ἑξ. — ληνῶν τρεῖς 122,20 ἑξ. — προδηλώσαντες τὴν εἰς Ἅδου κάθοδον Χριστοῦ 170, 1 ἑξ. — τῶν υἱῶν Κορέ, πόσοι εἰσὶ καὶ τίνες 141,3 ἑξ. — φέροντες τὴν ἐπιγραφὴν «προσευχὴ» 156, 10 ἑξ. Βίβλος — 212,40. 213,1. Ἐπιγραφαὶ ἐνίων — 162,11 ἑξ. Κανόνες ἡμερινοὶ — 358,8 ἑξ. Κανόνες νυκτερινοὶ — 358,22 ἑξ. Περὶ ἀριθμοῦ κ.λ. — ἐπιγεγραμμένων τῷ Ἀσὰφ 41,31 ἑξ. Περιεχόμενα ἕνδεκα — τοῦ Ἀσὰφ 41, 28 ἑξ. Περιοχαὶ τῶν ἐπιγεγραμμένων — τοῦ Ἀσὰφ 41,28 ἑξ. — τρίτον μέρος — ἀπὸ ΟΒ' ἕως ΠΗ' 48,23 ἑξ. — δέκατος πέμπτος 171,21. — δεύτερος 328,30. 140,38. — δωδέκατος 135,15,17. 141,8. — δωδέκατος τοῦ Ἀσὰφ 48,16. — ἑβδομηκοστὸς ἕβδομος 137,22. — ἑβδομηκοστὸς δεύτερος 140,38. — ἑβδομηκοστὸς ἕβδομος 259,15. — ἑβδομηκοστὸς δεύτερος 385,10. — ἑβδομηκοστὸς ἔνατος 57,22. 135,6. 281,20. — ἑβδομηκοστὸς ὄγδοος 48,12. 137, 33. — ἑβδομηκοστὸς πρῶτος 119,8. 196,36. — ἑβδομηκοστὸς τρίτος 45,1. 48,15. 120,22,23. — εἰκοστὸς ὄγδοος 37,30. — εἰκοστὸς πρῶτος 170,15. 175,37. — ἑκατοστὸς δέκατος τέταρτος 337,2. — ἑκατοστὸς δέκατος τρίτος 337,1. — ἑκατοστὸς πέμπτος 259, 15. — ἑκατοστὸς πρῶτος 14,20, 24. — ἑκατοστὸς τεσσαρακοστὸς πέμπτος 391,22. — ἑκατοστὸς τριακοστὸς πρῶτος 181,37. — ἕκτος 11,17. — ἕκτος προφητικὸς

περὶ Χριστοῦ 179,32. — ἔνατος 135,16,29. — ἑνδέκατος 135,15. — ἑξηκοστὸς ὄγδοος 112,17,23. — ἑξηκοστὸς πέμπτος 123,17. — ἑξηκοστὸς πρῶτος 77,35. — ὀγδοηκοστὸς 140,38. 141,28,33. 163,1. 170,4. ὀγδοηκοστὸς δεύτερος 57,23. 141,8. — ὀγδοηκοστὸς ἕβδομος 141,23. 155,28. 170,5. — ὀγδοηκοστὸς ἕκτος 141,20. 155, 28. 170,5. — ὀγδοηκοστὸς ἔνατος 148,14. — ὀγδοηκοστὸς ὄγδοος 213,8. — ὀγδοηκοστὸς ὄγδοος πέρας τρίτης βίβλου ψαλμῶν 48, 23 ἑξ. — ὀγδοηκοστὸς πέμπτος 162,18. — ὀγδοηκοστός, προφητικὸς περὶ Χριστοῦ 179,32. — ὀγδοηκοστὸς τέταρτος 155,28,35. 162,17. 163,1,3. 170,4. — ὀγδοηκοστὸς τρίτος 107,20. 122,22. 140,38. 141,6. 155,27,35. 162,17. 170,4,6. — ὄγδοος 122,21,22. 123,9. σελ. 141. — παρακλητικὸς διωκομένων ὑπὲρ εὐσεβείας 247, 11 ἑξ. — ΠΓ' προδηλώσας τὴν Θεοῦ παρουσίαν ἀνθρώποις 170,6. — πεντηκοστὸς 41,33. 135,1. 160, 33. — πεντηκοστὸς ἕκτος 223,13. 378,24. — πεντηκοστὸς ἔνατος 112,17. — τεσσαρακοστὸς 135, 16,29. — τεσσαρακοστὸς ἔνατος 41,33. σελ. 47. σελ. 134. — τεσσαρακοστὸς ὄγδοος 141,42. — τεσσαρακοστὸς πρῶτος 141,4. 141, 11. 162,16. — τεσσαρακοστὸς τέταρτος 112,18,33. — τριακοστὸς 14,1. — τριακοστὸς ἕβδομος σελ. 11. — τριακοστὸς ὄγδοος 77, 14. — τριακοστὸς ὄγδοος 77,30. Ἑρμηνεία ΞΘ' — ὑπὸ Εὐσεβίου 11,3. Ἑρμηνεία — Ο' ὑπὸ Εὐσεβίου 13,38 ἑξ. Ἑρμηνεία — ΟΑ' ὑπὸ Εὐσεβίου 23,31 ἑξ. Ἑρμηνεία — ΟΒ' ὑπὸ Εὐσεβίου 48,20 ἑξ. Ἑρμηνεία — ΟΓ' ὑπὸ Εὐσεβίου 57,6 ἑξ. Ἑρμηνεία — ΟΔ' ὑπὸ Εὐσεβίου 66,1 ἑξ. Ἑρμηνεία — ΟΕ' ὑπὸ Εὐσεβίου 70,36. Ἑρμηνεία — ΟϚ' ὑπὸ Εὐσεβίου 77,3 ἑξ. Ἑρμηνεία — ΟΖ' ὑπὸ Εὐσεβίου 85,19 ἑξ. Ἑρμηνεία — ΟΗ' ὑπὸ Εὐσεβίου 107,13 ἑξ. Ἑρμηνεία — ΟΘ' ὑπὸ Εὐσεβίου 112,12 ἑξ. Ἑρμηνεία — Π' ὑπὸ Εὐσεβίου 122,17. Ἑρμηνεία — ΠΑ' ὑπὸ Εὐσεβίου 130,1 ἑξ.

Ἑρμηνεία — ΠΒ' ὑπὸ Εὐσεβίου 135,3 ἑξ. Ἑρμηνεία — ΠΓ' ὑπὸ Εὐσεβίου 140,34 ἑξ. Ἑρμηνεία — ΠΔ' ὑπὸ Εὐσεβίου 149,31 ἑξ. Ἑρμηνεία — ΠΕ' ὑπὸ Εὐσεβίου 155,23 ἑξ. 155.23 ἑξ. Ἑρμηνεία — ΠΣΤ' ὑπὸ Εὐσεβίου 162, 6 ἑξ. Ἑρμηνεία — ΠΖ' ὑπὸ Εὐσεβίου 169,1 ἑξ. Ἑρμηνεία — ΠΗ' ὑπὸ Εὐσεβίου 178,35 ἑξ. Ἑρμηνεία — ΠΘ' ὑπὸ Εὐσεβίου 208, 18 ἑξ. Ἑρμηνεία — Ϟ' ὑπὸ Εὐσεβίου 217,33 ἑξ. Ἑρμηνεία — ϞΑ' ὑπὸ Εὐσεβίου 231,32. Ἑρμηνεία — ϞΒ' ὑπὸ Εὐσεβίου 241,15 ἑξ. Ἑρμηνεία — ϞΓ' ὑπὸ Εὐσεβίου 247,11 ἑξ. Ἑρμηνεία — ϞΔ' ὑπὸ Εὐσεβίου 254,28 ἑξ. Ἑρμηνεία — ϞΕ' ὑπὸ Εὐσεβίου 260, 10 ἑξ. Ἑρμηνεία — ϞΣΤ' ὑπὸ Εὐσεβίου 264,3 ἑξ. Ἑρμηνεία — ϞΖ' ὑπὸ Εὐσεβίου 267,29 ἑξ. Ἑρμηνεία — ϞΗ' ὑπὸ Εὐσεβίου 269,30 ἑξ. Ἑρμηνεία — ϞΘ' ὑπὸ Εὐσεβίου 272,1 ἑξ. Ἑρμηνεία — Ρ' ὑπὸ Εὐσεβίου 273.24 ἑξ. Ἑρμηνεία — ΡΑ' ὑπὸ Εὐσεβίου 278,1 ἑξ. Ἑρμηνεία ΡΒ' — ὑπὸ Εὐσεβίου 284,28 ἑξ. Ἑρμηνεία — ΡΓ' ὑπὸ Εὐσεβίου 289,24 ἑξ. Ἑρμηνεία — ΡΔ' ὑπὸ Εὐσεβίου 302,27 ἑξ. Ἑρμηνεία — ΡΕ' ὑπὸ Εὐσεβίου 311,22 ἑξ. Ἑρμηνεία — ΡΣΤ' ὑπὸ Εὐσεβίου 316, 1 ἑξ. Ἑρμηνεία — ΡΖ' ὑπὸ Εὐσεβίου 321,1 ἑξ. Ἑρμηνεία — ΡΗ' ὑπὸ Εὐσεβίου 323,24 ἑξ. Ἑρμηνεία — ΡΘ' ὑπὸ Εὐσεβίου 328,9 ἑξ. Ἑρμηνεία — ΡΙ' ὑπὸ Εὐσεβίου 329,30 ἑξ. Ἑρμηνεία — ΡΙΑ' ὑπὸ Εὐσεβίου 331,1 ἑξ. Ἑρμηνεία — ΡΙΒ' ὑπὸ Εὐσεβίου 332,24 ἑξ. Ἑρμηνεία — ΡΙΓ' ὑπὸ Εὐσεβίου 335,3 ἑξ. Ἑρμηνεία — ΡΙΔ' ὑπὸ Εὐσεβίου 337,18 ἑξ. Ἑρμηνεία — ΡΙΕ' ὑπὸ Εὐσεβίου 338,18 ἑξ. Ἑρμηνεία — ΡΙΣΤ' ὑπὸ Εὐσεβίου 339,25. Ἑρμηνεία — ΡΙΖ' ὑπὸ Εὐσεβίου 340,6 ἑξ. Ἑρμηνεία — ΡΙΗ' ὑπὸ Εὐσεβίου 342,21 ἑξ. Ἑρμηνεία — ΡΙΘ' ὑπὸ Εὐσεβίου 359, 3 ἑξ. Ἑρμηνεία — ΡΚ' ὑπὸ Εὐσεβίου 359,26 ἑξ. Ἑρμηνεία — ΡΚΑ' ὑπὸ Εὐσεβίου 360,19 ἑξ. Ἑρμηνεία — ΡΚΒ' ὑπὸ Εὐσεβίου 361,22 ἑξ. Ἑρμηνεία — ΡΚΓ' ὑπὸ

Εὐσεβίου 362,1 ἑξ. Ἑρμηνεία — ΡΚΔ' ὑπὸ Εὐσεβίου 362,23 ἑξ. Ἑρμηνεία — ΡΚΕ' ὑπὸ Εὐσεβίου 362, 34 ἑξ. Ἑρμηνεία — ΡΚΣΤ' ὑπὸ Εὐσεβίου 364,22 ἑξ. Ἑρμηνεία — ΡΚΖ' ὑπὸ Εὐσεβίου 365,9 ἑξ. Ἑρμηνεία — ΡΚΗ' ὑπὸ Εὐσεβίου 366,17 ἑξ. Ἑρμηνεία — ΡΚΘ' ὑπὸ Εὐσεβίου 366,30 ἑξ. Ἑρμηνεία — ΡΛ' ὑπὸ Εὐσεβίου 367,24 ἑξ. Ἑρμηνεία — ΡΛΑ' ὑπὸ Εὐσεβίου 368, 7 ἑξ. Ἑρμηνεία — ΡΛΒ' ὑπὸ Εὐσεβίου 369,11 ἑξ. Ἑρμηνεία — ΡΛΓ' ὑπὸ Εὐσεβίου 369,36 ἑξ. Ἑρμηνεία — ΡΛΔ' ὑπὸ Εὐσεβίου 370,6 ἑξ. Ἑρμηνεία — ΡΛΕ' ὑπὸ Εὐσεβίου 372,19 ἑξ. Ἑρμηνεία ΡΛΣΤ' ὑπὸ Εὐσεβίου 373, 37 ἑξ. Ἑρμηνεία — ΡΛΖ' ὑπὸ Εὐσεβίου 374,19 ἑξ. Ἑρμηνεία — ΡΛΗ' ὑπὸ Εὐσεβίου 375,21 ἑξ. Ἑρμηνεία — ΡΛΘ' ὑπὸ Εὐσεβίου 376,26 ἑξ. Ἑρμηνεία — ΡΜ' ὑπὸ Εὐσεβίου 377,8 ἑξ. Ἑρμηνεία — ΡΜΑ' ὑπὸ Εὐσεβίου 378,21 ἑξ. Ἑρμηνεία — ΡΜΒ' ὑπὸ Εὐσεβίου 379,38 ἑξ. Ἑρμηνεία — ΡΜΓ' ὑπὸ Εὐσεβίου 382,15 ἑξ. Ἑρμηνεία — ΡΜΔ' ὑπὸ Εὐσεβίου 385,15 ἑξ. Ἑρμηνεία — ΡΜΕ' ὑπὸ Εὐσεβίου 387,30 ἑξ. Ἑρμηνεία — ΡΜΣΤ' ὑπὸ Εὐσεβίου 389,13 ἑξ. Ἑρμηνεία — ΡΜΖ' ὑπὸ Εὐσεβίου 391,1 ἑξ. Ἑρμηνεία — ΡΜΗ' ὑπὸ Εὐσεβίου 391, 21 ἑξ. Ἑρμηνεία — ΡΜΘ' ὑπὸ Εὐσεβίου 392,3 ἑξ. Ἑρμηνεία — ΡΝ' ὑπὸ Εὐσεβίου 394,3 ἑξ. Περιεχόμενον δεκάτου — τοῦ Ἀσὰφ 46,38 ἑξ. Περιεχόμενον δευτέρου — τοῦ Ἀσὰφ 42,6 ἑξ. Περιεχόμενον ἑβδόμου — τοῦ Ἀσὰφ 44,25 ἑξ. Περιεχόμενον ἕκτου — τοῦ Ἀσὰφ 44,26 ἑξ. Περιεχόμενον ἐνάτου — τοῦ Ἀσὰφ 46,10 ἑξ. Περιεχόμενον ἑνδεκάτου — τοῦ Ἀσὰφ 47,33 ἑξ. Περιεχόμενον ὀγδόου — τοῦ Ἀσὰφ 45,13 ἑξ. Περιεχόμενον πέμπτου — τοῦ Ἀσὰφ 43,21 ἑξ. Περιεχόμενον πρώτου — τοῦ Ἀσὰφ 41,35 ἑξ. Περιεχόμενον τετάρτου — τοῦ Ἀσὰφ 43,2 ἑξ. Περιεχόμενον τρίτου — τοῦ Ἀσὰφ 42,22 ἑξ.

Ψαλτήριον. Συμβολισμὸς — δεκαχόρδου 383,34 ἑξ.

Ψευδοδοξία 359,10.

Ψεύστης. Τὸ «πᾶς ἄνθρωπος —», πῶς νοητέον 338,30 ἑξ.

Ψυχαί. — ἁγίων ὑπὲρ οἰκουμένης δεόμεναι 300,33. — ἀποστολικαὶ προδηλωθεῖσαι 267,8. Θάνατος — 100,25 ἑξ. Λύτρωσις ἀνθρωπίνων — ὑπὸ Χριστοῦ 150,28 ἑξ. 39 ἑξ. Οὐράνιοι δυνάμεις συγχαίρουσαι τῇ τῶν — σωτηρίᾳ 288,9 ἑξ. Φωτισμὸς — ἀξίων 74,12.

Ψυχή. — ἀθάνατος ζῶσα μετὰ τὴν τοῦ σώματος ἀπαλλαγὴν 387,36 ἑξ. — ἀκατέργαστος, τίς νοητέα 375,32 ἑξ. — ἀνθρώπου καλουμένη εἰς εὐχαριστίαν Θεοῦ 288,5 ἑξ. — ἀποκτείνουσα τοὺς ἐμπαθεῖς λογισμοὺς 277,22 ἑξ. — ἐν πράξεσιν ἀγαθαῖς 351,12 ἑξ. — κατ' εἰκόνα Θεοῦ γενομένη 253,5. — πότε ὑμνήσει κυρίως τὸν Θεὸν 358,1 ἑξ. — ῥυομένη στρουθίον, πῶς νοητέα 143,27 ἑξ. — καὶ γῆ ἄνυδρος οὖσα 380,29 ἑξ. Ἀναγωγὴ — εἰς τὰ ὑπὲρ αἴσθησιν 359, 29 ἑξ. Ἀρετὴ καὶ πόνος καὶ τροφὴ καὶ χαρὰ τῇ — εἰσὶ 365,35. Ἁρμονία — καὶ σώματος 269,9. Θλῖψις — 381,35 ἑξ. Νυσταγμὸς — ἀπὸ ἀκηδίας καὶ ἀνάνευσις διὰ τῆς τῶν κρειττόνων μνήμης 343, 37 ἑξ. Νωθρία — 49,14. Τὸ «εὐλόγει ἡ — τὸν Κύριον», πῶς ἑρμηνευτέον 284,29 ἑξ.

Ὠδή. — καινή, ἡ Καινὴ Διαθήκη 383,29 ἑξ.

Ὠκεανὸς 31,12. 263,40.

Ὤν. — βασιλεὺς Βασὰν 373,7.

Ὠρὴβ 138,23,29.

Ὠριγένης 348,21.

Ὠσηὲ 118,40. 301,3. 301,39.

Γενικὴ ἐπιστασία, σημειώσεις τῶν παραπομπῶν εἰς τὰ βιβλία τῆς Ἁγίας Γραφῆς καὶ καταρτισμὸς τοῦ πίνακος τῶν Ἁγιογραφικῶν χωρίων τοῦ Καθηγητοῦ τοῦ Πανεπιστημίου Βασ. Βέλλα.

Ὑπεύθυνος διὰ τὰς διορθώσεις τῶν δοκιμίων ὁ φιλόλογος Κ. Α. Παπαχρίστος.